ΦΙΛΟΛΟΓΙΚΑ ΠΑΡΕΡΓΑ

ΦΙΛΙΠΠΟΥ ΙΩΑΝΝΟΥ

ΘΕΤΤΑΛΟΜΑΓΝΗΤΟΣ,

ΔΙΔΑΚΤΟΡΟΣ ΤΩΝ ΕΠΙΣΤΗΜΩΝ ΚΑΙ ΚΑΘΗΓΗΤΟΥ ΤΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΝ ΤΩ ΕΘΝΙΚΩ ΠΑΝΕΠΙΣΤΗΜΙΩ ΑΘΗΝΩΝ.

ΠΡΟΣΦΩΝΗΘΕΝΤΑ ΤΩι ΑΔΕΛΦΩι ΑΥΤΟΥ

ΔΗΜΗΤΡΙΩι Ι. ΤΩι ΓΥΑΛΑι.

ΕΚΔΟΣΙΣ Β'.

ἐν ᾗ τινα διώρθωται ἢ ἐπὶ τὸ κρεῖττον μεταπεποίηται,
οὐκ ὀλίγα δὲ καὶ προστέθειται.

ΑΘΗΝΗΣΙΝ,
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ
ΕΠΙ ΤΩΝ ΟΔΩΝ ΒΟΥΛΗΣ ΚΑΙ ΜΗΤΡΟΠΟΛΕΩΣ.

1874

ΕΠΙΣΤΟΛΗ ΠΡΟΣΦΩΝΗΤΙΚΗ

ΦΙΛΙΠΠΟΣ ΙΩΑΝΝΟΥ

ΤΩι ΑΔΕΛΦΩι

ΔΗΜΗΤΡΙΩι ΙΩΑΝΝΟΥ, ΤΩι ΕΠΙΚΑΛΟΥΜΕΝΩι ΓΥΑΛΑι

Εὖ πράττειν.

Ουδεν τῶν ἐπὶ γῆς μετειληχότων ζωῆς καὶ αἰσθήσεως οὕτω τῆς παρὰ τῶν ὁμογενῶν ἀρωγῆς ἐπιδεὲς πέφυκεν ἐν τῷ βίῳ ὥσπερ ὁ ἄνθρωπος, ὃν πλεῖστα ἐκ βρέφους ὑπὸ τῶν ἄλλων εὖ πάσχειν καὶ ἡδέος τινὸς παρ' αὐτῶν ἀπολαύειν ἀνάγκη. Τοῦτο δὲ μέγα μέν τι αὐτῷ εἰς διάπλασιν ἤθους καὶ χρηστότητα τρόπων συμβάλλεται, οὐκ ἔλαττον δὲ εἰς πνευματικὴν ἡδονήν, ὡς ἀπὸ πηγῆς τινος ἀενάου τῆς τοῦ καθήκοντος ἐκτελέσεως ἀπορρέουσαν· τὸ μὲν γὰρ εὖ πεπονθέναι ἢ ἀμωσγέπως ἀγαθοῦ τινος ἀπολελαυκέναι παρὰ τῶν ἄλλων ἡμέρως ἡμῶν τὴν ψυχὴν καὶ φιλοφρόνως πρός τε τοὺς εὖ ποιήσαντας καὶ πρὸς τοὺς ἄλλους διατίθησι καὶ πρὸς φιλανθρωπίαν ἑτοιμοτέραν παρασκευάζει· τὸ δ' αὖ ἀντευποιεῖν ἢ γοῦν εὐγνωμονεῖν τοῖς εὖ δράσασι καὶ φιλανθρώπως τοῖς ἄλλοις χρῆσθαι τιμιωτέρους ἡμᾶς ἐκείνοις τε καὶ ἡμῖν αὐτοῖς ἀποδείκνυσι καὶ διὰ τοῦτο ἄῤῥητόν τινα ἡμῖν ἡδονὴν ἐμποιεῖ. Τοιγαροῦν ἔχαιρον ἀεὶ πατρίδος τε καὶ γονέων καὶ οἰκείων καὶ διδασκάλων καὶ πάντων, παρ' ὧν ἀγαθοῦ τινος ἀπήλαυσα, μεμνημένος καὶ τὰ ἀναφοράν τινα πρὸς ἐκείνους ἔχοντα μελέτην ποιούμενος. Ἐκ δὲ τοιαύτης μελέτης τὰ πλεῖστα τῶν ἐν τῷ τεύχει τούτῳ πονηματίων, ἄλλα ἐν ἄλλῳ χρόνῳ, προῆλθεν· ὧν δή μοι τα μὲν εὐσέβεια πρὸς

πατρίδα, τὰ δὲ φιλοστοργία πρὸς γονεῖς καὶ οἰκείους, τὰ δ' εὐγνωμοσύνη πρὸς εὐεργέτας καὶ διδασκάλους, τὰ δὲ φιλία ὑπέθετο. Τὸ μὲν γὰρ τοῦ Κατούλλου ποίημα, ὃ Πηλέως καὶ Θέτιδος ἐπιθαλάμιον ἐπιγέγραπται, ἅτε τῇ ἡμετέρᾳ πατρίδι οἰκείαν τὴν ὑπόθεσιν ἔχον ἐκ τῆς ρωμαΐδος εἰς τὴν Ἑλλάδα φωνὴν ἐμμέτρως ἐφιλοτιμήθην μετενεγκεῖν, τῇ ἡμετέρᾳ χαριζόμενος Θετταλίᾳ, ἐν ᾗ ἔφυμέν τε ἄμφω καὶ ἐπαιδεύθημεν, καὶ ἧς γλυκίστη μοι ἀεὶ καὶ πόρρω βιοῦντι παραμένει ἡ μνήμη. Εὖ γὰρ οἶσθα, ὦ φίλτατε, τὰ ἐν ἀρχαίοις μύθοις τεθρυλλημένα· ὡς ἐν Θετταλίᾳ τὸ πάλαι ἐξ Αἰγίνης φεύγων ᾤκησεν ὁ Πηλεύς· ἐν δὲ Παγασαῖς, ἔνθα σὺ νῦν τὸν κερδῷον θεραπεύων Ἑρμῆν διαιτᾷ, ἡ παλαίφατος ἐναυπηγήθη Ἀργώ, ἧς τὸ πάλαι τῷ τε ἡμεδαπῷ Ἰάσονι καὶ τοῖς ἄλλοις ἐξ ἁπάσης τῆς Ἑλλάδος ἥρωσι συνεπιβὰς ὁ Πηλεὺς ἐπὶ τὸ χρυσοῦν ἔπλευσε δέρας, κἂν τῷ πλῷ τὴν Θέτιν σὺν ταῖς ἄλλαις θαλασσίαις νύμφαις τῶν κυμάτων ἀναδυομένην ἰδών, ἔρωτι ἥλω τῆς καλῆς Νηρεΐδος καὶ εἰς γάμον ἦλθεν αὐτῆς. Ἐν δὲ Φαρσάλῳ, πόλει θετταλικῇ, ἢ κατ' ἄλλους ἐπὶ τοῦ ἡμετέρου Πηλίου, οἱ τοῦ Αἰακίδου καὶ τῆς Νηρεΐδος ἐτελέσθησαν γάμοι, οἷς καὶ τοὺς ὀλυμπίους θεοὺς παραγενέσθαι μεμυθολόγηται. Ἐπ' αὐτοῦ δὲ τούτου τοῦ ὄρους καὶ ὁ τῶν γάμων ἐκείνων ἐκφὺς Ἀχιλλεὺς ὑπὸ τοῦ διφυοῦς ἀνετράφη καὶ ἐπαιδεύθη Χείρωνος, ὃν νεανίσκος ὢν ἔτι καὶ τῶν ὁμηρικῶν ἀνάπλεως φαντασιῶν (μέμνημαι γὰρ ἔτι τοῦ πάθους), ἐν ταῖς τοῦ Πηλίου βήσσαις πολλάκις μόνος ἀλώμενος, ἀνειδωλοποιούμην ὑπὸ τὴν τῶν βαθυφύλλων δένδρων σκιὰν τοὺς νέους διδάσκοντα ἥρωας. Διὰ ταῦτ' οὖν τὸ τοῦ Πηλέως καὶ τῆς Θέτιδος ἐπιθαλάμιον τῇ ἡμετέρᾳ Θετταλίᾳ ἰδίως προσήκειν ἡγούμενος εἰς τὸ ἑλληνικὸν ἔγνωκα μεθερμηνεῦσαι ἰδίωμα, δῶρον τοῦτ' ἴσως οὐκ ἀηδὲς τῇ γειναμένῃ προσάγων.

Τὸ δ' εἰς τὸν πατέρα καὶ τὴν μητέρα καὶ τοὺς οἰκείους πεποιημένα μοι ἐπιτύμβια καὶ τὰ εἰς τὸν ἀδελφὸν Ῥήγιον ἐλεγεῖα τὸν ὑπὲρ τῆς τοῦ γένους ἐλευθερίας πόῤῥω τῆς πατρίδος τελευτήσαντα ἐν τῇ μάχῃ, ὑπηγορεύθη μέν μοι ὑπὸ τῆς πρὸς ἐκείνους στοργῆς, ἧς ἐλάχιστα μνημεῖα θεῖναι ταῦτα ἠθέλησα, οὐ μικρὸν δ' εἰς ἀνακούφισιν τῆς λύπης μοι συνεβάλετο, ἣν ἡ τῶν φιλτάτων ἐκείνων κορυφῶν παρέσχε μοι στέρησις, μεμνημένῳ τῆς ἀγάπης, τῆς εὐσεβείας καὶ τῶν ἄλλων αὐτῶν ἀρετῶν. Ἀλλὰ καὶ τῶν ἄλλων ἐπιτυμβίων τὰ πλεῖστα, τὰ μὲν χαριζόμενος φίλοις ἀνδράσι συνεταξάμην, τὰ δὲ γενναίοις τῆς πατρίδος προμάχοις ἢ εὐεργέταις ἰδίοις καὶ δημοσίοις εὐγνωμονῶν, καὶ τὴν τῆς ἀρετῆς αὐτῶν καὶ τῆς ἐμῆς εὐγνωμοσύνης μνήμην, τὸ γ' ἐπ' ἐμοί, τοῖς ἔπειτα προθυμούμενος παραδοῦναι.

Καὶ ἡ ἐξελλήνισις δὲ τῆς περὶ Γερμανίας τοῦ Τακίτου συγγραφῆς τὴν αἰτίαν ὁμοίαν ἔσχεν. Ἐν μὲν γὰρ Ἑλλάδι τὸ τοῦ ἡλίου, ἐν δὲ Γερμανίᾳ τὸ τῆς ἐπιστήμης φῶς πρῶτον ἰδών, ἴσα ταύτην τῇ πατρίδι ἐφίλησα, καὶ τοὺς ἐν αὐτῇ καθηγησαμένους μοι τῆς εἰς ἐπιστήμην ὁδοῦ ἴσα τῷ πατρὶ ἔστερξα καὶ ἐτίμησα· οὐδὲ παύσομαι, ἔστ' ἂν πνέω, χάριν αὐτοῖς γιγνώσκων. Διὸ καὶ εἰς ἐλάχιστον τῆς ἐμῆς εὐγνωμοσύνης τεκμήριον τὸ εἰρημένον βιβλίον ἔδοξέ μοι ἐξελληνίσαι, ἐν ᾧ ὁ ῥωμαῖος Ἱστορικὸς τῶν ἀρχαίων Γερμανῶν τὰ ἔθνη, τὰς οἰκήσεις, τὰ ἤθη καὶ ἔθιμα ἱστορῶν, τὴν πίστιν αὐτῶν, τὴν σωφροσύνην, τὴν τῶν τρόπων ἁπλότητα, τὸ λιτοδίαιτον, τὴν χρηστότητα, τὸ φιλελεύθερον, τὴν ἀνδρείαν, τὸ φιλοπόλεμον καὶ τὰς ἄλλας ἀρετάς, αἷς ἐκ παλαιοῦ ἐκοσμεῖτο τὸ γένος, διὰ βραχέων ἐκφαίνει, ὥσπερ τοῖς συγχρόνοις αὐτοῦ Ῥωμαίοις εἰς τὰς ἐναντίας ἐκείνοις ἐκδεδιῃτημένοις κακίας τὴν τοῦ ἤθους διαφθορὰν ὀνειδίζειν ἐθέλων.

Καὶ ἄλλο δὲ τιμῆς καὶ ἀγάπης δεῖγμα τῷ τῶν Γερμα-

νῶν γένει, ὅτε τὴν τοῦ κορυφαίου τῶν παρ' ἐκείνοις ποιητῶν, Φριδερίκου τοῦ Σχιλλέρου, ἑκατονταετηρίδα ἐτέλει, βουλόμενος παρασχεῖν, τὸ κάλλιστον τούτου περὶ τῶν τῆς Ἑλλάδος θεῶν ᾆσμα εἰς τὴν Ἑλλάδα φωνὴν μετήνεγκα καὶ εἰς τὴν πανεθνῆ ἐκείνην τῶν Γερμανῶν ἑορτὴν εὐτελῆ ἐξ Ἑλλάδος προσφορὰν διὰ τοῦ σεβασμίου μοι καὶ σοφοῦ φίλου Ζηνοβίου τοῦ Πὼπ πέμψαι ἐθάῤῥησα.

Τέλος δὲ τῷ πρώην Βασιλεῖ τῆς Ἑλλάδος Ὄθωνι καὶ τῇ συνθρόνῳ αὐτοῦ Ἀμαλίᾳ ᾠδάς τινας ἐν ἑορταῖς δημοτελέσιν ἐποίησα, τὸ μὲν τῇ ἀκαδημαϊκῇ Συγκλήτῳ κελευούσῃ πειθόμενος, τὸ δὲ καὶ αὐτὸς χάριν τίνειν βουλόμενος τῆς ἐκείνων πρὸς ἐμὲ εὐνοίας τε καὶ εὐεργεσίας. Οὐδεὶς δ' ἂν μέμψαιτό με ἀνὴρ δίκαιος καὶ ἐπιεικής, ὅτι τὰς σεπτὰς ἐκείνας κορυφάς, ὧν τὰς μεγάλας ἀρετὰς καὶ τὴν ὑπερβάλλουσαν πρὸς τὴν Ἑλλάδα ἀγάπην ἐκ μακρᾶς πείρας κατέμαθον, ἔτι καὶ νῦν διὰ τιμῆς καὶ αἰδοῦς ἄγω καὶ τοῦ λοιποῦ ἄγων οὐ παύσομαι. Ἀνδρὸς γὰρ ἀγαθοῦ τὴν ἑαυτοῦ περὶ τῶν ἄλλων γνώμην μὴ πρὸς τὴν τύχην αὐτῶν μεταβάλλειν ἀεί, ἀλλὰ τῆς ἀληθείας καὶ τοῦ δικαίου ἀντέχεσθαι, καὶ τιμᾶν τοὺς ἀξίους τιμῆς, καὶ χάριτας εἰδέναι τοῖς εὐεργέταις, τὸ ἀγχίστροφον ἐκείνων καὶ ἀστάθμητον φεύγοντα, οἵ τοῖς εὖ φρονοῦσιν εἰκότως γέλωτα ὀφλισκάνουσιν, ἀεὶ κατὰ τὸν Κωμικόν, ὥσπερ οἱ ἐν σκάφει τινὶ πλέοντες, πρὸς τὸν εὖ πράττοντα τοῖχον ἑαυτοὺς μετακυλινδοῦντες. Οἶμαι δὲ καὶ τοὺς νῦν τοσαῦτα τοῦ πρώην βασιλέως καὶ τῆς βασιλίσσης μίσει ἀλόγῳ καταψευσαμένους ταχὺ μεταγνώσεσθαι, τοῦ μὲν πάθους ἀποθυμιάσαντος, τοῦ δὲ συνειδότος αὐτοὺς ἐλέγχοντος.

Τοιαύτης οὖν τῆς τοῦ βιβλίου μοι οὔσης αἰτίας τε καὶ προθέσεως, τίνι ἂν τοῦτο δικαιότερον προσεφώνησα ἢ σοὶ τῷ φιλτάτῳ μοι ἀδελφῷ, ὃν τὴν αὐτήν μοι περὶ τῶν εἰρημένων ἔχοντα διάνοιαν ἔγνωκα; Σὺ γὰρ καὶ τὴν πατρίδα

φιλεῖς, ὡς εἰκὸς, καὶ τιμᾷς, καὶ κατὰ δύναμιν εὖ ποιεῖν προθυμῇ, καλὰ αὐτῇ θρέπτρα ἀποδιδόναι φιλοτιμούμενος, καὶ πρὸς τοὺς γονεῖς ἀεὶ γέγονας εὐσεβής, καὶ πρὸς τοὺς οἰκείους καὶ συγγενεῖς φιλόστοργος πέφηνας, κηδόμενος αὐτῶν καὶ ἑτοίμως ἐπαρκῶν δεομένοις· καὶ τοῖς εὐεργέταις εὐγνώμων ἀεὶ ἐπιδέδειξαι, ταῖς χρείαις αὐτῶν ἀνθυπουργεῖν προθυμούμενος, καὶ τοῖς φίλοις πιστὸν σεαυτὸν καὶ ὑπηρετικὸν παρέχεις ἑκάστοτε. Διὰ ταῦτα τὸ βιβλίον προσάγω σοι, βραχὺ δεῖγμα τῆς ἐμῆς ἀγάπης τε καὶ τιμῆς. Σὺ δ' ἡδέως αὐτὸ δέξαιο καὶ εὐδαίμων ἐπὶ μήκιστον ζῴης μοι.

Ἔγραψα ἐν Ἀθήναις τῇ ά Νοεμβρίου ἔτει ͵αωξδ΄.

ΠΡΟΛΟΓΟΣ ΕΙΣ ΤΗΝ Β' ΕΚΔΟΣΙΝ.

Οτε πρὸ ὀκταετίας σχεδὸν τὰ Φιλολογικὰ τάδε Πάρεργα τύποις ἔδοξέ μοι ἐκδοῦναι, ᾔδειν μὲν ἐπιμελεστέρας τὸ πόνημα ἐξεργασίας δεόμενον, ὅμως γε πάθει ὀφθαλμικῷ συνεχόμενος, ἀτενέστερον ταῖς δέλτοις ἐγκύπτειν με οὐκ ἐῶντι, φόβον δέ μοι παρέχοντι μὴ τῇ συνεχεῖ τῶν ὀμμάτων ἐντάσει παντάπασι τῆς ὄψεως στερηθείην, ἡψάμην τῆς ἐκδόσεως αὐτοῦ, ὥσπερ εἶχε· καὶ δὴ σπεύδων πρὸς τὸ πέρας, ὡς οἷόν τε ταχέως εἰς τὸ κοινὸν τὴν βίβλον ἐξήνεγκα.

Ἐπειδὴ δὲ τὸ πόνημα παρά τε τοῖς ὁμοφύλοις καὶ τοῖς ἀνὰ πᾶσαν τὴν Εὐρώπην τῶν ἑλληνίδων Μουσῶν ἐρασταῖς μείζονος ἀποδοχῆς ἢ κατὰ τὴν ἐμὴν προσδοκίαν τετύχηκεν, ὁρῶν νῦν ὀλίγιστα τῶν τευχῶν περιλελειμμένα, ἐκδοῦναι αὐτὸ τὸ δεύτερον ἔγνωκα. Καὶ δὴ παροράματά τινα διορθωσάμενος, χωρία δέ τινα ἐπὶ τὸ κρεῖττον μεταποιήσας, πολλὰ δὲ νέα ποιήματα τοῖς προτέροις προσθεὶς καὶ τὴν ὅλην ἐπαυξήσας βίβλον, ἐν ἐκδόσει νέᾳ προσαγαγεῖν αὐτὴν τοῖς φιλομούσοις τεθάῤῥηκα, τελείαν μὲν οὔ· πῶς γὰρ ἄν τις ἐν τοῖς τοιούτοις τοῦ τελείου ἐφίκοιτο; εὐπροσδεκτοτέραν δ', ὡς ἔμοι γε δοκεῖ, τοῖς ἐπιεικέσι τῶν φιλολόγων.

Ἔγραφα ἐν Ἀθήναις τῇ κ'. Μαρτίου ἔτει ͵αωοδ.

ΦΙΛΙΠΠΟΣ ΙΩΑΝΝΟΥ.

ΠΕΡΙ

Π. ΚΟΡΝΗΛΙΟΥ ΤΑΚΙΤΟΥ·

Πουβλιου[1]) Κορνηλίου Τακίτου τοῦ μεγάλου τῶν αὐτοκρατορικῶν χρόνων ἱστοριογράφου οὔτε τὸ ἔτος τῆς γεννήσεως δῆλον, οὔτε τι περὶ τῆς πατρίδος αὐτοῦ καὶ τῶν γονέων βέβαιον ἴσμεν. Εἰκάζεται δὲ περὶ τὸ νδ′ ἔτος μ. Χ. ἐν Ἰντεράμνῃ τῆς Ὀμβρικῆς αὐτὸν γεννηθῆναι. Ἐκ παιδὸς δὲ πρὸς λόγους ὁρμήσας, ῥητόρων τοῖς μάλιστα ἐν τῷ τότε χρόνῳ εὐδοκιμοῦσι, Μάρκῳ τε Ἄπρῳ καὶ Ἰουλίῳ τῷ Σεκούνδῳ ὡμίλησε, καὶ περὶ τοὺς νόμους ἐσπούδασεν. Ἐν δ' ἔτει οζ′ τὴν ἀγαθὴν Ἰουλίου Ἀγρικόλα τοῦ τότε ὑπατεύοντος θυγατέρα ἐγγυησάμενος παρὰ τοῦ πατρὸς τῷ ἐπιόντι ἔτει εἰς οἶκον ἠγάγετο. Ἔοικε δὲ στεῖρον ἐκεῖνον αὐτῷ γενέσθαι τὸν γάμον ἢ ἄλλως ἀτυχῆ περὶ παῖδας· κατὰ γὰρ τὴν τοῦ πενθεροῦ τελευτήν, ἔτει ἕκτῳ καὶ δεκάτῳ μετὰ τὸν τῆς θυγατρὸς γάμον ἐκλιπόντος τὸν βίον, οὐδενὸς ἐγγόνου γίγνεται μνεία. Ἥψατο δὲ τῆς πολιτείας ὁ Τάκιτος, ὡς αὐτὸς ἡμῖν ἐν ταῖς ἱστορίαις (α. 1.) δεδήλωκεν, ὑπὸ Οὐεσπασιανῷ αὐτοκράτορι. Εἰς μείζους δ' ἐχώρησεν ἀρχὰς ὑπὸ Τίτῳ καὶ Δομετιανῷ, τὸ μὲν πρῶτον ταμίας, εἶτα δ' ἀγορανόμος ἐν

[1]) Πιθανώτερον δοκεῖ Πούβλιον τὸ προωνύμιον, ἤτοι τὸ πρῶτον τῶν τοῦ Τακίτου ὀνομάτων γενέσθαι, οὐ Γάϊον.

Ῥώμῃ ἀποδειχθείς. Καὶ εἰς Βρεττανίαν δ' ὑπ' Ἀγρικόλα ἔτει οή διοικητὴς ἐκπεμφθεὶς ἢ ταμίας, οὐ πολλοῖς ἔτεσιν ὕστερον ὑπὸ Δομετιανοῦ ἀνεκλήθη. Ἔτει δὲ πή διὰ τὴν ἀρετὴν ἐν Ῥώμῃ εὐδοκιμῶν ἀστυδίκης (prætor urbanus) ᾑρέθη· εἶτα δ' εἰς τὴν Σύγκλητον ἐγκριθείς, ὑπὸ τοὺς τελευταίους χρόνους τῆς τοῦ Δομετιανοῦ δεσποτείας ὑποστέλλεσθαι ἠναγκάζετο καὶ φόβῳ φεύγειν τὴν παῤῥησίαν. Νερούα δὲ τὴν ἀρχὴν διαδεξαμένου, μείζονι εὐπραγίᾳ ἐχρήσατο· ὕπατος γὰρ εἰς τὴν Τίτου Οὐεργινίου τοῦ Ῥούφου τάξιν τετελευτηκότος κατέστη, ᾧ καὶ τὸν ἐπικήδειον ἐποιήσατο λόγον. Περὶ δὲ τῶν τελευταίων τοῦ βίου τοῦ Τακίτου ἡμερῶν, ἐν αἷς περὶ λόγους ἀσχοληθῆναι δοκεῖ, οὐδὲν σαφὲς ἡμῖν ἔγνωσται· φαίνεται δὲ καὶ μέχρι τῆς Ἁδριανοῦ εἰς τὴν ἀρχὴν καταστάσεως παρατεῖναι τὸν βίον.

Ἐν μὲν οὖν τῇ νεότητι ἀγαθὴν ὁ Τάκιτος δόξαν δικηγορῶν καὶ ῥητορεύων ἐκτήσατο, τὸν Κικέρωνα μάλιστα ἐν λόγοις ζηλώσας, καὶ τὸ περὶ ῥητόρων (de oratoribus) βιβλίον συνέγραψεν. Εἶθ' ὅμως ἐπὶ τὴν Ἱςορίαν ἐτράπετο, τὰ τῆς Ῥώμης μάλιστα πράγματα οἰκείαν καὶ πλείστου λόγου ἀξίαν ἔχων ὑπόθεσιν. Καὶ πρῶτον μὲν τὸν βίον Γν. Ἰουλίου Ἀγρικόλα (vitam Iulii Agricolæ) συνετάξατο, κάλλιςον τοῦτο στήσας τῷ πενθερῷ τῆς ἑαυτοῦ εὐσεβείας μνημεῖον. Εἶτα δὲ τὸ περὶ θέσεως, λαῶν καὶ ἠθῶν τῆς Γερμανίας (de situ, moribus et populis Germaniæ) ἀξιόλογον βιβλίον συνέθηκε, περὶ οὗ πλείω ἡμῖν κατωτέρω εἰρήσεται. Μετὰ δὲ ταῦτα τὰς Ἱστορίας (Historias) ἐν πλείοσι βιβλίοις ἀνέγραψεν, ἐν οἷς τὸν ἀπὸ τοῦ ξθ' ἔτους μ. Χ. μέχρι τῆς τοῦ Δομετιανοῦ τελευτῆς χρόνον περιέλαβεν. Ἀλλ' οὐχ ὅλη εἰς ἡμᾶς περιῆλθεν ἡ πραγματεία· μόνα γὰρ αὐτῆς διασέσωσται τὰ τέσσαρα πρῶτα βιβλία καὶ τοῦ πέμπτου ἡ ἀρχή, τὴν Ἱστορίαν οὐχ ὅλων δύο ἐτῶν, τοῦ ξθ' καὶ τοῦ ό, περιέχοντα.

Τέλος δὲ τὰ Χρονικὰ (Annales) ἐφιλοπόνησε, τὴν τῆς Ῥώμης ἱστορίαν ἀπὸ τῆς Αὐγούστου ἀποβιώσεως μέχρι τῆς τοῦ Νέρωνος τοῖς φιλαναγνωστοῦσι παρέχοντα. Ἀλλὰ καὶ τούτων οὐκ ὀλίγα ἐν τῷ πολλῷ χρόνῳ ἀπώλετο· μόνα δ' ἡμῖν περιλέλειπται τὰ ἓξ πρῶτα βιβλία, ὧν τὸ πρῶτον ἐλλιπές, καὶ ἕτερα ἓξ ἀπὸ τοῦ ἑνδεκάτου μέχρι τοῦ δεκάτου ἕκτου, οὐδὲ τούτου ὁλοσχεροῦς. Λέξει δὲ κέχρηται ὁ Τάκιτος οὐχ ὁμοίᾳ ἐν πάσαις ταῖς συγγραφαῖς, ὅμως δ' εὐτόνῳ πανταχοῦ καὶ σεμνῇ, τοῦ ὀγκώδους ὁμοίως καὶ τοῦ εὐτελοῦς ἀφεστώσῃ. Τὸ μὲν γὰρ περὶ ῥητόρων (de oratoribus) βιβλίον, ἅτε κομιδῇ νέῳ αὐτῷ συντεταγμένον, νεανικώτερον κεκαλλώπισται καὶ συνωνύμοις πεπύκασται· ἐν δὲ ταῖς ἱστορικαῖς συγγραφαῖς πάνυ σεμνὴ ἡ λέξις ἐστὶ καὶ ἀκόμψευτος, τοῦ ἤθους αὐτοῦ τὸ σπουδαῖον ἐμφαίνουσα· ἔστι δ' οὖ καὶ ἰδιόρρυθμος καὶ καινοπρεπής, τοῦ συνήθους ἐκβεβηκυῖα καὶ ποιήσεως φαντασίαν παρέχουσα. Τοιαύτη δὲ μάλιστα φαίνεται ἐν τοῖς Χρονικοῖς, ὃ δὴ κάλλιςον δοκεῖ τῶν αὐτοῦ συγγραμμάτων καὶ τελειότατον. Βραχυλογίαν δ' ἐπιτηδεύων ἄνευ τοῦ ἀσαφοῦς εἰς ἓν ῥῆμα πολλάκις πρότασιν ὅλην συνάγει, καὶ πολὺν νοῦν ὀλίγοις ῥήμασιν ἐντιθεὶς πυκνὸν καὶ ἐμβριθῆ κατασκευάζει τὸν λόγον. Σώφρων δὲ μάλιστα δείκνυται περὶ τὴν τῶν σχημάτων καὶ τρόπων χρῆσιν καὶ δεινὸς βραχεῖς λόγους καὶ μονοκώλους τῷ ἐμπεριόδῳ ἐνσπεῖραι καὶ ποικῖλαι τὴν φράσιν. Τῶν δὲ νεωτέρων διττόν τινα τρόπον τοῦ ἱστορίαν συγγράφειν διαστελλόντων, ὧν ὁ μὲν πραγματολογικὸς ἂν ἡμῖν καλοῖτο, αὐτὰ τὰ πράγματα πάσης παρὰ τοῦ ἱστοροῦντος κρίσεως καθαρὰ ἐκτιθέμενος, ὁ δὲ δογματικός, κρίσεις τινὰς τοῦ συγγράφοντος περὶ τῶν ἱστορουμένων προσώπων καὶ πραγμάτων ἐγκαταμιγνὺς τῇ συντάξει, τοῦτον μάλιστα ὁ Τάκιτος φαίνεται ἀσπαζόμενος. Γνωμολογεῖ γὰρ πολλαχοῦ καὶ ἀποφθέγγεται, καὶ

ψυχολογικὰς θεωρίας ταῖς ἱστορουμέναις πράξεσι καὶ κρίσεις ἰδίας παρασυνάπτει· καὶ τὸ μὲν εὐθὺ καὶ εἰλικρινὲς τοῦ ἤθους καὶ τὸ ἀνεξάρτητον καὶ φιλελεύθερον τῆς προαιρέσεως ἐπαινεῖ, τὸ δὲ πανοῦργον καὶ ὑποκριτικὸν καὶ τὸ δουλόφρον καὶ κολακευτικὸν ψέγει καὶ πικρῶς καταμέμφεται. Δῆλος οὖν ἐστιν ἀρετῆς ἐπαίνῳ καὶ ψόγῳ κακίας τοὺς ἐπιγιγνομένους παιδεύειν βουλόμενος· ὃ δὴ κυριώτατος, ἐμοὶ δοκεῖν, καὶ κάλλιστος τῆς Ἱστορίας ἐστὶ σκοπός.

Ἐκ πάντων τῶν τοῦ Τακίτου συγγραμμάτων τὸ περὶ Γερμανίας εἰς τὴν ἑλληνίδα φωνὴν μεθερμηνεῦσαι προῄρημαι· τὸ μὲν θαυμάζων τὸ γένος καὶ τὰς ἐκ παλαιοῦ αὐτοῦ ἀγάμενος ἀρετάς, τὸ δὲ τοῖς σοφοῖς ἐκείνοις ἀνδράσιν εὐγνωμονῶν, οἷς διδασκάλοις εἰς λόγους καὶ ἐπιστήμην ἐχρησάμην ἐν Γερμανίᾳ, καὶ ὧν φιλάνθρωπα οὐκ ὀλίγα αὐτός τε ἀπήλαυσα καὶ πολλοὺς τῶν ὁμογενῶν ἀπολαύσαντας οἶδα. Ἀλλὰ καὶ τοῖς Ἕλλησι δῶρον τοῦτο οὐκ ἄχαρι προσάξειν ᾠήθην· πολλοῦ γὰρ ἄξιον λόγου παρὰ τοῖς σοφοῖς κέκριται τὸ βιβλίον, εἰς ὃ οἱ τὰ τῶν Γερμανῶν ἀρχαιολογοῦντες ὡς εἰς πηγὴν καθαρὰν ἀνατρέχουσιν, ὥσπερ οἱ τὰ τῶν Γάλλων εἰς τὰ τοῦ Καίσαρος ἀπομνημονεύματα. Ὀρθῶς δὲ ὁ Μοντεσκιεὺς (Esprit des lois L. XXX. 2) ἀποφαίνεται, ὅτι τῶν κατὰ τὸ μέσον τῆς Ἱστορίας αἰῶνα νόμων τε καὶ ἐθίμων τῶν Γάλλων καὶ Γερμανῶν αἱ πρῶται ἀρχαὶ καὶ καταβολαὶ ἐν τοῖς τοῦ Καίσαρος ἀπομνημονεύμασι καὶ τῷ περὶ Γερμανίας βιβλίῳ τοῦ Τακίτου εὑρίσκονται. Προστέθεικα δὲ τῇ μεθερμηνείᾳ καὶ σημειώσεις, τὰς πλείστας ἐθνολογικάς, ἃς ἐκ τῆς ἀρχαίας τοῦ Φορβιγέρου Γεωγραφίας καὶ τῆς τοῦ Ῥουπέρτου ἐκδόσεως ἠρυσάμην.

Π. ΚΟΡΝΗΛΙΟΥ ΤΑΚΙΤΟΥ

ΒΙΒΛΙΟΝ

ΠΕΡΙ ΘΕΣΕΩΣ, ΗΘΩΝ ΚΑΙ ΛΑΩΝ ΤΗΣ ΓΕΡΜΑΝΙΑΣ.

ΚΕΦΑΛΑΙΟΝ Α΄.

Πασα ἡ Γερμανία[1]) τῶν μὲν Γάλλων καὶ Ῥαιτῶν καὶ Παννόνων τοῖς ποταμοῖς Ῥήνῳ καὶ Δανουβίῳ διώρισται, τῶν δὲ Σαρματῶν καὶ Δάκων δέει τῷ ἀλλήλων ἢ ὄρεσι[2])· τὰ δ' ἄλλα ὠκεανὸς περικλύζει, κόλπους εὐρεῖς καὶ νήσους ὑπερμεγέθεις περιλαμβάνων[3]), ἔνθα δὴ ἔθνη τινὰ καὶ βασιλεῖς ἀρτίως ἡμῖν ὁ πόλεμος ἀνακαλύψας ἐγνώρισεν. Ὁ μὲν οὖν Ῥῆνος ἐξ ἀπροσβάτου καὶ ἀποκρήμνου τινὸς κορυφῆς τῶν Ῥαιτικῶν Ἄλπεων[5]) πηγάζων, μικρὸν πρὸς δυσμὰς ἀποκάμψας[6]) εἰς τὸν βόρειον ἐκβάλλει ὠκεανόν. Ὁ δὲ Δανούβιος δειράδος τινὸς τοῦ Ἀβνοβαίου ὄρους[7]) ἐξαναβλύζων εὐβάτου καὶ ἠρέμα ἀνατρεχούσης, πολλοὺς τῷ ῥείθρῳ λαοὺς ἐπελθὼν[8]), τέλος ἐς πόντον ἓξ στόμασιν ἐξερεύγεται· ὁ γὰρ ἕβδομος ὀχετὸς καταδύεται εἰς τενάγη.

Β΄.

Αὐτοὺς δὲ τοὺς Γερμανοὺς[1]) αὐθιγενεῖς φαίην ἂν εἶναι ἐλάχιστά τε πάντων ἐποίκοις καὶ ἐπήλυσιν ἐξ ἐθνῶν ἄλλων μεμίχθαι[2]). Οὔτε γὰρ πεζῇ πάλαι, ναυσὶ δὲ μᾶλλον ἀεὶ οἱ βουλόμενοι μετανίστασθαι ἐκομίζοντο, ὅτε ἔξω ἀμέτρητος

P. CORNELII TACITI

LIBELLUS

DE SITU, MORIBUS ET POPULIS GERMANIAE.

CAPUT I.

Germania omnis[1]) a Gallis Rætisque et Pannoniis Rheno et Danubio fluminibus, a Sarmatis Dacisque mutuo metu aut montibus[2]) separatur. Cetera Oceanus ambit, latos sinus et insularum immensa spatia complectens[3]), nuper cognitis quibusdam gentibus ac regibus, quos bellum aperuit[4]). Rhenus, Ræticarum Alpium[5]) inaccesso ac præcipiti vertice ortus, modico flexu in Occidentem versus[6]) septentrionali Oceano miscetur. Danubius molli et clementer edito montis Abnobæ[7]) jugo effusus, plures populos adit[8]), donec in Ponticum mare sex meatibus erumpat; septimum enim os paludibus hauritur.

II.

Ipsos Germanos[1]) indigenas crediderim minimeque aliarum gentium adventibus et hospitiis mixtos[2]), quia nec terra olim, sed classibus advehebantur, qui mutare sedes quærebant, et immensus ultra, utque sic dixerim adversus[3]) Oceanus raris ab orbe nostro navibus aditur.

καὶ ὡς εἰπεῖν, ἀντίῤῥους[3]) ὠκεανὸς τοῖς παρ' ἡμῶν πλοίοις σπανιώτατα διαπλεῖται. Καὶ χωρὶς δὲ τῶν ἐκ θαλάττης οὕτω φοβερᾶς καὶ ἀγνώστου κινδύνων, τίς ποτ' ἂν τὴν Ἀσίαν, ἢ τὴν Ἀφρικήν, ἢ τὴν Ἰταλίαν καταλιπών, τὴν Γερμανίαν οἰκήσων ἔλθοι, φαύλην μὲν γῆν, οὐρανὸν δὲ τραχὺν ἔχουσαν, ἀχάριστον δὲ τὴν γεωργίαν καὶ ἀτερπῆ τὴν ὄψιν, πλὴν εἰ μὴ πατρὶς εἴη; Φέρεται δ' ἐν ἀρχαίαις ᾠδαῖς, ὃ δὴ μόνον παρ' αὐτοῖς ἱστορίας καὶ ὥρων γένος ἐστί, Τυΐσκωνα θεόν,[4]) γῆς ἔκγονον, καὶ Μάννον τὸν τούτου υἱόν, γενάρχας αὐτοῖς καὶ καταβολεῖς τοῦ φύλου γενέσθαι. Ἀπαριθμοῦσι δὲ τῷ Μάννῳ υἱοὺς τρεῖς, ἀφ' ὧν οἱ τῷ Ὠκεανῷ προσοικοῦντες Ἰγγουΐωνες, οἱ δ' ἐν μέσῳ Ἑρμίωνες, οἱ δ' ἄλλοι Ἰστουΐωνες ἐπωνυμίαν ἔσχον[5]). Εἰσὶ δ' οἳ ἀδείᾳ, ὥσπερ ἔθος, τῇ περὶ τὰ ἀρχαῖα χρώμενοι πλείους μὲν τῷ θεῷ φῦναι υἱούς, πλείους δὲ τοῦ γένους προσηγορίας γενέσθαι διϊσχυρίζονται· Μάρσους, Γαμαβριουΐους, Σουήβους, Οὐανδήλους, καὶ ταῦτ' ἀληθῆ καὶ ἀρχαῖα εἶναι ὀνόματα[6]). Τὸ δ' ὄνομα Γερμανία καινουργὲς εἶναί φασι καὶ ἔναγχος προστεθεῖσθαι· τοὺς γὰρ πρώτους περαιωσαμένους τὸν Ῥῆνον καὶ τοὺς Γάλλους ἐξοικίσαντας νῦν μὲν Τούγγρους, τότε δὲ Γερμανοὺς ἀποκληθῆναι[7]). Οὕτω δὴ τοὔνομα τοῦ ἔθνους, οὐ τὸ τοῦ ὅλου γένους, κατὰ μικρὸν ἐκνικῆσαι· ὥστε πρῶτον μὲν παρὰ τοῖς ἀλλογενέσιν ἀπὸ τῶν νικητῶν διὰ δέος, αὐτίκα δ' ἔπειτα καὶ παρ' ἑαυτοῖς τὸ ἐξευρημένον ὄνομα Γερμανοὺς πάντας ὀνομασθῆναι[8]).

Γ'.

Μνημονεύεται δὲ καὶ Ἡρακλῆς τις γενόμενος παρ' αὐτοῖς[1]), ᾧ πρώτῳ πάντων τῶν ἀλκίμων ἀνδρῶν εἰς μάχην ἰόντες παιᾶνας ᾄδουσιν. Εἰσὶ γὰρ αὐτοῖς καὶ μέλη τοιαῦτα[2]), ὧν τῷ ἤχῳ βαρίτῳ[3]) ὑπ' αὐτῶν καλουμένῳ τὰς ψυχὰς πρὸς ἀλκὴν ἐκθερμαίνουσι καὶ τῆς ἐπομένης μάχης τὴν τύχην αὐτῇ τεκμαίρονται τῇ ᾠδῇ· φοβοῦσι γὰρ ἢ φοβοῦνται

Quis porro, præter periculum horridi ed ignoti maris, Asia aut Africa aut Italia relicta, Germaniam peteret, informem terris, asperam cœlo, tristem cultu aspectuque, nisi si patria sit? Celebrant carminibus antiquis, quod unum apud illos memoriæ et annalium genus est, Tuisconem deum Terra editum, et filium Mannum, originem gentis conditoresque. Manno tres filios assignant, e quorum nominibus proximi Oceano Ingævones, medii Hermiones, ceteri Istævones vocentur[5]. Quidam autem, licentia vetustatis, plures deo ortos pluresque gentis appellationnes, Marsos, Gambrivios, Suevos, Vandalos affirmant, eaque vera et antiqua nomina[6]. Ceterum Germaniae vocabulum recens et nuper additum, quoniam, qui primi Rhenum transgressi Gallos expulerint, ut num Tungri, tunc Germani vocati sint[7]. Ita nationis nomen, non gentis, evaluisse paulatim, ut omnes primum a victore ob metum, mox a se ipsis, invento nomine Germani vocarentur[8].

III.

Fuisse apud eos et Herculem memorant, primumque omnium virorum fortium ituri in proelia canunt. Sunt illis hæc quoque carmina, quorum relatu, quem baritum vocant, accendunt animos, futuræque pugnæ fortunam ipso cantu augurantur. Terrent enim trepidantve, prout sonuit acies; nec tam voces illæ, quam vir-

κατὰ τὴν τῆς στρατιᾶς ἀεὶ γενομένην βοήν· οὐδὲ φωνὴ μᾶλλον ἐκείνη, ἢ ἀρετῆς[4]) συνήχησις καὶ συναυλία νομίζεται. Ἐπιτηδεύεται δὲ μάλιστα τραχύς τις ἦχος καὶ ἀνάκλαστος θροῦς, τῶν ἀσπίδων προσαγομένων τῷ στόματι, ἵν' ἡ φωνὴ πυκνοτέρα καὶ βαρυτέρα γίγνηται τῇ ἀντιτυπίᾳ. Καὶ Ὀδυσσέα δέ τινες[5]) οἴονται κατὰ τὴν μακρὰν ἐκείνην καὶ μυθώδη πλάνην εἰς τὸν Ὠκεανὸν τοῦτον[6]) παρεξενεχθέντα εἰς τὴν τῆς Γερμανίας χώραν προσχεῖν, καὶ Ἀσκιπύργιον[7]), ἄχρι τοῦ νῦν ἐπὶ ταῖς ὄχθαις τοῦ Ῥήνου οἰκούμενον, ὑπ' ἐκείνου κτισθῆναί τε καὶ κληθῆναι. Ἔτι δὲ καὶ βωμὸν ὑπ' Ὀδυσσέως[8]) καθιερωμένον, ᾧ τοῦ πατρὸς Λαέρτου τοὔνομα προσγέγραπται, ἐν τῷ αὐτῷ ποτε τόπῳ ἀνευρεθέντα, καὶ ἄλλα δέ τινα μνημεῖα καὶ τάφους ἑλληνικὰ φέροντα γράμματα[9]) ἐπὶ τοῖς τῆς Γερμανίας καὶ Ῥαιτίας ὁρίοις εἰς ἡμᾶς διαμένειν· ἅ γε οὔτ' ἀποδείξεσι βεβαιῶσαι, οὔτε μὴν ἀπελέγξαι βούλομαι· ἕκαστος δ' ἐκ τῆς ἑαυτοῦ διανοίας πιστευέτω ἢ ἀπιστείτω.

Δ'.

Αὐτὸς ἐκείνων τῇ γνώμῃ προστίθεμαι, οἳ τοὺς τῆς Γερμανίας λαοὺς ταῖς πρὸς ἕτερα γένη ἐπιγαμίαις ἥκιστα νενοθεῦσθαι, αὐτοφυὲς δὲ καὶ ἄκρατον καὶ πάνθ' ἑαυτῷ ὅμοιον πεφυκέναι γένος ἡγοῦνται. Ὅθεν καὶ ἡ τῶν σωμάτων ἕξις, καί περ τοσούτοις οὖσι τὸν ἀριθμόν, ἡ αὐτὴ πᾶσιν· ὀφθαλμοὶ χαροποὶ καὶ γλαυκοί, κόμη πυῤῥά, σώματα εὐμήκη καὶ εἰς ἔφοδον μόνον εὔτονα,[1]) πρὸς δὲ πόνους καὶ ἔργα οὐ καρτερικὰ τὰ αὐτά. Δίψαν δὲ καὶ θάλπος ἥκιστα πεφυκότες φέρειν, ψύχει καὶ ἀσιτίᾳ ὑπὸ τοῦ οὐρανοῦ ἢ τῆς χώρας ἐνειθισμένοι εἰσί[2]),

Ε'.

Ἡ δὲ χώρα, εἴπου καὶ διαλλάττει τῇ ὄψει, καθόλου γεμὴν ἢ ὕλαις πέφρικεν,[1]) ἢ ἕλεσι διείληπται, ὑγροτέρα μὲν πρὸς Γαλλίαν, ἀνεμωδεστέρα δὲ πρὸς Νωρικὸν οὖσα καὶ Παννο-

tutis[4]) concentus videtur. Affectatur, præcipue asperitas soni ét fractum murmur, objectis ad os scutis, quo plenior et gravior vox repercussu intumescat. Ceterum et Ulixem quidam opinantur, longo illo et fabuloso errore in hunc Oceanum delatum, adisse Germaniæ terras, Asciburgiumque, quod in ripa Rheni situm hodieque incolitur, ab illo constitutum nominatumque 'Ασκιπύργιον; aram quin etiam Ulixi consecratam, adiecto Laertæ patris nomine, eodem loco olim repertam, monumentaque et tumulos quosdam, Græcis literis inscriptos, in confinio Germaniæ Rætiæque adhuc exstare, quæ neque confirmare argumentis, neque refellere in animo est: ex ingenio suo quisque demat vel addat fidem.

IV.

Ipse eorum opinionibus accedo, qui Germaniæ populos nullis aliarum nationum connubiis infectos, propriam et sinceram et tantum sui similem gentem exstitisse arbitrantur. Unde habitus quoque corporum, quamquam in tanto hominum numero, idem omnibus, truces et cærulei oculi, rutilæ comæ, magna corpora et tantum ad impetum valida. Laboris atque operum non eadem patientia: minimeque sitim æstumque tolerare, frigora atque inediam cœlo solove assueverunt.

V.

Terra, etsi aliquanto specie differt, in universum tamen aut silvis horrida, aut paludibus fœda: humidior qua Callias, ventosior qua Noricum ac Panoniam aspi-

νίαν. Σιτηρῶν μὲν εὔφορος,[2]) δένδρων δὲ καρπίμων οὐ δεκτική, βοσκημάτων πλουσία, ἀλλὰ τῶν πλείστων μικροφυῶν. Οὐδὲ τοῖς βουκολίοις τὸ εὐτραφὲς καὶ ὁ τοῦ μετώπου πρόσεστι κόσμος· ἀριθμῷ μᾶλλον χαίρουσι· καὶ οὗτος αὐτοῖς μόνος καὶ ἥδιστος πλοῦτός ἐστι. Χρυσὸν δὲ καὶ ἄργυρον οὐκ οἶδ' εἰ ἵλεῳ αὐτοῖς οἱ θεοὶ μᾶλλον ἢ χαλεπαίνοντες ἀπηνήναντο. Ὅμως δ' οὐκ ἂν ἔγωγ' ἰσχυρισαίμην μηδεμίαν τῆς γερμανικῆς χώρας διαφυὴν χρυσὸν φέρειν ἢ ἄργυρον· τίς γὰρ αὐτὴν διηρεύνησε; Περὶ δὲ κτῆσιν καὶ χρῆσιν αὐτῶν οὐχ ὁμοίως ἡμῖν ἐπτόηνται. Ἔστι γὰρ ὁρᾶν παρ' ἐκείνοις ἀργυρᾶ σκεύη, ἃ τοῖς πρέσβεσιν αὐτῶν ἐδωρήθη καὶ ἡγεμόσιν, εἰς οὕτως εὐτελῆ ἥκοντα χρείαν, ὥσπερ τὰ ἐκ πηλοῦ πλαστουργούμενα· καίτοι γ' οἱ ἐγγὺς ἡμῶν οἰκοῦντες τὸν χρυσὸν καὶ τὸν ἄργυρον ἐν τιμῇ διὰ τὴν ἐμπορίαν ἔχουσι καί τινας τῶν παρ' ἡμῖν νομισμάτων τύπους γιγνώσκουσί τε καὶ ἐκλέγονται· οἱ δὲ τὰ ἐνδότερα τῆς χώρας νεμόμενοι, ἁπλοϊκωτέροις καὶ ἀρχαϊκωτέροις ἤθεσι χρώμενοι, τὰ ἀγώγιμα διαμείβουσι. Νόμισμα δ' ἀποδέχονται τὸ παλαιὸν κἀκ πολλοῦ σφισι γνώριμον, τὸ πριονωτὸν καὶ ἐνάρματον· καὶ τὸν ἄργυρον μᾶλλον ἢ τὸν χρυσὸν διώκουσιν, οὐ περιπαθείᾳ τινὶ τῆς ψυχῆς, ἀλλ' ὅτι εὐχερεστέρα τῶν ἀργυρῶν νομισμάτων ἡ χρῆσις τοῖς σύμμικτα καὶ εὐτελῆ ἐμπολῶσιν.

ς'.

Οὐκ εὐποροῦσι δ' οὐδὲ σιδήρου, ὡς ἔστιν ἐκ τοῦ τῶν ὅπλων[1]) εἴδους εἰκάσαι· πάνυ γὰρ ὀλίγοι ξίφεσι χρῶνται ἢ λόγχαις μείζοσιν, ἀλλὰ διβολίας τινάς, φραμέας[2]) τῇ αὐτῶν φωνῇ καλουμένας, στενῷ καὶ βραχεῖ σιδήρῳ ἐστομωμένας διὰ χειρὸς ἔχουσιν. Οὕτω δ' ὀξεῖς καὶ εἰς χρῆσίν εἰσι δεξιοί, ὥστε τῷ αὐτῷ ὅπλῳ κατὰ τὴν ἀεὶ χρείαν ἔκ τε τοῦ σύνεγγυς καὶ πόρρωθεν μάχονται. Καὶ ὁ ἱππεὺς δὲ ἱκανῶς ἀσπίδι καὶ δορατίῳ ἐσκεύασται· οἱ δὲ πεζοὶ καὶ βέλη ἀφιᾶσι πλείω εἷς ἕκαστος, καὶ πορρωτάτω ἐξακοντίζουσι γυ-

cit; satis ferax, frugiferarum arborum impatiens, pecorum fecunda, sed plerumque improcera. Ne armentis quidem suus honor aut gloria frontis: numerò gaudent; eæque solæ et gratissimæ opes sunt. Argentum et aurum propitii an irati dii negaverint, dubito. Nec tamen affirmaverim nullam Germaniæ venam argentum aurumve gignere. Quis enim scrutatus est? Possessione et usu haud perinde afficiuntur. Est videre apud illos argentea vasa, legatis et principibus eorum muneri data, non in alia vilitate, quam quæ humo finguntur; quamquam proximi ob usum commerciorum aurum et argentum in pretio habent formasque quasdam nostræ pecuniæ agnoscunt atque eligunt: interiores simplicius et antiquius permutàtione mercium utuntur. Pecuniam probant veterem et diu notam, serratos bigatosque. Argentum quoque magis quam aurum sequuntur, nulla affectione animi, sed quia numerus argenteorum facilior usui est promiscua ac vilia mercantibus.

VI.

Ne ferrum quidem superest, sicut ex genere telorum colligitur. Rari gladiis aut majoribus lanceis utuntur. Hastas, vel ipsorum vocabulo *frameas* gerunt angusto et brevi ferro, sed ita acri et ad usum habili, ut eodem telo, prout ratio poscit, vel cominus vel eminus pugnent. Et eques quidem scuto frameaque contentus est: pedites et missilia spargunt, plura singuli, atque in immensum vibrant, nudi aut sagulo leves. Nulla cultus jactatio: scuta tantum lectissimis coloribus distinguunt.

μνοί, ἢ κοῦφον ἐπιπορπώμενοι σάγον. Οὐδεμία κόσμου ἐπίδειξις· μόνας τὰς ἀσπίδας ἐκπρεπέσι χρώμασι διανθίζουσιν. Ὀλίγοι θωρακοφοροῦσιν, ὀλίγιστοι δὲ κράνεσι καὶ κυναῖς6) ἐσκευασμένοι εἰσίν. Οἱ δ' ἵπποι αὐτοῖς οὔτε εἴδει οὔτε ποδωκείᾳ διαφέρουσιν7)· ἀλλ' οὐδὲ συχνὰς περιαγωγάς, ὡς ἡμῖν ἔθος, ποιεῖσθαι διδάσκονται· ἐπ' εὐθείας δὲ ἢ καμπῇ μιᾷ ἄγουσιν ἐπὶ δεξιά, οὕτω κυκλούμενοι, ὥστε μηδένα ὕστερον λείπεσθαι8).

Καθόλου μὲν κρίνοντι τὸ πεζὸν αὐτῶν ἐπικρατέστερον, καὶ τούτῳ ἀναμεμιγμένοι ἱππομαχοῦσιν,9) ἐπιτηδείας οὔσης πρὸς ἱππομαχίαν τῆς τῶν πεζῶν ποδωκείας, οὓς ἐξ ἁπάντων τῶν νέων ἐπιλεξάμενοι προτάττειν εἰώθασι τῆς παρεμβολῆς. Ὥρισται δὲ καὶ ὁ ἀριθμός· ἑκατὸν γὰρ ἐξ ἑκάστου δήμου παραγίγνονται καὶ τοῦτ' αὐτὸ ἑκατονταδῖται10) πρὸς τῶν οἰκείων ἀκούουσιν, ὅ πρὶν ἀριθμὸν ἐδήλου, τούτου νῦν εἰς ἐπωνυμίαν καὶ τιμὴν μετενηνεγμένου. Συντάττεται δ' ἡ παρεμβολὴ κατ' ἐμβόλους· ὑποχωρῆσαι δ' ἐν μάχῃ, εἴ τίς γε μέλλοι μεταβαλὼν αὖθις ἐγκείσεσθαι, εὐβουλίας οὐ δειλίας δεῖγμα ποιοῦνται. Τοὺς ἑαυτῶν νεκρούς, καὶ ἀκρίτου ἔτι τῆς μάχης οὔσης, ἀναιροῦνται. Τὴν δ' ἀσπίδα καταλιπεῖν αἴσχιστον αὐτοῖς δοκεῖ, οὐδὲ θέμις τῷ ἀτίμῳ ἢ ἱεροῖς παρεῖναι, ἢ εἰς σύνοδον παριέναι· πολλοὶ δὲ τῆς μάχης περιγενόμενοι ἀγχόνῃ τὴν ἀτιμίαν κατέλυσαν.

Ζ'.

Τοὺς μὲν βασιλεῖς ἀπὸ γένους, τοὺς δὲ στρατηγοὺς ἀπ' ἀρετῆς αἱροῦνται. Οὔτε δ' οἱ βασιλεῖς ἀορίστῳ καὶ ἀπολύτῳ τῇ ἀρχῇ χρῶνται, καὶ οἱ στρατηγοὶ παραδείγματι μᾶλλον ἢ δυνάμει, εἰ ὀξεῖς εἰσιν, εἰ περίβλεπτοι, εἰ τῆς τάξεως προάγουσι, θαυμαζόμενοι ἄρχουσιν. Ἄλλως δὲ οὔτε κολάζειν, οὔτε δεῖν, οὔτε μαστιγοῦν τινα ἔξεστι πλὴν εἰ μὴ τοῖς ἱερεῦσι· καὶ τοῦτο οὐ τιμωρίας λόγῳ, οὔτε κελεύσματι ἄρχοντος, ἀλλ' ὥσπερ προστάττοντος τοῦ θεοῦ, ὃν τοῖς πολε-

Paucis loricæ: vix uni alterive cassis aut galea. Equi non forma, non velocitate conspicui· sed nec variare gyros in morem nostrum docentur: in rectum aut uno flexu dextros agunt, ita coniuncto orbe, ut nemo posterior sit.

In universum æstimanti plus penes peditem roboris; eoque mixti prœliantur, apta et congruente ad equestrem pugnam velocitate peditum, quos ex omni iuventute delectos ante aciem locant. Definitur et numerus: centeni ex singulis pagis sunt, idque ipsum inter suos vocantur, et quod primo numerus fuit, iam nomen et honor est. Acies per cuneos componitur. Cedere loco, dummodo rursus instes, consilii quam formidinis arbitrantur. Corpora suorum etiam in dubiis præliis referunt. Scutum reliquisse, præcipuum flagitium, nec aut sacris adesse aut concilium inire ignominioso fas; multique superstites bellorum infamiam laqueo finierunt.

VII.

Reges ex nobilitate, Duces ex virtute sumunt. Nec Regibus infinita aut libera potestas; et Duces exemplo potius, quam imperio, si prompti, si conspicui, si ante aciem agant, admiratione præsunt. Ceterum neque animadvertere, neque vincire, ne verberare quidem, nisi Sacerdotibus permissum: non quasi in pœnam, nec Ducis iussu, sed velut Deo imperante, quem adesse bellantibus credunt; effigiesque et signa quædam, detracta

μοῦσι παρεῖναι πιστεύουσιν. Εἰκόνας δὲ καὶ σημεῖά τινα[2]) τῶν ἀλσῶν ἐκκομίζοντες φέρουσιν εἰς τὴν μάχην. Ὃ δὲ πρὸς ἀλκὴν μάλιστα διεγείρει, οὐ γὰρ τύχη, οὔτ' αὐτόματος ἀνδρῶν συναθροισμὸς συνέστησεν ἴλην ἢ ἔμβολον, ἀλλ' οἶκοι καὶ συγγένειαι. Τὰ τῆς καρτερίας ἐχέγγυα κεῖται αὐτοῖς ἐγγύς, ὅθεν τῶν γαμετῶν ὁ ὀλολυγμὸς καὶ ὁ κλαυθμυρισμὸς τῶν νηπίων ἀκούεται. Οὗτοι ἑκάστῳ αἰδοιότατοι μάρτυρες, οὗτοι μέγιστοι ἐπαινέται. Πρὸς τὰς μητέρας, πρὸς τὰς συζύγους τὰ τραύματα φέρουσιν· ἐκεῖναι δ' οὔτ' ἀριθμεῖν οὔτε διασκοπεῖν τὰς πληγὰς καὶ θεραπεύειν ὀκνοῦσι· σιτία δὲ καὶ παρορμήματα τοῖς μαχομένοις παρέχουσι[3]).

Η'.

Μνημονεύεται παρατάξεις τινὰς ἐγκλινάσας ἤδη καὶ σφαλλομένας ἀποκατασταθῆναι πάλιν ὑπὸ τῶν γυναικῶν ἐγκειμένων ταῖς παρακλήσεσι, τὰ στήθη προβαλλομένων καὶ ἐγγὺς δεικνυσῶν τὴν αἰχμαλωσίαν, ἣν πολλῷ δυσφορωτέραν ἐν τοῖς θηλυγενέσι τῶν οἰκείων ἡγοῦνται[1])· ὥστε πιστοτέρας παραμένειν τὰς τῶν πόλεων διανοίας, αἷς καὶ παρθένους εὐγενεῖς ἐν τοῖς ὁμήροις παρασχεῖν προσταχθείη. Ἔτι δὲ καὶ θεῖόν τι αὐταῖς καὶ προνοητικὸν ἐνυπάρχειν οἴονται· διὸ οὔτε τὰ βουλεύματα αὐτῶν ἐκφαυλίζουσιν, οὔτε τὰς προφητικὰς ἀποκρίσεις ἐν ἀλογίᾳ ποιοῦνται. Εἴδομεν οὖν ἐπὶ θεοῦ Οὐεσπασιανοῦ Οὐελήδαν ὑπὸ πολλῶν καὶ ἐπὶ μακρὸν χρόνον ἐν μοίρᾳ ἀγομένην θεοῦ· ἀλλὰ καὶ πάλαι τὴν Αὐρινίαν καὶ ἄλλας οὐκ ὀλίγας ἐσέβοντο οὐ δήτινι κολακείᾳ, οὐδ' ὥσπερ ἀποθεοῦντες αὐτάς.

Θ'.

Θεῶν πάντων τὸν Ἑρμῆν[1]) μάλιστα θεραπεύουσιν, ᾧ ἐν ἡμέραις τακταῖς καὶ ἀνθρωποθυτεῖν[2]) θεμιτὸν ἡγοῦνται. Ἡρακλέα δὲ καὶ Ἄρην ἱερείοις οὐκ ἀπειρημένοις ἱλάσκονται[3]). Μοῖρα δέ τις τῶν Σουήβων καὶ Ἴσιδι θύει. Ὅθεν δ' ἡ αἰτία τῆς ὀθνείας ταύτης ἱερουργίας καὶ ἀρχή, οὐχ ἱκα-

lucis, in prœlium ferunt Quodque præcipuum fortitudinis incitamentum est, non casus nec fortuita conglobatio turmam aut cuneum facit, sed familiæ et propinquitates. et in proximo pignora, unde feminarum ululatus audiri, unde vagitus infantium. hi cuique sanctissimi testes, hi maximi laudatores. ad matres, ad coniuges vulnera ferunt; nec illæ numerare, aut exigere plagas pavent. cibosque et hortamina pugnantibus gestant.

VIII.

Memoriæ proditur, quasdam acies, inclinatas iam et labantes, a feminis restitutas constantia precum et obiectu pectorum, et monstrata comminus captivitate, quam longe impatientius feminarum suarum nomine timent, adeo ut efficacius obligentur animi civitatum, quibus inter obsides puellæ quoque nobiles imperantur. Inesse quin etiam sanctum aliquid et providum putant: nec aut consilia earum aspernantur, aut responsa negligunt. Vidimus sub divo Vespasiano Veledam diu apud plerosque Numinis loco habitam. Sed et olim Auriniam et complures alias venerati sunt, non adulatione, nec tamquam facerent Deas.

IX.

Deorum maxime Mercurium colunt, cui certis diebus humanis quoque hostiis litare fas habent. Herculem ac Martem concessis animalibus placant: pars Suevorum et Isidi sacrificat. Unde causa et origo peregrino sacro, parum comperi, nisi quod signum ipsum, in modum li-

νῶς πέπυσμαι, πλὴν ὅτι αὐτὴ ἡ εἰκών, τρόπον νεὼς λιβυρνίδος πεποιημένη, διὰ θαλάσσης κεκομίσθαι ἐμφαίνει τὸ θρήσκευμα[4]). Ἄλλως δὲ τοίχοις περιλαμβάνεσθαι τοὺς θεούς, ἢ πρὸς ἀνθρωπείαν τινὰ ὄψιν εἰδοποιεῖσθαι, οὐ πρὸς τοῦ μεγαλείου τῶν οὐρανίων εἶναι ὑπολαμβάνουσιν. Ἄλση καὶ νέμη ἀφοσιοῦσι καὶ θεῶν ὀνόμασι τὸ ἀπρόσιτον ἐκεῖνο καλοῦσι καὶ ἄδυτον, ὃ νῷ μόνον ὁρῶντες σέβονται[6]).

I'.

Οἰωνῶν καὶ κλήρων, εἴπέρ τινες καὶ ἄλλοι, λόγον ποιοῦνται[1]). Τὸ δὲ τῶν κλήρων ἔθος ἁπλοῦν. Ῥάβδον γὰρ καρπίμου δένδρυυ ἀποτμηθεῖσαν καταμερίζουσιν εἰς σκυτάλια (κλήρους) καὶ ταῦτα σημείοις τισὶ διακρίναντες, ἐπ' ἐσθῆτος λευκῆς σκενδαννῦσιν εἰκῇ καὶ ὡς ἔτυχεν[2]). Εἶτα, εἰ μὲν δημοσίᾳ βουλεύονται, ὁ τῆς πόλεως ἱερεύς, εἰ δὲ ἰδίᾳ, αὐτὸς ὁ τοῦ οἴκου πατὴρ ἐπιθειάσας καὶ εἰς οὐρανὸν ἀναβλέπων τρὶς τῶν κλήρων ἀναιρεῖται, ἕνα ἑκάστοτε, καὶ τοὺς ἀνῃρημένους κατὰ τὸ προεγκεχαραγμένον σημεῖον διερμηνεύει. Εἰ μὲν οὖν τὸ πρᾶγμα ἀπείρηται, οὐδεμία ἔτι περὶ τοῦ αὐτοῦ ἐν τῇ αὐτῇ ἡμέρᾳ γίγνεται συμβουλία· εἰδ' ἐπιτέτραπται, προσδεῖται ἔτι καὶ τῆς ἀπὸ τῶν οἰωνισμάτων πίστεως. Τοῦτο μὲν δὴ κἀκεῖ γνωστόν, τὰς τῶν ὀρνίθων φθογγὰς καὶ πτήσεις ἐξερευνᾶν· ἴδιον δὲ τοῦ γένους καὶ ταῖς τῶν ἵππων προαισθήσεσι καὶ προσημασίαις χρῆσθαι. Δημοσίᾳ οὖν οὗτοι ἐν τοῖς αὐτοῖς νέμεσι καὶ ἄλσεσι τρέφονται κατάλευκοι καὶ ἀνθρωπείου ἄθικτοι ἔργου, οἷς ὅ,τε ἱερεὺς καὶ ὁ βασιλεύς, ἢ ὁ τῆς πόλεως προὔχων, τῷ ἱερῷ ὑπεζευγμένοις ἅρματι συνεπόμενοι τὸν χρόμαδον καὶ τὸ φρύαγμα σκοποῦσιν. Οὐδεμιᾷ δ' ἄλλῃ μαντείᾳ μᾶλλον ἢ ταύτῃ πιστεύουσιν, οὐχ ὅτι οἱ ἐκ τοῦ ὄχλου ἀλλ' οὐδ' οἱ δυνάμει προὔχοντες καὶ οἱ ἱερατεύοντες· ἑαυτοὺς μὲν γὰρ θεράποντας τῶν θεῶν, ἐκείνους δὲ συνίστορας αὐτοῖς ὑπολαμβάνουσι. Καὶ ἄλλη δέ τις αὐτοῖς ἐστι μαντικὴ ἔρευνα, ᾗ

burnæ figuratum docet advectam religionem. Ceterum nec cohibere parietibus Deos, neque in ullam humani oris speciem assimulare, ex magnitudine cœlestium arbitrantur. Iucos ac nemora consecrant, Deorumque nominibus appellant secretum illud, quod sola reverentia vident.

X.

Auspicia, sortesque, ut qui maxime, observant. Sortium consuetudo simplex· virgam, frugiferæ arbori decisam, in surculos amputant, eosque, notis quibusdam discretos, super candidam vestem temere ac fortuito spargunt. mox, si publice consulatur, Sacerdos civitatis, sin privatim, ipse pater familiæ, precatus Deos, cœlumque suspiciens, ter singulos tollit, sublatos secundum impressam ante notam, interpretatur. Si prohibuerunt, nulla de eadem re in eundem diem consultatio; sin permissum, auspiciorum adhuc fides exigitur. Et illud quidem etiam hic notum, avium voces volatusque interrogare: proprium gentis, equorum quoque præsagia ac monitus experiri. publice aluntur iisdem nemoribus ac lucis candidi, et nullo mortali opere contacti: quos pressos sacro curru Sacerdos, ac Rex, vel Princeps civitatis, comitantur, hinnitusque ac fremitus observant. Nec ulli auspicio maior fides, non solum apud plebem, sed apud proceres, apud Sacerdotes: se enim ministros Deorum, illos conscios putant. Est et alia observatio auspiciorum, qua gravium bellorum eventus explorant. Eius gentis, cum qua bellum est, captivum, quoquo modo interceptum, cum electo popularium suorum, patriis quemque armis, committunt· victoria huius vel illius pro præiudicio accipitur.

τῶν δεινῶν πολέμων τὰς ἀποβάσεις τεκμηριοῦνται· τοῦ γὰρ ἔθνους, ᾧ πολεμοῦσιν, ἄνδρα τινὰ τρόπῳ ᾡτινιοῦν ζωγρηθέντα καί τινα τῶν οἰκείων ἐπίλεκτον, κατὰ τὰ πάτρια ὡπλισμένον ἑκάτερον, ἀλλήλοις συμβάλλουσι, τὴν δὲ τοῦ ἑτέρου αὐτῶν νίκην οἷον πρόῤῥησιν τῆς τοῦ πολέμου ποιοῦνται κρίσεως.

ΙΑ'.

Περὶ μὲν τῶν μικρῶν οἱ προὔχοντες βουλεύονται, περὶ δὲ τῶν μεγάλων ἅπαντες· οὕτω γεμήν, ὥστε κἀκεῖνα, ὧν ἡ κρίσις παρὰ τοῖς πολλοῖς, ὑπὸ τῶν προὐχόντων προανακρίνεται[1]). Συνέρχονται δέ, εἰμή τι τυχαῖον καὶ αἰφνίδιον συμβαίη, ἡμέραις τακταῖς, τῆς σελήνης ἀρχομένης ἢ πλειρουμένης[2])· εἰς γὰρ τὸ πράσσειν αἰσιωτάτην ἡγοῦνται τὴν τοιαύτην ἀρχήν[3]). Οὐ λογίζονται δὲ τὸν τῶν ἡμερῶν, ὥσπερ ἡμεῖς, ἀλλὰ τὸν τῶν νυκτῶν ἀριθμόν. Οὕτω συντίθενται πρὸς ἀλλήλους, οὕτως ἀλλήλοις (τὴν χρημάτων ἀπότισιν) ἐπαγγέλλουσιν. Ἡ νὺξ ἔοικε τὴν ἡμέραν ἐφέλκεσθαι[4]). Ἐκ δὲ τῆς ἐλευθερίας ἄτοπόν τι συμβαίνει τόδε· οὐ γὰρ ἅμα πάντες, οὔθ' ὡς ἐτάχθησαν συνέρχονται, ἀλλὰ καὶ ἡ ἐπιοῦσα καὶ ἡ τρίτη τῇ τῶν συνιόντων βραδυτῆτι καταναλίσκεται· Ἐπὰν οὖν δόξῃ τῷ πλήθει, καθέζονται ἔνοπλοι[5]) καὶ σιγὴ διὰ τῶν ἱερέων ἐπιτάττεται, οἷς δὴ τότε καὶ τοῦ κολάζειν ἐξουσία δέδοται. Εἶθ' ὁ βασιλεύς, ἢ τῶν ἀρχόντων τις, ὡς ἔτυχεν ἕκαστος ἡλικίᾳ προφέρων, ἢ εὐγενείᾳ, ἢ τῇ ἀπὸ τῶν ὅπλων δόξῃ ἢ τῇ τοῦ λέγειν δεινότητι, ἀγορεύουσι, πεῖσαι μᾶλλον ἐξουσίαν ἔχοντες, ἢ τοῦ κελεύειν κύριοι ὄντες. Καὶ εἰ μὲν ἀπήρεσε τὸ εἰσήγημα, θορύβῳ ἀποδοκιμάζουσιν· εἰδ' ἤρεσε, τὰ δοράτια ἐπὶ τούτῳ συγκρούουσι· τιμιώτατος γὰρ παρ' αὐτοῖς καταινέσεως τρόπος τὸ ὅπλοις ἐπισημαίνεσθαι.

ΙΒ'.

Ἔξεστι δὲ καὶ κατηγορῆσαί τινος ἐν συνόδῳ καὶ εἰς ἀγῶνα περὶ ψυχῆς καταστῆσαι[1]). Αἱ δὲ κολάσεις πρὸς τὰ ἁμαρ-

XI.

De minoribus rebus Principes consultant; de maioribus omnes: ita tamen, ut ea quoque, quorum penes plebem arbitrium est, apud Principes pertractentur. Coeunt, nisi quid fortuitum et subitum inciderit, certis diebus, cum aut inchoatur luna, aut impletur; nam agendis rebus hoc auspicatissimum initium credunt. Nec dierum numerum, ut nos, sed noctium computant. Sic constituunt, sic condicunt· nox ducere diem videtur. Illud ex libertate vitium, quod non simul, nec ut iussi conveniunt, sed et alter ét tertius dies cunctatione coeuntium absumitur. Vt turbæ placuit, considunt armati. Silentium per Sacerdotes, quibus tum et coërcenti ius est, imperatur. Mox Rex, vel Princeps, prout ætas cuique, prout nobilitas, prout decus bellorum, prout facundia est, audiuntur, auctoritate suadendi magis, quam iubendi potestate. Si displicuit sententia, fremitu aspernantur; sin placuit, frameas concutiunt. Honoratissimum assensus genus est armis laudare.

XII.

Licet apud concilium accusare quoque et discrimen capitis intendere. Distinctio pœnarum ex delicto· pro-

τήματα τάττονται. Τοὺς μὲν γὰρ προδότας καὶ αὐτομόλους βρόχῳ ἀναρτῶσιν ἀπὸ τῶν δένδρων, τοὺς δὲ ἀνάνδρους καὶ ἀπολέμους καὶ ᾐσχυμμένους τὸ σῶμα ἐν τέλμασι καὶ λίμναις βυθίζουσι, γέῤῥα ἐπιῤῥιπτοῦντες[2]). Τὸ δ' ἀλλοῖον τῆς κολάσεως ἐμφαίνειν βούλεται, ὅτι τὰ μὲν κακουργήματα καταφανῆ εἶναι δεῖ κολαζόμενα, τὰ δ' αἰσχρὰ συγκαλύπτεσθαι. Ἀλλὰ καὶ τοῖς κουφοτέροις ἁμαρτήμασι σύμμετρος ἐπιτίθεται ἡ ζημία· ἵππων γὰρ καὶ βοσκημάτων ἀριθμῷ οἱ ἁλόντες ζημιοῦνται[3]). Καὶ μέρος μὲν τῆς ἐπιβολῆς τῷ βασιλεῖ ἢ τῷ κοινῷ, μέρος δὲ αὐτῷ τῷ ὑπὲρ οὗ ἡ δίκη ἢ τοῖς πρὸς γένους αὐτῷ ἐκτίννυται[4]). Ἐν ταῖς αὐταῖς συνόδοις ἐκλέγονται καὶ οἱ ἄρχοντες οἱ κατὰ δήμους καὶ κώμας τὰ δίκαια νέμοντες. Ἑκάστῳ δὲ τούτων ἑκατὸν ἄνδρες ἐκ τοῦ λαοῦ συνέπονται σύμβουλοί τε καὶ δυνάμεως πάροχοι.

ΙΓ'.

Οὐδὲν δ' οὔτε τῶν κοινῶν οὔτε τῶν ἰδίων χρηματίζουσι, πλὴν ἢ ἐν ὅπλοις. Οὐ μέντοι ἔθος ὁπλοφορεῖν, πρὶν ἂν τιν' ἡ πόλις χρῆσθαι ὅπλοις ἄξιον ὄντα γνῷ[1]). Τότε δ' ἐν αὐτῇ τῇ συνόδῳ τῶν ἀρχόντων τις, ἢ πατήρ, ἢ ἀγχιστεὺς ἀσπίδι καὶ διβολίᾳ τὸν νεανίσκον κοσμεῖ. Ταῦτ' αὐτοῖς τήβεννα[2]), αὕτη ἐστὶ πρώτη τοῖς νέοις τιμή· πρὸ τούτου δὲ τοῦ οἴκου μέρος, οὐ τῆς πόλεως εἶναι νομίζονται. Γένους δ' ἐπιφάνεια ἢ ἔργα πατέρων μεγάλα τὸ τοῦ ἄρχοντος ἀξίωμα καὶ νεανίσκοις ἔτι προμνηστεύεται τοῖς υἱέσιν. Οὗτοι δὲ τοῖς ἄλλοις ἑταίροις ἠνδρωμένοις ἤδη καὶ δεδοκισμασμένοις συνέπονται· οὐδ' αἰσχύνη ἐν τοῖς ἀκολούθοις αὐτοὺς τεταγμένους ὁρᾶσθαι[3]), ἀλλὰ καὶ βαθμοὶ ἐν τῇ ἀκολουθίᾳ εἰσίν, ἀπὸ γνώμης ἐκείνου κρινόμενοι, ᾧ δὴ ἕπονται. Ὥσπερ δὲ τοῖς ἀκολούθοις μεγάλη πρὸς ἀλλήλους γίγνεται ἅμιλλα, τίς τὰ πρῶτα παρὰ τῷ ἡγεμόνι φέρηται, οὕτω καὶ τοῖς ἡγεμόσι, τίς πλείστους τε καὶ κρατίστους κτήσηται ἀκολούθους[4])· τοῦτο γὰρ αὐτοῖς δόξα, τοῦτο δύναμις, μεγάλῳ

ditores el transfugas arboribus suspendunt: ignavos et imbclles et corpore infames cœno ac palude, iniecta insuper, crate, mergunt. Diversitas suppilicii illuc respicit, tamquam scelera ostendi oporteat, dum puniuntur, flagitia abscondi. Sed et levioribus delictis pro modo pœna: eqnorum pecorumque numero convicti multantur· pars multæ Regi, vel civitati, pars ipsi, qui vindicatur, vel propinquis eius exsolvitur. Eliguntur in iisdem conciliis et Principes, qui iura per pagos vicosquc reddunt. Centeni singulis ex plebe comites, consilium simul et auctoritas, assunt.

XIII.

Nihit autem neque publicæ neque privatæ rei nisi armati agunt. Sed arma sumere non ante cuiquam moris, quam civitas suffecturum probaverit. Tum in ipso concilio, vel Principum aliquis, vel pater, vel propinquus, scuto frameaque iuvenem ornant. haec apud illos toga, hic primus iuventæ honor: ante hoc domus pars vindetur, mox Reipublicæ. Insignis nobilitas, aut magna patrum merita, Principis dignationem etiam adolescentulis assignant: ceteris robustioribus ac iam pridcm probatis aggregantur; nec rubor, inter comites aspici. Gradus quin etiam et ipse comitatus habet, iudicio eius, quem sectantur: magnaque et comitum æmulatio, quibus primus apud Principem suum locus: et Principum, cui plurimi et acerrimi comites. Hæc dignitas, hæ vires, magno semper electorum iuvenum globo circumdari, in pace decus, in bello præsidium. Nec solum in sua gente cuique, sed apud finitimas quoque civitates id nomen,

ἀεὶ νέων λογάδων ὁμίλῳ περιστοιχίζεσθαι, ὃ κόσμος μὲν ἐν εἰρήνῃ, ἐν δὲ πολέμῳ φρουρά. Οὐ μόνον δ' ἐν τοῖς ὁμοφύλοις ἑκάστῳ, ἀλλὰ καὶ παρὰ τοῖς ὁμόροις δόξαν καὶ κλέος τοῦτο παρέχεται, εἴ τις ἀκολουθίᾳ ὅτι πλείστῃ τε καὶ κρατίστῃ προέχοι· πρεσβείαις τε γὰρ παρ' αὐτῶν πεμπομέναις τιμῶνται, καὶ δώροις κοσμοῦνται, καὶ πολέμους μόνῃ τῇ φήμῃ τὰ πολλὰ καταλύουσιν.

ΙΔ'.

Εἰ δ' ἐς μάχην ποτὲ παρατάξαιντο, αἰσχρὸν μὲν τῷ ἡγεμόνι ἀρετῇ ἡττώμενον φαίνεσθαι, αἰσχρὸν δὲ τοῖς ἀκολούθοις τῆς τοῦ ἡγεμόνος ἀρετῆς ἀπολείπεσθαι. Ἀλλὰ καὶ ἀτιμίαν διὰ παντὸς τοῦ βίου καὶ δυσφημίαν τίκτει, εἴς τις τῷ ἑαυτοῦ ἡγεμόνι ἐπίβιος τῆς μάχης ἀποχωρήσειεν. Ἐκείνου προμαχεῖν, ἐκεῖνον τηρεῖν καὶ εἰς τὴν ἐκείνου δόξαν τὰ ἑαυτοῦ ἕκαστον ἀναφέρειν ἀνδραγαθήματα ἱερώτατον αὐτοῖς ἐστιν ὄφλημα. Οἱ μὲν ἡγεμόνες τῆς νίκης, οἱ δ' ἀκόλουθοι τοῦ ἡγεμόνος ἕνεκα μάχονται. Εἰ δ' ἡ πόλις, ἐν ᾗ ἐγεννήθησαν, ἐν εἰρήνῃ μακρᾷ καὶ ἡσυχίᾳ διαναρκᾷ, οἱ πλεῖστοι τῶν γνωρίμων νέων πρὸς τὰ πόλεμόν τινα τότε ἄγοντα ἔθνη αὐτόκλητοι παραγίγνονται· οὔτε γὰρ τὸ γένος ὅλως ἡσυχίᾳ χαίρει, αὐτοί τε ῥᾷον ἐν κινδύνοις λαμπρύνονται· οὐδ' ἂν ἄλλως τις πολυαρίθμῳ ἀκολουθίᾳ τὰ ἐπιτήδεια πορίσειεν ἢ ἀπὸ βίας τε καὶ πολέμου. Παρὰ γὰρ τῆς τοῦ ἡγεμόνος ἐλευθεριότητος τόν τε πολεμικὸν ἐκεῖνον ἵππον καὶ τὴν αἱμοβαφῆ καὶ νικηφόρον ἐκείνην διβολίαν δικαιοῦσι λαμβάνειν. Θοῖναι δὲ καὶ συνδείπνια ἀκατάσκευα μέν, ἀλλ' ἀφθόνως παρεσκευασμένα, ἀντὶ μισθοῦ αὐτοῖς χορηγεῖται[1])· ἀφορμὴν δὲ πολυδωρίας ἐκ πολέμου κτῶνται καὶ ἁρπαγῆς[2]). Οὐδ' ἂν αὐτοὺς οὕτω ῥᾳδίως πείσαις τὴν γῆν ἀροῦν ἢ τὴν τῶν καρπῶν ἀπεκδέχεσθαι ὥραν, ὡς τοὺς πολεμίους προκαλεῖσθαι εἰς μάχην καὶ τραύματα ἐν ὅπλοις ἀποκερδαίνειν. Ἀλλὰ καὶ ῥᾴθυμον

ea gloria est, si numero ac virtute comitatus emineat: expetuntur enim legationibus et muneribus ornantur et ipsa plerumque fama bella profligant.

XIV.

Cum ventum in aciem, turpe Principi virtute vinci, turpe eomitatui virtutem Principis non adæquare. Iam vero infame in omnem vitam ac probrosum superstitem Principi suo ex acie secessisse. Illum defendere, tueri, sua quoque fortia facta gloriæ eius assignare, præcipuum sacramentum est. Principes pro victoria pugnant, comites pro principe. Si sivitas, in qua orti sunt, longa pace et otio torpeat, plerique nobilium adolescentium petunt ultro eas nationes, quæ tum bellum aliquod gerunt; quia et ingrata genti quies, et facilius inter ancipitia clarescunt, magnumque comitatum nonnisi vi belloque tueare. exigunt enim Principis sui liberalitate illum bellatorem equum, illam cruentam victricemque frameam. Nam epulæ, et, quamquam incompti, largi tamen adparatus pro stipendio cedunt. materia munificentiæ per bella et raptus. Nec arare terram, aut exspectare annum tam facile persuaseris, quam vocare hostes et vulnera mereri. pigrum quinimmo et iners videtur sudore acquirere, quod possis sanguine parare.

παρ' αὐτοῖς κρίνεται καὶ νωθὲς ἱδρῶτι κτᾶσθαι, ὃ ἄν τις αἵματι ἔχοι πορίζεσθαι[3]).

ΙΕ'.

Ὁπότε πολέμου σχολάζοιεν, βραχὺ μὲν τοῦ χρόνου ἐν θήραις, πλεῖον δ' ἐν ἀργίᾳ διάγουσιν, ὕπνῳ ἑαυτοὺς ἐπιδιδόντες καὶ βρώμασιν[1]). Ὅσοι μὲν ἀνδρειότατοί τε καὶ μαχιμώτατοι ἐν αὐτοῖς οὐδενὸς ἔργου ἐπιλαμβάνονται, ἀλλ' οἰκίας καὶ θεῶν ἐφεστίων καὶ ἀγρῶν ἐπιμέλεια γυναιξὶ καὶ πρεσβύταις καὶ τοῖς ἀσθενεστάτοις τῶν ἐν οἴκῳ ἐπιτέτραπται[2])· αὐτοὶ δ' ἀδρανοῦσι, θαυμαστὸν ὅσον διάφοροι ἑαυτῶν τὴν φύσιν δεικνύμενοι· ἐπειδὴ οἱ αὐτοὶ ἀσπάζονταί τε τὴν ἀργίαν οὕτω καὶ δυσχεραίνουσιν. Ἔθος δ' ἐστὶ ταῖς πόλεσιν αὐτοκελεύστους καὶ κατ' ἄνδρα τῶν βοσκημάτων ἢ τῶν καρπῶν προσφέρειν τοῖς ἡγεμόσιν, ὃ δὴ τιμῆς χάριν γιγνόμενον καὶ ταῖς χρείαις αὐτῶν ὑπουργεῖ. Χαίρουσι δὲ μάλιστα τοῖς παρὰ τῶν ὁμορούντων ἐθνῶν δώροις, ἃ οὐ μόνον παρ' ἀνδρῶν τινων ἰδίᾳ, ἀλλὰ καὶ κοινῇ αὐτοῖς πέμπεται· ἵπποι λογάδες, ὅπλα εὐμεγέθη, φάλαρα καὶ στρεπτοί. Ἤδη δὲ καὶ χρήματα λαμβάνειν αὐτοὺς δεδιδάχαμεν[4]).

ΙϚ'.

Ὅτι ἄστη τὰ τῶν Γερμανῶν οὐκ οἰκεῖ ἔθνη, ἀλλ' οὐδ' οἰκίας συνεχεῖς στέργει, ἱκανῶς ἔγνωσται[1]). Χωρὶς γὰρ καὶ σποράδην οἰκοῦσιν, ὡς δή τινι πηγή, ἢ πεδίον ἢ νέμος που ἤρεσε. Κώμας δ' ἱδρύουσιν οὐ κατὰ τὸ ἡμέτερον ἔθος, παραπηγνύντες τὰς οἰκοδομὰς καὶ ἀλλήλαις συνάπτοντες, ἀλλ' ἕκαστος τὴν ἑαυτοῦ οἰκίαν κενῷ χώρῳ περιλαμβάνει, ἢ πυρὸς ἀλέξημα μηχανώμενος, ἢ τοῦ οἰκοδομεῖν ἀπειρίᾳ. Οὐδεμία δ' αὐτοῖς λίθων καὶ ξύλων τυκτῶν[2]) χρῆσις ἢ κεραμίδων· ὕλῃ δὲ χρῶνται ἀκατεργάστῳ, κόσμου ἀλογοῦντες καὶ τέρψεως. Μέρη τινὰ τῆς οἰκίας ἐπιμελέστερον χρίουσι πηλῷ οὕτω καθαρῷ καὶ στίλβοντι, ὥστε γραφαῖς ἐοικέναι τὰ χρίσματα καὶ χρωμάτων ἐπαλοιφαῖς. Εἰώθασι δὲ καὶ σπή-

XV.

Quotiens bella non ineunt, multum venatibus, plus per otium lransigunt, dediti somno ciboque. Fortissimus quisque ac bellicosissimus nihil agens, delegata domus et Penatium et agrorum cura feminis senibusque et infirmissimo cuique ex familia: ipsi hebent, mira diversitate naturæ, cnm iidem homines sic ament inertiam et oderint quietem. Mos est civitatibus, ultro ac viritim conferre Principibus vel armentorum, vel frugum, quod pro honore acceptum etiam necessitatibus subvenit. Gaudent præsipue finitimarum gentium donis, quæ non modo a singulis sed publice mittuntur, electi equi, magna arma, phaleræ torquesque. Iam et pecuniam accipere docuimus.

XVI.

Nullas Germanorum populis urbes habitari, satis notum est: ne pati quidem inter se iunctas sedes. Colunt discreti ac diversi, ut fons, ut campus, ut nemus placuit. Vicos locant non in nostrum morem, connexis et cohærentibus ædificiis: suam quisque domum spatio circumdat, sive adversus casus ignis remedium, sive inscitia ædificandi. Ne cæmentorum quidem apud illos aut tegularum usus: materia ad omnia utuntur informi et citra speciem aut delectationem. Quædam loca diligentius illinunt terra, ita pura ac splendente, ut picturam ac lineamenta colorum imitetur. Solent et subterraneos specus aperire, eosque multo insuper fimo onerant, suf-

λαια ὀρύττειν ὑπόγεια καὶ κόπρον αὐτοῖς πολλὴν ἐπιχεῖν, διαφυγὴν μὲν χειμῶνος, καρπῶν δὲ δοχεῖον τεχνώμενοι· κοιλώμασι γὰρ τοιούτοις τὴν δριμύτητα τοῦ ψύχους κολάζουσι, καὶ εἴποτ' ἐπέλθοι πολέμιος, τὰ μὲν προῦπτα δῃοῦται, τὰ δ' ὑποκευθῆ καὶ κατορωρυγμένα ἢ παντάπασιν ἀγνοεῖται, ἢ λανθάνει δι' αὐτὸ τοῦτο, τὸ ζητεῖν αὐτὰ δεῖν.

ΙΖ'.

Ἐπίβλημα πᾶσιν ὁ σάγος πόρπῃ, ἢ χήτει ταύτης ἀκάνθῃ καθαπτόμενος· ἄλλως δὲ γυμνοὶ παρὰ τῇ ἑστίᾳ καὶ τῷ πυρὶ διημερεύουσιν. Οἱ πολυκτημονέστατοι τούτων ἐσθῆτι διαφέρουσιν, οὐκ εὐρυκόλπῳ καὶ χυτῇ, ὥσπερ οἱ Σαρμάται καὶ Πάρθοι, ἀλλὰ στενῇ καὶ τὸν τύπον ἑκάστου τῶν μελῶν ἐκφαινούσῃ. Ἀμπίσχονται δὲ καὶ θηρίων δορὰς, οἱ μὲν παρὰ τῇ ὄχθῃ οἰκοῦντες ἀμελέστερον, οἱ δ' ἀπωτέρω περιεργότερον, ἅτε οὐδὲν δι' ἐμπορίας πρὸς κόσμον κομιζόμενοι[2])· ἐκλεγόμενοι γὰρ τὰ θηρία, τὰς ἐξ αὐτῶν δορὰς ποικίλλουσι, τμήματα δερμάτων τῶν ἐν τῷ ἔξω ὠκεανῷ καὶ τῇ ἀγνώστῳ θαλάττῃ τικτομένων ζώων σποράδην ἐνράπτοντες. Ἡ δὲ γυναικεία ἐσθὴς τῆς τῶν ἀνδρῶν οὐ διενήνοχε, πλὴν ὅτι αἱ γυναῖκες ὡς τὰ πολλὰ χιτῶνας λινοῦς περιβάλλονται, χρώματι ποικίλουσαι πορφυρῷ, καὶ τὰ ἄνω τῆς ἐσθῆτος οὐ χειριδοῦσιν, ἀλλὰ γυμνοὺς τοὺς βραχίονας καὶ τοὺς πήχεις ἐῶσι· καὶ τοῦ στήθους δὲ τὰ παρὰ τοῖς βραχίοσιν ἀκάλυπτα μένει.

ΙΗ'.

Οὐ μὴν ἀλλ' ὁ γάμος ἀκριβῶς ἐκεῖ τηρεῖται καὶ οὐδέν ἐστιν ἐν τοῖς ἤθεσιν, ὃ ἂν μᾶλλόν τις ἐπαινέσειε· σχεδὸν γὰρ μόνοι πάντων βαρβάρων μιᾷ στέργουσι γαμετῇ, πάνυ ὀλίγων ἐξαιρουμένων, οἳ οὐκ ἐς ἡδονήν, ἀλλ' ἐπιφανείας ἕνεκα παρακαλούμενοι πλείους συνάπτουσι γάμους[2]). Προῖκα δ' οὐχ ἡ γυνὴ τῷ ἀνδρί, ἀλλ' ὁ ἀνὴρ φέρει τῇ γυναικί. Πάρεισι δ' οἱ γονεῖς καὶ ἀγχιστεῖς καὶ τὰ δῶρα ἐξετάζουσιν, οὐχ οἷα πρὸς

fugium hiemi et receptaculum frugibus: quia rigorem frigorum eiusmodi locis molliunt: et, si quando hostis advenit, aperta populatur, abdita autem et defossa aut ignorantur, aut eo ipso fallunt, quod quærenda sunt.

XVII.

Tegumen omnibus sagum, fibula, aut, si desit, spina consertum: cetera intecti totos dies iuxta focum atque ignem agunt. Locupletissimi veste distinguuntur, mon fluitante, sicut Sarmatæ ac Parthi, sed stricta et singulos artus exprimente. Gerunt et ferarum pelles, proximi ripæ negligenter, ulteriores exquisitius, ut quibus nullus per commercia cultus. Eligunt feras et detracta velamina spargunt maculis pellibusque belluarum, quas exterior Oceanus atque ignotum mare gignit. Nec alius feminis quam viris habitus, nisi quod feminæ sæpius lineis amictibus velantur, eosque purpura variant, partemque vestitus superioris in manicas non extendunt, nudæ brachia ac lacertos; sed et proxima pars pectoris patet.

XVIII.

Quamquam severa illic matrimonia: nec ullam morum partem magis laudaveris. Nam prope soli barbarorum singulis uxoribus contenti sunt, exceptis admodum paucis, qui non libidine, sed ob nobilitatem, plurimis nuptiis ambiuntur. Dotem non uxor marito. sed uxori maritus offert. Intersunt parentes et propinqui, ac munera non ad delicias muliebres quæsita, nec qui-

ἡδυπάθειαν γυναικείαν ἐστὶ χρήσιμα, οὔθ' οἵοις ἂν κοσμοῖτο ἡ νεόνυμφος, ἀλλὰ βοῦς δύο καὶ ἵππον ἐγχάλινον καὶ ἀσπίδα σὺν διβολίᾳ καὶ ξίφει. Ἐπὶ τούτοις τοῖς ἕδνοις ἄγεται τὴν γυναῖκα, ἐκείνη δ' ὅπλοις τισὶ τὸν ἄνδρα ἀμείβεται. Τοῦτον δεσμὸν κράτιστον, ταῦτα μυστήρια ἱερὰ καὶ θεοὺς γαμηλίους νομίζουσιν. Ἵνα δὲ μὴ ἀλλότρια ἑαυτῆς ἡ γυνὴ τὰ πρὸς ἀλκὴν καὶ τοὺς ἐν πολέμῳ κινδύνους ἡγῆται, τούτοις τοῖς ἐν ἀρχῇ τοῦ γάμου προσήμοις διδάσκεται, ὅτι πόνων καὶ κινδύνων κοινωνὸς ἥκει, ἔν τε εἰρήνῃ καὶ μάχῃ ταὐτὰ τῷ ἀνδρὶ ὑποστησομένη τε καὶ τολμήσουσα· τοῦτο δὴ οἱ συζυγεῖς ἐμφαίνουσι βόες, τοῦθ' ὁ ἐσκευαμένος ἵππος, τοῦτο τὰ προσαγόμενα ὅπλα· ὅτι δεῖ αὐτὴν συμβιοῦν τε καὶ συναπόλλυσθαι, ὅτι λαμβάνει νῦν ἃ ἀθιγῆ καὶ ἄξια τοῖς παισὶ παραδοῦναι ὀφείλει, ἃ νυοὶ παραλήψονται καὶ ἀποδώσουσι τοῖς ἐγγόνοις[4]).

ΙΘ'.

Οὐκοῦν σωφροσύνῃ πεφρουρημέναι διάγουσιν, οὔτε θεαμάτων θελγήτροις διαφθειρόμεναι, οὔτε συμποσίων ἐρεθισμοῖς[1]). Τὰ κρύφια ἐπιστόλια ὑπ' ἀνδρῶν ὁμοίως καὶ γυναικῶν ἀγνοεῖται. Σπανιώτατα δ' ἐν οὕτω πολυαρίθμῳ γένει αἱ μοιχεῖαι, ὧν ἐξ ἑτοίμου ἡ κόλασις καὶ τοῖς γαμέταις ἐφεῖται[2]). Τὴν γὰρ κόμην αὐτῆς ὁ ἀνὴρ ἀποκείρας ἐν ὄψει τῶν γένει προσηκόντων γεγυμνωμένην[3]) ἐξωθεῖ τῆς οἰκίας καὶ μάστιγι ἐλαύνει διὰ πάσης τῆς κώμης· οὐδενὸς γὰρ ἐλέους τυγχάνει ἡ τῆς αἰδοῦς κατακοίνωσις, οὐδ' ἂν κάλλει τις ἔτι, ἢ ἡλικίᾳ, ἢ πλούτῳ γαμέτην εὕροιτο. Οὐδεὶς γὰρ ἐκεῖ ταῖς κακίαις ἐπιγελᾷ, οὔτ' αἰῶνος ἔθος ἀποκαλεῖται τὸ φθείρειν καὶ φθείρεσθαι[4]). Ἔτι δ' ἄμεινον αἱ πόλεις ἐκεῖναι διάγουσιν, ἐν αἷς παρθένοι μόνον γαμοῦνται[5]), καὶ τῶν ἅπαξ γιγνομένων ἐστὶ συνεύνου ἐλπὶς καὶ ὑπόσχεσις[6])· ὡς γὰρ ἓν μόνον σῶμα καὶ ζωὴν μίαν ἔχουσιν, οὕτω καὶ ἀνδρὶ ἑνὶ μόνῳ συζεύγνυνται, ἵνα πρὸς μηδὲν ἔτι σκοπῶσι, μηδέ τινος πλέον ἐπιθυμῶσιν,

bus nova nupta comatur;sed boves et frenatum equum et scutum cum framea gladioque. In hæc munera uxor accipitur, atque invicem ipsa armorum aliquid viro affert. hoc maximum vinculum, hæc arcana sacra, hos coniugales Deos arbitrantur. Ne se mulier extra virtutum cogitationes extraque bellorum casum putet, ipsis incipientis matrimonii auspicis admonetur, venire se laborum periculorumque sociam, idem in pace, idem in prœlio passuram ausuramque. Hoc iuncti boves, hoc paratus equus, hoc data arma denuntiant. Sic vivendum, sic pereundum: accipere se, quae liberis inviolata ac digna reddat, quae nurus accipiant, rursusque ad nepotes referant.

XIX.

Ergo septæ pudicitia agunt, nullis spectaculorum illecebris, nullis conviviorum irritationibus corruptæ: Litterarum secreta viri pariter ac feminæ ignorant. Paucissima in tam numerosa gente adulteria; quornm pœna præsens, et maritis permissa. Accisis crinibus, nudatam, coram propinquis expellit domo maritus, ac per omnem vicum verbere agit; pnblicatæ enim pudicitiæ nulla venia; non forma non ætate, non opibus maritum invenerit. Nemo enim illic vitia ridet nec, corrumpere et corrumpi, saeculum vocatur. Melius quidem adhuc eæ civitates, in quibus tantum virgines nubunt, et cum spe votoque uxoris semel transigitur. Sic unum accipiunt maritum quo modo unum corpus unamque vitam, ne ulla cogitatio ultro, ne longior cupiditas, ne tamquam maritum, sed tamquam matrimonium ament. Numerum liberorum finire, aut quemquam ex agnatis ne-

ὥσπερ δὴ γαμέτην μᾶλλον ἢ γάμον φιλοῦσαι. Τὸν δ' ἀριθμὸν τῶν τέκνων ὅροις περιλαβεῖν ἤ τινα τῶν ἐπιγενῶν παίδων ἀποσκευάσασθαι ἀνοσιούργημα κρίνεται παρ' αὐτοῖς[6])· καὶ μεῖζον ἐκεῖ τὰ χρηστὰ ἤθη, ἢ παρ' ἑτέροις οἱ ἀγαθοὶ νόμοι δύνανται.

K'.

Ἐν οἴκῳ παντὶ γυμνοὶ[1]) καὶ αὐχμηροὶ εἰς οὕτως ὑπερφυῆ τρέφονται μέλη καὶ σώματα, οἷα θαυμάζομεν. Τῶν δὲ μητέρων αὐτὴ ἑκάστη θηλάζει τὰ ἑαυτῆς, οὐ θεραπαίναις οὔτε τροφοῖς ἐπιτρέπουσα· οὐδέ τισι κατὰ τὴν τροφὴν ἡδυπαθήμασι διαγνοίης ἂν τοῦ δούλου τὸν κύριον[2]). Ἐν μέσῳ γὰρ τῶν αὐτῶν βοσκημάτων κἀπὶ τοῦ αὐτοῦ διάγουσι χοῦ, ἕως ἂν ἡ ἡλικία τὸν ἐλεύθερον διακρίνῃ καὶ ἡ ἀρετὴ δοκιμάσῃ. Ὀψὲ τοῖς νέοις ἀφροδισίων ἅπτεσθαι εἴθισται, καὶ παρὰ τοῦτο ἀνεξάντλητος ἡ ἥβη αὐτοῖς[3]). Οὐδ' αἱ παρθένοι σπεύδουσι πρὸς γάμον[4])· ἀλλὰ παραπλησία μὲν ἑκατέρων ἡ νεότης, παραπλήσιον δὲ τὸ τοῦ σώματος μέγεθος· ὅμοιοι μίγνυνται[5]) καὶ τοῖς σώμασιν εὔρωστοι, καὶ τοῖς γονεῦσι τὴν εὐρωστίαν τὰ τέκνα ἐμφέρεται. Τοῖς τῆς ἀδελφῆς υἱοῖς ἴση μοῖρα παρὰ τῷ θείῳ καὶ παρὰ τῷ πατρί[6])· εἰσὶ δ' οἳ ἱερώτερον καὶ ἰσχυρότερον τοῦτον ἡγοῦνται συγγενείας δεσμόν, κἂν τῷ λαμβάνειν ὁμήρους τοιούτους μάλιστα ἀπαιτοῦσιν, ὡς ἂν καὶ τὴν τῶν διδόντων διάνοιαν βεβαιοτέραν καθιστάντας καὶ τὸν οἶκον ἐπὶ πλεῖον καταλαμβάνοντας. Κληρονόμοι δὲ καὶ διάδοχοι τὰ ἴδια ἑκάστῳ τέκνα· οὐδὲ γράφεται διαθήκη. Εἰδὲ μή ἐστι τέκνα, οἱ ἔγγιστ' ἐκείνοις κληρονομοῦσιν· ἀδελφοί, πατράδελφοι, μητράδελφοι[7]). Ὅσῳ δὲ πλείους οἱ συγγενεῖς καὶ ὁ τῶν κηδεστῶν ἀριθμὸς μείζων, τόσῳ χαριέστερον τὸ γῆρας αὐτοῖς· οὐδέ τι ὄφελος ἀτεκνίας[8]).

KA'.

Ὥσπερ φιλίας πατρὸς ἢ τῶν γένει προσηκόντων, οὕτω καὶ ἔχθρας ἀναγκαῖον αὐτοῖς ἀναιρεῖσθαι[1])· οὐδ' ἀδιάλλακτοι

care flagitium habetur; plusque ibi boni mores valent, quam alibi bonæ leges.

XX.

In omni domo nudi ac sordidi in hos artus, in hæc corpora, quæ miramur, excrescunt. Sua quemque mater uberibus alit, nec ancillis ac nutricibus delegantur. Dominum ac servum nullis educationis deliciis dignoscas. Inter eadem pecora, in eadem humo degunt, donec ætas separet ingenuos, virtus agnoscat. Sera iuvenum Venus, eoque inexhausta pübertas. nec virgines festinantur; eadem iuventa, similis proceritas, pares validæque miscentur, ac robora parentum liberi referunt.* Sororum filiis idem apud avunculum, qui apud patrem honor. Quidam sanctiorem artioremque hunc nexum sanguinis arbitrantur, et in accipiendis obsidibus magis exigunt; tamquam ii et animum firmius et domum latius teneant. Heredes tamen successoresque sui cuique liberi, et nullum testamentum. Si liberi non sunt, proximus gradus in possessione fratres, patrui, avunculi. Qanto plus propinquorum, quo maior affinium numerus, tanto gratiosior senectus; nec ulla orbitatis pretia.

XXI.

Suscipere tam inimicitias, seu patris, seu propinqui, qnam amicitias, necesse est; nec implacabiles durant.

αὗται διαμένουσι· καὶ φόνον γὰρ ῥητῷ ὑποζυγίων καὶ βοσκημάτων ἀριθμῷ ἔστιν ἀφοσιώσασθαι[2]) καὶ πᾶς ὁ οἶκος δίκην λαμβάνει[3]). Τοῦτο δ' ὠφέλιμον τῷ κοινῷ· αἱ γὰρ ἔχθραι μετ' ἐλευθερίας κινδυνωδέστεραι[4]). Πρὸς δ' ἑστιάσεις καὶ ξενίας οὐδὲν ἄλλο γένος προθυμότερον ἔχει· θνητῶν γὰρ ὁντιναοῦν τῆς στέγης εἴργειν ἀθέμιτον κρίνεται, ἀλλ' ἕκαστος ἐκ τῶν ὑπαρχόντων δεῖπνον παρασκευάσας ξενίζει. Τούτων δ' ἀπολιπόντων, ὁ μέχρι τοῦδε ξενοδόχος, ὁδηγὸς εἰς ξενοδοχίαν καὶ συνοδίτης γίγνεται· ἄμφω δ' εἰς τὴν ἀγχίθυρον οἰκίαν ἄκλητοι ἔρχονται καὶ ἄνευ διακρίσεως ὁμοίως φιλανθρώπου ὑποδοχῆς ἀξιοῦνται· οὐδεὶς γὰρ ἔς γε ξενίαν τὸν γνώριμον καὶ μὴ γνώριμον διαστέλλεται. Ἀπιόντι δ' ἔθος ἐστὶ διδόναι, εἴτι αἰτήσειε· καὶ εἰς τὸ ἀνταιτεῖν δ' οὐχ ἧττόν εἰσιν εὐπετεῖς. Χαίρουσι δὴ δώροις· ἀλλ' οὔτε τῷ διδόναι χάριν τινὶ κατατίθεσθαι οἴονται, οὔτ' αὐτοὶ τῶν εἰλημμένων χάριν γιγνώσκουσιν. Ἡ δὲ τῶν ξένων πρὸς ἀλλήλους ὁμιλία φιλόφρων[5]).

ΚΒ'.

Εὐθὺς ἐξ ὕπνου, ὃν πόρρω τῆς ἡμέρας ὡς ἐπὶ τὸ πολὺ παρατείνουσι, λούεσθαι εἰώθασι θερμῷ μάλιστα ὕδατι, ἅτε τοῦ χειμῶνος παρ' αὐτοῖς τὸ πλεῖστον κατέχοντος· λελουμένοι δὲ τροφῆς ἅπτονται ἐπ' ἰδίας ἕκαστος καθήμενος ἕδρας καὶ ἰδίαν τράπεζαν ἔχων προτεθειμένην. Εἶτα δ' ἐπὶ τὰ ἑαυτῶν ἔργα, οὐχ ἧττον δὲ καὶ εἰς τὰ συμπόσια ἔνοπλοι ἔρχονται· οὐδενὶ δ' ὄνειδος τῇ ἡμέρᾳ τὴν νύκτα συνάπτειν πίνοντι. Ἔριδες δὲ συχναὶ ἐν αὐτοῖς γιγνόμεναι, ἅτε οἰνόφλυξι[1]), σπανίως μέχρι λοιδοριῶν χωροῦσι, τὰ δὲ πολλὰ εἰς φόνον ἀπολήγουσι καὶ πληγάς. Ἀλλὰ καὶ περὶ ἐχθρῶν καταλλαγῆς, καὶ περὶ τοῦ κηδεστίας συνάψαι καὶ καταστήσασθαι ἡγεμόνας, καὶ περὶ πολέμου δὲ καὶ εἰρήνης ὡς τὰ πολλὰ ἐν συμποσίοις βουλεύονται, ὥσπερ τῆς ψυχῆς ἐν οὐδενὶ καιρῷ ἄλλῳ οὔτε πρὸς τὰ ἁπλᾶ καὶ εὐθέα βουλεύματα μᾶλλον πεφυκυίας

Luitur enim etiam homicidium certo armentorum ac pecorum numero, recipitque satisfactionem universa domus, utiliter in publicum, quia periculosiores sunt inimicitiæ iuxta libertatem. Convictibus et hospitiis non alia gens effusius indulget. Quemcumque mortalium arcere tecto, nefas habetur: pro fortuna quisque apparatis epulis excipit. Cum defecere, qui modo hospes fuerat, monstrator hospitii et comes. proximam domum non invitati adeunt, nec interest; pari humanitate accipiuntur. Notum ignotumque, quantum ad ius hospitii, nemo discernit. Abeunti, siquid poposcerit, concedere moris; et poscendi invicem eadem facilitas. Gaudent muneribus; sed nec data imputant, nec aceeptis obligantnr. Victus inter hospites comis.

XXII.

Statim e somno, quem plerumque in diem extrahunt, lavantur, sæpius calida, ut apud quos plurimum hiems occupat. Lauti cibum capiunt: separatæ singulis sedes et sua cuique mensa. Tum ad negotia, nec minus sæpe ad convivia procedunt armati. Diem noctemque continuare potando nulli probrum. Crebræ, ut inter vinolentos, rixæ raro conviciis, sæpius cæde et vulneribus transiguntur. Sed et de reconciliandis invicem inimicis et iungendis affinitatibus et asciscendis Principibus, de pace denique ac bello, plerumque in conviviis consultant: tamquam nullo magis tempore aut ad simplices cogitationes pateat animus, aut ad magnas incalescat. Gens non astuta, nec callida, aperit adhuc secreta pectoris licentia ioci. Ergo detecta et nuda om-

ἀναπεπτάσθαι, οὔτε πρὸς τὰ μεγάλα μᾶλλον ἀναθερμαίνεσθαι· γένος γὰρ οὐ ποικίλον οὔτε πανοῦργον, χρώμενον τῇ τοῦ παίζειν ἀδείᾳ, τὰ τοῦ στήθους ἐςτόδε ἄδυτα διανοίγνυσιν. Οὕτω δὴ προφανὴς καὶ γυμνὴ ἑκάστου ἡ διάνοια γενομένη τῇ ἐπιούσῃ ἐπιδιαγιγνώσκεται, καὶ τῶν καιρῶν ἑκατέρῳ τὸ προσῆκον τηρεῖται· κοινολογοῦνται μὲν γὰρ πρὸς ἀλλήλους, ὅτε οὐκ οἴδασι προσποιεῖσθαι· διαγιγνώσκουσι δέ, ὅτ' αὐτοῖς οὐ δυνατὸν ἁμαρτεῖν[4]).

ΚΓ'.

Ποτὸν αὐτοῖς χυμὸς ἐκ κριθῆς ἢ σίτου, ἐζυμωμένος εἴς τινα τοῦ οἴνου ἐμφέρειαν[1])· οἱ δὲ ταῖς ὄχθαις τοῦ ποταμοῦ προσοικοῦντες καὶ οἶνον ὠνοῦνται[2]). Τροφὴ δ' ἁπλῆ· ἄγρια μῆλα, κρέας προσφάτου θηρός, ἢ γάλα πηκτόν. Ἄνευ σκευασίας καὶ καρυκευμάτων ἀποπιμπλᾶσι τὴν πεῖναν· πρὸς δίψαν δ' οὐχ ὁμοίως εἰσὶν ἐγκρατεῖς· εἰ γὰρ τῇ φιλοποσίᾳ αὐτῶν χαριζόμενος ἐγχέοις, ὅσου ἐπιθυμοῦσι, ῥᾷον ἂν οἰνοφλυγίᾳ ἡττηθεῖεν ἢ ὅπλοις[3]).

ΚΔ'.

Γένος θεαμάτων ἓν παρ' αὐτοῖς καὶ ἐν συλλόγῳ παντὶ τὸ αὐτό. Νέοι γυμνοί, οἷς παιδιὰ τοῦτο, εἰς μέσον ξιφῶν ἀνατεταμένων καὶ δορατίων προβεβλημένων ὀρχούμενοι ἅλλονται[1]). Καὶ ἡ μὲν ἄσκησις τέχνην, ἡ δὲ τέχνη κόσμον παρεσκεύασεν· οὐ μέν τοι ἐπὶ κέρδει ἢ μισθῷ[2]) τοῦτο ποιοῦσι), καί τοι τῆς παρατόλμου παιδιᾶς ὄφελός τι γίγνεται, ἡ τῶν θεωμένων ἡδονή. Τῇ δὲ κυβείᾳ[3]) νήφοντες καὶ ἐν σπουδῇ, ὃ θαυμάζειν ἄξιον[4]), χρῶνται, πρὸς τὸ κερδαίνειν ἢ ἀπολλύναι οὕτω φιλοκινδύνως ἔχοντες, ὥστε, ἐπειδὰν πάντα τὰ ὑπάρχοντα ἀπολίπῃ, ἐσχάτῳ βόλῳ τὴν ἐλευθερίαν αὐτὴν καὶ τὸ σῶμα διακυβεύειν. Ὁ δ' ἡττηθεὶς ἑκουσίαν ὑποδύεται δουλείαν· καί περ δὲ νεώτερος καὶ ῥώμῃ σώματος ὑπερφέρων, δεῖσθαι ἀνέχεται καὶ πιπράσκεσθαι. Οὕτω βέβαιον ἐν πράγματι φαύλῳ τὸ ἦθος, ὃ αὐτοὶ πίστιν ἀποκαλοῦσι. Καὶ τοὺς

nium mens postera die retractatur, et salva utriusque temporis ratio est. Deliberant, dum fingere nesciunt; constituunt, dum errare non possunt.

XXIII.

Potui humor ex hordeo aut frumento, in quandam similitudinem vini corruptus. Proximi ripæ et vinum mercantur. Cibi simplices: agrestia poma, recens fera, aut lac concretum. Sine apparatu, sine blandimentis, expellunt famem. Adversus sitim non eadem temperantia. Si indulseris ebrietati, suggerento quantum concupiscunt, haut minus facile vitiis, quam armis, vincentur.

XXIV.

Genus spectaculorum unum atque in omni cœtu idem. Nudi iuvenes, quibus id ludicrum est, inter gladios se atque infestas frameas saltu iaciunt. Exercitatio artem paravit, ars decorem; non in quæstum tamen, aut mercedem, quamvis audacis lasciviæ pretium est voluptas spectantium. Aleam (quod mirere) sobrii inter seria exercent, tanta lucrandi perdendive temeritate, ut, cum omnia defecerunt, extremo ac novissimo iactu de libertate et de corpore contendant. Victus voluntariam servitutem adit: quamvis iuvenior, quamvis robustior, alligari se ac venire patitur. ea est in re prava pervicacia: ipsi fidem vocant. Servos conditionis huius per commercia tradunt, ut se quoque pudore victoriæ exsolvant.

μὲν τοῦτον τὸν τρόπον δουλεύοντας ἀπεμπολῶσι, τῆς ἀπὸ τῆς νίκης αἰσχύνης σφᾶς αὐτοὺς ἀπαλλάττοντες.

ΚΕ'.

Τοῖς δ' ἄλλως δουλεύουσιν οὐχ ὡς ἡμεῖς χρῶνται, ἔργα τοῖς οἰκέταις διοριζόμενοι· ἀλλ' ἕκαστος τούτων ἰδίαν ἔχει οἰκίαν τε καὶ ἑστίαν. Καὶ ὁ μὲν δεσπότης μέτρον σίτου, ἢ βοσκημάτων, ἢ ἱματίων ἀριθμόν, ὥσπερ γεωμόρῳ ἐπιτάσσει ἑκάστῳ, ὁ δὲ δοῦλος ἐς ταῦθ' ὑπακούει ἐκείνῳ· τὰ δὲ κατ' οἶκον ἔργα ἡ γυνὴ καὶ τὰ τέκνα ἐξυπουργοῦσι. Μαστιγοῦν δοῦλον καὶ πέδαις καὶ ἐργασίᾳ βαρυτέρᾳ κολάζειν σπάνιον. Κτείνειν δ' εἰώθασιν οὐκ αὐστηρίᾳ κολάσεως, ἀλλ' ὁρμῇ θυμοῦ, ὥσπερ πολέμιον· πλὴν ὅσον ἀτιμωρητὶ (τὸν δοῦλον κτείνουσιν). Οἱ ἀπελεύθεροι οὐ πολύ τι τῶν δούλων ὑπερτεροῦσι· σπανίως μὲν γὰρ ἐν οἴκῳ λόγου τινὸς ἀξιοῦνται, οὐδέποτε δ' ἐν τῇ πόλει, πλήν γε δὴ παρὰ τοῖς μὴ αὐτονομουμένοις ἔθνεσιν· ἐκεῖ γὰρ καὶ τῶν ἐλευθέρων καὶ τῶν εὐγενῶν ὑπεραναβεβήκασι. Παρὰ δὲ τοῖς ἄλλοις τὸ τοὺς ἀπελευθέρους ἐν ἥττονι μοίρᾳ ποιεῖσθαι ἐλευθερίας ἐστὶ τεκμήριον[8]).

ΚϚ'.

Τὸ ἐπὶ τόκῳ δανείζειν καὶ ἀνατοκίζειν[1]) παντελῶς ἀγνοοῦσι[2]) καὶ διὰ τοῦτο μᾶλλον φυλάττονται ταῦτα ἢ εἰ ἀπείρητο[3]).

Οἱ ἀγροὶ ὑπὸ δήμων ὅλων κατὰ τὸν ἀριθμὸν τῶν ἐν ἑκάστῳ γεωργῶν καταλαμβάνονται· οἱ δ' ἔπειτ' αὐτοὺς πρὸς ἀλλήλους κατὰ τὴν ἑκάστου ἀξίαν διανέμονται[4]). Εὐμαρῆ δὲ ποιεῖ τὴν διανομὴν ἡ τῶν πεδίων εὐρυχωρία. Τὰς ἀρούρας κατ' ἔτος ἀμείβουσι καὶ ἀγρὸς περιλείπεται[5]). Οὐ γὰρ πρὸς τὴν τῆς γῆς εὐφορίαν τε καὶ εὐρυχωρίαν τῷ (περὶ τὴν γεωργίαν) πόνῳ διαμιλλῶνται, μηλῶνας φυτεύοντες, καὶ λειμῶνας ἀποτεμνόμενοι, καὶ κήπους ἀρδεύοντες, ἀλλὰ λήϊα μόνον τὴν γῆν ἀπαιτοῦσι. Διὸ καὶ τὸν ἐνιαυτὸν οὐκ εἰς ἴσας ἡμῖν ὥρας διαιροῦσιν· ἀλλὰ χειμῶνος μὲν καὶ ἦρος καὶ θέ-

XXV.

Ceteris servis, non in nostrum morem, descriptis per familiam ministeriis, utuntur. Suam quisque sedem, suos penates regit. Frumenti modum dominus aut pecoris aut vestis, ut colono, iniungit; et servus hactenus paret. Cetera domus officia uxor ac liberi exsequuntur. Verberare servum ac vinculis et opere coercere, rarum. Occidere solent, non disciplina et severitate sed impetu et ira, ut inimicum, nisi quod impune. Libertini non multum supra servos sunt, raro aliquod momentum in domo, nunquam in civitate, exceptis duntaxat iis gentibus quæ regnantur. Ibi enim et super ingenuos et super nobiles ascendunt : apud ceteros impares libertini libertatis argumentum sunt.

XXVI.

Fenus agitare et in usuras extendere, ignotum; ideoque magis servatur. quam si vetitum esset. Agri, pro numero cultorum, ab universis in vices occupantur, quos mox inter se secundum dignationem partiuntur: facilitatem partiendi camporum spatia præstant. Arva per annos mutant, et superest ager. nec enim cum ubertate et amplitudine soli labore contendunt, ut pomaria conserant et prata separent et hortos rigent: sola terræ seges imperatur. Vnde annum quoque ipsum non in totidem digerunt species: hiems et ver et æstas intellectum ac vocabula habent; autumni perinde nomen ac bona ignorantur.

ρους ἔννοιαν καὶ ὀνόματα ἔχουσι, τοῦ δὲ φθινοπώρου τό τε ὄνομα καὶ τὰ δῶρα παντελῶς αὐτοῖς ἀγνοεῖται.

ΚΖʹ.

Περὶ τὰς κηδείας οὐδεμία φιλοτιμία[1]). Τοῦτο δὲ μόνον αὐτοῖς τηρεῖται, τῶν ἐπιφανῶν ἀνδρῶν τοὺς νεκροὺς νενομισμένοις καίεσθαι ξύλοις[2]). Ἐς τὸν τῆς πυρᾶς θημῶνα οὔτ' ἐσθῆτας ἐπιφοροῦσιν, οὔτε θυώματα, ἀλλ' αὐτοῦ ἑκάστου τὰ ὅπλα· ἔστι δ' ὧν καὶ τὸν ἵππον προσεπιτιθέασι τῷ πυρί. Ὁ τάφος χορτοπλίνθων ἐπισωρεύσει ἐγείρεται· τὴν δὲ τιμὴν τῶν ὑψιδμήτων καὶ πόνου πολλοῦ δεομένων μνημείων, ὥσπερ βαρέων τοῖς ἀποιχομένοις, ἀποδοκιμάζουσιν. Ὀδυρμῶν μὲν καὶ δακρύων ταχὺ ἀποπαύονται, ὀδύνης δὲ καὶ λύπης βραδέως· καὶ ταῖς μὲν γυναιξὶν εὐπρεπὲς τὸ πενθεῖν, τοῖς δ' ἀνδράσι τὸ μεμνῆσθαι μόνον.

Ταῦτα μὲν καθόλου περὶ τῆς ἀρχῆς καὶ τῶν ἠθῶν πάντων τῶν Γερμανῶν παρειλήφαμεν. Νῦν δὲ διέξειμι τὰ παρ' ἑκάστῳ φύλῳ εἰθισμένα τε καὶ νενομισμένα, ὅπῃ ἀλλήλων διενηνόχασι, καὶ τίνα ἔθνη ἐκ Γερμανίας εἰς Γαλλίαν μετῴκησαν.

ΚΗʹ.

Τὰ τῶν Γάλλων ἐν τῷ προτοῦ χρόνῳ μᾶλλον ἰσχῦσαι βεβαιότατος μάρτυς καὶ ἐπιφανέστατος Ἰούλιος ὁ θεὸς[1]) ἡμῖν παραδέδωκε· διὸ πιστευτόν ἐστι καὶ Γάλλους εἰς Γερμανίαν τότε μεταναστῆναι[2]). Ποσίχον γὰρ ὁ ποταμὸς ἐγίγνετο κώλυμα τοῦ μὴ τὸ ἐπικρατοῦν ἑκάστοτε φῦλον τὰς τῶν ἄλλων ἕδρας καταλαβεῖν, κοινὰς ἔτι οὔσας, καὶ κράτει βασιλειῶν οὔπω ἀσφαλῶς διωρισμένας; Τὰ μεταξὺ οὖν τοῦ Ἑρκυνίου δρυμοῦ καὶ τῶν ποταμῶν Ῥήνου καὶ Μαίνου κατέσχον οἱ Ἑλουήτιοι[3])· τὰ δ' ἀπωτέρω οἱ Βόϊοι[4]) τοῦ γαλλικοῦ ἀμφότεροι γένους. Μένει δὴ ἐς τόδε τὸ τοῦ Βουϊαίμου ὄνομα, τὴν ἀρχαίαν τῆς χώρας ἱστορίαν ἐμφαῖνον, καί περ μεταβεβλημένων τῶν οἰκητόρων[5]). Ἀλλὰ πότερον οἱ Ἀράβισκοι

XXVII.

Funerum nulla ambitio : id solum observatur, ut corpora clarorum virorum certis lignis crementur. Struem rogi nec vestibus nec odoribus cumulant : sua cuique arma, quorundam igni et equus adiicitur. Sepulcrum cæspes erigit. Monumentorum arduum et operosum honorem, ut gravem defunctis, aspernantur. Lamenta ac lacrimas cito, dolorem et tristitiam tarde ponunt. Feminis lugere honestum est, viris meminisse. Hæc in commune de omnium Germanorum origine ac moribus accepimus. Nunc singularum gentium instituta ritusque, quatenus differant, quæ nationes e Germania in Gallias commigraverint, expediam.

XXVIII.

Validiores olim Gallorum res fuisse, summus auctorum D. Iulius tradit ; eoque credibile est, etiam Gallos in Germaniam transgressos. Quantulum enim amnis obstabat, quo minus, ut quæque gens evaluerat, occuparet permutaretque sedes, promiscuas adhuc et nulla regnorum potentia divisas ? Igitur inter Hercyniam silvam Rhenumque et Mœnum amnes Helvetii, ulteriora Boii, Gallica utraque gens, tenuere. Manet adhuc *Boïhemi* nomen, significatque loci veterem memoriam, quamvis mutatis cultoribus. Sed utrum Aravisci in Pannoniam ab Osis, Germanorum natione, an Osi ab Araviscis in Germaniam commigraverint, cum eodem adhuc sermone,

ἐς Παννονίαν ἐξ Ὄσων, γένους γερμανικοῦ, ἢ τοὔμπαλιν οἱ Ὄσοι ἐξ Ἀραβίσκων εἰς Γερμανίαν μετῴκησαν[6]), ἐπειδὴ διαλέκτῳ τε μέχρι τοῦ νῦν καὶ νόμοις καὶ ἤθεσι τοῖς αὐτοῖς ἀμφότεροι χρῶνται, ἄδηλον· διὰ γὰρ τὸ ἴσην ποτὲ τὴν πενίαν τε καὶ ἐλευθερίαν ὑπάρχειν τοῖς ἔθνεσιν ἑκατέρα τῶν ὀχθῶν τὰ αὐτὰ παρεῖχεν αὐτοῖς ἀγαθὰ καὶ κακά. Οἱ δὲ Τρηούϊροι καὶ Νερούϊοι Γερμανοὶ τὸ γένος προσποιούμενοι εἶναι ἀλόγως ἐπὶ τούτῳ φιλοτιμοῦνται, ὥσπερ δὴ τῇ δόξῃ ταύτῃ τοῦ γένους τῆς πρὸς τοὺς Γάλλους ὁμοιοτροπίας καὶ τῆς τούτων νωχελείας ἑαυτοὺς ἀπαλλάττοντες. Αὐτὴν δὲ τὴν τοῦ Ῥήνου ὄχθην ἀναμφιλέκτως Γερμανικοὶ οἰκοῦσι λαοί· Οὐαγγίονες, Τριβόκχοι, Νέμητες. Καὶ Οὔβιοι δέ, καί περ ῥωμαϊκὴ ἀποικία γενέσθαι ἀξιωθέντες καὶ ἥδιον ἀπὸ τοῦ οἰκιστοῦ Ἀγριππινεῖς ἀκούοντες, τὸ γένος ὅμως οὐκ αὐσχύνονται, πάλαι τὸν ποταμὸν διαβάντες καὶ διὰ τὴν πίστιν, ἧς πεῖραν παρεσχήκεσαν, ἐπ' αὐτῇ τῇ τοῦ Ῥήνου ὄχθῃ κατοικισθέντες, ἵν' ἀπερύκοιεν ἄλλους, οὐχ ἵνα φρουροῖντο αὐτοί.

ΚΘ'.

Οἱ δὲ πάντων τῶν ἐθνῶν τούτων ἀρετῇ ὑπερφέροντες Βατάουοι[1]) οὐ πολὺ τῆς ὄχθης κατέχουσι, τὴν δὲ τοῦ ποταμοῦ Ῥήνου νῆσον οἰκοῦσι, Χάττων μὲν ὄντες πάλαι λαὸς, διὰ δὲ στάσιν ἐμφύλιον ἐκεῖσε μεταναστάντες, ἔνθα μοῖρα τῆς τῶν Ῥωμαίων ἀρχῆς γενήσεσθαι ἔμελλον. Μένει οὖν αὐτοῖς ἔτι ἡ τιμὴ καὶ τῆς ἀρχαίας κοινωνίας τεκμήριον· οὔτε γὰρ ἐπιβολῇ ταπεινοῦνται φόρου, οὔθ' ὑπὸ τελώνου τρύχονται· ἀλλ' ἀλειτούργητοι καὶ ἀσυντελεῖς ἐς ἀγώνων χρείαν μόνον ἀφωρισμένοι, ὥσπερ βέλη καὶ ὅπλα, ἐς πόλεμον ταμιεύονται. Τὸν δ' αὐτὸν τρόπον καὶ τὸ τῶν Ματτιακῶν ὑπακούει ἔθνος[2]). Ὁ γὰρ τῶν Ῥωμαίων δῆμος μέγας ἐξαρθεὶς πέραν τοῦ Ῥήνου καὶ τῶν ἀρχαίων ὁρίων τὸν τῆς ἀρχῆς παρεξέτεινε σεβασμόν. Διὸ χώραν μὲν οἰκοῦσιν ἣν ἐπὶ τῆς

institutis, moribus utantur, incertum est: quia, pari olim inopia ac libertate, eadem utriusque ripæ bona malaque erant. Treveri et Nervii circa affectationem Germanicæ origininis ultro ambitiosi sunt, tanquam per hanc gloriam sanguinis a similitudine et inertia Gallorum separentur. Ipsam Rheni ripam haud dubie Germanorum populi colunt, Vangiones, Triboci, Nemetes. Ne Vbii quidem, quanquam Romana colonia esse meruerint, ac libentius *Agrippinenses*, conditoris sui nomine, vocentur, origine erubescunt, transgressi olim et experimento fidei super ipsam Rheni ripam collocati, ut arcerent, non ut custodirentur.

XXIX.

Omnium harum gentium virtute præcipui Batavi, non multum ex ripa, sed insulam Rheni amnis, colunt, Cattorum quondam populus et seditione domestica in eas sedes transgressus, in quibus pars Romani Imperii fierent. Manet honos et antiquæ sorietatis insigne : nam nec tributis contemnuntur, nec publicanus atterit : exempti oneribus et collationibus, et tantum in usum prœliorum sepositi, velut tela atque arma, bellis reservantur. Est in eodem obsequio et Mattiacorum gens. Protulit enim magnitudo Populi Romani ultra Rhenum, ultraque veteres terminos Imperii reverentiam. Ita sede finibusque in sua ripa, mente animoque nobiscum agunt ;cetera similes Batavis, nisi quod ipso adhuc terræ suæ solo

οἰκείας ὄχθης ἀφορισάμενοι εἶχον, τῇ δὲ διανοίᾳ μεθ' ἡμῶν βιοῦσι, τἆλλα τοῖς Βαταούοις ὅμοιοι ὄντες, πλὴν ὅτι αὐτὴ ἡ χώρα καὶ ὁ περιέχων ἀὴρ θυμοειδεστέρους ἐς τόδε αὐτοὺς ἀπεργάζεται.

Τοὺς δὲ τὴν μεθορίαν νεμομένους, ἣν δεκουμάτιν ἤτοι δεκατηφόρον γῆν ἐκάλουν, καίπερ πέραν τοῦ Ῥήνου καὶ Δανουβίου κατῳκισμένους, ἥκιστ' ἂν αὐτὸς τοῖς τῆς Γερμανίας λαοῖς ἐγκαταριθμήσαιμι. Τῶν γὰρ Γάλλων ὅσοι πέρπεροι καὶ βίου ἀπορίᾳ φιλοπαράβολοι χώραν τινὰ ἐνταῦθα τέως ἀμφιβόλως δεσποζομένην κατέσχον· εἶτα δ' ὁρίου τοῖς Ῥωμαίων Ἀρχῆς χειροποιήτου ἐκεῖ τεθέντος καὶ προσωτέρω τῆς φρουρᾶς καταστάσης, ἐσχατιὰ νῦν τῆς εἰρημένης ἀρχῆς καὶ μοῖρα ἐπαρχίας ὑπολαμβάνονται.

Λ'.

Τούτων ἀπωτέρω[1]) ἀπὸ τοῦ Ἑρκυνίου δρυμοῦ αἱ τῶν Χάττων οἰκήσεις[2]) ἄρχονται οὐκ ἐν χώραις οὕτω πεδειναῖς καὶ ἑλώδεσιν, ὡς αἱ ἄλλαι πόλεις, εἰς ἃς ἡ Γερμανία ἐκτέταται. Διήκει γὰρ μέχρις αὐτῶν ὄρη τινὰ χθαμαλὰ καὶ κατὰ βραχὺ ἀραιότερα γίγνεται· ὁ δ' Ἑρκύνιος δρυμὸς τοῖς ἐν αὐτῷ Χάττοις συμπαρατείνεται καὶ συναπολήγει. Τὸ δὲ ἔθνος καρτερικώτερον μὲν τὸ σῶμα πέφυκεν, εὐπαγέστερον δὲ τὰ μέλη, τὴν δ' ὄψιν ἀπειλητικὸν καὶ ἐρρωμενέστερον τὴν ψυχήν. Πολὺ αὐτοῖς, ὡς κατὰ Γερμανούς, καὶ τὸ εὔβουλον καὶ εὐμήχανον. Προτάσσουσι γὰρ ἐν μάχαις λογάδας[3]), τοῖς ἡγουμένοις ὑπακούουσι, τάξιν γιγνώσκουσι, στοχάζονται τῶν καιρῶν, σπανίας ποιοῦνται τὰς ἐφόδους, τῇ μὲν ἡμέρᾳ ἐς τὰ ἔργα χρῶνται[4]), τῆς δὲ νυκτὸς ἀσφαλίζονται χαρακώμασι, καὶ τὴν μὲν τύχην τίθενται ἐν ἀδήλοις, τὴν δ' ἀρετὴν ἐν βεβαίοις[5])· ὃ δε σπανιώτατον καὶ μόνῃ δέδοται τῇ ῥωμαϊκῇ εὐταξίᾳ καὶ πειθαρχίᾳ, πλέον γὰρ τῷ στρατηγοῦντι ἢ τῷ στρατῷ νέμουσιν. Ἡ ἰσχὺς αὐτῶν πᾶσα ἐν τῷ πεζῷ, ὃς καὶ σιδηρᾶ ἐργαλεῖα[6]) καὶ τὴν ἀποσκευὴν πρὸς τοῖς ὅπλοις

et cœlo acrius animantur. Non numeraverim inter Germaniæ populos, quanquam trans Rhenum Danubiumque consederint, eos, qui Decumates agros exercent. Levissimus quisque Gallorum, et inopia audax, dubiæ possessionis solum eccupavere. Mox limite acto, promotisque præsidiis, sinus Imperii et pars provinciæ habentur.

XXX.

Ultra hos Catti initium sedis ab Hercynio saltu inchoant, non ita effùsis ac palustribus locis, ut ceteræ civitates, in quas Germania patescit. durant siquidem colles, paulatimque rarescunt ; et Cattos suos saltus Hercynius prosequitur simul atque deponit. Duriora genti corpora, stricti artus, minax vultus et maior animi vigor. Multum, ut inter Germanos, rationis ac solertiæ : præponere electos, audire præpositos, nosse ordines, intelligere occasiones, differe impetus, disponere diem, vallare noctem, fortunam inter dubia, virtutem inter certa numerare : quodque rarissimum, nec nisi Romanæ disciplinæ concessum, plus reponere in duce, quam in exercitu. Omne robur in pedite, quem super arma ferramentis quoque et copiis onerant. Alios ad prœlium ire videas, Cattos ad bellum: rari excursus et fortuita pugna. Equestrium sane virium id proprium, cito parare victoriam, cito cedere. Velocitas iuxta formidinem, cunctatio propior constantiæ est.

ἀχθοφορεῖ. Τοὺς μὲν οὖν ἄλλους φαίης ἂν ἰδὼν ἐξιέναι εἰς μάχην, τοὺς δὲ Χάττους εἰς πόλεμον[7])· διὸ σπάνιαι αὐτοῖς αἱ ἐπεκδρομαὶ καὶ αἱ ἐκ συντυχίας ἀψιμαχίαι. Ἱππικῆς δήπου ἴδιον τοῦτο, ταχὺ μὲν παρασκευάζειν τὴν νίκην, ταχὺ δ' αὖ εἴκειν [8]). Ἡ μὲν γὰρ ταχύτης προσεχὴς τῷ φόβῳ, ἡ δὲ μέλλησις ἐγγυτέρα τῆς εὐσταθείας[9]).

ΛΑ'.

Ὃ καὶ παρ' ἄλλοις τῶν Γερμανῶν οἷον δὴ σπάνιόν τι τῆς ἑκάστου εὐτολμίας τεκμήριον γίγνεται, τοῦτο παρὰ τοῖς Χάττοις εἰς κοινὴν ἥκει χρῆσιν· ἐπειδὰν γὰρ τάχιστα ἡβήσωσι, τήν τε κόμην καθίενται καὶ τὸν πώγωνα· καὶ πρίν τινα τῶν πολεμίων ἀποκτεῖναι τὸ δι' εὐχῆς ἀνειλημμένον καὶ τῇ ἀρετῇ ἀφωσιωμένον τοῦ προσώπου σχῆμα οὐκ ἀποτίθενται. Ἐφ' αἵματι καὶ σκύλοις[1]) τὸ μέτωπον ἀποκαλύπτουσι καὶ νῦν πρῶτον ἡγοῦνται ὄφελος τι τοῦ βίου εὑρέσθαι[2]) καὶ ἀξίους τῆς πατρίδος ἀναδειχθῆναι καὶ τῶν πατέρων· τοῖς δ' ἀνάνδροις καὶ ἀπολέμοις τὸ αὐχμηρὸν παραμένει. Εἴτις δ' ἀρειμανέστατος, καὶ δακτύλιον σιδηροῦν (ὃ δὴ αἰσχρὸν τῷ γένει δοκεῖ) οἷον ἅλυσιν φέρει, ἄχρις ἂν πολέμιον κτείνας τοῦ ὀνείδους ἑαυτὸν ἀπολύσῃ. Πλεῖστοι τῶν Χάττων τῷ εἰρημένῳ σχήματι χαίρουσι καὶ ἤδη λευκοτριχοῦσι τούτῳ ἐπίσημοι[3]), ὑπὸ πολεμίων τε δακτυλοδεικτούμενοι καὶ οἰκείων. Οὗτοι μάχης ἄρχονται πάσης, οὗτοι ἐν τῇ πρώτῃ μάχονται τάξει, βλοσυρὰν καὶ ξένην ὄψιν παρέχοντες[4])· οὐδὲ γὰρ ἐν εἰρήνῃ ἐπὶ τὸ ἡμερώτερον μετακοσμοῦσι τὸ πρόσωπον. Οὐδενὶ τούτων οἶκός ἐστιν, ἢ ἀγρός, ἢ ἄλλη τις φροντίς. Πρὸς ὃν παραγένοιντο, τρέφονται ὑπὸ τούτου, τὴν μὲν ἀλλοτρίαν οὐσίαν κατασπαθῶντες, τῆς δ' οἰκείας ὀλιγωροῦντες, ἕως ἂν τὸ ἄναιμον (ψυχρὸν) γῆρας ἀρετῆς οὕτω τραχείας ἥττους αὐτοὺς ἀπεργάσηται[5]).

ΛΒ'.

Προσεχεῖς τοῖς Χάττοις οἱ Οὐσίπαι καὶ Τέγκτεροι[1]) οἱ-

XXXI.

Et alliis Germanorum populis usurpatum, rara et privata cuiusque audentia, apud Cattos in consensum vertit, ut primum adoleverint, crinem barbamque summittere, nec, nisi hoste cœso, exuere votivum obligatumque virtuti oris habitum. Super sanguinem et spolia revelant frontem, seque *tum demum pretia nascendi retulisse, dignosque patria ac parentibus* ferunt. Ignavis et imbellibus manet squalor. Fortissimus quisque ferreum insuper annulum (ignominiosum id genti) velut vinculum gestat, donec se cæde hostis absolvat. Plurimis Cattorum hic placet habitus; iamque canent insignes, et hostibus simul suisque monstrati. Omnium penes hos initia pugnarum: hæc prima semper acies, visu torva; nam ne in pace quidem vultu mitiore mansuescunt. Nulli domus, aut ager, aut aliqua cura : prout ad quemque venere, aluntur, prodigi alieni, contemptores sui, donec exsanguis senectus tam duræ virtuti impares faciat.

XXXII.

Proximi Cattis certum iam alveo Rhenum, quique

κοῦσι παρὰ τῷ Ῥήνῳ, ἐς μίαν ἐκεῖ κοίτην οὕτω συναγομένῳ ὥσθ' ἱκανὸν εἶναι τῆς χώρας ὅρον. Οἱ Τέγκτεροι οὐ μόνον τῇ κοινῇ τοῦ πολέμου ἀγλαΐζονται δόξῃ, ἀλλὰ καὶ τέχνῃ ἱππικῇ διαφέρουσιν. Οὐδὲ μείζονος τὸ πεζὸν παρὰ τοῖς Χάττοις τιμῆς ἢ παρὰ τοῖς Τεγκτέροις ἡ ἵππος τετύχηκε. Τῶν γὰρ πρεσβυτέρων οὕτω ταξάντων οἱ ἐπιγιγνόμενοι ἐς μίμησιν ἔρχονται. Ταῦτα μὲν παίδων αὐτῶν γίγνεται παίγνια, τούτοις δ' ἡβήσαντες πρὸς ἀλλήλους διαμιλλῶνται καὶ γεγηρακότες προσκαρτεροῦσι. Τοῖς οἰκέταις, καὶ τῷ οἴκῳ, καὶ τοῖς κληρονομικοῖς δικαίοις οἱ ἵπποι ἐναριθμοῦνται· κληρονομεῖ δὲ τούτους οὐχ ὡς τὰ ἄλλα τῶν υἱῶν ὁ πρεσβύτατος, ἀλλ' ὃς ἂν τούτων μαχιμώτατος καὶ κράτιστος ᾖ.

ΛΓ'.

Τοῖς Τεγκτέροις οἱ Βρούκτεροι συνῆπτόν ποτε. Νῦν δὲ οἱ Χαμαυοὶ καὶ Ἀγγριουάριοι ἐκεῖ μεταναστῆναι λέγονται ἐξελάσαντες τοὺς Βρουκτέρους καὶ παντελῶς διολέσαντες, τοῖς προσόροις συνδόξαν ἔθνεσι μίσει τῆς ἐκείνων ὑπερηφανίας, ἢ λαφυραγωγίας ἐπιθυμίᾳ, ἢ εὐνοίᾳ τινὶ τῶν θεῶν πρὸς ἡμᾶς· οὐδὲ γὰρ τῆς τοῦ πολέμου θέας ἡμῖν ἐφθόνησαν· πλείους δὲ τῶν ἑξακισμυρίων οὐχ ὅπλοις Ῥωμαίων καὶ βέλεσιν, ἀλλ' ὃ δὴ μεῖζον, τερπνὴν τοῖς ὀφθαλμοῖς ἡμῶν θέαν παρέχοντες ἔπεσον. Εἴθε δὴ τοῖς ἔθνεσι παραμένοι κἀπὶ πολὺ διαμένοι, εἰμή γ' ἔρως ἡμῶν, ἀλλὰ γοῦν μῖσος ἀλλήλων, ὅτε σπεύδοντος τοῦ τῇ Ἀρχῇ πεπρωμένου οὐδὲν ἡμῖν ἡ τύχη τῆς τῶν πολεμίων πρὸς ἀλλήλους διχοφροσύνης μεῖζον ἔχει χαρίσασθαι[4]).

ΛΔ'.

Τοὺς Ἀγγριουαρίους καὶ Χαμαυοὺς ὄπισθεν[1]) μὲν Δουλγούμνιοι καὶ Χασουάριοι[2]) καὶ ἄλλα οὐχ ὁμοίως γνώριμα ἔθνη ὁρίζουσιν, ἔμπροσθεν[3]) δὲ οἱ Φρείσιοι[4]) διαδέχονται. Καλοῦνται δ' οἱ Φρείσιοι μείζους καὶ ἐλάττους ἀπὸ τοῦ μέτρου τῆς δυνάμεως. Ἄμφω δὲ τὰ ἔθνη κρασπεδοῦται

terminus esse sufficiat, Vsipii ac Tencteri, colunt. Tencteri, super solitum bellorum decus, equestris disciplinæ arte præcellunt; nec maior apud Cattos peditum laus, quam Tencteris equitum. Sic instituere maiores, posteri imitantur. Hi lusus infantium, hæc iuvenum æmulatio; perseverant senes. Inter familiam et penates et iura successionum equi traduntur: excipit filius, non, ut cetera, maximus natu, sed prout ferox bello et melior.

XXXIII.

Iuxta Tencteros Bructeri olim occurrebant: nunc Chamauos et Angriuarios immigrasse narratur, pulsis Bructeris ac penitus excisis vicinarum consensu nationum, seu superbiæ odio, seu prædae dulceædine, seu favore quodam erga nos Deorum: nam ne spectaculo quidem prœlii invidere. Super LX. milia non armis telisque Romanis, sed, quod magnificentius est, oblectationi oculisque ceciderunt. Maneat, queso, duretque gentibus, si non amor nostri, at certe odium sui, quando, urgentibus Imperii fatis, nihil iam præstare Fortuna maius potest, quam hostium discordiam.

XXXIV.

Angrivarios et Chamavos a tergo Dulgibini et Chasuari cludunt aliæque gentes, haud perinde memoratæ. A fronte Frisii excipiunt. *Maioribus minoribusque Frisiis* vocabulum est ex modo virium, utræque nationes usque ad Oceanum Rheno prætexuntur, ambiuntque im-

τῷ Ῥήνῳ μέχρις Ὠκεανοῦ, πρὸς δὲ καὶ λίμνας εὐρυτάτας[5]) περιοικεῖ, στόλοις ὑπὸ Ῥωμαίων διαπλευσθείσας. Ἀλλὰ καὶ αὐτοῦ τοῦ κατ' ἐκεῖνα Ὠκεανοῦ παρηψάμεθα καὶ τὰς Ἡρακλέους δὲ στήλας μέχρι τοῦ νῦν ἐκεῖ διαμένειν φήμη διαπεφοίτηκεν[6]), εἴθ' Ἡρακλῆς ὄντως ἐκεῖ παρεγένετο, εἴθ' ἡμῖν εἰς τὴν ἐκείνου δόξαν κοινῶς εἴθισται ἀναφέρειν ὅ,τι λαμπρὸν ὁπουδήποτε γῆς πεποιημένον εὕρηται. Καὶ τόλμης μὲν Δροῦσος ὁ Γερμανικὸς οὐδὲν ἐνέλιπεν, ὑπὸ δὲ τοῦ Ὠκεανοῦ ἐκωλύθη τά τε κατ' αὐτὸν τοῦτον καὶ τὰ περὶ Ἡρακλέους μὴ διεξερευνῆσαι. Ὕστερον δ' οὐδεὶς ἔτι τούτων ἥψατο, ὁσιώτερον καὶ εὐλαβέστερον δόξαν πιστεύειν τοῖς ὑπὸ θεῶν πεπραγμένοις ἢ γνῶναι ζητεῖν.

ΛΕ'.

Πρὸς μὲν δυσμὰς τοσοῦτον τὴν Γερμανίαν γιγνώσκομεν· πρὸς δ' ἄρκτον ἐπὶ μακρὸν ἐπικυρτουμένη πάλιν ἐπαναχωρεῖ. Καὶ αὐτίκα μὲν τὸ τῶν Χαύκων ἔθνος, καί περ ἀπὸ τῶν Φρεισίων ἀρχόμενον καὶ μέρος τῆς παραλίας κατέχον, τὰς πλευρὰς ὅμως τῶν εἰρημένων ἐθνῶν[5]) παρατείνει, μέχρι τε Χάττων διήκει, ἔνθα αὐτῶν ἡ χώρα ὑπονοστεῖ. Γῆς δὲ τοσαύτης ἔκτασιν οὐ μόνον κατέχουσιν, ἀλλὰ καὶ πληροῦσιν οἱ Χαῦκοι, λαὸς τῶν γερμανικῶν γνωριμώτατος καὶ τὸ ἑαυτοῦ μεγαλεῖον δικαιοσύνῃ τηρεῖν προαιρούμενος. Οὔτε γὰρ τῶν ἀλλοτρίων ἐπιθυμοῦντες, οὔτ' ἀκρατῶς ἔχοντες, τὴν δ' ἠρεμίαν καὶ τὸ καθ' ἑαυτοὺς βιοῦν ἀσπαζόμενοι, οὔτε πολέμους ἐκκαλοῦνται οὔτε λῃστεύουσιν ἢ δῃοῦσι. Μέγιστον δ' αὐτοῖς ἀρετῆς καὶ ἰσχύος τεκμήριον, ὅτι τὸ τῶν ἄλλων καθυπέρτεροι φαίνεσθαι οὐκ ἀδικίᾳ θηρῶνται (τῇ πρὸς τοὺς ἥττους). Πρόχειρα δ' ὅμως πᾶσι τὰ ὅπλα καὶ, εἰ δέοι στρατοῦ, ἀνδρῶν τε καὶ ἵππων πλῆθος. Καὶ ἠρεμοῦσι δ' αὐτοῖς παραμένει τὸ κλέος.

ΛϚ'.

Παρὰ τοὺς Χαύκους καὶ Χάττους οἱ Χηροῦσκοι[1]) παρή-

mensos insuper lacus et Romanis classibus navigatos. Ipsum quin etiam Oceanum illa tentavimus ; et superesse adhuc Herculis columnas fama vulgavit, sive adiit Hercules, seu, quicquid ubique magnificun est, in claritatem eius referre consensimus. Nec defuit audentia Druso Germanico: sed obstitit Oceanus in se simul atque in Herculem inquiri. Mox nemo tentavit, sanctiusque ac reverentius visum, de actis Deorum credere, quam scire.

XXXV.

Hactenus in Occidentem Germaniam novimus. In Septentrionem ingenti flexu redit. Ac primo statim Chaucorum gens, quanquam incipiat a Frisiis, ac partem litoris occupet, omnium, quas exposui, gentium lateribus obtenditur, donec in Cattos usque sinuetur. Tam immensum terrarum spatium non tenent tantum Chauci, sed et implent, populus inter Germanos nobilissimus, quique magnitudinem suam malit iustitia tueri. Sine cupiditate, sine impotentia, quieti secretique, nulla provocant bella, nullis raptibus aut latrociniis populantur. Idque præcipuum virtutis ac virium argumentum est, quod, ut superiores agant, non per iniurias assequuntur. Prompta tamen omnibus arma ac, si res poscat exercitus, plurimum virorum equorumque ; et quiescentibus eadem fama.

XXXVI.

In latere Chaucorum Cattorumque Cherusci nimiam

κοντες εἰρήνην λίαν μακρὰν καὶ χαύνην ἀνενόχλητοι διετήρησαν. Ἥδιον δ᾽ ἦν τοῦτο ἢ ἀσφαλέστερον. Τοῖς γὰρ εἰς πλεονεξίαν εὐεπιφόροις ὁμορῶν καὶ ἰσχυροτέροις οὐκ ἂν ἀληθῆ τις ἡσυχίαν ἔχοι· ὅπου δὲ χειρὶ πράττεται πάντα, τὰ τῆς μετριοφροσύνης καὶ δικαιοσύνης ὀνόματα τῷ κρείττονι ἀπονέμεται. Διὸ οἱ πάλαι ἀγαθοὶ καὶ δίκαιοι ἀκούοντες Χηροῦσκοι ἀδρανεῖς νῦν καλοῦνται καὶ ἀβέλτεροι. Χάττοις δὲ τοῖς νενικηκόσιν ἡ εὐτυχία ἀποβέβηκεν εἰς σοφίαν· Κεκοινωνήκασι δὲ τῆς διαφθορᾶς τοῖς Χηρούσκοις καὶ Φόσοι, ὅμορον ἔθνος, οἳ τῆς δυστυχίας ἐξίσου αὐτοῖς μετειλήφασι, καί περ ἐν ἥττονι μοίρᾳ παρὰ τὸν τῆς εὐτυχίας χρόνον γενόμενοι.

ΛΖ′.

Τὸν αὐτὸν τῆς Γερμανίας κόλπον[1]) οἱ ἔγγιστα τοῦ Ὠκεανοῦ Κίμβροι[2]) κατέχουσι μικρὰ μὲν νῦν πόλις, κλέος δὲ μέγιστον κτησαμένη. Διαμένει δ᾽ ἐπὶ πολὺ τῆς χώρας ἴχνη τῆς πάλαι εὐκλείας αὐτῶν ἐφ᾽ ἑκατέρας ἀκτῆς[3]) εὐρέα ἐρύματα[4]), ὧν τῇ περιοχῇ καὶ νῦν ἂν εἰκάσειας τοῦ ἔθνους τὸ μέγεθος καὶ τὴν δύναμιν, καὶ τὴν οὕτω μεγάλην αὐτοῦ συμφορὰν[5]) πιστεύσειας. Ἑξακοσιοστὸν καὶ τεσσαρακοστὸν ἔτος ἡ πόλις ἦγεν ἡμῶν, ὅτε πρῶτον τὰ τῶν Κίμβρων ὅπλα ἠκούσθη, Καικιλίου Μετέλλου καὶ Παπιρίου Κάρβωνος τὴν ὕπατον ἐχόντων ἀρχήν[6])· ἐξ οὗ δὴ ἐς τὴν δευτέραν τοῦ αὐτοκράτορος Τραϊανοῦ ὑπατείαν[7]) τὸν χρόνον ἡμῖν ἐκλογιζομένοις δέκα σχεδὸν ἐπὶ διακοσίοις συντελεῖται ἔτη. Οὕτω μακρὸν χρόνον ἡ Γερμανία νικᾶται[8]). Ἐν δὲ τῷ μεταξὺ μακρῷ τούτῳ χρόνῳ πολλὰ κακὰ αὐτοὶ καὶ ἡμεῖς ἀλλήλους ἐδράσαμεν. Οὐ γὰρ Σαμνῖται, οὐ Καρχηδόνιοι, οὐχ Ἱσπανίαι ἢ Γαλλίαι[9]), ἀλλ᾽ οὐδὲ Πάρθοι οὕτω συχνὸν ἡμῖν ἐσήμηναν κίνδυνον· τῆς γὰρ τοῦ Ἀρσάκου βασιλείας δεινότερον ἡμῖν πέφηνε τὸ τῶν Γερμανῶν φιλελεύθερον[10]). Τί γὰρ ἂν ἄλλο ἢ τὸν τοῦ Κράσσου φόνον ἡ Ἀσία ἡμῖν προενέγκοι δεινόν, καὶ αὐτὴ ὅμως ἀποβαλοῦσα τὸν Πάκορον καὶ ὑπὸ Οὐεντι-

ac marcentem diu pacem illacessiti nutrierunt. Idque iucundius, quam tutius, fuit; quia inter impotentes et validos falso quiescas: ubi manu agitur, modestia ac probitas nomina superioris sunt. Ita, qui olim *boni aequique Cherusci, nunc inertes ac stulti* vocantur: Cattis victoribus fortuna in sapientiam cessit. Tracti ruina Cheruscorum et Fosi, contermina gens, adversarum rerum ex æquo socii, cum in secundis minores fuissent.

XXXVII.

Eundem Germaniæ sinum proximi Oceano Cimbri tenent, parva nunc civitas, sed gloria ingens; veterisque famæ lata vestigia manent utraque ripa castra ac spatia, quorum ambitu nunc quoque metiaris molem manusque gentis et tam magni exitus fidem. Sexcentesimum et quadragesimum annum urbs nostra agebat, cum primum Cibrorum audita sunt arma, Cæcilio Metello ac Papirio Carbone coss. Ex quo si ad alterum Imperatoris Traiani consulatum computemus, ducenti ferme et decem anni colliguntur. Tamdiu Germania vincitur. Medio tam longi ævi spatio multa invicem damna. Non Samnis, non Pœni, non Hispaniæ Galliæve, ne Parthi quidem sæpius admonuere: quippe regno Arsacis acrior est Germanorum libertas. Quid enim aliud nobis, quam cædem Crassi, amisso et ipso Pacoro, infra Ventidium deiectus Oriens obiecerit? At Germani Carbone et Cassio et Scauro Aurelio et Servilio Cæpione, Cn. quoque Manlio fusis, vel captis, quinque simul consulares exercitus populo Pomano, Varum tresque cum eo legiones etiam Cæsari abstulerunt. nec impune C. Marius in Ita-

δίου καταβληθεῖσα[11]); Οἱ δὲ Γερμανοὶ Κάρβωνα καὶ Κάσσιον καὶ Σκαῦρον Αὐρήλιον καὶ Σερουΐλιον Καιπίωνα καὶ Γναῖον Μάλλιον τρεψάμενοι ἢ ζωγρήσαντες[12]) πέντε ὁμοῦ ὑπατικοὺς στρατοὺς τὸν Ῥωμαῖον δῆμον, καὶ αὐτὸν δὲ Καίσαρα τόν τε Οὔαρον καὶ τάγματα σὺν τούτῳ τρία ἀφείλοντο[13]). Οὐδ' ἀζημίως αὐτοὺς Γάϊος Μάριος ἐν Ἰταλίᾳ καὶ Ἰούλιος ὁ Θεὸς ἐν Γαλλίᾳ, καὶ Δροῦσος, καὶ Νέρων, καὶ Γερμανικὸς[14]) ἐν ταῖς ἰδίαις ἕδραις κατεμαχέσαντο. Μικρῷ δ' ὕςερον αἱ μεγάλαι Γαΐου τοῦ Καίσαρος[15]) ἀπειλαὶ εἰς χλεύην ἐτράπησαν ὑπ' αὐτῶν. Τὸ δ' ἐντεῦθεν εἰρήνη[16]), ἕως ἐπιλαβόμενοι καιροῦ τοῦ κατὰ τὰς διχοστασίας ἡμῶν καὶ τοὺς ἐμφυλίους πολέμους[17]) τά τε τῶν ταγμάτων χειμάδια εἷλον καὶ ταῖς Γαλλίαις ἐπωφθαλμίασαν· πάλιν δ' ἀπωσθέντες θριάμβου μᾶλλον ἡμῖν ἀπὸ τῶν ἔγγιστα χρόνων ἀφορμὴν παρέσχον ἢ ἐνικήθησαν.

ΛΗ΄.

Νῦν δὲ καὶ περὶ τῶν Σουήβων λεκτέον, ὧν οὐχ ἕν ἐστιν ἔθνος, ὥσπερ τῶν Χάττων καὶ τῶν Τεγκτέρων· τὴν γὰρ μείζω τῆς Γερμανίας νέμονται μοῖραν, εἰς ἴδια μέχρι τοῦ νῦν ἔθνη καὶ ὀνόματα διακεκριμένοι, καί περ κοινῇ προσηγορίᾳ Σούηβοι πάντες καλούμενοι. Γνώρισμα δὲ τῷ φύλῳ τὸ τὴν κόμην ἀνασπᾶν καὶ ἅμματι συνδεῖν. Οὕτω δὴ οἱ Σούηβοι καὶ ἄλλων Γερμανῶν, οὕτω δὲ τῶν δούλων οἱ τῶν Σουήβων ἐλεύθεροι διακρίνονται. Παρὰ μὲν γὰρ τοῖς ἄλλοις φύλοις ἤτοι διά τινα πρὸς τοὺς Σουήβους συγγένειαν, ἤ, (ὥσπερ πολλάκις συμβέβηκε) κατὰ μίμησιν, σπάνιον τοῦτό ἐστι καὶ παρὰ τὸν τῆς νεότητος μόνον εἴθισται χρόνον· παρὰ δὲ τοῖς Σουήβοις μέχρι πολιᾶς ἡ αὐχμηρὰ ἀνασπᾶται κόμη καὶ πολλάκις ἐπ' αὐτῆς ψιλῆς συνδεῖται τῆς κορυφῆς. Οἱ δ' ἄρχοντες καὶ κοσμοῦσιν αὐτήν.· Τοσαύτη τῆς μορφῆς αὐτοῖς ἡ φροντίς, ἀλλ' ἀθώα· οὐ γὰρ δι' ἔρωτα ἐρῶντες ἢ ἐρώμενοι καλλωπίζονται, ἀλλὰ πρὸς τοὺς τῶν πολεμίων ὀφθαλμούς, ἵν' ὑψη-

lia, D. Iulius in Gallia, Drusus ac Nero et Germanicus in suis eos sedibus perculerunt. Mox ingentes C. Cæsaris minæ in ludibrium versæ. Inde otium, donec occasione discordiæ nostræ et civilium armorum, expugnatis legionum hibernis, etiam Gallias affectavere; ac rursus pulsi inde proximis temporibus triumphati magis quam victi sunt.

XXXVIII.

Nunc de Suevis dicendum est, quorum non una, ut Cattorum Tencterorumve, gens : maiorem enim Germaniæ partem obtinent, propriis adhuc nationibus nominibusque discreti, quanquam in commune *Suevi* vocentur. Insigne gentis obliquare crinem nodoque substringere. Sic Suevi a ceteris Germanis, sic Suevorum ingenui a servis separantur. In aliis gentibus, seu cognatione aliqua Suevorum, seu (quod sæpe accidit) imitatione, rarum, et intra iuventæ spatium; apud Suevos usque ad canitiem horrentem capillum retro sequuntur, ac sæpe in solo vertice religant. Principes et ornatiorem habent. Ea cura formæ, sed innoxia. Neque enim ut ament amenturve, in altitudinem quandam et terrorem adituri bella, veluti hostium oculis, ornantur.

λότεροι καὶ φοβερώτεροι αὐτοῖς ὁρῶνται εἰς μάχην ἰόντες.

ΛΘ'.

Ἀρχαιοτάτους τῶν Σουήβων καὶ εὐγενεστάτους ἑαυτοὺς οἱ Σέμνωνες εἶναι φάσκουσιν· ἡ δὲ τῆς ἀρχαιότητος πίστις καὶ θεσμῷ τινὶ ἱερῷ βεβαιοῦται. Τακτῷ γὰρ χρόνῳ εἰς ὕλην τινὰ οἰωνοῖς τε πατέρων καὶ δεισιδαιμονίᾳ παλαιτάτῃ καθιερωμένην οἱ ὅμαιμοι πάντες λαοὶ θεωροὺς πέμπουσιν, οἳ[1]) δημοτελῶς ἄνθρωπον ἱερεύσαντες τῆς τελετῆς φοβερὰ ποιοῦνται τὰ προοίμια. Καὶ ἕτερον δὲ τῷ ἄλσει νέμεται σέβας· οὐδεὶς γὰρ ἀλλ' ἢ πέδας περικείμενος εἴσεισιν, ὡς δὴ τοῦ θεοῦ πεφυκὼς ἥττων καὶ τὴν θείαν ἐμφαίνων δύναμιν. Εἰ δέ τις κατολισθήσειεν, οὐ θέμις αὐτοῖς ὀρθωθῆναι καὶ ἀναστῆναι, ἀλλὰ χαμαὶ ἐκκυλίονται. Πᾶσα οὖν αὐτῶν ἡ δεισιδαιμονία τοῦτο αἰνίττεται, ὅτι ἐντεῦθέν ἐστι τοῦ γένους αὐτοῖς ἡ ἀρχή, ἐνταῦθα ὁ πάντων ἀνάσσων θεός· τἆλλα δὲ ὑποτέτακταί τε καὶ ὑπακούει. Προστίθησι δὲ τούτοις πίστιν καὶ ἡ τῶν Σεμνώνων εὐπραγία· ἑκατὸν γὰρ οἰκοῦσι δήμους, διὰ δὲ τὸ πολυάριθμοι εἶναι τὰ πρῶτα ἐν Σουήβοις φέρεσθαι πεπιστεύκασι.

Μ'.

Τοὐναντίον τοῖς Λαγγοβάρδοις πρὸς εὐγένειαν καὶ δόξαν ἥκει τὸ ὀλιγάριθμον. Πολλοῖς γὰρ καὶ ἀλκιμωτάτοις ἔθνεσι περιειλημμένοι, οὐ τῷ εὐπειθεῖς ἑαυτοὺς παρέχειν, ἀλλὰ τῷ μάχεσθαι καὶ ἐν ὅπλοις κινδυνεύειν σώζονται. Πορρωτέρω δὲ Ῥεύδιγνοι καὶ Ἀουΐονες, καὶ Ἄγγιλοι καὶ Οὐάρνοι, καὶ Εὐδόσεις, καὶ Σουάρδονες, καὶ Νουΐθονες ποταμοῖς ἢ ὕλαις ὠχύρωνται· οὐδὲν δ' αὐτοῖς ἑκάστοις ὑπάρχει λόγου ἄξιον, πλὴν ὅτι Ἕρθαν, Γῆν δηλονότι μητέρα, κοινῇ θεραπεύουσιν, ἣν κήδεσθαι τῶν ἀνθρωπίνων πιστεύουσι καὶ τοῖς λαοῖς ἐπιφοιτᾶν. Ἔστι γοῦν ἐν νήσῳ τινὶ τοῦ Ὠκεανοῦ ἄλσος ἱερὸν καὶ ἐν τούτῳ ὄχημα καθωσιωμένον, συγκεκαλυμμένον ὀθόνῃ, οὗ δὴ θιγγάνειν μόνῳ ἐφεῖται τῷ ἱερεῖ. Οὗτος οὖν αἰσθάνε-

XXXIX.

Vetustissimos se nobilissimosque Suevorum Semnones memorant. Fides antiquitatis religione firmatur. Stato tempore in silvam, auguriis patrum et prisca formidine sacram, omnes eiusdem sanguis populi legationibus coeunt, cæsoque publice homine celebrant barbari ritus horrenda primordia. Est et alia luco reverentia. Nemo nisi vinculo ligatus ingreditur, ut minor, et potestatem numinis præ se ferens. Si forte prolapsus est, attolli et insurgere haud licitum: per humum evolvuntur, eoque omnis superstitio respicit, tanquam inde initia gentis, ibi regnator omnium Deus, cetera subiecta atque parentia. Adiicit auctoritatem fortuna Semnonum: centum pagis habitatur magnoque corpore efficitur, ut se Suevorum caput credant.

XL.

Contra Langobardos paucitas nobilitat. Plurimis ac valentissimis nationibus cincti, non per obsequium, sed prœliis et periclitando tuti sunt. Reudigni deinde et Aviones et Angli et Varini et Eudoses et Suardones et Nuithones fluminibus aut silvis muniuntur. nec quicquam notabile in singulis, nisi quod in commune Hertham, id est Terram matrem, colunt, eamque intervenire rebus hominum, invehi populis arbitrantur. Est in insula Oceani castum nemus, dicatumque in eo vehiculum, veste contectum, attingere uni Sacerdoti concessum. Is adesse penetrali Deam intelligit, vectamque bubus feminis multa cum veneratione prosequitur. Læ-

ται τῆς θεᾶς ἐν τῷ ἀδύτῳ παρούσης, ὑπὸ δὲ βοῶν θηλειῶν ἐπὶ τοῦ ὀχήματος κομιζομένη παρέπεται ἐν πολλῷ σεβασμῷ. Χαρμόσυνοι δὴ τότε εἰσὶν αἱ ἡμέραι· ἑορτὴν δ' ἄγουσιν αἱ χῶραι, αἳ τῆς τῆς θεᾶς ἐπιδημίας καὶ καταλύσεως ἠξίωνται. Οὐδένα ἐν τῷδε τῷ χρόνῳ πόλεμον ἀναιροῦνται, οὐχ ὅπλων ἅπτονται, πᾶς σίδηρος ἠρεμεῖ κεκλεισμένος, εἰρήνη καὶ ἡσυχία τότε μόνον γιγνώσκεται, τότε μόνον φιλεῖται, ἕως ἂν ὁ αὐτὸς ἱερεὺς τὴν θεάν, μεστὴν ἤδη γενομένην τῆς πρὸς τοὺς θνητοὺς ὁμιλίας, ἐς τὸν ναὸν πάλιν ἀνακομίσῃ. Εὐθὺς δ' ἔπειτα τό τε ὄχημα καὶ ἡ ὀθόνη, καὶ αὐτὴ ἡ θεά, εἴτις πιστεύειν ἐθέλοι, ἐν τῇ ἀποκρύφῳ λίμνῃ καθαίρονται. Διακονοῦσι δὲ δοῦλοι, οὓς παραχρῆμα ἡ αὐτὴ καταπίνει λίμνη. Ὅθεν μυστηριώδης φόβος καὶ ἱερὰ πάντας κατέχει ἄγνοια, τί ἄρα ἐστιν ἐκεῖνο, ὅπερ οἱ αὐτίκα τεθνηξόμενοι μόνοι πάντων ὁρῶσι.

ΜΑ'.

Αὕτη μὲν τῶν Σουήβων ἡ μοῖρα εἰς τὰ ἀπώτερα καὶ ἀγνωστότερα τῆς Γερμανίας διήκει. Τούτων δ' ἡμῖν ἐγγυτάτη (ἵνα δή, ὥσπερ ὀλίγῳ πρότερον τῷ Ῥήνῳ, οὕτω νῦν μοι ὁ λόγος ἀκολουθήσῃ τῷ Δανουβίῳ) ἡ τῶν Ἑρμονδούρων π ό λ ι ς κεῖται[1]), πιστὴ Ῥωμαίοις[2])· διὸ καὶ μόνοις τῶν Γερμανῶν οὐ μόνον ἐπὶ τῆς ὄχθης ἐπιμιξία γίγνεται πρὸς ἡμᾶς, ἀλλὰ καὶ ἐν μεσογαίῳ, καὶ ἐν τῇ λαμπροτάτῃ τῆς ἐπαρχίας Ῥαιτίας ἀποικίᾳ[3])· Διαβαίνουσι δὲ πρὸς ἡμᾶς, ὅπου τύχοι, καὶ οὐδενὸς φύλακος παραπέμποντος[4]). Ὅτε δὲ τοῖς ἄλλοις ἔθνεσιν ὅπλα μόνον ἐπιδεικνύμεθα καὶ στρατόπεδα, τούτοις οἴκους ἠνεῴξαμεν καὶ ἐπαύλεις, ὡς οὐδαμῶς τούτων ἐπιθυμήσουσιν. Ἐν δὲ τῇ χώρᾳ τῶν Ἑρμουνδούρων τὰς πηγὰς ἔχει ὁ Ἄλβις[5]) κλεινός ποτε ποταμὸς καὶ ὄψει γνωστός· νῦν δ' ἀκοῇ μόνῃ γιγνώσκεται.

ΜΒ'.

Ἑξῆς τῶν Ἑρμουνδούρων οἱ Ναρίσκοι οἰκοῦσιν, εἶτα

ti tunc dies, festa loca, quæcunque adventu hospitioque dignatur. Non bella ineunt, non arma sumunt; clausum omne ferrum: pax et quies tunc tantum nota, tunc tantum amata, donec idem Sacerdos satiatam conversatione mortalium Deam templo reddat. Mox vehiculum et vestes, et, si credere velis, Numen ipsum secreto lacu abluitur. Servi ministrant, quos statim idem lacus haurit. Arcanus hinc terror sanctaque ignorantia, quid sit illud, quod tantum perituri vident.

XLI.

Et hæc quidem pars Suevorum in secretiora Germaniæ porrigitur. Propior (ut, quo modo paullo ante Rhenum, sic nunc Danubium sequar) Hermundurorum civitas, fida Romanis; coque solis Germanorum non in ripa commercium, sed penitus atque in splendidissima Rhaetiæ provinciae colonia. Passim et sine custode transeunt; et, cum ceteris gentibus arma modo castraque nostra ostendamus, his domos villasque patefecimus, non concupiscentibus. In Hermunduris Albis oritur, flumen inclitum et notum olim; nunc tantum auditur.

XLII.

Iuxta Hermunduros Narisci, ac deinde Marcomanni

Μαρκομάννοι καὶ Κούαδοι[1]). Ὑπερφέρουσι δὲ δόξῃ τε καὶ δυνάμει οἱ Μαρκομάννοι, οἵγε καὶ τὴν χώραν αὐτῶν ἀρετῇ ἐκτήσαντο, ἐκβαλόντες ποτὲ Βοΐους. Οὐ μὴν οὐδ' οἱ Ναρίσκοι ἢ Κούαδοι τῆς τοῦ γένους ἀρετῆς ἐξεστήκασι. Τοῦτο δὴ οἷον μέτωπον[2]) τῆς Γερμανίας ἐστίν, ἐφ' ὅσον ὁ Δανούβιος διατείνει[3]). Ἔμειναν δέ, ἐφ' ὅσον ἐφικνεῖται ἡμῶν ἡ μνήμη, τοῖς Μαρκομάννοις καὶ Κουάδοις ὁμοεθνεῖς βασιλεῖς, τὸ κλεινὸν τοῦ Μαροβούδου καὶ Τούδρου γένος[4])· νῦν δ' ὅμως καὶ ἀλλοεθνεῖς στέργουσιν. Ἀλλ' ἡ δύναμις καὶ τὸ κράτος παρὰ τῶν Ῥωμαίων τοῖς βασιλεῦσι γίγνεται. Σπανίως δ' οὗτοι ὅπλοις, τὸ δὲ πλέον χρήμασι παρ' ἡμῶν βοηθοῦνται· οὐχ ἧττον ὅμως ἰσχύουσιν.

ΜΓ'.

Ὄπισθεν δὲ Μάρσιγνοι, Γοθῖνοι, Ὄσοι, Βοῦροι τὰ νῶτα τῶν Μαρκομάννων καὶ Κουάδων κατέχουσιν[1])· ὧν Μάρσιγνοι μὲν καὶ Βοῦροι φωνῇ τε καὶ περιβολῇ τοῖς Σουήβοις ἐοίκασι· τοὺς δὲ Γοθίνους ἡ Γαλατικὴ καὶ τοὺς Ὄσους ἡ Παννονικὴ γλῶσσα ἐλέγχει οὐκ ὄντας Γερμανούς, ἔτι δὲ καὶ τὸ φόρους ὑπομένειν. Τῶν δὲ φόρων τοὺς μὲν Σαρμάται, τοὺς δὲ Κούαδοι αὐτοῖς ἅτε ἀλλογενέσι τάττουσιν[2]). Οἱ δὲ Γοθῖνοι ἐπὶ μείζονι αἰσχύνῃ καὶ σίδηρον ἐξορύσσουσι[3]). Πάντες δ' οἱ λαοὶ οὗτοι ὀλίγα πεδεινὰ νέμονται· τὰ δ' ἄλλα νάπας καὶ κορυφὰς ὀρῶν καὶ ὀφρῦς ἔχουσι. Διαλαμβάνει γὰρ καὶ διατέμνει τὴν Σουηβίαν ὄρη συνεχῆ[4]), ὑπὲρ ἃ πολλὰ ἔθνη οἰκεῖ, καὶ τούτων ὀνομαστότατον οἱ Λύγιοι[5]), εἰς πλείους π ό λ ε ι ς μεμερισμένοι. Ἀρκέσει τούτων τὰς κρατίστας κατονομάσαι· Ἀρίους, Ἑλβεκώνας, Μανίμους, Ἐλυσίους, Ναарβάλους[6]. Παρὰ μὲν τοῖς Ναарβάλοις ἄλσος ἱερὸν ἐκ παλαιτάτων δείκνυται χρόνων, οὗ προέστηκεν ἱερεὺς γυναικεῖον περικείμενος κόσμον· θεοὺς δὲ νομίζουσι Κάστορα καὶ Πολυδεύκη, ὡς ἄν τις αὐτοὺς τοῖς παρὰ Ῥωμαίοις παραβάλλων μεθερμηνεύσειεν· αὕτη μὲν τῶν θεῶν ἡ σημασία,

et Quadi agunt. Praecipua Marcomannorum gloria viresque, atque ipsa etiam sedes, pulsis olim Boiis, virtute parta. Nec Narisci Quadive degenerant. Eaque Germaniæ velut frons est, quatenus Danubio peragitur. Marcomannis Quadisque usque ad nostram memoriam Reges manserunt ex gente ipsorum, nobile Marobodui et Tudri genus: iam et externos patiuntur: sed vis et potentia Regibus ex auctoritate Romana, raro armis nostris, sæpius pecunia iuvantur; nec minus valent.

XLIII.

Retro Marsigni, Gothini, Osi, Burii terga Marcomannorum Quadorumque claudunt. e quibus Marsigni, et Burii sermone cultuque Suevos referunt. Gothinos Gallica, Osos Pannonica lingua, coarguit non esse Germanos, et quod tributa patinuntur. Partem tributorum Sarmatæ, partem Quadi, ut alienigenis, imponunt. Gothini, quo magis pudeat, et ferrum effodiunt. omnesque hi populi pauca campestrium, ceterum saltus et vertices montium iugumque insederunt. Dirimit enim scinditque Sueviam continuum montium iugum, ultra quod plurimæ gentes agunt, ex quibus latissime patet Lygiorum nomen in plures civitates diffusum. Valentissimas nominasse sufficiet, Arios, Helveconas, Manimos, Elysios, Naharvalos. Apud Naharvalos antiquæ religionis lucus ostenditur. Præsidet Sacerdos muliebri ornatu; sed *Deos interpretatione Romana Castorem Pollucemque* memorant. Ea vis numini: nomen *Alcis*. Nulla simulacra, nullum peregrinæ superstitionis vestigium: ut fratres tamen, ut iuvenes, venerantur. Ceterum Arii super vi-

τὸ δ' ὄνομα Ἄλκοι καλοῦνται[7]). Οὐδεμία δ' αὐτῶν εἰκών, οὐδὲν τῆς ὀθνείας δεισιδαιμονίας ἴχνος, ὅμως δ' ὡς ἀδελφοὶ ἀλλήλοις καὶ νεανίσκοι λατρεύονται. Οἱ δ' Ἄριοι, μείζω τὴν ἰταμότητα ἔχοντες τῆς δυνάμεως, ᾗ τῶν ἀνωτέρω κατειλεγμένων λαῶν[8]) ὑπερφέρουσι, τὴν ἐμφυῆ ἀγριότητα τέχνῃ καὶ καιρῷ φοβερωτέραν (τοῖς πολεμίοις) ἀπεργάζονται. Μελαίνας γὰρ φέρουσιν ἀσπίδας, καὶ τὸ σῶμα χρωννύουσι[9])· ζοφερὰς δ' ἐς μάχην νύκτας ἐκλέγονται, αὐτῇ τε τῇ τῆς θέας φοβερότητι καὶ τῇ χροιᾷ νεκροδερκοῦς στρατιᾶς τρόμον τοῖς πολεμίοις ἐπάγουσιν, οὐδενὸς τούτων τὴν καινοφανῆ ὑπομένοντος καὶ οἷον ὑποχθόνιον ὄψιν· Πρῶτοι γὰρ ἐν πάσαις μάχαις νικῶνται οἱ ὀφθαλμοί.

Ἐπέκεινα τῶν Λυγίων οἱ Γόθωνες βασιλεύονται,[10]) ὀλίγῳ μὲν βαρύτερον τῶν ἄλλων τῆς Γερμανίας ἐθνῶν ἀρχόμενοι, οὐ μὴν τῆς ἐλευθερίας ἐκτός. Εἶτα δ' ἐπ' αὐτῷ τῷ Ὠκεανῷ οἱ Ῥόγοι οἰκοῦσι καὶ οἱ Λεμόβιοι[11]). Πάντων δὲ τῶν ἐθνῶν τούτων κοινόν ἐστι γνώρισμα ἀσπίδες περιφερεῖς, βραχέα ξίφη καὶ πρὸς τοὺς ἡγεμόνας εὐπείθεια.

ΜΔ'.

Προσωτέρω δὲ αἱ τῶν Συϊόνων πόλεις[1]) ἐν αὐτῷ κείμεναι τῷ Ὠκεανῷ[2]) οὐ μόνον ἀνδράσι καὶ ὅπλοις, ἀλλὰ καὶ στόλοις ἰσχύουσι. Τὸ δὲ τῶν νεῶν εἶδος διαφέρει τῷ διπρώρους αὐτὰς εἶναι καὶ ἀεὶ ἐς τὸ προσοκέλλειν ἕτοιμον παρέχειν τὸ μέτωπον. Οὔτε δ' ἱστίοις χρῶνται, οὔτε τὰς πλευρὰς κωπῶν ἑξῆς τεταγμένων πτεροῦσι ταρσοῖς, ἀλλ' ἐλευθέρα ἡ κώπευσις, ὥσπερ ἔν τισι ποταμοῖς, καὶ μεταβλητή, ἔνθα ἢ ἔνθα τῶν ἐρετμῶν μετατασσομένων κατὰ τὴν χρείαν. Καὶ ὁ πλοῦτος δ' ἐν τιμῇ ἐστι παρ' αὐτοῖς καὶ διὰ τοῦτο εἷς αὐτῶν ἄρχει, ἀπεριορίστῳ χρώμενος ἐξουσίᾳ καὶ οὐδεμίαν τοῖς ἀρχομένοις εἰς τὸ ὑπακούειν παρέχων αἵρεσιν[3]). Καὶ ὅπλα δὲ οὐκ ἀδιαφόρως ὡς παρὰ τοῖς ἄλλοις Γερμανοῖς παντὶ τῷ

res, quibus enumeratos paullo ante populos antecedunt, truces, insitæ feritati arte ac tempore lenocinantur. Nigra scuta, tincta corpora, atras ad prœlia noctes legunt, ipsaque formidine atque umbra feralis exercitus terrorem inferunt, nullo hostium sustinente novum ac velut infernum adspectum: nam primi in omnibus prœliis oculi vincuntur. Trans Lygios Gothones regnantur, paullo iam adductius, quam ceteræ Germanorum gentes, nondum tamen supra libertatem. Protinus deinde ab Oceano Rugii et Lemovii: omniumque harum gentium insigne rotunda scuta, breves gladii, et erga Reges obsequium.

XLIV.

Suionum hinc civitates, ipso in Oceano, præter viros armaque classibus valent. Forma navium eo differt, quod utrinque prora paratam semper appulsui frontem agit. Nec velis ministrant, nec remos in ordinem lateribus adiungunt. Solutum, ut in quibusdam fluminum, et mutabile, utut res poscit, hinc vel illinc remigium. Est apud illos et opibus honos, eoque nnus imperitat, nullis iam exceptionibus, non precario iure parendi. Nec arma, ut apud ceteros Germanos, in promiscuo, sed clausa sub custode et quidem servo: quia subitos hostium incursus prohibet Oceanus, otiosæ porro armatorum manus facile lasciviunt. Enimvero neque nobilem,

βουλομένῳ φέρειν ἐφεῖται, ἀλλ' ὑπὸ φύλακι, καὶ τούτῳ δούλῳ, τεταμιευμένα τηρεῖται. Ὁ μὲν γὰρ Ὠκεανὸς ἐξαπιναίας πολεμίων ἐφόδους ἀπείργει· ἀργαὶ δ' ὁπλοφορούντων χεῖρες ῥᾳδίως ἀκολασταίνουσι. Δῆλον δ' αὖ ὅτι οὔτ' εὐγενῆ, οὔτ' ἐλεύθερον, οὐδὲ μὴν ἐξελευθερικὸν τοῖς ὅπλοις ἐφιστάναι συμφέρει τοῖς δυναστεύουσι[4]).

ΜΕ'.

Πέραν τῶν Συϊόνων ἄλλη διακέχυται θάλασσα νωθὴς καὶ σχεδὸν ἀκίνητος[1]), ᾗ περιζώννυσθαί τε καὶ περικλείεσθαι τὸν τῆς γῆς κύκλον διὰ τοῦτο πιστεύεται, διότι ἡ τελευταία τοῦ δύοντος ἡλίου αὐγὴ μέχρις ἀνατολῆς διαμένει φωτεινὴ οὕτως, ὥστ' ἀμαυροῦσθαι ὑπ' αὐτῆς τοὺς ἀστέρας[2]). Ἔτι δὲ καὶ ψόφον ἀκούεσθαι καὶ θεῶν ἰδέας καὶ ἀκτῖνας τὰς κεφαλὰς αὐτῶν περιστεφούσας ὁρᾶσθαι ἡ κοινὴ πίστις προστίθησιν[3]). Ἕως ὧδε, ὡς λόγος, ἡ ἀληθὴς φύσις διήκει. Τῇ δεξιᾷ οὖν τῆς σουηβικῆς θαλάσσης παραλίᾳ τὰ τῶν Αἰςύων προσκλύζεται ἔθνη, οἷς ἤθη μὲν καὶ βίος ὁ τῶν Σουήβων, γλῶσσα δὲ τῇ βρεττανικῇ ἐγγυτέρα ἐςί. Σεβίζουσι δὲ θεῶν μητέρα καὶ κάπρων εἰκόνας γνώρισμα τοῦ θρησκεύματος φέρουσι. Τοῦτο ἀνθ' ὅπλων καὶ παντὸς ἀλεξήματος τὸν τῆς θεᾶς λάτριν καὶ ἐν μέσῳ τῶν πολεμίων ἀσφαλῆ καθίςησι. Σπανία παρ' αὐτοῖς τοῦ σιδήρου, συχνοτέρα δὲ τῶν ῥοπάλων ἡ χρῆσις. Λήϊα δὲ καὶ καρποὺς ἄλλους φιλοπονώτερον φυτουργοῦσιν ἢ κατὰ τὴν συνήθη τοῖς Γερμανοῖς ἀδράνειαν καὶ φυγοπονίαν. Καὶ τὴν θάλασσαν δὲ διφῶσι καὶ μόνοι ἁπάντων τὸ ἤλεκτρον, ὃ γλέσον αὐτοὶ καλοῦσιν, ἔν τε τοῖς τενάγεσι καὶ ἐπ' αὐτῆς συλλέγουσι τῆς ἀκτῆς. Τίς δε τούτου ἡ φύσις καὶ τίς τῆς γενέσεως ὁ τρόπος, οὐκ ἐζήτησαν, οἷα βάρβαροι, οὔτ' ἀνεῦρον. Ἀλλὰ καὶ χρόνον μακρὸν ἐν τοῖς ἄλλοις τῆς θαλάσσης ἐκβράσμασιν ἄχρηστον ἔκειτο, ἕως ἡ ἡμετέρα χλιδὴ ὄνομα παρέσχεν αὐτῷ. Παρ' αὐτοῖς οὖν ἐκείνοις ἐν οὐδεμιᾷ ἐστι χρήσει· ἀκατέργαστον δὲ συλλέγεται καὶ ἀνειδοποίητον κομί-

neque ingenuum, ne libertinum quidem, armis præponere Regia utilitas est.

XLV.

Trans Suionas aliud mare, pigrum ac prope inmotum, quo cingi cludique terrarum orbem hinc fides, quod extremus cadentis iam solis fulgor in ortus edurat adeo clarus, ut sidera hebetet. Sonum insuper audiri, formasque Deorum et radios capitis aspici, persuasio adiicit. Illuc usque, ut fama, vera tantum natura. Ergo iam dextro Suevici maris litore Aestyorum gentes alluuntur, quibus ritus habitusque Suevorum, lingua Britannicæ propior. Matrem Deum venerantur: insigne superstitionis, formas aprorum gestant; id pro armis omnique tutela securum Deæ cultorem etiam inter hostes præstat. Rarus ferri, frequens fustium usus. Frumenta ceterosque fructus patientius, quam pro solita Germanorum inertia, laborant. Sed et mare scrutantur, ac soli omnium succinum, quod ipsi *Glesum* vocant, inter vada atque in ipso litore legunt; nec, quæ natura, quæve ratio gignat, ut barbaris, quæsitum compertumve. Diu quin etiam inter cetera eiectamenta maris iacebat, donec luxuria nostra dedit nomen. Ipsis in nullo usu: rude legitur, informe perfertur, pretiumque mirantes accipiunt. Succum tamen arborum esse intelligas, quia terrena quædam atque etiam volucria animalia plerumque interlucent, quæ inplicata humore, mox durescente materia cluduntur. Fecundiora igitur nemora lucosque, sicut Orientis secretis, ubi thura balsamaque sudantur,

ζεται ὑπ' αὐτῶν, οἳ θαυμάζοντες τιμὴν αὐτοῦ λαμβάνουσιν ἀργύριον. Γνοίης δ' ἂν αὐτὸ ὀπὸν δένδρου ὄν, ὅτι χερσαῖά τινα καὶ προσέτι πτηνὰ ζωΰφια πολλάκις ἐν αὐτῷ ὁρᾶται, ἃ δήπου τῷ χυμῷ ἐμπεσόντα καὶ ἐνσχεθέντα, αὐτίκ' ἔπειτα πηγνυμένης τῆς ὕλης καθείργνυται. Γονιμωτέρας οὖν τινας ὕλας καὶ νάπας, ὥσπερ ἐν ἀπωτάταις τισὶ καὶ ἀγνώστοις τῆς ἕω χώραις, ὅπου θυώματά τε καὶ βάλσαμα τῶν φυτῶν ἐξιδροῦται, οὕτω κἂν ταῖς ὑπὸ τὴν δύσιν νήσοις καὶ ἠπειρώτισι χώραις πεφυκέναι πιστεύω· ὧν ὁ ὀπὸς ταῖς τοῦ γείτονος ἡλίου ἀκτῖσιν ἐκκρινόμενος καὶ τηκόμενος εἰς τὴν ἐγγὺς κατασύρεται θάλασσαν, τῇ δὲ τῶν ἀνέμων βίᾳ ἐς τὴν ἀντιπεραίαν παραλίαν ἐκβράζεται. Εἰ τοίνυν τῆς τοῦ ἠλέκτρου φύσεως πρὸς τῷ πυρὶ πειραθείης, ἀνάπτεται ὥσπερ δᾲς πευκίνη καὶ φλόγα τρέφει παχεῖαν καὶ εὔοσμον· εἶτα δὲ πισσῶδές τι ἢ ῥητινῶδες ἀπολείπει σβεννύμενον.

Προσεχῆ τοῖς Συίοσι τὰ τῶν Σιτόνων οἰκοῦσιν ἔθνη, οἳ τἄλλα ὅμοιοι ὄντες ἐκείνοις, ἑνὶ δὴ διαφέρουσι τῷδε, ὅτι γυνὴ αὐτῶν ἄρχει· τοσοῦτον οὐ μόνον τῶν ἐλευθέρων, ἀλλὰ καὶ τῶν ἐν δουλείᾳ χείρους γεγόνασιν. Ἐνταῦθα πέρας τῆς Σουηβίας ἐστί.

ΜϚ'.

Τὰ δὲ τῶν Πευκινῶν καὶ Οὐενεδῶν καὶ Φίννων ἔθνη πότερον τοῖς Γερμανοῖς ἢ τοῖς Σαρμάταις συγκαταλέξω, ἐνδοιάζω τῇ γνώμῃ· καίτοι οἱ Πευκῖνοι, οὓς ἔνιοι Βαστάρνας ἀποκαλοῦσι, διάλεκτον, ἱματισμόν, οἴκησιν καὶ οἰκονομίαν τοῖς Γερμανοῖς ὅμοια ἔχουσι. Πάντες ἐν ῥυπαρίᾳ καὶ νωχελείᾳ διάγουσιν· οἱ δὲ προὔχοντες τοῖς ἐπιμὶξ γάμοις οὐ μικρὸν ἐς τὸν τῶν Σαρματῶν ἐξεστήκασι τρόπον[3]. Οἱ δὲ Οὐενέδαι πολὺ τῶν σαρματικῶν ἠθῶν μετειλήφασιν[4])· ἐν γὰρ ὕλαις καὶ ὄρεσιν, ὅσα μεταξὺ Πευκινῶν καὶ Φίννων κεῖται, πλανῶνται ληστεύοντες· ἀνάγονται δ' ὅμως εἰς τοὺς Γερμανοὺς μᾶλλον, ἅτε δὴ καὶ οἰκίας πηγνύμενοι καὶ ἀσπίδας φο-

ita Occidentis insulis terrisque inesse crediderim: quæ vicini solis radiis expressa atque liquentia in proximum mare labuntur, ac vi tempestatum in adversa litora exundant. Si naturam succini admoto igne tentes, in modum tædæ accenditur, alitque flammam pinguem et olentem; mox ut in picem resinamve lentescit. Suionibus Sitonum gentes continuantur. Cetera similes, uno differunt, quod femina dominatur: in tantum non modo a libertate, sed etiam a servitute degenerant. Hic Sueviæ finis.

XLVI.

Peucinorum Venedorumque et Fennorum nationes Germanis an Sarmatis adscribam, dubito: quanquam, Peucini, quos quidam Bastarnas vocant, sermone, cultu, sede ac domiciliis, ut Germani agunt. Sordes omnium ac torpor: proceres connubiis mixtis, nonnihil in Sarmatarum habitum fœdantur. Venedi multum ex moribus traxeruut: nam quicquid inter Peucinos Fennosque silvarum ac montium erigitur, latrociniis pererrant. Hi tamen inter Germanos potius referuntur, quia et domos fingunt et scuta gestant et peditum usu ac pernicitate gaudent; quæ omnia diversa Sarmatis sunt, in plaustro

ροῦντες καὶ τῇ τοῦ πεζικοῦ χρήσει καὶ ποδωκείᾳ χαίροντες. ἃ δὴ ἐναντίως ἔχει παρὰ τοῖς Σαρμάταις, ἐφ' ἁμαξῶν καὶ ἵππων βιοτεύουσι.

Τῶν δὲ Φίννων ἥ τε ἀγριότης πολλὴ καὶ ἡ πτωχεία μυσαρά. Οὐχ ὅπλα, οὐχ ἵππον, οὐχ ἑστίαν ἔχουσι· τροφὴ μὲν αὐτοῖς λάχανα, περιβολὴ δὲ ζῴων δοραί, εὐνὴ δὲ τὸ ἔδαφος, ἡ δ' ἐλπὶς ἐν τοῖς βέλεσιν, ἃ χήτει σιδήρου ἀκωκαῖς ὀστεΐναις στομοῦσιν. Ἡ αὐτὴ θήρα τούς τε ἄνδρας τρέφει καὶ τὰς γυναῖκας· ἕπονται γὰρ αὗται πανταχοῦ τοῖς ἀνδράσι καὶ τῆς θήρας μοῖραν ἑαυταῖς ἀπαιτοῦσι. Τοῖς δὲ νηπίοις οὐδὲν ἀλλο ἀπὸ τῶν θηρίων καὶ τοῦ χειμῶνος προσφύγιον, ἢ τὸ πλέγμασιν ἐκ κλάδων δένδρων περιείργνυσθαι. Εἰς ταῦτα οἱ νέοι ἐπανακάμπτουσι, ταῦτα τοὺς γέροντας δέχονται, Ὀλβιώτερον δ' ὅμως τὸν τοιοῦτον βίον ἡγοῦνται ἢ ἐπιστένειν ἀγροὺς ἀροῦντες, οἰκοδομαῖς ἐμπονεῖν, ἴδια καὶ ξένα ἀγαθὰ ἐν φόβῳ καὶ ἐλπίδι χειρίζειν. Ἀφρόντιδες ἀνθρώπων, θεῶν ἀφρόντιδες ὄντες, τὸ πάντων χαλεπώτατον διαπεπράχασι μηδ' εὐχῆς χρῄζειν τινός.

Τὰ δὲ λοιπὰ μυθώδη, τοὺς Ἑλλουσίους καὶ Ὠξίωνας ἀνθρώπινον μὲν τὸ πρόσωπον τὰ δὲ σώματα καὶ τὰ μέλη θηρίων ἔχειν· ὃ δὴ αὐτὸς, ἅτε ἄδηλον, ἄκριτον περίημι.

equoque viventibus. Fennis mira feritas, fœda paupertas: non arma, non equi, non penates; victui herba, vestitui pelles, cubile humus. Sola in sagittis spes, quas inopia ferri ossibus asperant. Idemque venatus viros pariter ac feminas alit: passim enim comitantur, partemque prædæ petunt. Nec aliud infantibus ferarum imbriumque suffugium, quam ut in aliquo ramorum nexu contegantur; huc redeunt iuvenes, hoc senum receptaculum. Sed beatius arbitrantur, quam ingemere agris, illaborare domibus, suas alienasque fortunas spe metuque versare. Securi adversus homines, securi adversus Deos, rem difficillimam assecuti sunt, ut illis ne voto quidem opus esset. Cetera iam fabulosa: *Hellusios et Oxionas ora hominium vultusque, corpora atque artus ferarum, gerere;* quod ego, ut incompertum, in medium relinquam.

ΣΗΜΕΙΩΣΕΙΣ
ΕΙΣ ΤΗΝ ΤΑΚΙΤΟΥ ΓΕΡΜΑΝΙΑΝ

ΚΕΦΑΛΑΙΟΝ Α'.

1). *Πᾶσα ἡ Γερμανία* (omnis Germania). Τὴν κυρίως καλουμένην Γερμανίαν λέγει ἐνταῦθα ὁ Τάκιτος, ἣν οἱ Ῥωμαῖοι, τὴν Γαλλίαν παραστησάμενοι καὶ κατέχοντες ὡς ἀπὸ ταύτης *ὑπερρήνιον* (transrhenanam), καὶ ἔτι *ἐλευθέραν* καὶ *βάρβαρον* καὶ *μεγάλην* ἀπεκάλουν, ἀντιτιθέντες πρὸς τὴν ἐντεῦθεν τοῦ Ῥήνου (cisrhenanam) τὴν σφίσιν ὑπήκοον· ἥν τινες τῶν γερμανικῶν λαῶν, οἱ μὲν καὶ πρότερον τὸν ποταμὸν διαβάντες, οἱ δ' ἔναγχος ὑπ' Ἀγρίππα καὶ Τιβερίουμετοικισθέντες ἐνέμοντο. Διῄρητο δ' αὕτη δίχα· ἡ μὲν γὰρ τῷ Ῥήνῳ καὶ ταῖς τούτου πηγαῖς προσεχεστέρα μοῖρα, ἀπὸ τοῦ νῦν Βιγγίου μέχρις Ἀργεντοράτου, καὶ περαιτέρω διήκουσα, *Ἄνω Γερμανία* ἀπεκαλεῖτο· ἡ δ' ἀπὸ τοῦ Βιγγίου μέχρι τῶν τοῦ Ῥήνου ἐκβολῶν, τὴν Κολωνίαν καὶ πολλὴν τῶν Βελγῶν χώραν περιλαμβάνουσα, *Κάτω Γερμανία* ἤκουε.

2). *Τῶν μὲν Γάλλων καὶ Ῥαιτῶν καὶ Παννόνων τοῖς ποταμοῖς Ῥήνῳ καὶ Δανουβίῳ διώρισται.* Ἡ Γερμανία πρὸς μὲν ἑσπέραν τῷ Ῥήνῳ ποταμῷ τῆς Γαλλίας διώριστο, ὃ δὴ πᾶσιν ὁμολογεῖται· πρὸς δὲ νότον τῶν Ῥαιτῶν καὶ Παννόνων τῷ Δανουβίῳ, ὃς ἀπὸ πόλεως Οὐϊνδοβούνης (τῆς νῦν Βιέννης) μέχρι τῶν ἐκβολῶν Ἴστρος καλεῖται κατὰ τὸν Ἀγαθήμερον (Πρβ. καὶ Στράβ. ζ'. 3.) Ἔοικε δὲ τοὔνομα τοῦτο ἀπὸ τοῦ βαρβάρου *Δάνιστερ*, ὃ *κάτω ῥεῖθρον* δηλοῖ, ἐξηλληνίσθαι τὸν τύπον· τὸ δὲ *Δανούβιος* ἴσον δύνασθαι τῷ *ἄνω ῥεῖθρον*· Δὰν γὰρ ἢ Δὸν (ὅθεν καὶ ὁ Τάναϊς ποταμὸς) κελτικὴν ἢ σαρματικὴν εἶναι φωνὴν καὶ *ὕδωρ* ἢ *ῥεῖθρον* σημαίνειν φασὶν οἱ περὶ ταῦτα δεινοί. Πρὸς δ' ἕω ἀπὸ μὲν τῶν Σαρματῶν ἐρήμῳ τινὶ ἐκεχώριστο χώρᾳ, ἣν οὗτοί τε καὶ τῶν Γερμανῶν οἱ πρόσοικοι, ἀλλήλους φεύγοντες διὰ δέος, ἀοίκητον ἐν μεθορίῳ κατελελοίπεσαν· ἀπὸ δὲ τῶν Δακῶν ὄρεσι τοῖς *Καρπαταίοις* καὶ *Βοϊαιμικοῖς*. Πτολεμαῖος δὲ καὶ Ἀγαθήμερος καὶ μέχρις Οὐΐστούλα παρεκτείνουσι τῆς Γερμα-

νίας τὰ προσεῷα. Σημειωτέον δὲ ὅτι Ῥαιτοὺς ἐνταῦθα ὁ Τάκιτος οὐ μόνον τοὺς κατοίκους τῆς κυρίως καλουμένης Ῥαιτίας, τοὺς τὴν παρώρειαν τῶν Ἄλπεων νεμομένους, ἀλλὰ καὶ τοὺς τῆς Οὐϊνδελικῆς καὶ τοῦ Νωρικοῦ ὀνομάζει. Καὶ ἡ μὲν κυρίως καλουμένη *Ῥαιτία* πρὸς βοῤῥᾶν ἄνεμον τῇ Οὐϊνδελικῇ ὡμόρει, πρὸς δὲ Ζέφυρον τῇ χώρᾳ τῶν Ἑλουητίων, φύλου γαλλικοῦ, πρὸς δὲ νότον τοῖς Ἀλπείοις ὄρεσιν ἀπὸ τοῦ Ἀδούλα (ἁγίου Γοτθάρδου) ἕως Ὄκρας (Terglou) συνῆπτε, πρὸς δ' ἀπηλιώτην τῇ τότε χώρᾳ τῶν Οὐενέτων ἢ Ἐνετῶν ἢ καὶ τῷ Νωρικῷ. Περιελάμβανεν οὖν τὰ καλούμενα *Κυνικὰ Πεδία* (campos caninos) ἤτοι τὴν νῦν *Γραυβουνδίαν*, τὸ Τυρῶλον καὶ μέρος τῆς νῦν Λομβαρδίας· ἔστι δ' ὀρεινὴ καὶ τραχεῖα πᾶσα. Οἱ δ' ἀρχαῖοι αὐτῆς κάτοικοι τοῖς Τούσκοις ἢ Τυῤῥηνοῖς ὁμόφυλοι γενέσθαι λέγονται. Οὐ μὴν ἀκριβές τι περὶ αὐτῶν εἰπεῖν ἔχομεν· ὅτε γὰρ γνωστὴ τοῖς Ῥωμαίοις ἡ χώρα ἐγένετο, Κελτοὶ κατεῖχον αὐτὴν ἔποικοι, τοῖς ἀρχαιοτέροις συμμιγέντες κατοίκοις.

Ἡ δ' *Οὐϊνδελικία*, ἀπὸ τῆς θέσεως αὐτῆς μεταξὺ τῶν ποταμῶν Οὐΐνδου καὶ Λίκου ἢ Λικίου οὕτω κληθεῖσα, πρὸς μὲν ἄρκτον τῷ Δανουβίῳ ἀπὸ τῆς μεγάλης διωρίζετο Γερμανίας, πρὸς δ' ἑσπέραν συνῆπτε τοῖς Ἑλουητίοις, πρὸς δὲ μεσημβρίαν συνεχὴς ἦν τῇ Ῥαιτίᾳ καὶ τῷ Νωρικῷ, πρὸς δ' ἥλιον ἀνίσχοντα τὸν ποταμὸν Αἶνον ὅριον εἶχε, τοῦ Νωρικοῦ αὐτὴν ἀφορίζοντα. Περιεῖχεν οὖν τῆς μὲν Ἑλουητίας τὰ πρὸς Μέσην ἄνεμον νενευκότα, τοῦ δὲ νῦν καλουμένου *Βάδεν* τὰ πρὸς Εὖρον κεκλιμένα· ἔτι δὲ τὰ νοτιώτατα τῆς Βυρτεμβέργης καὶ Βαυαρίας καὶ τοῦ νῦν Τυρώλου τὰ βορειότατα. Ἔστι δὲ τῆς χώρας τὸ πλεῖστον πεδινόν· τῶν δ' ἐν αὐτῇ πόλεων κρατιστεύουσα ἦν ἡ Αὐγούστα Οὐϊνδελικῶν ἐπὶ τῇ σύῤῥοιᾳ τοῦ Οὐΐνδου καὶ Λίκου κειμένη. Οἱ δὲ κάτοικοι οὐ Γερμανοί, ἀλλὰ Κελτοὶ ἦσαν τὸ γένος, ὁμόφυλοι τοῖς Ῥαιτοῖς. Ἐπεκλήθη δ' ἡ Οὐϊνδελικία *Ῥαιτία δευτέρα*, ἐξ οὗ Ῥωμαῖοι τὴν χώραν ὑπαγαγόμενοι τῇ πρότερον ἤδη ὑπ' αὐτῶν χειρωθείσῃ Ῥαιτίᾳ προσέθηκαν.

Τὸ δὲ *Νωρικόν*, ὅπερ τινὲς ἀπὸ Νώρικος υἱοῦ Ἡρακλέους, οἱ δ' ὀρθότερον ἀπὸ τῆς προὐχούσης πόλεως Νωρηείας ἐπωνομάσθαι φασί, πρὸς μὲν δύοντα ἥλιον Αἴνῳ τῷ ποταμῷ ἀπὸ τῆς Ῥαιτίας καὶ Οὐϊνδελικίας ὡρίζετο, πρὸς δ' ἄρκτον ἀπὸ τῆς μεγάλης Γερμανίας τῷ Δανουβίῳ· πρὸς δ' ἕω συνετερμόνει τῇ Παννονίᾳ, ἧς κατά τι μέρος ἐπὶ τὰς ἄρκτους τῷ Κετίῳ ὄρει διείργετο· πρὸς δὲ νότον τῇ Παννονίᾳ καὶ Ἰταλίᾳ ὡμόρει, διοριζόμενον ταύτης τῷ Σάῳ ποταμῷ, ταῖς Καρνικαῖς Ἄλπεσι καὶ τῇ Ὄκρᾳ. Περιελάμβανεν οὖν τῆς τε νῦν Αὐστρίας τὰ μεταξὺ Αἴνου καὶ Δανουβίου καὶ Κετίου ὄρους (νῦν Κάλεμβεργ) καὶ τῆς Στυρίας καὶ Καρινθίας τὸ πλεῖστον, καὶ

μέρος τῆς Καρνικῆς, τῆς Βαυαρίας (τὸ παρὰ τὸν Αἶνον), τοῦ Τυρώλου καὶ Σαλισβούργου. Ἔστι δὲ τὸ πλεῖστον τῆς χώρας ὀρεινόν. Καὶ οἱ Νωρικοὶ δέ, ὧν γνωριμώτατοι οἱ Ταυρίσκοι καὶ οἱ Βοιοὶ ἢ Βόϊοι, τοῦ Κελτικοῦ ἦσαν φύλου, πρότερον μὲν ὑπ' ἰδίοις βασιλεῦσι τελοῦντες, εἶτα δὲ (περὶ τὸ 13 ἔτος π. Χρ.) Ῥωμαίοις γενόμενοι ὑποχείριοι (περὶ Γερμ. προβλ. καὶ Στράβ. ζ', 1, 2). Τὴν δὲ Παννονίαν πρὸς μὲν ἑσπέραν τὸ Κέτιον ὄρος τοῦ Νωρικοῦ, αἱ δ' Ἰούλιαι Ἄλπεις τῆς ἄνω Ἰταλίας ἀφώριζον· πρὸς δὲ νότον ὁ Σάος τῆς Ἰλλυρίας διεῖργε· τὸ δ' ἑῷον καὶ προσάρκτιον αὐτῆς ὅριον ὁ Δανούβιος ἦν, πρὸς ἕω μὲν τῆς Δακίας, πρὸς δ' ἄρκτον τῆς μεγάλης Γερμανίας αὐτὴν διορίζων. Περιεῖχε τοίνυν ἡ Παννονία τῆς νῦν Αὐστρίας καὶ Στυρίας καὶ Καρινθίας καὶ Καρνικῆς τὰ ἑωθινά, σύμπαν τῆς νῦν Οὐγγαρίας τὸ μεταξὺ Δανουβίου καὶ Σάου, τὴν Σθλαυονίαν καὶ μέρος τῆς νῦν Κροατίας καὶ Βοσνίας. Οἱ δὲ Ῥωμαῖοι μακρῷ πολέμῳ αὐτὴν χειρωσάμενοι διχῆ διεῖλον. Γραμμὴ γάρ τις ἀπὸ τοῦ ποταμοῦ Ἀραβῶνος εἰς τὸν Σάον διήκουσα μέσην που τὴν χώραν διέτεμνε· καὶ τὰ μὲν πρὸς ἑσπέραν αὐτῆς *ἄνω Παννονία* ἐκαλεῖτο, τὰ δὲ πρὸς ἕω *κάτω*. Οἱ δὲ *Παννόνιοι* ἢ *Πάννονες*, οὓς διὰ τὴν ὁμοιότητα τοῦ ὀνόματος τοῖς ἐν Μακεδονίᾳ *Παίοσι* τοῖς ἐκ τῶν ἐν Ἀσίᾳ Τεύκρων καταγομένοις θαμὰ συνέχεον οἱ ὕστερον Ἕλληνες, τοῦ Ἰλλυρικοῦ ἦσαν γένους, ἀνδρεῖοι, ἄγριοι καὶ φονικοί, (ἴδε Δίωνα 49,36) κατὰ βραχὺ ὑπὸ Ῥωμαίοις ἀπὸ τῆς πρὶν ἀγριότητος ἐς ἡμερότητα μεταστάντες. (Περὶ Πανν. Πρβλ. καὶ Στραβ. ζ'. 5).

Σαρμάτας δ' ὁ Τάκιτος λέγει τοὺς ἐν τοῖς νεωτέροις χρόνοις προσαγορευθέντας Σθλαύους, οὔπω τοῖς Ῥωμαίοις ἱκανῶς τότε ὄντας γνωστούς, πλείστην δὲ τῆς προσεῴας Εὐρώπης χώραν οἰκοῦντας· τὴν Πολωνίαν, τὴν Λιθουανίαν, τὴν ἑωθινὴν Προυσσίαν, τὴν Κουρονίαν καὶ Λιβονίαν, τὴν Μοσκοβίαν, τὴν μικρὰν Ταταρίαν καὶ τὴν Ταυρικὴν χερσόνησον.

Οἱ δὲ Δάκοι ἢ Δάκες κατεῖχον τὴν μεταξὺ Ἴστρου (κάτω Δανουβίου) καὶ τῶν Καρπαταίων ὀρῶν χώραν, τὰ περὶ τοὺς ποταμοὺς Τιβίσκον καὶ Μάρισσον, τὴν ἄνω Οὐγγαρίαν, τὴν Τρασιλουανίαν, τὴν Μολδαυΐαν, τὴν Βλαχίαν καὶ τὴν Βεσσαραβίαν.

[3]). *Τὰ δ' ἄλλα ὠκεανὸς περικλύζει* κτλ. Ὁ τῇ Εὐρώπῃ προσάρκτιος νοείσθω ἐνταῦθα ὠκεανός, οὗ βορειότερος μὲν κόλπος ἡ νῦν *λευκὴ* καλουμένη θάλασσα, νοτιώτεροι δὲ ἡ *Γερμανικὴ* καὶ ἡ συνεχὴς αὐτῇ Σουηβικὴ κατὰ τὸν Τάκιτον, ἢ Ἀμαλχία κατὰ τὸν Πλίνιον, ἤτοι ἡ νῦν *Βαλτική*. Κόλπους δ' εὐρεῖς ἔοικε λέγειν ὁ Τάκιτος τοὺς τῆς *Γερμανικῆς* καὶ τῆς *Βαλτικῆς*· ἡ γὰρ *λευκὴ* καλουμένη θάλασσα οὔπω γνωστὴ ἦν τοῖς

Ῥωμαίοις (ἴδ. σημ. 1. κεφ. μέ.) Νήσους δ' ὑπερμεγέθεις ὑπὸ τοῦ Ὠκεανοῦ περιλαμβανομένας τὰς βρετανικὰς καλεῖ καὶ τὰς ἐν τῇ Βαλτικῇ καὶ αὐτὴν τὴν Σκανδίαν. Ἐν γὰρ τῷ τότε χρόνῳ τὰ ὑπάρκτια τῆς Εὐρώπης οὔπω ἀκριβῶς ἐξηρευνηκότες οἱ Ἕλληνες καὶ Ῥωμαῖοι νῆσον μεγάλην εἶναι τὴν Σκανδίαν χερσόνησον ὑπελάμβανον. Εἰσὶ δ' οἳ τὴν ῥωμαϊκὴν λέξιν *sinus* οὐ κόλπους, ἀλλ' ἀκτῆς ἀποκυρτώσεις ἢ ἐσχατιὰς σημαίνειν ἐνταῦθα οἴονται.

4). *Ἔνθα δὴ ἔθνη τινὰ καὶ βασιλεῖς ἀρτίως ἡμῖν ὁ πόλεμος ἀποκαλύψας ἐγνώρισεν.* Οὐχ ἕνα, ἀλλὰ πλείους πολέμους ἐν τῷ τότε πρὸς τὰ βόρεια τῆς Εὐρώπης ἔθνη οἱ Ῥωμαῖοι ἐξήνεγκαν. Καῖσαρ μὲν γὰρ καὶ Ἀγρικόλας πρὸς τὰ ἐν Βρετανίᾳ ἐπολέμησαν ἔθνη· Πλαύτιος δ' Αἰλιανὸς καὶ Δομετιανός, πρὸς Χάττους καὶ Σουήβους καὶ Σαρμάτας· Δροῦσος δ' ὁ τοῦ Τιβερίου ἀδελφὸς τετράκις τοῖς Γερμανοῖς ἐπεστράτευσε, καὶ διώρυγι τὸν Ῥῆνον τῷ Ἰσάλα συνάψας πρῶτος Ῥωμαίων τὸν ὑπάρκτιον ὠκεανὸν ναυσὶν ἔπλευσε, μέχρις Ἄλβιος καὶ τοῦ στόματος τοῦ Ἀμασία προελθὼν ἐν τοῖς Χαύκοις. Ὁ δὲ τοῦ Δρούσου υἱὸς Γερμανικός, τέσσαρας καὶ οὗτος στρατείας εἰς Γερμανίαν ποιησάμενος (ἀπὸ τοῦ ιδ'· ἕως ιϛ'. ἔτους μ. Χ.) προσωτέρω ἤλασε τοῦ πατρὸς καὶ κατὰ τὴν παραλίαν τῶν Φρεισίων ναυαγίῳ ἐχρήσατο. Οὐ μέν τοι τοὺς πολέμους τούτους σημαίνειν ἐνταῦθα ὁ Τάκιτος βούλεται, ἀλλ' ἢ τὸν ὑπὸ Λ. Δομετίου τοῦ Ἀηνοβάρβου ἐξενεχθέντα, ὃς τὸν Ἄλβιν στρατῷ διαβάς, προσωτάτω τῶν πρὸ αὐτοῦ πάντων ἐν Γερμανίᾳ ἤλασεν· ἢ τὸν ὑπὸ Τιβερίου, οὗ ὁ στόλος τοῦ τε Ἄλβιος τὰς ἐκβολὰς παρήμειψε καὶ τὴν Γερμανίαν μέχρι τοῦ τῶν Κίμβρων ἀκρωτηρίου καὶ τὴν παρ' αὐτῇ Σκυθίαν περιπλεύσας εἰς τὴν Σουηβικὴν εἰσῆλθε θάλασσαν.

5) *Ὁ μὲν οὖν Ῥῆνος ἐξ ἀπροσβάτου* κτλ. Ὁ Στράβων (Βιβλ. δ. 6) ἐξ ὄρους Ἀδούλα ῥεῖν φησι τὸν Ῥῆνον ἐπὶ τὰς ἄρκτους. Ἔστι δ' ὁ Ἀδούλας τῶν Ῥαιτικῶν Ἄλπεων, *ἅγιος Γοτθάρδος* τανῦν καλούμενος.

6). *Μικρὸν πρὸς δυσμὰς ἀποκάμψας.* Οἱ τὸ *versus* οὐκ ἐπίρρημα κατὰ πλεονασμὸν προστεθειμένον, ἀλλὰ μετοχὴν εἶναι φάσκοντες πιθανώτερα δοκοῦσιν ἔμοιγε λέγειν. Σημαίνει δ' ἐνταῦθα ὁ Ἱστορικὸς τὸ μεταξὺ Βριγαντίου καὶ Βασιλείας τοῦ Ῥήνου ῥεῦμα, ὅπου μάλιστα πρὸς δυσμὰς οὗτος τρέπεται· ἄλλως γὰρ ὀρθῶς ἄν τις φαίη τὸν Ῥῆνον κατὰ πᾶν αὐτοῦ τὸ μῆκος πρὸς δυσμὰς τετραμμένον εἶναι.

7). *Τοῦ Ἀβνοβαίου ὄρους.* Πλείους τοῦ ὀνόματος γραφαὶ εὕρηνται ἐν τοῖς χειρογράφοις. Προειλόμεθα δὲ τὴν γραφὴν *Abnobae*,

ἅτε δυσὶ κεκυρωμένην ἐπιγραφαῖς, ἐπὶ τοῦ αὐτοῦ ὄρους περὶ τὸ τέλος τῆς παρελθούσης ἑκατονταετηρίδος ἀνευρεθείσαις.

Τὴν δὲ φωνὴν *Abnoba* κελτικὴν ἔνιοι εἶναι οἴονται καὶ *μέλαιναν ὕλην* σημαίνειν· ἔστι δὲ τὸ Ἀβνοβαῖον ὄρος τὸ προσάρκτιον τοῦ *Μέλανος Δρυμοῦ* μέρος, οὗ τὸ ἑῷον ἡ *Μαρκιανὴ ἦν ὕλη*.

8). *Πολλοὺς τῷ ῥείθρῳ λαοὺς ἐπελθών*. Παρέῤῥει γὰρ ὁ Δανούβιος ἐν τῷ τότε κατὰ μὲν τὴν δεξιὰν ὄχθην τοὺς Οὐϊνδελικούς, τοὺς Νωρικούς, τοὺς Παννονίους, τοὺς Ἰλλυριούς, τοὺς Μυσούς· ἐπὶ δὲ τῆς ἀριστερᾶς τοὺς Ἑρμουνδούρους, τοὺς Ναρίσκους (ἴσως τοὺς Οὐαριστοὺς κατὰ Πτολεμαῖον), τοὺς Μαρκομάννους, τοὺς Κουάδους, τοὺς Δάκους ἢ Δᾶκας, τοὺς Μοισούς.

Β΄.

1). *Αὐτοὺς τοὺς Γερμανούς*. (ipsos Germanos). Ἡ προσθήκη τῆς ἀντωνυμίας *ipsos* οὐ πρὸς ἄλλα γένη διαστέλλει τοὺς Γερμανούς, ἀλλὰ πρὸς τὴν οἰκουμένην ὑπ' αὐτῶν χώραν, περὶ ἧς ἐν τῷ πρώτῳ κεφαλαίῳ ὁ λόγος ἡμῖν ἦν.

2). *Αὐθιγενεῖς φαίην ἂν εἶναι* κτλ. Εἰκότως ὁ ἱστορικὸς αὐθιγενεῖς φησιν εἶναι τοὺς Γερμανούς, οὐχ ὅτι τὸ γένος αὐτῶν ἐν τῇ αὐτῇ ἔφυ χώρᾳ, ἣν κατὰ τοὺς ῥωμαϊκοὺς ᾤκει χρόνους· (πᾶσαν γὰρ τὴν Εὐρώπην ἐξ Ἀσίας τὸ παλαίτατον οἰκισθῆναι οἵτε ἀρχαιολογοῦντές φασι καὶ ὁ λόγος αἱρεῖ)· ἀλλ' ὅτι ὑπ' οὐδενὸς τῶν ἱστορικῶν μνημονεύεται ἄλλην ποτὲ χώραν αὐτὸ οἰκῆσαι κἀκεῖθεν ἔπειτα ἐς τὴν ἐξ αὐτοῦ νῦν καλουμένην Γερμανίαν μεταναστῆναι, ἀεὶ δὲ τὴν αὐτὴν ἱστόρηται νέμεσθαι. Ἰστέον δ' ὅτι ἄλλοι ἄλλην περὶ τοῦ τῶν Γερμανῶν γένους ἔχουσι δόξαν. Οἱ μὲν γὰρ ἀπὸ τῶν ὑπερβορείων αὐτοὺς ὁρμηθῆναι, οἱ δὲ τῶν Σκυθῶν ἀποκριθῆναί φασιν· οἱ δ' Ἕλλησιν αὐτοὺς συγγενεῖς εἶναι φάσκουσιν· οἱ δὲ Πέρσαις, ὧν τὴν γλῶσσαν ἱκανὰ καὶ νῦν ἔτι τῆς συγγενείας φέρειν γνωρίσματα. Τούτου δὲ καὶ Ἡρόδοτον ἐπάγονται μάρτυρα, λέγοντα· *ἄλλοι δὲ Πέρσαι εἰσὶ οἵδε. Πανθιαλαῖοι, Δηρουσιαῖοι, Γερμάνιοι* (Βιβλ. ά. 125). Ἀλλὰ ψιλαὶ ταῦτ' ἐστὶν εἰκασίαι, ἡ δ' ὁμοιότης τῶν ὀνομάτων πολλάκις ἐγένετο ἀπάτης παραίτιος.

3). *'Αντίῤῥους 'Ωκεανός*. Ἡ λέξις *adversus* διττὸν παρέχεται νοῦν· ἢ γὰρ ὁ Ὠκεανὸς παρὰ τὴν θέσιν *adversus* λέγεται, ἅτε δὴ τῇ Ἰταλικῇ καὶ τυῤῥηνικῇ θαλάσσῃ ἀντικείμενος, ἢ παρὰ τὸ ἀντιῤῥεῖν καὶ τοῖς ἐντεῦθεν πρὸς βοῤῥᾶν ναυτιλλομένοις ἀνθίστασθαι, βορείοις ἐπειγόμενος πνεύμασι.

4). *Τυΐσκωνα Θεόν* Ἀντὶ τοῦ *Tuisconem* εὕρηται γεγραμμένον καὶ *Tuistonem*. Καί τινες μὲν τῷ Τακίτῳ συνᾴδοντες ἱστορικὸν

ὑπειλήφασι πρόσωπον τὸν Τυΐσκωνα ἢ Τυΐστωνα, ἀφ' οὗ δή φασι προσαγορευθῆναι τὸ τῶν Τευτόνων γένος, ὥσπερ ἀπὸ Γραικοῦ τοὺς Γραικοὺς καὶ ἀφ' Ἕλληνος τοὺς Ἕλληνας. Οἱ δὲ τὸν γενάρχην τοῦτον τῶν Γερμανῶν πρόσωπον μυθικὸν εἶναι οἴονται ἐκ τοῦ γένους οὕτω κληθέν. *Δυΐσκοι* γάρ, ἢ *Τυΐσκοι*, ἢ *Τεῦτοι*, ἢ *Τεύτονες* κατὰ διαφόρους χρόνους ἢ διαλέκτους ἐκλήθησαν τῶν Γερμανῶν οἱ προσάρκτιοι, ὥσπερ τοὔμπαλιν ἐπὶ τῶν τὰ μεσημβρινώτερα, ἢ τὰ ἑσπέρια τῆς Γερμανίας νεμομένων τὰ ὀνόματα *Γερμανοὶ* καὶ *Ἀλαμανοὶ* ἐξενίκησεν. Εἰσὶ δ' οἳ *Teutonem deum et t. e. f. Manum* ἀναγινώσκοντες ἑρμηνεύουσιν ὧδε. *Θεὸν* (Teutonem=Teut, Deus, Δεύς, Ζεὺς) *καὶ τὸν γηγενῆ υἱόν, Μάννον*. Φασὶ δὲ *Μάννον* σημαίνειν *ἄνθρωπον*, καὶ τοῦτον εἶναι πρωτόπλαστον· ἄνθρωπον γὰρ σημαίνειν καὶ τὰ παρ' ἄλλοις ἔθνεσιν ὁμόηχα τῷ Μάννῳ ὀνόματα· τὸν παρ' Ἰνδοῖς *Menu*, τὸν παρ' Αἰγυπτίοις *Μῆνα* ἢ *Μηνᾶν* (Ἡροδ. Β. 99), τὸν παρὰ Λυδοῖς *Μάνην* (Ἡροδ. ά. 94), τὸν παρὰ Κρησὶ *Μίνωα*. Κατὰ ταύτην οὖν τὴν γραφήν τε καὶ ἑρμηνείαν ἐκ θεοῦ φαίνονται ἕλκειν τὸ γένος οἱ Γερμανοὶ καὶ διογενεῖς τινες εἶναι, οὐδὲν ἧττονι τῶν Ἑλλήνων ἐναβρυνόμενοι εὐγενείᾳ. Ὁ δὲ Τίζιος *Tuissonem deum et t. e, f. M.* ἀναγιγνώσκων, τοὔνομα *Tuisson* ἐκ δύω λέξεων γερμανικῶν *the Seon* (ὁ ἥλιος) συνεστάναι ὑπείληφεν ὑπὸ τοῦ Τακίτου κατ' ἄγνοιαν εἰς μίαν συνηρημένων· τὸ δὲ *Mannus* ἐκ τοῦ γερμανικοῦ *Moon* (σελήνη) τῇ προσθήκῃ τῆς καταλήξεως ἐξεῤῥωμαΐσθαι. Ἤτοι οὖν τὸν Τάκιτον ἡγητέον παρανοῆσαι, ἃ παρὰ τῶν Γερμανῶν ἠκηκόει, ἢ περὶ τῆς τῶν ἀκουσθέντων διανοίας ἀμφιγνοοῦντα ἀμφιβόλοις οὕτω χρήσασθαι ῥήμασιν· ἐξ ὧν ὅμως ἔστιν ἡμῖν εἰκάσαι κατὰ τὸν Τίζιον, ὅτι οἱ πάλαι Γερμανοὶ τὸν Ἥλιον καὶ τὴν Σελήνην γενάρχας ἑαυτῶν ἔφασκον εἶναι.

5). *Ἀπαριθμοῦσι δὲ τῷ Μάννῳ υἱοὺς τρεῖς κτλ.* Τῶν τριῶν τοῦ Μάννου υἱῶν τὸν μὲν ὄνομα σχεῖν *Ἴγγωρα* ἢ *Ἰγγουΐωρα*, τὸν δὲ *Ἴσκωρα* ἢ *Ἰσκουΐωρα*, τὸν δὲ *Ἑρμίνωρα* ἢ *Ἰρμίνωρα*, ὁ Γρίμμερος ἐν τῇ Γερμανικῇ αὐτοῦ Μυθολογίᾳ εἰκοτολογῶν ἀποφαίνεται. Ἀπὸ δὲ τούτων τὰ τρία γερμανικὰ φῦλα, ἐξ ὧν τὸ ὅλον γερμανικὸν συνεστήκει γένος· οἱ *Ἰγγαιουῶνες* ἢ *Ἰγγουΐωνες*, οἱ *Ἰσταιουῶνες* ἢ *Ἰστουΐωνες* ἢ κατ' ἄλλους *Ἰσκουΐωνες* καὶ οἱ *Ἑρμιῶνες* ἢ *Ἑρμίωνες* ἢ *Ἰρμίωνες* ἢ κατ' ἄλλους *Ἑρμίνωνες* ἀπεκλήθησαν. Καὶ τοὺς μὲν Ἰγγαιουῶνας ἢ Ἰγγουΐωνας τὰ παρὰ τὴν Γερμανικὴν θάλασσαν ἀπὸ τῶν τοῦ Ῥήνου ἐκβολῶν μέχρι τῆς Κιμβρικῆς χερσονήσου φασὶ κατασχεῖν οἱ τὰς γερμανικὰς

ἀρχαιότητας ἀκριβοῦντες, οὐ μόνον τοὺς Κίμβρους καὶ Τεύτονας καὶ Χαύκους, ὥσπερ ὁ Πλίνιος, τῷ φύλῳ τούτῳ ἐναριθμοῦντες, ἀλλὰ καὶ τοὺς Ἄγγλους, ἢ Ἀγγειλοὺς (οἳ σὺν τοῖς Σάξοσι καὶ Ἰύταις ἐς Βρεττανίαν ὑστέρῳ χρόνῳ περαιωθέντες τὴν χώραν κατέλαβον) καὶ τοὺς Φρεισίους καὶ Σουάρδονας, τοὺς αὐτοὺς τοῖς ὕςερον κλεϊσθεῖσιν Ἐρούλοις ὄντας· οἷς προσθετέον ἴσως καὶ τοὺς Ῥουγένους καὶ Τουρκιλίγγους καὶ Σκίρους. Εἰσὶ δ' οἳ καὶ Βαταυούς, καὶ Ἀνσιβαρίους, καὶ Χασουαρίους καὶ Ἀγγριουαρίους τοὺς τοῖς Ἐρούλοις συναναφαινομένους τῷ τῶν Ἰγγουϊώνων φύλῳ ἐγκαταλέγουσι.

Τὸ δὲ τῶν Ἰσταιουώνων ἢ Ἰστουϊώνων ἢ Ἰσκουϊώνων φῦλον περιλαμβάνει κατὰ τὸν Ζεύσιον τοὺς Γούτωνας ἢ Γόθωνας ἢ Γότθους, τοὺς Ταϊφάλεις, τοὺς Γέπιδας ἢ Γήπαιδας, τοὺς Οὐάρνους καὶ τοὺς Καρίνους· κατ' ἄλλους δέ, τὰ γερμανικὰ ἐκεῖνα ἔθνη, ἃ τὴν παραῤῥήνιον χώραν ἀπὸ τῶν πηγῶν τοῦ Ῥήνου μέχρι τῶν τοῦ Ἰσάλα ἐκβολῶν καὶ τὰ ἐντεῦθεν πρὸς ἔω μέχρι τῶν ἐκβολῶν τοῦ Οὐϊσούργιος ἐνέμετο· ἤτοι τοὺς Οὐσίπας ἢ Οὐσιπέτας ἢ Οὐϊσπούς, τοὺς Τεγκτέρους ἢ Τεντερίδας, ὕστερον δ' Ἀλαμανοὺς μετονομασθέντας, τοὺς Βρουκτέρους, Χαττουαρίους Σουκάμβρους, Μάρσους, Χαμαυούς, Τουβάντους ἤ Τουβαντίους, Σαλίους. Ἰστέον δ' ὅτι τὰ πλεῖστα τῶν ἐθνῶν τούτων ὑπὸ τοῦ Ζευσίου τῷ τῶν Ἑρμιώνων φύλῳ ἐγκατηρίθμηται.

Οἱ δ' Ἑρμιῶνες ἢ Ἑρμίωνες καὶ κατ' ἄλλους Ἑρμίνωνες ἢ Ἰρμίνωνες, τὰ μεσόγεια τῆς Γερμανίας οἰκήσαντες εἰς ἔθνη πολλὰ διακρίνονται. Μοῖρα γὰρ τούτων εἰσὶν οἵ τε ὑπὸ Πλινίου ἰδίως καλούμενοι Σόηβοι ἢ Σουῆβοι (ἤτοι οἱ Μαρκομάννοι καὶ Κούαδοι) καὶ οἱ Ἑρμουνδοῦροι ἢ Ἑρμόνδοροι καὶ οἱ Χάττοι, καὶ οἱ Χηροῦσκοι, καὶ οἱ Σούγαμβροι ἢ Σούκαμβροι (οἱ ὕστερον Φράγκοι) καὶ οἱ Βατάουοι, ἢ Βαταυοὶ καὶ οἱ Καννινεφάτεις καὶ οἱ Τούβαντοι ἢ Τουβάντιοι καὶ οἱ Οὐσίπαι, καὶ οἱ Τέγκτεροι, καὶ οἱ Δύγιοι (ὧν μοῖρα οἱ Οὐάνδαλοι, ἢ Βανδῆλοι) καὶ οἱ Βαστάρναι ἢ Βαστέρναι. Κατ' ἄλλους δ' ἐκ μόνων τῶν Χηρούσκων καὶ Χάττων τὸ τῶν Ἑρμιώνων συνεστήκει φῦλον.

Ἐπειδὴ δὲ καὶ τὴν Σκανδίαν τῇ Γερμανίᾳ οἱ ἀρχαῖοι προσελογίζοντο, προσθετέον ἂν εἴη τοῖς ῥηθεῖσι τρισὶ φύλοις καὶ τοὺς τὴν Σκανδιακὴν οἰκοῦντας Χερσόνησον, οἳ Ἰλλεουΐωνες (Hilleviones) παρὰ Πλινίῳ (δ'. 14, 28) καλοῦνται, κατὰ δὲ τὸν Τάκιτον (Κεφ. 44—45) εἰς Συΐονας καὶ Σίτονας διῄρηντο.

Ἰστέον δ' ὅτι καὶ κελτικοὶ λαοὶ οὐκ ὀλίγοι τὴν γερμανικὴν χώραν τὸ πάλαι ᾤκησαν, μάλιστα δὲ τὰ μεσημβρινὰ αὐτῆς καὶ καὶ ἑσπέρια· τὰ παρὰ τὸν Δανούβιον δηλονότι καὶ τὸν ἄνω Ῥῆνον. Ἦν δὲ τὸ κελτικὸν γένος τῷ γερμανικῷ συγγενές. Ἐπὶ πᾶσι τού-

τοις σημειωτέον, ὅτι ἀπὸ τῆς ἀρχῆς τοῦ τρίτου αἰῶνος ἀπὸ Χριστοῦ πλείω τῶν ἐλασσόνων τῆς Γερμανίας ἐθνῶν ἀλλήλοις ἀεὶ συνερχόμενα ἓν μεῖζον ἔθνος συνίστη. Τούτου δὲ γιγνομένου, τὰ μὲν ἀρχαῖα ἐθνικὰ ὀνόματα κατ' ὀλίγον ἀμαυρούμενα εἰς λήθην ἤρχετο ἢ ἐξέλειπε, νέα δ' ἀνεφαίνετο ἄλλα, συστάσεις μᾶλλον καὶ συσπονδίας λαῶν ἢ ἔθνη διακεκριμένα δηλοῦντα.

[6]). *Μάρσους, Γαμαβρουΐους, Σουήβους, Οὐανδήλους.* Οἱ μὲν Μάρσοι (οἷς συγγενεῖς γενέσθαι δοκοῦσιν οἱ ἔπειτα Μάρσιγνοι, περὶ ὧν ἐν κεφ. μγ'.) ἀπὸ τῆς γερμανικῆς φωνῆς *marsh* (γαλλ. marais), δηλούσης *ἕλος*, κληθῆναι ἐοίκασιν, ἅτε ἑλώδη τινὰ χώραν οἰκοῦντες· διὸ καὶ *Ἑλείους* ἂν αὐτοὺς καλοῖμεν ἐξελληνίζοντες τοὔνομα. Φαίνονται δὲ τὸ πρῶτον παρὰ τὸν Ἄλβιν καὶ τὸν Οὐΐσουργιν, εἶτα δὲ μεταξὺ τοῦ Ἰσάλα καὶ Ῥήνου οἰκῆσαι· ὕστερον δ' ἐξελαθέντες ὑπὸ Δρούσου τὰς τῶν Βρουκτέρων καὶ Σουκάμβρων χώρας μεταξὺ τῶν ποταμῶν Ἀμασία καὶ Λουπία καταλαβεῖν περὶ τὸ νῦν Μοναστήριον (Muenstet). Εἶχον οὖν ἐνταῦθα ὁμόρους, πρὸς ἄρκτον μὲν τοὺς Βρουκτέρους, πρὸς δὲ δυσμὰς τοὺς Οὐσιπέτας, πρὸς δὲ μεσημβρίαν τοὺς Τεγκτέρους τε καὶ Σουκάμβρους, πρὸς δ' ἀνίσχοντα ἥλιον τοὺς Τουβάντους ἢ Τουβαντίους καὶ τοὺς Δουλγιβίνους ἢ Δουλγουμνίους, πρὸς δὲ Μέσην ἄνεμον τοὺς Ἀνσιβαρίους. Κἀντεῦθεν δ' ὕστερον ἐξοικισθέντες εἰς τὰ ἐνδότερα τῆς Γερμανίας ἀνεχώρησαν (ἴδε Κεφ. μγ'.). Οἱ δὲ Γαμβριούϊοι ἢ κατὰ Στράβωνα Γαμαβριούϊοι πότερον οἱ αὐτοὶ τοῖς Χαμάβοις εἰσίν, ὥς τισι δοκεῖ, ἢ λαὸς ἕτερος, ἄδηλον. Περὶ δὲ Σουήβων ἴδε Κεφ. λή—μβ'. Οἱ δὲ Οὐάνδαλοι ἢ Βανδῆλοι, οὕς τινες Σουήβους τὸ ἀρχαῖον ὄντας τούτων τῷ χρόνῳ ἀποκριθῆναι πιστεύουσι, τὴν τῆς Γερμανίας ἀρκτῴαν παραλίαν τὸ πρῶτον οἰκῆσαι λέγονται. Ὕστερον δὲ τὰ ἀπ' αὐτῶν *οὐανδαλικὰ* κληθέντα ὄρη (Riesengebirg) ἐν τῇ νῦν Σιλησίᾳ καὶ Λαυσιτίᾳ οἰκήσαντες φαίνονται, ὅθεν κατὰ τοὺς τοῦ μεγάλου Κωνσταντίνου χρόνους καὶ ἔπειτα ἔς τε τὴν νῦν Μοραυΐαν καὶ ἐς Παννονίαν καὶ Δακίαν μεταναστάσεις αὐτῶν ἐγένοντο. Ἐοίκασι δὲ Βουργουνδίωνες καὶ Γόθωνες καὶ Γήπαιδες καὶ Ῥογοὶ ἐπισημότατοι τῶν Οὐανδάλων γενέσθαι.

[7]) *Τὸ δ' ὄνομα Γερμανία* κτλ. Τοὔνομα *Γερμανοὶ* ἄλλοι ἄλλοθεν παράγουσι· πιθανώτερα δέ μοι δοκοῦσι λέγειν οἱ ἀπὸ τῶν γερμανικῶν λέξεων *her* (στρατός), ἢ *ger, gewehr, gwer* (δόρυ, ὅπλον, πόλεμος) καὶ *mann* (ἀνὴρ) παρῆχθαι, ἤτοι ἐκ τοῦ *hermannen*, ἢ *gewehrmannen*, ἢ *gwermannen* ἐξερρωμαΐσθαι αὐτὸ φάσκοντες, *συμμάχους* δὲ ἢ *μαχητὰς* σημαίνειν. Ἐοίκασι δ' οὕτω κληθῆναι οἱ τῆς Γερμανίας λαοὶ οἱ πρῶτοι διαβάντες τὸν Ῥῆνον κἀκεῖθεν τοὺς Γάλλους ἐξελάσαντες διὰ τὸ σύμμαχοι ἀλλή-

λοις κατὰ τῶν Γάλλων ἢ δορυσθενεῖς τινες καὶ πολεμικοὶ γενέσθαι.

8) *Οὕτω δὴ τοὔνομα τοῦ ἔθνους, οὐ τὸ τοῦ ὅλου γένους κατὰ μικρὸν ἐκνικῆσαι* κτλ. Πολλὴν τὸ χωρίον τοῖς ἑρμηνευταῖς ἀπορίαν παρέσχεν. Οἱ μὲν οὖν αὐτῶν *a victo*, ἢ *a victo re*, ἀντὶ τῶν λέξεων *a victore* ἀναγινώσκοντες, νοῦν τῷ χωρίῳ ἀποδιδόασι τοιόνδε. *Πάντες (οἱ τοῖς τοὺς Γάλλους νικήσασι Τούγγροις ὁμογενεῖς) πρῶτον μὲν ὑπὸ τῶν νικηθέντων διὰ φόβον (τὸ μάχιμον δηλονότι αὐτῶν φοβηθέντων) ὁμολογουμένως τῷ πράγματι* (re) *Γερμανοὶ (μαχηταὶ) ἐκλήθησαν· εἶτα δὲ καὶ αὐτοὶ ὑφ᾽ ἑαυτῶν.* Οἱ δὲ *a re ipsa* ἀντὶ τῶν *a se ipsis* ἀναγινώσκοντες, οἴονται τὸν Ἱστορικὸν δηλοῦν βούλεσθαι, *ὅτι οἱ τὴν Γερμανίαν οἰκοῦντες πρῶτον μὲν ἀπὸ τῶν νικητῶν (τῶν Τούγγρων) ἐς φόβον (ἵνα φόβον τῷ τοιούτῳ ὀνόματι τοῖς ἀλλογενέσι παρέχοιεν), εἶτα δὲ κἀκ τοῦ πράγματος (ἐκ τοῦ ἀληθῶς μαχηταὶ ἢ σύμμαχοι εἶναι) Γερμανοὶ (μαχηταὶ ἢ σύμμαχοι) ὠνομάσθησαν.* Ἄλλοι δ᾽ ἄλλως διορθοῦσι τὸ χωρίον καὶ ἑρμηνεύουσιν. Ἡμεῖς δ᾽ ἐκείνοις συντεθείμεθα, οἳ τὴν κοινὴν γραφὴν ὀρθῶς ἔχειν ἡγοῦνται τοιόνδε τι σημαίνουσαν, οἷον ἡ ἡμετέρα μετάφρασις.

Γ.′

1) *Μνημονεύεται δὲ καὶ Ἡρακλῆς τις γενόμενος παρ᾽ αὐτοῖς.* Τὸν παρὰ τοῖς Γερμανοῖς Ἡρακλέα τοῦτον οὐ τὸν αὐτὸν τοῖς παρ᾽ Ἕλλησι καὶ Ῥωμαίοις ὑποληπτέον εἶναι, ἀλλ᾽ ὅμοιον, οἷον οἱ πολεμικοὶ μάλιστα τῶν βαρβάρων λαῶν θεραπεύουσι, μεγάθυμόν τινα ἄνδρα καὶ ἀλκιμώτατον στρατηγόν. Ἴδε περὶ τῶν παρὰ. Γερμανοῖς θεῶν καὶ ἃ ἐν κεφ. θ.′ καὶ μγ.′ ἡμῖν σεσημείωται.

2) *Εἰσὶ γὰρ αὐτοῖς καὶ μέλη τοιαῦτα.* Πλὴν δηλονότι τῶν ᾀσμάτων ἐκείνων, ἃ οἱ Γερμανοὶ εἰς μάχην πορευόμενοι τῷ τε Ἡρακλεῖ καὶ ἄλλοις γενναίοις ἀνδράσιν ᾄδειν εἰώθεσαν, εἰσὶν αὐτοῖς ἐν χρήσει καὶ τοιαῦθ᾽ ἕτερα ᾄσματα, ἃ ἀλαλάγματα ἢ κέλαδοι ἂν μᾶλλον καλοῖντο.

3) *Ὧν τῷ ἤχῳ βαρίτῳ* κτλ. Ἡ λέξις *baritus* ἀπὸ τῆς γερμανικῆς *bar* κραυγὴν σημαινούσης, (ὅθεν καὶ τὰ ῥήματα *baren, beren, ἀνακράζειν, ἀναφωνεῖν*), τῇ προσθήκῃ τῆς ῥωμαϊκῆς κατα λήξεως ἐσχημάτισται.

4) *Ἀρετῆς.* Ἀντὶ τοῦ ἐν τῷ κειμένῳ *virtutis*=ἀρετῆς, *mentis* γραπτέον ἡγεῖται εἶναι ὁ Λυνεμάννος. Κατὰ δὲ ταύτην τὴν γρα-

φὴν μεθερμηνευθείη ἂν τὸ χωρίον ὧδε· *οὐδὲ φωνὴ μᾶλλον ἐκείνη ἢ γνώμης συμφωνία* κτλ.

5) *Καὶ Ὀδυσσέα δέ τινες οἴονται* κτλ. Ἐν τούτοις ἀριθμείσθω Στράβων (Βιβλ. Γ.' κεφ. 2), ὃς ἐν Ἰβηρίᾳ πόλιν τε Ὀδύσσειαν, (ἤτοι τὴν νῦν Λισβόαν, ἢ Λισβόναν, Ὀλυσσόπολιν, ὡς ἔοικε, τὸ πάλαι ἀκούουσαν) δείκνυσθαι φάσκων καὶ Ἀθηνᾶς ἱερόν, ταῦτά τε καὶ ἄλλ' ἄττα τῆς τοῦ ὁμηρικοῦ Ὀδυσσέως κατὰ τὴν Ἰβηρίαν πλάνης τεκμήρια τίθεται. Ὁ δὲ Σολῖνος καὶ εἰς Βρεττανίαν ἐκεῖνον ἐλθεῖν ἐκ βωμοῦ τινος τεκμαίρεται ἑλληνικὰ γράμματα φέροντος. Ἀλλὰ τὰς κενὰς ταύτας περὶ τῆς Ὀδυσσέως πλάνης δόξας σαφῶς Ἰωάννης ὁ Βροδαῖος ἀπήλεγξεν, ὃν ὁ Λίψιος ἐπαινῶν ὀρθῶς ἡμῖν παραινεῖ μὴ πάνυ τι προσέχειν ἐκείνοις, οἷς ὁμοιότης τις ὀνομάτων ἀπόχρη ἐς τεκμηρίωσιν πραγμάτων οὐδαμόθεν ἄλλοθεν ἐχόντων τὸ πιθανόν. Τούτοις γὰρ ἑπόμενος τί οὐκ ἄν τις, προστίθησι, καὶ τὴν ἐν Ζελανδίᾳ *Ulissingam* ἀπὸ τοῦ Ὀδυσσέως φαίη κεκλῆσθαι καὶ τὴν *Circzean* ἀπὸ τῆς Κίρκης; Τοιαύταις ἤχων ὁμοιότησι παραπλανηθεὶς καὶ ὁ καθ' ἡμᾶς κακόνους τοῖς Ἕλλησι Φαλμερεῦρος πολλὰ πόλεων καὶ χωρῶν καὶ ποταμῶν καὶ ὀρῶν ἐν Πελοποννήσῳ ὀνόματα τοῖς σθλαυϊκοῖς συγκατέταξεν. Ἔνιοι δ' Ὀδῖνον ἢ Οὐόδανον εἶναί φασι τὸν κατὰ τὸν βόρειον Ὠκεανὸν πλανηθέντα καὶ διὰ τὴν πλάνην αὐτὸν εἶναι νομισθέντα τὸν Ὀδυσσέα. Τρεῖς γὰρ Ὀδῖνοι ἐγένοντο, ὧν ὁ τρίτος λαμπρὸς ἥρως δειχθεὶς καὶ μέγα κλέος κτησάμεκος, πολλὰς χώρας περιοδεύσας ἐκ τῆς τῶν Ἄσων γῆς εἰς τὴν βόρειον Γερμανίαν μετῴκησε καὶ θείας παρὰ τοῖς ἐκεῖ τιμῆς ἔτυχε.

6). *Τὸν Ὠκεανὸν τοῦτον*· τὸν γερμανικὸν δηλονότι, ἢ τὴν νῦν βορείαν παρὰ τοῖς Γερμανοῖς καλουμένην θάλασσαν.

7). *Ἀσκιπύργιον* (Asciburgium). Τὸ ἀρχαῖον τοῦτο πόλισμα ἐπὶ τῆς ἀριστερᾶς τοῦ Ῥήνου ὄχθης κείμενον πιθανῶς τὸ νῦν Ἀσβοῦργον (Asburg) ἐστιν, οὐ πόῤῥω Μεουρσίας ἀπέχον. Καί τισι μὲν δοκεῖ τὸ *Asciburgium* ὀρθότερον ἂν λέγεσθαι *Asburgium*, ὡς ἀπὸ τῶν Ἄσων οὕτω κληθέν, οἳ πρῶτοι ᾤκησαν αὐτὸ μετ' Ὀδίνου ἐλθόντες. Οἱ δ' ἔν τισι τῶν γερμανικῶν διαλέκτων *Ask* ἢ *Asch* *ἀγγεῖον* σημαίνειν φασίν, ἐν δὲ τῷ Σαλ. νόμῳ 23 § 3, *πλοῖον*· ὥστ' εἶναι τὸ *Asciburgium* ἑλληνιστὶ μεθερμηνευόμενον *Ναυπύργιον*, ὑποδηλοῦντῷ ὀνόματι, ὅτι νηΐ ἐκεῖσε ἀφίκοντο οἱ κτίσαντες αὐτὸ πρῶτοι καὶ κατοικήσαντες. Ἕτερον δὲ τοῦ εἰρημένου *Ἀσκιπυργίου* ἐστὶ τὸ παρὰ Πτολεμαίῳ 2,11. *Ἀσκιβούργιον* ἐπὶ τῆς ἑτέρας τοῦ Ῥήνου ὄχθης τοῦ Ἀσκιπυργίου κατέναντι κείμενον.

8). *Ὑπ' Ὀδυσσέως*. Ἀμφίβολος τοῦ ῥωμαϊκοῦ κειμένου ὁ νοῦς. Ἐπειδὴ γὰρ ἡ δοτική, μετοχῇ συντασσομένη παθητικῇ, (ὥσπερ

ἐνταῦθα ἡ Ulixi) πολλάκις μὲν χαριστικὴ ἐστιν, ἐνίοτε δὲ τοῦ ποιητικοῦ αἰτίου σημαντική, οὐκ ἔχομεν ἀκριβῶς εἰδέναι, πότερον βούλεται λέγειν ὁ Τάκιτος, ἆρα *τῷ Ὀδυσσεῖ* (ὥσπερ ἥρωϊ), ἢ *ὑπὸ τοῦ Ὀδυσσέως* τὸν βωμὸν ἐκεῖνον ἱδρύσθαι. Τοῦτο μέντοι δοκεῖ πιθανώτερον.

[9]). *Ἑλληνικὰ φέροντα γράμματα.* Εἰσὶν οἳ ῥουνικὰ τὰ γράμματα ἐκεῖνα οἴονται εἶναι, ἃ τῶν ἀρχαιοτάτων ἑλληνικῶν οὐ πάνυ τι φαίνονται διαφέροντα· οὐ μὴν ὀρθῶς. Τὰ γὰρ ῥουνικὰ ἐν χρήσει οὔπω ἦν πρὸ Χριστοῦ. Διὸ κελτικοὺς ἢ τυῤῥηνικοὺς μᾶλλον ἄν τις ὑπολάβοι χαρακτῆρας ἐκεῖνα, ἑλληνικοῖς γράμμασιν ὄντας παρεμφερεῖς, ἐνθυμηθείς, ὅτι μοῖρά τις Τυῤῥηνῶν ὑπὸ Ῥωμαίων τῆς Ἰταλίας ἐξελαθεῖσα εἰς Ῥαιτίαν καὶ τὰς Ἄλπεις μετῴκησεν. Ἔνιοι δὲ τὰ μνημεῖα ἐκεῖνα εἰς ἐμπόρους Ἕλληνας ἀναφέρουσι καὶ τοὺς Γάλλους εἰκάζουσι τά τε γράμματα καὶ βίον ἀστειότερον παρὰ Φωκαέων διδαχθῆναι τῶν ἐξ Ἀσίας ἐς Μασσαλίαν ἀποικησάντων. Ἀλλ' ἡ τῆς ἑλληνικῆς γλώσσης χρῆσις ἐν χρόνοις ὑςέροις ἐς Γαλλίαν ἔοικεν εἰσαχθῆναι καὶ ἰδία τοῖς Δρυΐδαις γενέσθαι.

Δ.'

[1]). *Εἰς ἔφοδον μόνον εὔτονα.* Παραπλησίως τοῖς Γάλλοις οἱ Γερμανοὶ τὴν πολεμικὴν τέχνην καὶ ἄσκησιν καὶ τὸ κατὰ καιρὸν χρῆσθαί τε τῇ ἑαυτῶν δυνάμει καὶ φείδεσθαι αὐτῆς ἀγνοοῦντες, μιᾷ ὑπερβαλλούσῃ ὁρμῇ πᾶσαν σχεδὸν τὴν ἑαυτῶν ἰσχὺν ἐν ταῖς μάχαις εἰώθεσαν ἀναλίσκειν. Διὸ καὶ πὲρ τῶν Ῥωμαίων τῇ τῶν σωμάτων ἡλικίᾳ τε καὶ ἀλκῇ ὑπερφέροντες, διὰ τὴν περὶ τὰ πολεμικὰ ὅμως ἀπειρίαν ῥᾳδίως ὑπ' αὐτῶν ἐνικῶντο. Εἰκότως οὖν εἰς ἔφοδον μόνον τὰ σώματα αὐτῶν ἰσχυρὰ γενέσθαι λέγει ὁ Τάκιτος.

[1]). *Οὐ καρτερικὰ τὰ αὐτά.* Οὕτω μεθηρμήνευσα τὸ χωρίον, τὴν μὲν ἀντων. *eadem* εἰς τὸ *corpora* ἀναφέρων, τὸ δὲ *patientia* ἐπίθετον ἡγούμενος. Ἔστι δ' ὅμως αὐτὸ καὶ ὡς οὐσιαστικὸν ἀφῃρημένον ἐκδέξασθαι, ὥστ' ἔχειν τὸ χωρίον ὧδε. *Laboris atque operum non eadem* iis esl *patientia* = πρὸς δὲ πόνους καὶ ἔργα οὐχ ὁμοία αὐτοῖς καρτερία.

[3]). *Δίψαν δὲ καὶ θάλπος* κτλ. Τοὺς Γερμανούς, ὥσπερ δὴ καὶτοὺς Γάλλους, ἅτε κλίμασι ψυχροῖς ἐκ νηπίων ἐνειθισμένους, δίψαν καὶ θάλπος οὐ ῥᾳδίως ὑπομένειν πολλοὶ ἱστορήκασι. Τοῦτο δὲ καὶ τοῖς Κίμβροις ἔοικε γενέσθαι ὀλεθριώτερον ἢ τοῦ Μαρίου ἡ πολεμικὴ ἀρετή. Σημειωτέον δ' ὅτι τὸ μὲν τῷ *ψύχει* ἐνειθίσθαι τοὺς Γερμανοὺς ἐς τὸν οὐρανὸν αὐτῶν ἀνοιστέον τὸ δὲ *ἀσιτίᾳ*, ἐς τὴν χώραν.

Ε.′

[1]). *Ἡ ὕλαις πέφρικε.* Τῶν ἐν Γερμανίᾳ ὑλῶν γνωριμώταται αἵδε. Ἡ Ἑρκυνία, ἣ κατ' ἄλλους ὁ Ὀρκύνιος δρυμὼν (ὃς πλειόνων ὑλῶν κοινὸν ὄνομα ἔοικεν εἶναι ἀπὸ τῆς πηγῆς τοῦ Δανουβίου μέχρι τῆς Τρανσιλουανίας διηκουσῶν καὶ οὕτως ἀλλήλαις συναπτουσῶν, ὥστε μιᾶς ὕλης φαντασίαν παρέχειν), ἡ τῶν Ἀβνόβων ὀρῶν (ἡ νῦν μέλαινα ὕλη Schwarzwald), ἡ τῶν Σουδήτων ὀρῶν (ἡ τοῦ δυσμικωτέρου τοῦ νῦν Σουδήτων, ἤτοι τοῦ Erzgedirg), ἡ Γαβρήτα (ἡ νῦν Βοημικὴ ἢ Βοϊαιμικὴ ἢ Βοιοχαιμικὴ ὕλη), ἡ Δοῦνα (ἡ μεταξὺ τῆς νῦν Βοημίας ἢ Βοϊαιμίας ἢ Βοιοχαιμίας καὶ Μοραυΐας), ἡ Σημανοῦς ἢ Σημάνα (πιθανῶς ἡ τοῦ νῦν Harzgebirg), ἡ Βακενὶς ἢ Βουχουνία (ἡ νῦν Φραγκονικὴ καὶ Θυριγγία ὕλη), ἡ τοῦ Ἀσκιβουργίου ὄρους, ἡ τῶν Οὐανδαλικῶν ὀρῶν (τοῦ νῦν Riesengedirg), ἡ τῶν Σαρματικῶν ὀρῶν (τῶν Καρπαταίων καὶ τῶν ἐωθινωτάτων τῆς Μοραΐας), ἡ Τευτοβουργικὴ (μεταξὺ Παδερβόρνου καὶ Ὀσναβούγας, ἔνθα πάλαι ποτὲ ὁ τῶν Χηρούσκων ἡγεμονεύων Ἀρμίνιος τὰ τρία τῶν ὑπὸ Οὐάρῳ Κοϊντιλίῳ Ῥωμαίων τάγματα μάχῃ νικήσας πασσυδὶ διέφθειρεν), ἡ Ἡράκλεια πρὸς ἔω τοῦ Οὐϊσούργιος (ἴσως ἡ τοῦ νῦν Suntelgebirg), ἡ τῶν Σεμνώνων ὕλη.

[2]). *Σιτηρῶν μὲν εὔφορος.* Οὕτω μεθηρμήνευσα, ἐκείνοις προσθέμενος, οἳ τὸ *satis* ἐνταῦθα ἀπενεκτικὴν πληθ. τῆς μετοχῆς *satus* εἶναί φασιν· εἰδέ τις αὐτὸ θείη ἐπίῤῥημα, μεθερμηνευτέον τὸ χωρίον ὧδε. *εὔφορός ἐστιν ἱκανῶς.*

[3]). *Δένδρων καρπίμων οὐ δεκτική* (impatiens). Πῶς οὐ δεκτική, εἴ γε κατὰ Στράβωνα (δ′. 6) καὶ Πλίνιον (ιδ′. 3, 8) χρηστὸν ἡ Ῥαιτία ἐν τῷ τότε ἔφερεν οἶνον καὶ βότρυς οὐ φαύλους, αὐτὸς δ' ὁ Τάκιτος (κεφ. 23 καὶ 26) ὀπωροφοροῦσαν ἡμῖν ἀποφαίνει τὴν Γερμανίαν, ἄγριά τε καὶ ἥμερα μῆλα τρέφουσαν; Ἴσως οὖν ἡ ἄρχουσα *im* τοῦ *impatiens* ἀβλεψίᾳ τῶν ἀντιγραφέων ἀπὸ τῆς ληγούσης *um* τῆς ἡγουμένης λέξεως ἐπεισέφρησεν· ὥστε γραπτέον *patiens* = δεκτική.

[4]). *Ὁ τοῦ μετώπου κόσμος·* δηλονότι τὰ κέρα· τούτοις γὰρ τὸ τῶν βοῶν μέτωπον κοσμεῖταί τε καὶ ὁπλίζεται, τούτοις οἱ ταῦροι δοκοῦσιν ἀγάλλεσθαι.

[5]). *Ὅμως δ' οὐκ ἂν ἔγωγ' ἰσχυρισαίμην* κτλ. Ὃ τῷ Ἱστορικῷ ἐνδεχόμενον τότε ἐδόκει, τοῦτ' ἀληθὲς ὁ ἔπειτα χρόνος ἀπέφηνε. Χρυσίτιδες γὰρ καὶ ἀργυρίτιδες φλέβες πολλαὶ πολλαχοῦ τῆς Γερμανίας ἀνεκαλύφθησαν, καὶ νῦν οὐκ ὀλίγος ἐν αὐτῇ χρυσὸς καὶ ἄργυρος ἐξορύσσεται. Ἔοικε δ' ἐν τῷ χρόνῳ, ὅτε ὁ Τάκιτος

τὸ περὶ Γερμανίας τόδε βιβλίον ἔγραφεν, οὔπω ἐν τῷ Ματτιακῷ ἢ Μαζυακῷ ἀγρῷ ἀνευρῆσθαι τὸ ἀργυρεῖον, οὗ αὐτὸς ἐν τοῖς χρονικοῖς (ιά. 20,) μνείαν ποιεῖται.

[6]). *Τὸ πριονωτὸν καὶ ἐνάρματον*· *Πριονωτὸν* μὲν καλεῖ νόμισμα, οὗ ὁ γῦρος πυκναῖς ἐντομαῖς πρίονος δίκην ὠδόντωται· οὐδαμοῦ δ' ἄλλοθι τῶν τοιούτων νομισμάτων γίγνεται μνεία· *ἐνάρματον* δέ, τὸ τύπον ἅρματος φέρον, ἐφ' οὗ ἡ Νίκη ὀχεῖται. Ἐσχημάτισται δέ μοι ἡ λέξις κατὰ τὸ *εὐάρματον* καὶ *εὐσώματον*.

[7]). *Ἀλλ' ὅτι εὐχερεστέρα τῶν ἀργυρῶν* κτλ. ἀργυρᾶ γὰρ νομίσματα τό, τε εἶδος πολλὰ καὶ τὴν ἀξίαν διάφορα ἦν τοῖς Ῥωμαίοις, χρυσᾶ δ' οὐχ ὁμοίως.

ς'.

Ἐν τοῖς κεφαλαίοις ς'—ιέ. λόγον ποιεῖται ὁ Τάκιτος περὶ τῶν πολεμικῶν, ὡς εἶχε παρὰ τοῖς Γερμανοῖς, οὔπω τὴν τοῦ πολέμου τέχνην ἐν τῷ τότε εἰδόσιν, ἀλλ' ὕστερον αὐτὴν διδαχθεῖσι παρὰ Ῥωμαίων. Διτταὶ δ' ἦσαν αὐτῶν αἱ στρατεῖαι τὸ πάλαι· ἢ γὰρ ἀλλήλων οἱ τῆς Γερμανίας λαοὶ τὴν χώραν ἐπέτρεχον, ἢ πρὸς τὰ ὅμορα ἔθνη, μάλιστα δὲ πρὸς Ῥωμαίους, ἐπολέμουν. Πολλοὶ δ' αὐτῶν καὶ ἐμισθοφόρουν τοῖς Ῥωμαίοις ἢ Γάλλοις συστρατευόμενοι. Ἴδιον δ' αὐτοῖς καὶ μόνιμον τῶν ἐς πόλεμον τὸ τῶν ἑταίρων ἢ ὀπαδῶν τῶν ἡγεμόνων θέσμιον, περὶ οὗ ἐν κεφαλαίῳ 13 καὶ 14 λόγον ποιεῖται ὁ Τάκιτος. Πλὴν δὲ τούτου οἱ τῆς Γερμανίας πολεμισταί, ὥσπερ οἱ τῶν Περσῶν, (ἴδε Ἡρωδιαν. 6, 5) κελεύσματι τοῦ Βασιλέως εἰώθεσαν συναγείρεσθαι καὶ ἰδίᾳ ἕκαστος δαπάνῃ στρατεύεσθαι, τῇ ἐκ τῶν πολεμίων λείᾳ ἀρκούμενοι· τοῦ δὲ πολέμου διεξαχθέντος διελύοντο αὖθις οἴκαδε. Μισθοφόρος οὖν στρατιὰ οὐκ ἦν παρ' αὐτοῖς τὸ πάλαι, ἀλλὰ μετὰ τοὺς χρόνους Καρόλου τοῦ Μεγάλου τὸ πρῶτον συνέστη.

[1]). Τῶν ὅπλων τὰ μέν εἰσιν *ἀμυντήρια*, οἷς οἱ μαχόμενοι χρῶνται εἰς τὸ πόῤῥωθεν βάλλειν ἢ ἐγγύθεν τιτρώσκειν τοὺς πολεμίους· τὰ δὲ *σκεπαστήρια*, οἷς ἑαυτοὺς σκεπάζουσιν, ὥστε μὴ βάλλεσθαι μηδὲ τιτρώσκεσθαι ὑπ' ἐκείνων. Ἐκεῖνα μὲν οὖν *tela* ἰδίως οἱ Ῥωμαῖοι καλοῦσι· ταῦτα δὲ τὸ γενικὸν ὄνομα *arma* προσαγορεύουσι. Τοῦ δὲ τοὺς Γερμανοὺς σιδήρου πάλαι μὴ εὐπορεῖν αἴτιον οὐ τῆς χώρας αὐτῶν ἡ φύσις· (πλεῖστα γὰρ νῦν ἐστι παρ' αὐτοῖς σιδηρωρυχεῖα καὶ ἄφθονα) ἀλλ' ἡ ἄγνοια τοῦ μεταλλεύειν ἢ καμινεύειν τὸν σίδηρον, ἴσως δὲ καὶ τὸ ἀπαξιοῦν αὐτοὺς ἔργον οὕτω ταπεινὸν καὶ ἐπίμοχθον.

[2]). *Φραμέας.* Εἰσὶν οἳ τὴν φραμέαν ῥομφαίας διστόμου εἶδος ὑπολαμβάνουσιν, ἀλλ' οὐκ ὀρθῶς· ἀγχέμαχον γὰρ ἦν ἡ ῥομφαία ὅπλον, τοῖς πόῤῥωθεν μαχομένοις ἥκιστα χρήσιμον· τῇ δὲ φραμέᾳ ἐγγύθεν ὁμοίως καὶ πόῤῥωθεν οἱ Γερμανοὶ ἐχρῶντο κατὰ τὸν Τάκιτον. Πιθανώτεροι οὖν δοκοῦσιν οἱ τὴν φραμέαν ἄκοντα εἶναι φάσκοντες, βραχεῖ σιδηρῷ ἐστομωμένον ὀβελῷ, ὃς ξύλῳ ἱκανῶς μακρῷ οὕτως ἐνεκέκρουστο ἢ ἐνεδέδετο, ὥστε τὸ τῶν σκυτέων ὀπέατι προσεοικέναι τὸ ὅπλον. Ἀνεύρηται δ' ἐν τῷ Μεροβιγγείῳ μνήματι οὐ πόῤῥω τοῦ Οὐϊροδούνου (Verdun) ὅπλον τοιοῦτο, ὀπέατι παρεμφερὲς καὶ νῦν ἐν Μουσείῳ τινὶ τοῦ Ἀργεντοράτου τεθησαυρισμένον. Καλεῖται δ' ἡ *φραμέα* ἑλληνιστὶ *διβόλιον* ἢ *διβολία* κατὰ τὴν τοῦ Ῥεϊσκίου εἰκασίαν καὶ τὴν τοῦ ἡμετέρου Κοραῆ διόρθωσιν (Ἴδε Πλουτάρχου βίων Παραλ. Μάριον 25 ἔκδ. Κοραῆ).

[3]). *Οἱ δὲ πεζοὶ καὶ βέλη ἀφιᾶσι·* λίθους δηλονότι ἀπὸ χειρὸς ἢ ἀπὸ σφενδόνης, παλτά, σαυνία, ἀκόντια. Εἰ δὲ καὶ τόξοις ἐχρῶντο, οὐ δῆλον.

[4]). *Τὰς ἀσπίδας χρώμασι διανθίζουσι·* τῶν γερμανικῶν λαῶν ἕκαστος χρώματι ἰδίῳ ὥσπερ ἐπισήμῳ τοὺς θυρεοὺς ἢ τὰς ἀσπίδας ἐποίκιλλεν. Ἐντεῦθέν τινες τὴν παρασημογραφικὴν (l'art héraldique) ἡγοῦνται τὴν πρώτην ἀρχὴν λαβεῖν. Ἀλλ' ἡ ἐπὶ ταῖς ἀσπίσι παρασημογραφία πολλῷ ἀρχαιοτέρα φαίνεται οὖσα· Ἡσίοδος μὲν γὰρ διὰ μακρῶν ἡμῖν τὴν ἐπὶ τῆς ἀσπίδος τοῦ Ἡρακλέους σηματουργίαν ὑπέγραψεν. Ὅμηρος δὲ τὴν ἐπὶ τοῦ σάκους τοῦ Ἀχιλλέως, Αἰσχύλος δὲ (ἑπτὰ ἐπὶ Θήβ. 334—630) καὶ Εὐριπίδης (Φοίν. 1106—1214) τὰ ἐπίσημα τῶν ἐπὶ Θήβας στρατευσάντων ἑπτὰ ἡρώων ἡμῖν ἐδήλωσαν.

[5]). *Ἐπιπορπώμενοι σάγον.* Οὐχ ὅλως γυμνούς, ἀλλὰ σχεδὸν γυμνοὺς ὑποληπτέον εἶναι πάλαι τοὺς Γερμανούς. Αὐτὸς γὰρ ὁ Τάκιτος ἀλλαχοῦ (Κεφ. 17) πᾶσί φησι τοῖς Γερμανοῖς κοινὸν περιβόλαιον εἶναι τὸν καλούμενον σάγον· ἐφαπτίδα ἐρεᾶν, τετράγωνον, δασεῖαν, βραχεῖαν, τοὺς ὤμους καὶ τὰ νῶτα τοῦ σώματος περιβάλλουσαν.

[6]). *Κράνεσι καὶ κυναῖς·* Τὰ μὲν κράνη μετάλλου, τὰς δὲ κυνᾶς δορᾶς πεποιῆσθαι λέγει ὁ Ἰσίδωρος ἐτυμολ. 18, 14. Ἔοικεν ὅμως καὶ ἄλλῳ τινὶ ταῦτα διενηνοχέναι ἀλλήλων, εἰ καὶ ἄδηλον ᾧτινι. Ὁ δὲ Πλούταρχος ἐν βίῳ Μαρίου (κεφ. 25) τοὺς Κίμβρους κράνη φησὶν ἔχειν *εἰκασμένα θηρίων φοβερῶν χάσμασι καὶ προτομαῖς ἰδιομόρφοις, ἃς ἐπαιρόμενοι λόφοις πτερωτοῖς εἰς ὕψος μείζους ἐφαίνοντο.*

[7]). Τοιοῦτοι αὐτοῖς ἦσαν οἱ ἵπποι διὰ τὸ ἀτημέλητοι μένειν

καὶ μὴ θεραπεύεσθαι· αὐτόνομοι γὰρ ἠφίεντο ἐν λειμῶσι καὶ ὕλαις πλανᾶσθαι. Ἰστέον δ' ὅτι οἱ ἀρχαῖοι Γερμανοὶ ἐφιππίοις οὐκ ἐχρῶντο, χαυνότητος καὶ νωχελείας δεῖγμα τὴν χρῆσιν τούτων ἡγούμενοι. Καὶ τῶν ἀναβολέων δὲ τὴν χρῆσιν ἀγνοοῦντες φαίνονται ἢ ἀπαξιοῦντες.

8). Ἀσαφές ἐστι τὸ χωρίον ἄλλως ὑπ' ἄλλων νοούμενον. Οἱ οὖν πλεῖστοι τῶν ἑρμηνευτῶν τοιόνδε τινὰ τὸν νοῦν αὐτοῦ φασιν εἶναι.

Οἱ δ' ἵπποι (τῶν Γερμανῶν) οὐ διδάσκονται συχνὰς καὶ ποικίλας τοῦ δρόμου μεταβολὰς καὶ ἑλιγμοὺς ποιεῖν, ἀλλ' ἐπ' εὐθείας ἐλαύνουσιν αὐτοὺς οἱ ἱππεύοντες, ἢ μιᾷ μεταβολῇ ἐπὶ δεξιὰ εἰς ἕνα κύκλον συντάσσουσιν, ὥστε μηδένα ἐν τούτῳ πρότερον εἶναι ἢ ὕστερον· δῆλον γάρ, ὡς οὐδεὶς οὐδένα τῶν ἐν τῷ αὐτῷ τεταγμένων κύκλῳ πρότερον ἂν εἴποι ἢ ὕστερον.

Ὁ δὲ Βυλαῦος τοιόνδε.

Οἱ δ' ἵπποι οὐ κατὰ τὸν ἡμέτερον τρόπον πολλὰς καὶ ποικίλας δρόμου μεταβολὰς ποιεῖν διδάσκονται, ἀλλ' ἐπ' εὐθείας ἐλαύνουσιν αὐτοὺς οἱ ἱππεῖς ἢ μιᾷ ςροφῇ ἐπὶ δεξιὰ ἐς κύκλον αὐτοὺς περιάγουσιν οὕτως, ὥστε ἀεὶ ἐπὶ μιᾶς τετάχθαι πάντας εὐθείας, οἷον ἀκτῖνός τινος τοῦ κύκλου, οὗ τομέα τῇ περιαγωγῇ περιγράφουσι. Τὸ οὖν μηδένα πρότερον ἢ ὕστερον εἶναι τοῦτο δὴ σημαίνει, τὸ ἐν τῇ περιαγωγῇ εὐθεῖαν τηρεῖσθαι πανταχοῦ τὴν τῶν ἱππέων τάξιν, μηδαμοῦ δὲ τὴν γραμμὴν κλᾶσθαι ἢ κάμπτεσθαι· ὃ δὴ συμβαίνειν ἀνάγκη, εἴ τις τῶν ἵππων προχωρήσας που ἢ ἀπολειφθεὶς τῆς εὐθείας ἐκβαίη. Ἀλλ' ἔμοιγε οὐ πιθανὰ τὰ τοῦ Βυλαύου δοκεῖ. Ἔδει γὰρ κατὰ ταῦτα τὸ τῶν Γερμανῶν ἱππικὸν εἰς γραμμὴν ἐκτόπως μακρὰν ἐκμηρύεσθαι καὶ τομέα κύκλου οὕτω μεγάλου τῇ περιαγωγῇ διαγράφειν, ὥστε σπανίως ἐν ταῖς μάχαις χώρας εὐπορεῖν ἱκανῆς εἰς τοιούτους ἐξελιγμούς· ἔτι δ' ἔδει τοὺς μὲν ἐγγὺς τοῦ κέντρου τεταγμένους ἱππεῖς ἢ ὅλως ἀκινητεῖν ἢ βραχύ τι προβαίνειν τῆς χώρας, τοὺς δ' ἐγγὺς τῆς περιφερείας μέγιστον ἐν τῷ αὐτῷ χρόνῳ ἕκαστον διαθεῖν τόξον. Ἀλλ' οὐδὲ τὸ χρήσιμον τῆς τοιαύτης ἐν ταῖς μάχαις κινήσεως συνορᾶν ἔγωγ' ἔχω.

9). Οἱ ἀναμὶξ τοῖς ἱππεῦσι μαχόμενοι πεζοὶ *ἄμιπποι* καλοῦνται καθ' Ἕλληνας. Διαφέρουσι δ' αὐτῶν οἱ *διμάχαι*, οἳ ἀπό τε τῶν ἵππων καὶ ἀφιππεύοντες, ὅπου δέοι, πεζῇ μάχονται πρὸς τοὺς πολεμίους. *Δραγόνοι* οὗτοι, ἤτοι *δράκοντες*, κατὰ τὴν νῦν στρατιωτικὴν τῶν Εὐρωπαίων γλῶσσαν προσαγορεύονται.

10). *Ἑκατονταδῖται.* Τῶν στρατιωτικῶν τούτων ἑκατονταδιτῶν διαφέρουσιν οἱ ἑκατὸν πολιτικοὶ τῶν ἡγεμόνων σύμβουλοι καὶ ἀκόλουθοι, ὧν ἐν κεφ. ιβ.' μνημονεύει ὁ Τάκιτος.

[11]). *Κατ' ἐμβόλους.* Ἔμβολος δελτωτὸν ἤτοι τρίγωνον ἦν παρατάξεως σχῆμα, ἐπιτηδειότερον δοκοῦν εἰς τὸ διασπᾶν τὴν τῶν πολεμίων τάξιν διὰ τὸ ὑπὸ πολλῶν πολλὰ ὁμοῦ βέλη πρὸς τὸν αὐτὸν τόπον ἀφίεσθαι. Παρετάσσοντο δ' οὕτω κατ' ἐμβόλους οἱ Γερμανοί, ὥστε τοὺς συγγενεῖς καὶ ὁμοδήμους ἢ ὁμοεθνεῖς ἴδιον ἑκάστους ἔμβολον συνιστάναι καὶ ἐν τῷ αὐτῷ τεταγμένους πρὸς τοὺς πολεμίους διαγωνίζεσθαι· ὃ δὴ οὐ μικρὸν εἰς ἅμιλλαν καὶ εὐψυχίαν αὐτοῖς συνεβάλλετο (ἴδε κεφ. ζ'.)

[12]). *Τὴν ἀσπίδα καταλιπεῖν.* Οὐ τὸ ἐκ τύχης τὴν ἀσπίδα καταλιπεῖν βούλεται λέγειν ὁ ἱστορικός, ἀλλὰ τὸ δι' ἀνανδρίαν αὐτὴν ῥίψαι. Τοῦτο δὲ καὶ οἱ ἀρχαῖοι Ἕλληνες, μάλιστα δὲ οἱ Λάκωνες καὶ οἱ Θηβαῖοι, ἐν τοῖς αἰσχίστοις ἐτίθεντο. Γνωστὰ δὴ πᾶσι τὰ τῶν Λακαινῶν ἐκεῖνα· *ἢ τάν, ἢ ἐπὶ τάν· καὶ ταύτην ὁ πατήρ σοι ἀεὶ ἔσωζε· καὶ σὺ οὖν ταύτην σῶζε, ἢ μὴ ἔσο.*

Ζ.'

[1]) *Καὶ οἱ στρατηγοὶ παραδείγματι μᾶλλον ἢ κράτει* κτλ. Ὁ νοῦς. Καὶ οἱ στρατηγοὶ παραδείγματι (τῆς ἑαυτῶν ἀρετῆς) μᾶλλον ἢ κράτει ἄρχουσι, θαυμαζόμενοι ὅτι εἰσὶν ὀξεῖς κ.τ.λ. ἤ. Οἱ στρατηγοί, παραδείγματι (τῆς ἑαυτῶν ἀρετῆς) μᾶλλον ἢ κράτει στρατηγοὶ ὄντες (=στρατηγοῦντες), ἄρχουσι θαυμαζόμενοι (=τῷ θαυμάζεσθαι) διὰ τὴν ὀξύτητα κτλ.

[2]). *Εἰκόνας δὲ καὶ σημεῖά τινα* κτλ. Εἴθιστο τῆς Γερμανοῖς, ὥσπερ δὴ καὶ ἄλλοις τῶν πάλαι ἐθνῶν, εἰς μάχην ἰοῦσι σημαίας φέρειν. Δοκοῦσι δ' αὗται ἢ ὀθόνια εἶναι ἀνάπτυχα, ζώων μάλιστα τύπους ἐνυφασμένους ἔχοντα, ἢ εἰκόνες φοβερῶν ζώων μετάλλου ἢ ξύλου πεποιημέναι, εἰς τὸ φόβον τοῖς πολεμίοις ἐμποιεῖν ἐπιτήδειαι. Οὐ ῥᾴδιον δὲ διαστεῖλαι ἐνταῦθα, εἰ ἄλλο μὲν αἱ εἰκόνες, ἄλλο δὲ τὰ σημεῖα δηλοῦσιν, ἢ κατὰ σχῆμα *ἓν διὰ δυοῖν* σημαίας βούλεται λέγειν ὁ Τάκιτος εἰκόνας τινὰς ἐχούσας.

[3]). *Τὰ τῆς καρτερίας ἐχέγγυα κεῖται ἐγγὺς* κτλ. Ἀδελφὰ τούτοις περὶ τῶν Λακεδαιμονίων γυναικῶν ἱστορεῖ ὁ Πλούταρχος (ἐν βίῳ Πύῤῥου. 29), λέγων· *Ἠμύνοντο δὴ καὶ προθυμίᾳ καὶ ἀρετῇ παρὰ δύναμιν οἱ Λακεδαιμόνιοι, καὶ παρῆσαν αἱ γυναῖκες, ὀρέγουσαι βέλη καὶ σιτία καὶ ποτὸν τοῖς δεομένοις προσφέρουσαι καὶ ἀναλαμβάνουσαι τοὺς τιτρωσκομένους. Παρορμητήρια δὲ* (hortamina) λόγους νόει μοι εἰς ἀλκὴν παρορμῶντας.

Η.'

[1]). *Ἐν τοῖς θηλυγενέσι τῶν οἰκείων.* Οὕτω μεθερμηνευτέον ἔδοξέ μοι τὸ τοῦ κειμένου *feminarum suarum nomine. Feminae* γὰρ ἐνταῦθα οὐχ αἱ σύζυγοι μόναι λέγονται, ἀλλὰ καὶ αἱ μητέρες καὶ ἀδελφαί. Εἰκότως δὲ τὴν τῶν γυναικῶν αἰχμαλωσίαν μᾶλλον ἐφοβοῦντο ἢ τὴν ἑαυτῶν καὶ τὴν τῶν ἀῤῥένων τοῦ οἴκου· οὐ γὰρ μόνον ἀσθενέστερον τὸ θῆλυ γένος καὶ μείζοσιν ἐν αἰχμαλωσίᾳ δεινοῖς ὑποκείμενον, ἀλλὰ καὶ διαθετικώτερον τῶν ψυχῶν εἰς συμπάθειαν.

[2]). *Εἴδομεν* (vidimus). Οὐ περὶ ἑαυτοῦ τοῦτο λέγει ὁ Τάκιτος ἀλλὰ περὶ τῶν Ῥωμαίων. *Εἴδομεν ἡμεῖς οἱ Ῥωμαῖοι·* διὸ καὶ πληθυντικῷ κέχρηται ἀριθμῷ· ὅπου γὰρ περὶ ἑαυτοῦ λέγει, τῷ ἑνικῷ χρῆσθαι φιλεῖ. Παρὰ τὴν Οὐελήδαν (ἢ Βελήδα γεγραμμένη εὕρηται παρὰ Δίωνι·) καὶ Αὐρινίαν καὶ Γάννα τις παρθένος μνημονεύεται προφῆτις, ἢ μετὰ Μάσυος τοῦ Σεμνώνων βασιλέως πρὸς Δομετιανὸν ἦλθε καὶ τιμῆς παρ' αὐτοῦ ἔτυχεν (ἴδε Δίων. 67. 5.).

Θ'.

Τὰ ἐν τῷδε καὶ τῷ ἑπομένῳ κεφαλαίῳ περιεχόμενα εἰς τὴν τῶν Γερμανῶν θρησκείαν, μόνην σχεδὸν τὴν ἐν τοῖς πολεμικοῖς, καὶ ἔτι εἰς τὰ περὶ τὸν πόλεμον καὶ τὰ ἀρχαιρέσια ἀναφέρεται. Οὐ μόνον δ' ἃ Τάκιτος πάνυ διὰ βραχέων περὶ θεῶν καὶ θρησκείας τῶν πάλαι Γερμανῶν ἱστορεῖ, ἀλλὰ καὶ ἃ παρ' ἄλλων γιγνώσκομεν, πολλὴν ἔχει τὴν ἀδηλότητα καὶ ἀμφιβολίαν. Ὅσοι μὲν τῶν πάλαι Ἑλλήνων καὶ Ῥωμαίων τῆς τῶν Γερμανῶν θρησκείας μνείαν ἐν τοῖς ἑαυτῶν ποιοῦνται συγγράμμασιν, οὐ πάνυ τι δοκοῦσιν ἀξιόπιστοι εἶναι, οὔτε ποτ' εἰς τὴν χώραν ἐκείνων, πλὴν ὀλιγίστων, ἐλθόντες, οὔτε τὴν φωνὴν ἐπαΐοντες. Οἱ δ' ἔπειτα χριστιανοὶ συγγραφεῖς ψέγειν μᾶλλον καὶ δυσφημεῖν τὰ τῶν ἐθνικῶν ἢ διερευνᾶν καὶ κατ' ἀλήθειαν ἀφηγεῖσθαι φιλοῦσιν, οὐδὲ τοὺς χρόνους, ὥσπερ ἔδει, φαίνονται διακρίνοντες. Τῶν δὲ καθ' ἡμᾶς σοφῶν εἰσὶν οἳ τοὺς Γερμανοὺς τὸ παλαίτατον, πρὶν δὴ αὐτοὺς τῇ πρὸς Ῥωμαίους ἐπιμιξίᾳ τῆς ὀθνείας μετασχεῖν δεισιδαιμονίας, ἕνα μόνον οἴονται σέβειν θεόν, τὸν τοῦ παντὸς κυβερνήτην, οὔθ' ἱερεῖς οὔτε ναοὺς ἢ τεμένη, οὔτε βωμούς, οὔτε θυσίας, οὔτ' εἰκόνας θεῶν ἔχοντας. Εἰκάζουσι δὲ τοῦτο ἐξ ὧν ὅ,τε Τάκιτος ἐν τῷ βιβλίῳ τῷδε (κεφ. 9. 39. 43) καὶ ὁ Καῖσαρ (bel. gal. 6, 21.) λέγουσιν. Ἀλλὰ τῇ τῶν σοφῶν ἐκείνων δόξῃ σαφῶς ἀντιμάχεται ἃ ὁ αὐτός φησι Τάκιτος ἔν τισι τοῦ βιβλίου τούτου κεφαλαίοις (2, 34, 40, 43, 45) καὶ ἀλλαχοῦ

(Ann. 1, 51. 57. 61. 2, 10. 12. 4, 73. 13, 57. Hist. 4, 64) καὶ ἔτι ἃ ἡμῖν περὶ τῆς τῶν γερμανικῶν θεῶν πληθύος καὶ τῶν τούτων εἰδῶν καὶ εἰκόνων παραδεδώκασι Γρηγόριος ὁ *Turon.* 2, 10. καὶ Ῥημίγιος καὶ Ἀλκουῖνος καὶ Βέδας καὶ ἄλλοι. Εἰδὲ τὰ παλαιότερα τῶν τῆς Γερμανίας θεῶν ὀνόματα ῥωμαϊκὰ φαίνεται ὄντα, ἃ δ' ἐν αὐτοῖς γερμανικὰ μνημονεύεται, ταῦτα νεώτερα δείκνυται, οὐχ ἱκανὸν τοῦτο τεκμήριον τοῦ τοῖς Γερμανοῖς ὑπὸ Ῥωμαίων τὴν πολυθεΐαν μεταδοθῆναι. Ἐν μὲν γὰρ τοῖς παλαιτάτοις χρόνοις οἰκεῖα δοκεῖ τὰ τῶν θεῶν αὐτοῖς γενέσθαι ὀνόματα, εἶτα δ' ὑπὸ Ῥωμαίων μεταβληθῆναι, τὸ βάρβαρον αὐτῶν δυσχεραινόντων καὶ δυσεκφώνητον. Μαρτυρεῖ δὲ τῷ λόγῳ αὐτὸς ὁ Τάκιτος, ἐν οἷς (κεφ. 43) περὶ τῶν Ναарβάλων φησί· *sed deos interpretatione Romana Castorem Pollucemque memorant*· ἔτι δὲ Μέλας λέγων (3, 3) τάδε· *Montes* (ut et Dii) *quorum nomina vix est eloqui ore Romano.*

[1]). *Θεῶν πάντων τὸν Ἑρμῆν.* κτλ. Τοῦτ' αὐτὸ καὶ οἱ Γάλλοι ἐποίουν κατὰ Καίσαρα (bel. gal. 6, 17) καὶ οἱ Θρᾷκες καθ' Ἡρόδοτον (2, 51. 5, 7). Ἀπορήσειε δ' ἄν τις, διατί οἱ Γερμανοί, γένος μάχιμον οὕτω καὶ ἀρειότολμον, τῷ Ἑρμῇ μᾶλλον ἢ τῷ Ἄρει ἐλάτρευον· διατί δ' ἡ Ἶσις ἐνταῦθα μνημονεύεται, ἔνθα περὶ τῶν πολεμικῶν ὁ λόγος ἐστὶ θεῶν· ἢ ὅτι τοῖς Γερμανοῖς, ὥσπερ δὴ τοῖς Ἕλλησι καὶ Ῥωμαίοις καὶ ἄλλοις ἀρχαίοις λαοῖς, τύποι οἱ θεοὶ ἦσαν καὶ σύμβολα, οἱ μὲν σοφίας, ἧς καὶ ἡ πολεμικὴ δήπου μετέχει τέχνη, οἱ δὲ ῥώμης καὶ ἀνδρείας. Σοφίας μὲν οὖν τύπος καὶ σύμβολον Ἀθηνᾶ ἦν καὶ Ἑρμῆς, καὶ παρὰ τοῖς Γερμανοῖς Ὀδῖνος ἢ Οὐόδανος· ἀλκῆς δὲ καὶ ἀνδρείας, Ἄρης καὶ Ἡρακλῆς, καὶ παρὰ τοῖς Γερμανοῖς Θῶρος ἢ Τῦρος. Ποτέροις τούτων καὶ διὰ τί ἡ Ἶσις συγκατείλεκται, ἄδηλον.

[2]). *Καὶ ἀνθρωποθυτεῖν θεμιτὸν ἡγοῦνται.* Ἀδελφὰ τούτοις καὶ Στράβων περὶ Κίμβρων (7, 2) καὶ Προκόπιος περὶ Γότθων (2, 14. 15. 25. 26.) ἱστορεῖ· καὶ Ὀβίδιος δὲ περὶ Γερμαμανίας ᾄδει (Trist. 4 el. 2, 35. 36).

[3]). *Ἡρακλέα δὲ καὶ Ἄρην ἱερείοις μὴ ἀπειρημένοις ἱλάσκονται.* Δηλονότι μὴ ἀνθρωπίνοις.

[4]). *Μοῖρα δέ τις Σουήβων καὶ Ἴσιδι θύει· ὅθεν δ' ἡ αἰτία* κτλ. Οὐκ ἀπιθάνως τινὲς εἰς τὴν λατρείαν τῆς Ἴσιδος ἀναφέρουσιν ἃ περὶ Σεμνώνων ἐν κεφ. 39 λέγει ὁ Τάκιτος. Πιθανὴ δὲ καὶ ἡ τοῦ Διλθείου εἰκασία, οὐκ ἄλλην τοπάζοντος τὴν Ἶσιν εἶναι, περὶ ἧς ἐνταῦθα ὁ λόγος, ἢ αὐτὴν τῶν Γερμανῶν τὴν θεὰν Σελήνην, ἧς εἰκὼν ἡ μήνη λιβυρνίδι νηῒ ὁμοία.

[5]). *Ἄλλως δὲ τοίχοις περιλαμβάνεσθαι τοὺς θεούς.* κτλ. Ὅμοια ἱστοροῦσι Τάκιτος μὲν (Hist. 5, 5.) καὶ Δίων (37, 17) περὶ Ἰουδαίων, Ἡρόδοτος δὲ (1, 131) καὶ Στράβων (15, 3) καὶ Κικέρων (de rep. 3, 9.) περὶ Περσῶν, Πλούταρχος δὲ (Νουμ. 8) περὶ τῶν παλαιτάτων Ῥωμαίων, καὶ ἄλλοι περὶ ἄλλων.

[6]). *Καὶ θεῶν ὀνόμασι τὸ ἀπρόσιτον ἐκεῖνο καλοῦσι καὶ ἄδυτον.* κτλ. Οὕτως ἔγνωκα τὸ χωρίον μεθερμηνεῦσαι, ἐκείνοις συνθέμενος, οἳ τὰς ἐν τῷ κειμένῳ λέξεις *secretun illud* τὸν ἐν βαθυσκίοις ὕλαις, ὥσπερ τοῖς πάλαι Γερμανοῖς εἴθιστο, τοῖς θεοῖς ἀφωρισμένον, πᾶσι δὲ, πλὴν τοῖς Ἱερεῦσιν, ἀπρόσιτον καὶ ἀθέατον τόπον, σημαίνειν ἡγοῦνται· ὃν δὴ θεῶν ὀνόμασιν ἐκάλουν τε καὶ ἐσέβοντο. Ἄλλοι δέ, τοῖς ἐν τῷ κειμένῳ ῥήμασι *secretun illud* τὸ *numen* συνυπακούοντες, οὐ τόπον τινὰ θεοῖς ἀφωρισμένον, οὐκ ἄλσος ἢ τέμενος ἱερὸν καὶ τοῖς πολλοῖς ἀνεπίβατον, ἀλλὰ τὸν ἕνα ἀπρόσιτον καὶ ἀόρατον καὶ ἄῤῥητον θεὸν ἐνταῦθα δηλοῦσθαί φασιν, ὃν οἱ πάλαι Γερμανοὶ ἑνὶ ὀνόματι ἐξειπεῖν οὐκ ἔχοντες πλείοσι θεῶν προσηγορίαις ἐπειρῶντο ἐξερμηνεῦσαι, καὶ ὃν τῷ πνευματικῷ μόνῳ ὄμματι ὁρῶντες ἐσέβοντο. Τῇ γνώμῃ ταύτῃ τὰ ἀνωτέρω (σημ. 1) περὶ τῆς τῶν Γερμανῶν πολυθεΐας εἰρημένα ἔοικεν ἀντικεῖσθαι. Ἀλλὰ τί κωλύει ἡμᾶς ὑποθέσθαι πολλοὺς μὲν τὸ πάλαι ἐν Γερμανίᾳ νομίζεσθαι ὑποδεεστέρους θεοὺς καὶ τῇ ἐνύλῳ φύσει συγγενεστέρους, ἕνα δὲ μόνον ὑπέρτατον πάντων καὶ τῆς τῶν ἀνθρώπων ἀντιλήψεως ὑπεριδρυμένον, τὸν παρὰ τοῖς Σκανδιανοῖς *Ἀλφατέρα*, ἤτοι παγγενέτην καλούμενον καὶ τοῦτον ἐνταῦθα ὑπὸ τοῦ Τακίτου σημαίνεσθαι;

Ι΄.

[1]). *Οἰωνῶν καὶ κλήρων* κτλ. Πολλῶν ὄντων τῶν τῆς μαντικῆς εἰδῶν, δύο ἐνταῦθα τοῖς πάλαι Γερμανοῖς χρήσιμα γενέσθαι μανθάνομεν· τὴν *οἰωνιστικὴν* καὶ τὴν *κληρομαντείαν*. Τῆς μὲν *οἰωνιστικῆς* ἔργον ἐκ τῆς τῶν ὀρνίθων πτήσεως ἢ ᾠδῆς τὴν τῶν θεῶν βούλησιν, ἢ τὰ μέλλοντα οἰωνίζεσθαι· τῆς δὲ *κληρομαντείας*, ἔκ τινων σημείων ἢ γραμμάτων τὸ ἄδηλον γνῶναι ῥάβδοις τισί, σκυταλίοις, σχίδαξι, ψήφοις, ἀστραγάλοις, κύβοις, πεσσοῖς, βέλεσι, φύλλοις, ἐγγεγραμμένων, ἅπερ ἀλλήλοις ἀναμιγνύειν, πάλλειν, ἐξέλκειν ἢ αἵρειν εἰώθεσαν. Πλείω οὖν τὰ τῆς κληρομαντείας εἴδη, ὧν ἓν ἡμῖν ἐνταῦθα, τὴν παρὰ τοῖς Γερμανοῖς χρήσιμον *ῥαβδομαντείαν*, ὑπογράφει ὁ Τάκιτος.

[2]). *Ῥάβδον γὰρ καρπίμου δένδρου κτλ.* Καρπίμου μὲν δένδρου ῥάβδον ἐπὶ μαντείᾳ ἐλάμβανον ὡς ἀγαθὴν ἔχοντος τὴν

προσημασίαν, ἢ τοῖς θεοῖς εὐαρεστοτέρου· ἐπὶ λευκῆς δ' ἐσθῆτος τοὺς κλήρους διέῤῥιπτον ὡς συμβόλου καθαρᾶς διανοίας.

3). *Τρὶς τῶν κλήρων ἀναιρεῖται* κτλ. Διαῤῥιφθέντων, ὡς ἔτυχεν, ἐπὶ λευκῆς ἐσθῆτος τῶν κλήρων, τρεῖς αὐτῶν ὁ ἱερεὺς ἢ ὁ τοῦ οἴκου πατὴρ ἀναιρεῖται οὐχ ἅμα πάντας, ἀλλ' ἕνα τὸν τυχόντα πρῶτον εἶτα δ' ἕτερον, εἶτα δὲ τρίτον ἄλλον. Ἔπειτα τὰ ἑκάστῳ αὐτῶν ἐγκεχαραγμένα σημεῖα διασκοπεῖ, ἵνα γνῷ, εἰ πλείους οἱ καταφάσκοντες ἢ οἱ ἀποφάσκοντες, οἱ συγχωροῦντες ἢ οἱ ἀπαγορεύοντες κλῆροί εἰσιν. Ὃ δ' οἱ πλείους αὐτῶν δηλοῦσι, τοῦθ' ὑπὸ τῶν θεῶν ἡγοῦνται σημαίνεσθαι.

4). *Τὰς τῶν ὀρνίθων φθογγὰς καὶ πτήσεις* κτλ. Τῶν οἰωνιστικῶν ὀρνέων οἱ μὲν δεξιοὶ καὶ αἴσιοι ἐνομίζοντο, οἱ δὲ ἀριστεροὶ ἢ ἀπαίσιοι. Παρὰ μὲν Ἕλλησι καὶ Ῥωμαίοις αἴσιοι μὲν ἀετός, ἱέραξ, περιστερά, κύκνος· ἀπαίσιοι δὲ αἰγυπιός, κίρκος, χελιδών, γλαύξ. Παρὰ δὲ Γερμανοῖς αἴσιοι μὲν χελιδών, πελαργός, περιστερά· ἀπαίσιοι δὲ κόραξ, κορώνη, κόκκυξ, γλαύξ.

ΙΑ'.

1). *Περὶ μὲν τῶν μικρῶν οἱ προὔχοντες* κτλ. Προὔχοντας οὐ τοὺς βασιλεῖς ἐνταῦθα ἢ ἄρχοντας νοητέον, ἀλλὰ καθόλου τοὺς δυνάμει ἢ γένει ἢ πολεμικῇ ἀρετῇ ἢ πλούτῳ τῶν πολλῶν ὑπερφέροντας, πρὸς οὓς ἀντιτίθενται οἱ δημώδεις, πρὸς δ' ἀμφοτέρους οἱ δοῦλοι. Φησὶν οὖν ὁ Τάκιτος περὶ μὲν τῶν μικρῶν πραγμάτων τοὺς προὔχοντας ἰδίᾳ βουλεύεσθαι· εἰ δὲ περὶ μεγάλου τινὸς ἡ βουλὴ εἴη, προδιασκεψαμένους αὐτοὺς ἰδίᾳ, εἶθ' *ἅπασιν*, ἤτοι τῇ τοῦ λαοῦ ἐκκλησίᾳ προτιθέναι τὴν κρίσιν.

2). *Συνέρχονται δέ, εἰ μή τι τυχαῖον* κτλ. Συνόδων ἢ ἐκκλησιῶν παρὰ τοῖς Γερμανοῖς ὡς καὶ παρ' Ἀθηναίοις τὸ πάλαι δύο εἴθιστο εἴδη· αἱ *κύριαι*, ἤτοι αἱ ἐν τακταῖς ἡμέραις γιγνόμεναι, καὶ αἱ *ἔκτακτοι* ἤτοι αἱ *κατακλησίαι*. Φησὶν οὖν ὁ Τάκιτος, ὡς αἱ κύριαι τῶν Γερμανῶν σύνοδοι *ἐν νουμηνίᾳ ἢ πανσελήνῳ* ἐγίγνοντο, οὐ σημαίνων τούτοις, ὅτι δὶς αἱ σύνοδοι αὐτοῖς γίγνοιντο τοῦ μηνὸς ἑκάστου, ἀλλ' ὅτι ἄλλως παρ' ἄλλοις τῆς Γερμανίας λαοῖς ἢ ἐν ἄλλοις χρόνοις τὰ τῶν συνόδων ἐτέτακτο, τῶν μὲν ἐν νουμηνίᾳ, τῶν δ' ἐν πανσελήνῳ συνερχομένων· ἀπίθανον γὰρ λαοῖς οὕτως ἁπλῶς πολιτευομένοις τε καὶ διαιτωμένοις, ὥσπερ οἱ Γερμανοὶ ἐν τῷ τότε, τοσαύτην εἶναι *πραγμάτων μεγάλων* πληθύν, περὶ ὧν ἐχρῆν κοινῇ πάντας βουλεύεσθαι, ὥστε δὶς τοῦ μηνὸς ἑκάστου δεῖν ἐς τοῦτο αὐτοὺς συνιέναι.

3). *Εἰς γὰρ τὸ πράσσειν αἰσιωτάτην* κτλ. Διατί; Ἴσως διὰ τὸ ὑπὸ τῶν προφητίδων ταῦτα διδάσκεσθαι, ἢ διὰ τὸ τὴν Σελήνην μεγάλην αὐτοῖς καὶ διαπρεπῆ εἶναι θεάν, λαμπροτάτην τε τῶν τῆς νυκτὸς ἄστρων καὶ ἐπιτηδείαν εἰς τὸν τῶν χρόνων διορισμόν, ἢ διὰ τὸ αἰσίαν νομίζεσθαι τὴν ἐπὶ τῶν γηΐνων ἐπιῤῥοὴν τοῦ νέου αὐτῆς φωτός.

4). *Ἐκλογίζονται δὲ τὸν τῶν ἡμερῶν ἀριθμὸν* κτλ. Τὴν πολιτικὴν καλουμένην ἡμέραν, ἤτοι τὸ νυχθήμερον, οὐχ ἡμέραν, ἀλλὰ νύκτα καλοῦντες οἱ Γερμανοί, οὐχ ἡμέραις, ἀλλὰ νυξὶ τὸν χρόνον λογίζονται, δύο, τρεῖς, τέτταρας π. χ. νύκτας τὸν χρόνον λέγοντες, ὃν ἡμεῖς τοσαύτας ἡμέρας λέγειν εἰώθαμεν. Ἀριθμοῦσι δὲ τὰς ἡμέρας οὐκ ἀπὸ τῆς ἀνατολῆς, ἀλλ' ἀπὸ τῆς δύσεως τοῦ ἡλίου ἀρχόμενοι.

6). *Ἡ νὺξ ἔοικε τὴν ἡμέραν ἐφέλκεσθαι*· προτέρα δηλονότι τῆς ἡμέρας καὶ ἀρχὴ εἶναι.

6). *Ἐπὰν οὖν δόξῃ τῷ πλήθει* κτλ. Οὐχ ὁμοίως παρὰ Ῥωμαίοις· οὗτοι γὰρ ἅμα τῷ κελεῦσαι τοὺς ἄρχοντας ἕτοιμοι ἀκροᾶσθαι ἦσαν, ἱστάμενοι οὐ καθήμενοι, τηβεννοφοροῦντες οὐχ ὡπλισμένοι.

ΙΒ'.

1). *Ἔξεστι δὲ καὶ κατηγορῆσαι* κτλ. Ἐπειδὴ ἐν ταῖς συνόδοις ταύταις οὐ περὶ παντὸς πράγματος, ἀλλὰ μόνον περὶ τῶν πολεμικῶν βουλεύεσθαι εἴθιστο, εἰκὸς δήπου καὶ τοὺς ἐν αὐταῖς κατηγοροῦντάς τινων οὐ πᾶν ἁμαρτήματος εἶδος κατηγορεῖν, ἀλλὰ μόνα τὰ εἰς πόλεμον ἥκοντα. Ἦν δὲ τούτων τὰ μὲν *μεγάλα*, παντὶ τῷ ἔθνει, ὡς μαχίμῳ, ἀτιμίαν προσάπτειν δοκοῦντα, οἷον προδοσία, ἀπαυτομόλησις πρὸς τοὺς πολεμίους, δειλανδρία, λειποταξία, λειποστρατία, παιδεραστία· τὰ δ' ἐλάσσω, ὑπὸ βασιλέως ἢ τῶν στρατηγῶν ἢ τῶν ἱερέων πρὸς τοὺς στρατιώτας, ἢ ὑπὸ τῶν στρατιωτῶν πρὸς ἀλλήλους παρανομούμενα. Ἐξῆν γὰρ τοῖς στρατευομένοις οὐ μόνον τῶν πρὸς ἀλλήλους ἀδικημάτων τὴν κρίσιν ἐπὶ τὴν τοῦ ἔθνους σύνοδον ἐκκαλεῖσθαι, ἀλλὰ καὶ τοῖς ἄρχουσιν ἐγκαλεῖν, εἴτι ὑπ' αὐτῶν ἠδικῆσθαι νομίζοιεν. Ἃ δ' ἐν εἰρήνῃ ἀλλήλους οἱ πολῖται ἠδίκουν ποίνιμα ἀδικήματα καὶ τἆλλα αὐτῶν πρὸς ἀλλήλους διάφορα, τούτων ἡ κρίσις τοῖς ἄρχουσι καὶ τῇ τῶν ἀρχόντων ἀκολουθίᾳ, ἢ τῷ πατρὶ ἑκάστου οἴκου προσῆκε.

2). *Τοὺς δὲ ἀνάνδρους καὶ ἀπολέμους καὶ ἠσχυμμένους τὸ σῶμα* κτλ. Ἀνάνδρους μὲν νοητέον ἐνταῦθα οὐ τοὺς ἁπλῶς δειλούς, ἀλλὰ τοὺς ὑπὸ δειλίας λειποτακτοῦντας ἢ απο-

βάλλοντας *τὴν ἀσπίδα· ἀπολέμους* δὲ τοὺς λειποστράτους καὶ φυγομάχους, τοὺς ἑαυτοὺς τηροῦντας ἐπὶ τῷ φυγεῖν τὴν στρατείαν· ᾐσχυμμένους δὲ τὸ σῶμα, τοὺς κιναιδιζομένους καὶ διὰ τὴν θήλειαν νόσον μὴ ἐπιτηδείους εἰς τὸ στρατεύεσθαι.

[3]. *Ἀλλὰ καὶ τοῖς κουφοτέροις ἁμαρτήμασι* κτλ. Τοῖς ἐλάσσοσιν ἁμαρτήμασι, περὶ ὧν ἀνωτέρω σημ. 1. ἀλλὰ καὶ βαρυτέροις τισὶν ἀδικήμασιν, οἷον τῇ ἀνθρωποκτονίᾳ ὁμοία ἐπετίθετο ζημία (ἴδε κεφ. 21).

[4]. *Καὶ μέρος μὲν τῆς ἐπιβολῆς* κτλ. Πάνυ σοφῶς οἱ πάλαι Γερμανοὶ παντὶ ἀδικήματι διπλῆν τινα ἀδικίαν ἐγκαθεώρων· τὴν μὲν κατὰ τοῦ παθόντος, ὑπὲρ οὗ ἡ δίκη ἐγίγνετο, τὴν δὲ κατὰ τοῦ κοινοῦ ἢ τῆς πόλεως, ἧς ἡ ἡσυχία καὶ ἡ νόμιμος τάξις τῷ ἀδικήματι ἐταράττετο· διὸ εἰκότως διπλῆ τῷ ἀδικήσαντι ἐπιβολὴ ἐπεβάλλετο, ἡ μὲν τῷ παθόντι, ἡ δὲ τῷ βασιλεῖ ἢ τῇ πόλει ὀφειλομένη.

ΙΓ.΄

[1]. *Πρὶν ἂν τιν' ἡ πόλις ἄξιον ὄντα γνῷ* κτλ. Ἀγῶνές τινες, ὡς ἔοικε, τοῖς ἡβῶσιν ἐτίθεντο, ἐν οἷς οὗτοι ἱκανοὺς ἑαυτοὺς χρῆσθαι ὅπλοις ἐπιδειξάμενοι ἄξιοι ἐκρίνοντο τοῦ ὁπλοφορεῖν καὶ εἰς τοὺς *ἐφήβους* ἐδοκιμάζοντο.

[2]. *Ταῦτ' αὐτοῖς τήβεννα* κτλ. Ὥσπερ δηλαδὴ παρὰ Ῥωμαίοις ἐφηβείας γνώρισμα ἦν ἡ τήβεννα, ἣν ὁ Πραίτωρ εἰώθει ἐν ἡμέρᾳ ῥητῇ τοῖς προσαγομένοις νέοις διδόναι ἐν ἀγορᾷ, οὕτω παρὰ Γερμανοῖς ἡ ὁπλοφορία. Τίνα δ' ἡλικίαν ἔδει παρὰ τούτοις ἔχειν τὸν νέον, ἵνα ἀσπίδι καὶ δόρατι κοσμηθείη, οὐ πάνυ δῆλον.

[3]. *Γένους δὲ ἐπιφάνεια* κτλ. Ἐντεῦθεν μέχρι τέλους τοῦ ΙΕ΄. κεφαλαίου τὰ περὶ τῆς τῶν ἡγεμόνων *ἀκολουθίας* διεξηγεῖται ὁ Τάκιτος, ἣν *ἑταιρείαν* καλεῖ ὁ Πολύβιος (2, 16). Ἦν δ' ἡ καλουμένη *ἀκολουθία* ἢ *ἑταιρία* σύστημά τι στρατιωτικὸν τοῖς Γάλλοις καὶ Γερμανοῖς ἰδιάζον, ἤτοι δύναμις ἐξ ἐθελοντῶν πολεμιστῶν συνεστῶσα, ἡγεμόνι τινὶ πεπιστωμένη καὶ συστρατευομένη. Ἐκ τοῦ στρατιωτικοῦ τούτου συστήματος δοκεῖ ἐν τοῖς ἔπειτα χρόνοις τὸ τῶν *φεουδάτων*, ἤτοι πιστῶν προελθεῖν, οἳ παρὰ τῶν ἡγεμόνων γῆν ἢ κτήματα ἄλλα λαμβάνοντες πίστιν ἀντιπαρεῖχον ἕτοιμοι ἀεὶ ἔσεσθαι, ὁπότε κελευσθεῖεν, αὐτοῖς συστρατεύεσθαι. Ἴσως δ' ὁμοίαν τοῖς εἰρημένοις ἀκολούθοις τῶν γερμανῶν ἡγεμόνων ἔσχον ἀρχὴν οἱ ἐν τῷ μακεδονικῷ στρατῷ ἑταῖροί τε καὶ πεζέταιροι, ὧν οἱ μὲν ἱππεῖς, οἱ δὲ πεζοὶ ἦσαν τοῦ βασιλέως σωματοφύλακες.

Σημειωτέον δέ, ὅτι τὸ τοῦ κειμένου χωρίον ἀπὸ τῶν λέξεων *insignis nobilitas* ἕως τῆς *aspici*, οὐχ ἱκανῶς ὂν σαφές, πράγματα παρέσχε τοῖς ἑρμηνεύουσιν. Ὀρθότερα δέ μοι δοκοῦσι λέγειν οἱ νοῦν αὐτῷ ἀπονέμοντες τόνδε. «*Ἡ τοῦ γένους ἐπιφάνεια καὶ ἡ τῶν πατέρων ἀρετὴ καὶ ἀνδραγαθία αἰτία γίγνεται τοῦ τοὺς υἱεῖς αὐτῶν, καὶ νεανίσκους ἔτι ὄντας, ἀξίους κρίνεσθαι τῆς ἀρχῆς καὶ προσημαίνεσθαι (μὴ μέντοι εὐθὺς ἀποδείκνυσθαι) ἄρχοντας. Ἐντεῦθεν οὖν παρὰ τὸ κοινὸν ἔθος οἱ τῶν εὐγενῶν καὶ τῶν λαμπρὰ διαπραξαμένων ἔργα υἱεῖς, καίπερ ἐν νεανίσκοις ἔτι ἐξεταζόμενοι, τοῖς ἐρρωμενεστέροις ἤδη καὶ προδεδοκιμασμένοις τοῦ ἡγεμόνος ἑταίροις συγκαταλέγονται· οὐδ' αἰσχύνην, ἀλλὰ τιμὴν αὐτοῖς φέρει τὸ ἐν τοῖς ἀκολούθοις τεταγμένους ὁρᾶσθαι.*

[4]). *Ὥσπερ δὲ τοῖς ἀκολούθοις* κτλ. Ἀδελφὰ τούτοις ἱστορεῖ περὶ τῶν Βοίων ὁ Πολύβιος (2, 17) λέγων. *Περὶ δὲ τὰς ἑταιρείας μεγίστην σπουδὴν ἐποιοῦντο, διὰ τὸ καὶ φοβερώτατον καὶ δυνατώτατον εἶναι παρ' αὐτοῖς τοῦτον, ὃς ἂν πλείστους ἔχειν δοκῇ τοὺς θεραπεύοντας καὶ συμπεριφερομένους αὐτῷ.*

ΙΔ'.

[1]). *Παρὰ γὰρ τῆς τοῦ ἡγεμόνος ἐλευθεριότητος τόν τε πολεμικὸν ἐκεῖνον ἵππον* κτλ. Ἐντεῦθεν τὰ τῶν πελατῶν ἢ ὑποτελῶν (Οὐασάλλων) νόμιμα προελθεῖν φησιν ὁ Μοντεσκιεὺς (esprit des lois 30, 3). Τότε μὲν γὰρ ἵππον, δόρυ καὶ δεῖπνα ὁ ἡγεμὼν τοῖς στρατευομένοις παρεῖχεν· εἶτα δέ, τῆς πλεονεξίας διεγερθείσης, χρυσὸν καὶ ἄργυρον· τέλος δὲ καὶ κτήματα ἐδωρεῖτο, ἃ τὸ μὲν πρῶτον οὐ περιήρχετο εἰς τοὺς κληρονόμους, ὕστερον δὲ κληρονομητὰ γενόμενα *φέουδα* ἤτοι καταπιστεύματα ἀπεκλήθη.

[2]). *Ἀφορμὴν δὲ πολυδωρίας ἐκ πολέμου κτῶνται καὶ ἁρπαγῆς.* Οἱ ἡγεμόνες δηλονότι. Σημειωτέον οὖν, ὅτι οἱ τῆς πρώτης ἀγριότητος μήπω τελέως ἀπαλλαγέντες λαοὶ τὸ ἐν ἀλλοτρίᾳ χώρᾳ λῃστεύειν οὐκ ἐτίθεντο ἐν αἰσχρῷ. Ὃ γὰρ περὶ Γερμανῶν ἐνταῦθα λέγει ὁ Τάκιτος, τοῦτο καὶ Καῖσαρ περὶ Γαλατῶν (bel. gal, 6, 23.) καὶ Διόδωρος περὶ Κίμβρων (5, 32.) καὶ Ὅμηρος (Ὀδ. γ'. 71—74) καὶ Θουκυδίδης (1, 5) περὶ Ἑλλήνων ἱστορήκασιν.

[3]). *Οὐδ' ἂν πείσαις αὐτοὺς* κτλ. Τοὺς τῶν ἡγεμόνων νόει ἑταίρους ἢ ἀκολούθους· εἰς τούτους γὰρ ἀναφέρεται ταῦτά τε καὶ τὰ ἐν τῷ ἑπομένῳ κεφαλαίῳ. Ἀδελφὰ δὲ τοῖς ἐν τῷδε τῷ χωρίῳ περὶ Γερμανῶν λεγομένοις καὶ Κικέρων περὶ τῶν Γάλλων καὶ Ἡρόδοτος περὶ Θρακῶν μνημονεύουσιν. Ἐκεῖνος μὲν γὰρ αἰσχρὸν ἡγεῖσθαί φησι τοὺς Γάλλους τῇ τῆς χειρὸς ἐργασίᾳ σῖτον πορίζεσθαι· διὸ ἐν ὅπλοις τοὺς ἀλλοτρίους θερίζειν ἀγρούς. Ὁ δ' Ἡρόδοτος λέγει, ὡς ἀργὸν εἶναι κάλλιστον ἐκρίνετο παρὰ τοῖς Θραξί, γῆς δὲ ἐργάτην ἀτιμότατον· τὸ δὲ ζῆν ἀπὸ πολέμου καὶ λῃστύος, κάλλιστον.

ΙΕ'.

[1]). *Ὁπότε πολέμου σχολάζοιεν* κτλ. Ἀνενεκτέα καὶ ταῦτα εἰς τοὺς ἡγεμόνας καὶ τοὺς τούτων ἑταίρους ἢ ἀκολούθους. Καθόλου γὰρ οἱ Γερμανοὶ ἀεὶ καὶ ὑπὲρ πάντα τὰ ἄλλα γένη διαφερόντως περὶ τὴν θήραν διέτριβον, ἢ καὶ τὰς τῶν τεθνεώτων ψυχὰς ἐν Οὐαλάλλῃ ἐπίστευον ἐμφιληδονεῖν. Τῇ δ' ἀργίᾳ καὶ οἱ ἀρχαῖοι Σπαρτιᾶται κατὰ τὸν Πλούταρχον (Λυκούρ. κεφ. 24) χαίροντες φαίνονται.

[2]). *Οἰκίας δὲ καὶ θεῶν ἐφεστίων καὶ ἀγρῶν ἐπιμέλεια* κτλ. *Οἰκία* ἐνταῦθα ἤτοι τοὺς ἐν οἴκῳ πάντας (ἄνδρα τε καὶ γυναῖκα καὶ τέκνα) σημαίνει, ἢ τὰ τοῦ οἴκου πάντα, οὗ μέρη κυριώτερα αὐτὸ τὸ οἴκημα, ὃ οἱ ἐφέστιοι θεοὶ ἐφορῶσι, καὶ ἀγρός, ὃν ὁ προστατῶν τοῦ οἴκου ἐργαζόμενος τὰ χρήσιμα εἰς τὸν βίον πορίζεται.

[3]). *Ἔθος ἐστὶ τοῖς πολίταις* κτλ. Τοιοῦτο ἔθος κἀν τοῖς ἡρωϊκοῖς τῆς Ἑλλάδος χρόνοις φαίνεται καθεστώς, ὡς ἔστι μαθεῖν παρ' Ὁμήρου (Ὀδ. χ. 183). Τοῦτο δὴ πρώτη ἀρχὴ τῆς ἔπειτα δασμοφορίας ἐγένετο.

[4]). *Ἤδη δὲ καὶ χρήματα δεδιδάχαμεν* κτλ. Ταῦτα δριμύτερον εἰς τοὺς Ῥωμαίους ἀποτοξεύει ὁ Τάκιτος, οἳ τῆς τῶν προγόνων ἐπιλαθόμενοι ἀρετῆς, οὐ μόνον τὴν φιλίαν τῶν τῆς Γερμανίας βασιλέων, ἀλλὰ καὶ τὴν εἰρήνην χρημάτων καὶ δώρων ἤρξαντο ἐξωνεῖσθαι.

Ις'.

[1]). Τὸ ῥωμαϊκὸν *urbs* ἴσον δύναται τῷ καθ' Ἕλληνας *ἄστει* ἢ τῇ *πόλει*· ὁμάδα γὰρ σημαίνει οἰκιῶν συνεχῶν ἀλλήλαις τείχει περιειλημμένην· τὸ δὲ *vicus* ταὐτόσημον ἂν εἴη τῇ καθ' ἡμᾶς κώμῃ, ἢ τῷ δήμῳ, ἀτειχίστῳ δηλονότι ὁμάδι οἴκων μὴ συνημμένων ἀλλήλοις. Φησὶν οὖν ὁ Τάκιτος τοιαύτας πόλεις καὶ κώμας τοὺς τῆς

μεγάλης Γερμανίας κατοίκους ἐν τῷ τότε οὐκ ἔχειν. Ἀλλὰ πόλεις μὲν ἴσως ᾤκουν οἵας που ὁ Στράβων (4, 5) τοὺς Βρεττανοὺς ἑαυτοῖς τὸ πάλαι κατασκευάζειν ἱστόρηκε, δένδροις καταβεβλημένοις κύκλον εὐρυχωρῆ περιφράσσοντας, ἔνθα αὐτοί τε τὰς σφῶν καλύβας ἐπήγνυντο καὶ τὰ βοσκήματα κατεστάθμευον οὐκ ἐπὶ πολὺν χρόνον· κώμας δ' ἐκ καλυβῶν οὐ συνεχῶν, ἀλλ' οὕτω πλησίον ἀλλήλων κειμένων, ὥστε χῶρόν τινα περὶ ἑκάστην αὐτῶν κενὸν ἀπολείπεσθαι. Ὁ μέντοι Βέκκερος τοῦ ἀληθοῦς διαμαρτάνειν τὸν Τάκιτον ἰσχυρίζεται, ψευδέσιν ἄλλων πιστεύσαντα ἀφηγήμασι.

[2]). *Λίθων καὶ ξύλων τυκτῶν.* Οὕτω μεθηρμήνευταί μοι τὸ ῥωμαϊκὸν *caementum*, ὃ ἀπὸ τοῦ ῥήματος *caedo* παραγόμενον πᾶν τετμημένον ἢ κεκομμένον σημαίνει, εἴτε λίθος τοῦτ' ἐστὶν εἴτε ξύλον.

ΙΖ'.

[1]). *Ὁ σάγος* ἐφαπτίδος ἦν εἶδος ἐρεοῦν, λινοῦν ἢ καννάβινον, οὐκ εὐρύ, τοὺς ὤμους μόνον κατὰ τὰ νῶτα καλύπτον· ἐχρῶντο δὲ μάλιστα τούτῳ οἱ ῥωμαῖοι καὶ οἱ Γερμανοὶ ἀγρόται καὶ στρατιῶται.

[2]). *Οἱ μὲν παρὰ τῇ ὄχθῃ οἰκοῦντες ἀμελέστερον, οἱ δὲ* κτλ. Τὴν τοῖς Ῥωμαίοις πρόσορον ὄχθην τοῦ Ῥήνου νοητέον ἐνταῦθα. Φησὶν οὖν ὁ Τάκιτος, ὅτι οἱ μὲν γειτνιάζοντες αὐτῇ Γερμανοὶ θηρίων δοραῖς ἀμελέστερον ἐσκευάζοντο, ἅτε ἀστειοτέρας ἐσθῆτας, ἐρεᾶς, λινᾶς καὶ σηρικὰς ἐξ Ἰταλίας ὠνούμενοι. Οἱ δ' ἀπώτερον τοῦ Ῥήνου οἰκοῦντες, πρὸς οὓς ἀφικνεῖσθαι οἱ ἐξ Ἰταλίας ἔμποροι οὐκ ἐθάῤῥουν, εὐπρεπεστέρας καὶ περιττότερον εἰργασμένας καυνάκας ἐφόρουν, ἀφθονίαν ἔχοντες καλλίστων δορῶν, οἷον ἄρκτων, λύκων, ἐλάφων, γαλῶν, λαγωῶν ἀλωπέκων, *ἰκτίδων*, σαθερίων, κονίκλων, σκιούρων, μυῶν ποντικῶν κτλ.

[3]). *Ἐκλεγόμενοι γὰρ τὰ θηρία* κτλ. Ἔχαιρον οἱ πάλαι Γερμανοί, ὡς καὶ πάντες οἱ βάρβαροι τῇ τῶν χρωμάτων ποικιλίᾳ. Διὸ ἐκ πολυειδῶν ζώων δορῶν τμήματα τὴν χρόαν διάφορα ἀποτέμνοντες καὶ ἀλλήλοις συῤῥάπτοντες ἢ μείζοσι δοραῖς σποράδην αὐτὰ παρενράπτοντες ποικίλας τὴν χρόαν καυνάκας κατεσκευάζοντο. Αἱ τοῦ κειμένου λέξεις *spargunt maculis pellibusque* κατὰ τὸ σχῆμα *ἓν διὰ δυοῖν* παράλληλοι τέθεινται.

ΙΗ'.

[1]). *Σχεδὸν γὰρ μόνοι βαρβάρων* κτλ. Βαρβάρους οἱ Ῥωμαῖοι τοὺς πάλαι Γερμανοὺς προσηγόρευον, τοὺς Ἕλληνας καὶ

Αἰγυπτίους μιμούμενοι, οἳ καθ' Ἡρόδοτον (2, 158) βαρβάρους πάντας ἐκάλουν τοὺς σφίσι μὴ ὁμογλώττους.

²). *Πάνυ ὀλίγων ἐξαιρουμένων, οἳ οὐκ ἐς ἡδονὴν* κτλ. Συνήθης ἦν τοῖς Γερμανοῖς ἐκ παλαιοῦ ἡ μονογαμία, πάνυ ὀλίγων ἐξαιρουμένων, οἳ δυνάμει, ἢ γένει, ἢ πλούτῳ προέχοντες πλείους γάμους συνῆπτον, οὐ θηρώμενοι ἡδονήν, ἀλλὰ κλέους ἕνεκα καὶ ἐπὶ κτήσει δυνάμεως εἰς τοῦτο παρακαλούμενοι.

³). Ὡς ἐν Ἑλλάδι τοῖς Σπαρτιάταις, οἷς ἡ προὶξ νόμῳ Λυκούργου ἀπείρητο (ἴδε Πλουτ. ἀποφθ. λακων. τόμ. 2 σελ. 227), οὕτω καὶ τοῖς Γερμανοῖς τὸ ἀρχαῖον προῖκα παρὰ τῆς νύμφης λαμβάνειν τὸν ἄνδρα οὐκ εἴθιστο· διὸ οὐδ' οὗτος τῇ νύμφῃ δῶρα παρεῖχεν, οἷα παρὰ τοῖς Ἕλλησιν ἐν ἔθει ὄντα τὸ πάλαι γιγνώσκομεν· *ἕδνα* τινὰ δηλονότι καὶ *διαπαρθένια* καὶ *ἀνακαλυπτήρια* καὶ *θεώρητρα* καὶ *προσφθεγκτήρια* καὶ εἴτι ἄλλο τοιοῦτο. Ἔπειτα δ' ὅμως, ἐξ οὗ μάλιστα οἱ τῶν Ῥωμαίων νόμοι εἰς Γερμανίαν εἰσήχθησαν, ἄλλα τε πολλὰ τῶν παρὰ Ῥωμαίοις ἐθίμων συνεισεῤῥύη καὶ δὴ καὶ τὸ τῆς προικὸς καὶ τῶν ἕδνων. Ἀμφισβητεῖται δ' ἐνταῦθα· πότερον, ἆρα οἱ βόες καὶ ὁ ἵππος καὶ ἡ ἀσπὶς καὶ τὸ δοράτιον καὶ τὸ ξίφος, ταῦτα ἡ προίξ ἐστιν, ἣν ὁ Τάκιτός φησι τὸν νυμφίον διδόναι τῇ νύμφῃ, ἢ ταῦτα μὲν δῶρα (munera) διάφορα τῆς προικός, ἄλλο δέ τι ἡ προὶξ ἦν ἐκείνη, ἣν ἡμῖν ὁ Τάκιτος, ὀξείας τὰς μεταβάσεις ποιεῖσθαι φιλῶν, οὐ διεσάφησεν; Οἱ μὲν τῶν ἑρμηνευτῶν ἐκείνῃ τῇ γνώμῃ, οἱ δὲ ταύτῃ προστίθενται, οὐ προῖκα ἐκεῖνα, ἀλλὰ δῶρα παρὰ τοῦ νυμφίου φάσκοντες εἶναι, ἀνθ' ὧν ἡ νύμφη ὅπλοις τὸν νυμφίον ἀντεδωρεῖτο. Πιθανώτερα δέ μοι οὗτοι δοκοῦσι λέγειν· τί γὰρ ἂν ἀσπίδος καὶ δορατίου καὶ ξίφους τῇ γυναικὶ γένοιτο ὄφελος, ὥστε καὶ ταῦτα τῇ προικὶ ἐγκαταριθμεῖσθαι;

³). *Τοῦτον δεσμὸν κράτιστον* κτλ. Ἐπὶ τούτων προδηλότερον γίγνεται, ὅτι οἱ δύο βόες, ὁ ἵππος, ἡ ἀσπίς, τὸ δοράτιον καὶ τὸ ξίφος οὐ προικὸς λόγῳ τῇ νύμφῃ ἐδίδοντο, ἀλλὰ δῶρα ἦσαν συμβολικά, ὥσπερ τὰ παρὰ τῆς νύμφης τῷ ἀνδρὶ ἀντιδιδόμενα ὅπλα. Φησὶν οὖν ὁ Τάκιτος, ὅτι τὰ εἰρημένα συμβολικὰ δῶρα ἴσην, μᾶλλον δὲ μείζω, παρὰ τοῖς Γερμανοῖς εἶχε δύναμιν, ἢ παρὰ Ῥωμαίοις ἡ ἐγγύη, τὰ νυμφεῖα ἱερά, καὶ τὰ λοιπὰ γαμήλια νόμιμα.

ΙΘ'.

¹). *Τοιγαροῦν σωφροσύνῃ πεφρουρημέναι* κτλ. Ἓν μόνον θεαμάτων ἐν Γερμανίᾳ εἴθιστο εἶδος, ᾧ οἱ ἄνδρες ἐτέρποντο· αἱ δὲ γυναῖκες τοῖς τούτων συμποσίοις, ὥσπερ καὶ ἐν Ἑλ-

λάδι, οὐδέποτε παρεγίγνοντο, ἀλλὰ τὰ βρώματα καθάπερ δεσπόταις αὐτοῖς παρεσκεύαζον. Τοὐναντίον δ' ἐν Ῥώμῃ τοῖς τε κιρκησίοις καὶ σκηνικοῖς καὶ μονομαχικοῖς καὶ θηρευτικοῖς ἀγωνίσμασι παρῆσαν καὶ εἰς τὰ συμπόσια ἐρχόμεναι, τοῖς ἀνδράσι κατακεκλιμένοις παρακαθήμεναι εὐωχοῦντο. Εἰκὸς οὖν αὐτὰς ἦν διαφθείρεσθαι, ἐν μὲν τοῖς θεάτροις αἰσχρὰ θεωμένας καὶ ἀκουούσας, θεῶν καὶ ἀνθρώπων ἔρωτας καὶ μοιχείας καὶ τὰ τούτοις ὅμοια, ἐν δὲ τοῖς συμποσίοις παροξυνομένας εἰς ἀκρασίαν ποικίλοις ἐρεθισμοῖς, ἀκολάστοις τῶν ἀνδρῶν διαλόγοις καὶ ἀσελγέσι ψαλτριῶν καὶ σαμβυκιστριῶν καὶ δεικελιστῶν ᾄσμασι καὶ ὀρχήμασιν,

2). *Ὧν ἐξ ἑτοίμου ἡ κόλασις καὶ τοῖς γαμέταις ἐφεῖτο.* Ἐν δυσὶ χειρογράφοις εὕρηται ἡ λέξις *parentibus* μετὰ τὴν *praesens.* Κατὰ δὲ ταύτην τὴν γραφὴν οὐ μόνος ὁ ἀνήρ, ἀλλὰ σὺν τοῖς γονεῦσι τὴν τὸ γαμήλιον λέχος μιάνασαν γυναῖκα ἐκόλαζε. Προειλόμεθα ὅμως τὴν συνήθη γραφήν, ἧς ὁ νοῦς συμφωνότερός ἐστι τοῖς ὑπὸ Καίσαρος (bel. gal. 6, 19) περὶ Γάλλων ἱστορουμένοις· *viri in uxores, sicut in liberos, vitae necisque habent potestatem.*

3). *Γεγυμνωμένην.* Πλὴν τῆς αἰδοῦς δηλονότι, ἣν ἔδει μένειν κεκαλυμμένην.

4). *Οὐδεὶς γὰρ ἐκεῖ ταῖς κακίαις ἐπιγελᾷ* κτλ. Ἐμβριθὴς καὶ δριμεῖα ἡ ῥῆσις, εἰς τὰ τότε φαῦλα αἰνισσομένη τῶν Ῥωμαίων ἤθη.

5). *Ἔτι δ' ἄμεινον αἱ πόλεις* κτλ. Τὸ ἔθος τοῦτο εὑρίσκομεν παρὰ τοῖς Ἑρούλοις, οἳ οὕτω φευκτὴν τὴν δευτερογαμίαν ἐνόμιζον, ὥστε τὴν γυναῖκα μετὰ τὸν θάνατον τοῦ ἀνδρὸς πρὸς τῷ τάφῳ τούτου ἑαυτὴν ἀπάγχειν καὶ συγκατακαίεσθαι, εἰμὴ ἀπεχθὴς πᾶσι καὶ ἄτιμος ζῆν αἱροῖτο. Ἐν Ἰνδίᾳ δὲ καὶ νῦν ἔτι αἱ γυναῖκες εἰς τὴν τοῦ νεκροῦ ἀνδρὸς πυρὰν ἑαυτὰς ἐπιῤῥίπτειν ἐθέλουσι.

6). *Καὶ τῶν ἅπαξ γιγνομένων ἐστὶ συνεύνου ἐλπὶς καὶ ὑπόσχεσις.* Τουτέστιν ἅπαξ μόνον ἐν τῷ βίῳ ἐλπίζει ἑκάστη γενέσθαι καὶ ὑπισχνεῖται ἔσεσθαι σύζυγος.

7). *Τὸν δ' ἀριθμὸν τῶν τέκνων* κτλ. Καὶ ταῦτα εἰς ψόγον τείνει τῶν τότε Ῥωμαίων, παρ' οἷς ἡ ἀτεκνία καὶ ἀγαμία, αἱ πορνεῖαι καὶ αἱ μοιχεῖαι δεινῶς ἐπεκράτουν· αἱ δὲ γυναῖκες τὸ κύειν καὶ πολλὰ τίκτειν φεύγουσαι ἐκβολίοις ἐχρῶντο, ἢ εὐνούχοις καὶ δούλοις ἐκτόμοις ἐμίγνυντο. Ἀλλὰ καὶ ἐπίπρασκον τὰ τέκνα· τὰ δὲ νεογνά, μάλιστα τὰ ἀῤῥώστως ἔχοντα καὶ δύσμορφα καὶ τὰ σκότια ἢ μοιχίδια, ἐν τῇ τῶν λαχάνων ἀγορᾷ παρὰ τὴν στήλην τὴν καλουμένην *lactariam* ἐκτιθέναι ἢ κτείνειν εἰώθεσαν. Σημειω-

τέον δέ, ὅτι *ἐπιγενῆ* ἢ *ἐπίγονα* τέκνα (agnati) ἐνταῦθα καλοῦνται τὰ ὑπεράριθμα, ἤτοι τὰ ἐπιτικτόμενα τῷ πατρὶ ὑπὲρ τὸν ορισθέντα ὑπ' αὐτοῦ ἀριθμόν.

Κ΄.

[1]. *Γυμνοί.* Οὐ κατὰ τὴν ἀκριβῆ σημασίαν ἐκδεκτέον τὴν λέξιν. Οὐ γὰρ ὅλως γυμνοί, ἀλλὰ σχεδὸν γυμνοὶ οἱ τῶν Γερμανῶν ἀνετρέφοντο παῖδες.

[2]. *Τοῦ δούλου τὸν κύριον.* Τὸν τοῦ κυρίου δηλονότι παῖδα οὐκ ἂν διαγνοίης τοῦ δούλου.

[3]. *Ὀψὲ τοῖς νέοις ἀφροδισίων ἅπτεσθαι* κτλ. Καὶ ταῦτα εἰς μομφὴν τῶν Ῥωμαίων τείνει, παρ' οἷς εἴθιστο ἐν τῷ τότε ὀκτωκαιδεκέτεις νεανίσκους παρθένοις δωδεκέτισι συνοικίζεσθαι, ὃ δὴ εἴς τε τὸ ταχὺ τὸ σῶμα αὐτῶν ἐκλύειν καὶ ἀσθενέστερα τὰ ἔκγονα ἀπεργάζεσθαι οὐ βραχύ τι συνεβάλλετο. Παρὰ δὲ τοῖς Γερμανοῖς ἐν ἡλικίᾳ ὀψιαιτέρᾳ φησὶν ὁ Τάκιτος τοὺς ἄνδρας ταῖς γυναιξὶν εἰθίσθαι συνιέναι εἰς γάμον· διὸ καὶ ἐπὶ μακρὸν διαμένειν αὐτοῖς τὴν νεότητα, πόῤῥω τῆς ἡλικίας ἔτι δυναμένοις παιδοποιεῖσθαι. Διὰ τοῦτο δὲ καὶ τοῖς Ἕλλησι τὸ πάλαι ἐν ἔθει ἦν προώρου γάμου ἀπέχεσθαι, ὡς ἔστιν εἰκάσαι ἐξ ὧν Ἡσίοδος (ἔργα καὶ ἡμέραι β΄. 313—316) καὶ Ἀριστοτέλης (Πολιτικ. ζ΄. 16) ὑποτίθενται περὶ γάμου.

[4]) *Οὐδ' αἱ παρθένοι σπεύδουσι πρὸς γάμον.* Εἰκὸς τὰς γυναῖκας μᾶλλον σπεύδειν πρὸς γάμον ἢ τοὺς ἄῤῥενας. Ταχύτερον γὰρ ἐκείναις ἥ τε τοῦ γάμου ὥρα καὶ ἡ τῆς τεκνοποιΐας ἀκμὴ ἔρχεται καὶ παρέρχεται, ὡς ἀποφαίνεται καὶ Εὐριπίδης ἐν τοῖς δε

»Μακρὰ γὰρ ἰσχὺς μᾶλλον ἀῤῥένων μένει.
»Θήλεια δ' ἥβη θᾶσσον ἐκλείπει δέμας.

[5]) *Ὅμοιοι* (pares) *μίγνυνται.* Δηλονότι ὁμόφυλοι καὶ ὁμότροποι ἢ ὁμοιόβιοι καὶ εἰς τὴν αὐτὴν τῆς πόλεως τάξιν τελοῦντες.

[6]). *Τοῖς τῆς ἀδελφῆς υἱοῖς ἴση μοῖρα* κτλ. Ἐν ἴσῃ τιμῇ, φησὶν ὁ Τάκιτος, οἱ τῆς ἀδελφῆς υἱοὶ ἔν τε τῷ τοῦ πατρὸς καὶ τῷ τοῦ μητραδέλφου οἴκῳ ἦσαν παρὰ τοῖς Γερμανοῖς, ὁμοίως μὲν τῷ πατρὶ τοῦτον σεβόμενοι, ὁμοίως δὲ τοῖς παισὶ φιλούμενοι ὑπ' αὐτοῦ. Αἰτία δὲ τούτου κατὰ τὸν Γεβαύερον ἥδε Ὁ ἀδελφός, φησί, μετὰ τὴν τοῦ πατρὸς τελευτὴν πατρὸς τόπον παρὰ τοῖς πάλαι Γερμανοῖς ἐπεῖχε τῇ ἀδελφῇ, καὶ φυσικὸς μετ' ἐκεῖνον αὐτῆς ἦν κηδεμών. Διὸ οὐ μόνον ἀγάμῳ ἔτι οὔσῃ εἰς πᾶν ὑπούργει τῇ ἀδελφῇ, ἀλλὰ καὶ ἀνδρὶ ἤδη αὐτῆς συζευχθείσης προὔστάτει ἀεὶ

καὶ ἐκήδετο. Ὁ δὲ νεώτερος ἀδελφός, ἐφ' ὅσον μὲν χρόνον μὴ αὐτὸς ἑαυτῷ ἔχοι ἀμύνειν, ὑπὸ τοῦ ἐνήλικος ἐπετροπεύετο ἀδελφοῦ· ἐπειδὴ δ' ὑπὸ τῆς πόλεως εἰς τοὺς ὅπλα φέρειν δυναμένους δοκιμασθείη, οὐκέτι τοῦ πατρῴου οἴκου, ἀλλὰ τῆς πόλεως ἐνομίζετο μέρος, καὶ διῴκει τὰ ἴδια, ἐν πᾶσιν ἴσος τῷ ἀδελφῷ.

7). *Εἰ δὲ μή ἐστι τέκνα* κτλ. Ἡ λέξις *τέκνα* (liberi) εὐρυτέραν ἐνταῦθα ἔχει τὴν σημασίαν, οὐ μόνον τὰ κυρίως καλούμενα τέκνα, ἀλλὰ καὶ τέκνων τέκνα καὶ πάντας τοὺς ἀπό τινος γεγονότας δηλοῦσα. Σημειωτέον δ' ὅτι πρᾶγμα σπουδαιότατον καὶ μακροῦ λόγου δεόμενον, τὸ παρὰ τοῖς ἀρχαίοις Γερμανοῖς κληρονομικὸν δίκαιον, διὰ βραχυτάτων ἐνταῦθα σημαίνεται· ὥστε οὐχ ἱκανῶς ἡμῖν δῆλον, πῶς ποτ' αὐτὸ εἶχε παρὰ Γερμανοῖς πρὸ τοῦ πέμπτου μ. Χρ. αἰῶνος, ὅτε τὸ Ῥωμαϊκὸν Δίκαιον κατὰ μικρὸν παρ' αὐτοῖς εἰσήχθη.

8). Παράδοξον, ὅτι ὁ Τάκιτος οὐδεμίαν ἐνταῦθα ποιεῖται μνείαν τοῦ τοῖς πάλαι Γερμανοῖς ἰδιάζοντος ἔθους τοῦ ἐλέγχειν τῶν τέκνων τὴν γνησιότητα· ταῦτα γὰρ λοχευθέντα εἰς τὸν Ῥῆνον ἐκεῖνοι φέρειν εἰώθεσαν καὶ ἐπιτιθέντες ἀσπίδι εἰς τὸ ῥεῖθρον ἐμβάλλειν. Ἃ μὲν οὖν τούτων γένοιτο ὑποβρύχια, νόθα ἡγοῦντο· ἃ δὲ τῷ ῥεύματι ἐπινήχοιτο, ἀνεκομίζοντο, γνήσια κρίνοντες. Τοῦ ἔθους τούτου μέμνηται Κλαυδιανὸς ἐν τῷ ποιήματι εἰς Ῥουφῖνον 2, 112, καὶ Ἰουλιανὸς ἐν Ἐπιστολῇ 16 πρὸς Μάξιμον· ἔτι δὲ Γαληνὸς ἐν τοῖς Ὑγιεινοῖς 1, 10, καὶ Γρ. Ναζιανζηνὸς ἐν ᾄσματι παρὰ Νικοβούλου. Διὰ τοῦτο δ' ὁ Νόννος ἐν Διονυσιακοῖς 4, 6, 55. τὸν Ῥῆνον *ἐλεγξίγαμον* ἐπωνόμασε.

ΚΑ΄.

1). *Ὥσπερ φιλίας πατρὸς* κτλ. Ἀναγκαῖον, φησίν, ἤτοι καθῆκον ἦν τοῖς πάλαι Γερμανοῖς οὐ μόνον τὰς τῶν πατέρων καὶ τῶν πρὸς αἵματος φιλίας, ἀλλὰ καὶ τὰς ἔχθρας αὐτῶν ἀναιρεῖσθαι. Τοῦτο δὲ κοινῶς εἴθισται τοῖς μήπω τελειοτέρου πολιτικοῦ βίου ἁψαμένοις λαοῖς, καὶ εἰκότως, ἵνα μὴ τῷ ἀτιμωρήτῳ πληθύνηται παρ' αὐτοῖς τἀδικήματα.

2). *Καὶ φόνον γὰρ ῥητῷ* κτλ. Παρ' ἔθνει φιλοπολέμῳ καὶ εἰς φόνους εὐεπιφόρῳ εὖ ἔχει τὸ τὸν φονέα μὴ ἀντικτείνεσθαι, ἀλλὰ ζημιοῦσθαι καὶ μόνῃ τῇ ζημίᾳ πρὸς τὸν τοῦ παθόντος διαλλάττεσθαι οἶκον.

3). *Καὶ πᾶς ὁ οἶκος δίκην λαμβάνει.* Ὁ νοῦς οὐ πάνυ σαφής. Σημαίνει ἄρα τὸ χωρίον, ὅτι πάντες οἱ τοῦ παθόντος οἰκεῖοι τῶν τοῦ φόνου ἀποίνων, τῶν κτηνῶν καὶ βοσκημάτων, μετε-

λάμβανον; Οὐκ ἔοικε· ταύτης γὰρ τῆς ζημίας τὸ πλεῖστον τῷ ἡγεμόνι προσῄει, μέρος δέ τι μόνον τοῖς τοῦ παθόντος συγγενέσιν ἐδίδοτο (ἴδε κεφ. 12). Πιθανώτερος οὖν δοκεῖ μοι ὁ ὑπὸ τοῦ Γεβαυέρου τῷ χωρίῳ ἀποδιδόμενος νοῦς, ὅτι τῇ τοῦ φονέως ζημίᾳ πᾶς ὁ τοῦ παθόντος οἶκος δίκην ἐνομίζετο εἰληφέναι, ὥστε μηδένα ἔτι τῶν τούτῳ προσηκόντων ὑπ' ὀργῆς φέρεσθαι εἰς τὸ ποινὰς πράξασθαι φόνου.

4). *Μετ' ἐλευθερίας*. Ἐν ἐλευθέροις δηλονότι ἀνδράσιν, οἳ ὑπ' οὐδενὸς ἀναγκαζόμενοι τὴν ὀργὴν κατασχεῖν, ὀξεῖς εἰς τὸ κακοποιεῖν ἀλλήλους εἰσί.

5). Τὰ μὲν προειρημένα ὁ Πασάυιος περὶ τῶν ἀλλοδαπῶν ἡγεῖται λέγεσθαι, πρὸς οὓς οὐδεμίαν πω ὁ οἰκοδεσπότης ξενίαν συνέθετο· τὰ δ' ἐνταῦθα περὶ τῶν ξένων.

ΚΒ'.

1). *Ἅτε οἰνόφλυξι* (inter vinolentos). Παρῆν τοῖς Γερμανοῖς ἀντὶ ἀμπελίνου κρίθινος οἶνος· διὸ οὐκ ὀρθῶς τινες τῇ λέξει *vinolentos* προσκόψαντες *violentos* γραπτέον εἶναι ᾠήθησαν.

2). *Ἀλλὰ καὶ περὶ ἐχθρῶν καταλλαγῆς* κτλ. Τοῦτ' αὐτὸ καὶ Πέρσαις νενομίσθαι ἱστορήκασιν Ἡρόδοτος (1, 133) καὶ Στράβων (βιβλ. 15, 3), Κρησὶ, δὲ Ἀθήναιος (4, 22). Ὅτι δὲ καὶ τοῖς ἀρχαίοις Ἕλλησιν ἐν ἔθει τοῦτ' ἦν μανθάνομεν παρ' Ὁμήρου (Ἰλ. Ι. 70, 225 κ. ἑ.).

3). *Γένος γὰρ οὐ ποικίλον* κτλ. Ἄλλως τινὲς τὸ τοῦ κειμένου χωρίον στίζουσί τε καὶ ἑρμηνεύουσι. Στίζουσι μὲν γὰρ ὧδε· *gens non astuta nec callida: aperit ad huc secreta pectoris licentia ioci*. Ἑρμηνεύουσι δὲ ὧδε· *Γένος γὰρ οὐ ποικίλον οὐδὲ πανοῦργόν (ἐστι τὸ τῶν Γερμανῶν), Πρὸς δὲ καὶ ἡ τοῦ παίζειν ἐν τοῖς συμποσίοις ἄδεια τὰ τοῦ στήθους ἄδυτα διανοίγνυσι*. Διττὴ δηλονότι τοῦ ἐν τοῖς συμποσίοις τοὺς Γερμανοὺς ἁπλοΐζεσθαι νομίζεται ἡ αἰτία· πρώτη μὲν τὸ τοῦ γένους ἀφελὲς καὶ ἀπόνηρον· δευτέρα δὲ πρὸς ταύτῃ (adhuc) ὁ τὰ στήθη τῶν ἀνθρώπων πεφυκὼς διανοιγνῦναι Διόνυσος καὶ ἡ τῆς παιδιᾶς ἐν συμποσίοις ἄδεια.

4). Πλεῖστα τῶν ἐν τῷ κεφαλαίῳ τούτῳ περὶ Γερμανῶν λεγομένων ἐναντίως ἔχει τοῖς παρὰ Ῥωμαίοις ἐθίμοις. Οἱ γὰρ ἐν Ῥώμῃ πολῖται πρὸ τῆς τοῦ ἡλίου ἀνατολῆς τῆς κλίνης εἰώθεσαν ἐξεγείρεσθαι, λούεσθαι δὲ μετὰ τὸ σφαιρίσαι, δειπνεῖν δὲ περὶ τὴν αὐτὴν συνανακεκλιμένοι τράπεζαν. Ὁπλοφορεῖν δ' ἐν τῇ πόλει ὑπὸ τῶν τῆς δωδεκαδέλτου νόμων αὐτοῖς ἀπείρητο· αἰσχρὸν

δ' ἡγοῦντο πρὸ τῶν τῶν λύχνων ἀφῶν κυαθίζειν· ἐν δὲ τοῖς συμποσίοις δυσπιστία ἐπεκράτει αὐτοῖς πρὸς ἀλλήλους.

ΚΓ΄.

[1]). *Ποτὸν αὐτοῖς* κτλ. Ὁ κρίθινος ἢ δημήτριος οἶνος ἐκαλεῖτο *ζύθος* παρὰ τοῖς Αἰγυπτίοις. Ποτῷ δὲ τοιούτῳ ἐκ δημητρίων πεποιημένῳ καρπῶν οὐ μόνον τοὺς Γερμανούς, ἀλλὰ καὶ ἄλλους οἴδαμεν χρωμένους τὸ πάλαι λαούς. Ἴδε Ἡρόδοτον 2, 77. Διόδωρον 1, 34. 5, 26. Ἀθήναιον 10, 13. Στράβωνα 4, 5, 6. Δίωνα 49, 39. Πλίνιον 14, 29. 22, 82.

[2]). *Οἱ ταῖς ὄχθαις τοῦ ποταμοῦ (Ῥήνου) προσοικοῦντες καὶ οἶνον ὠνοῦνται.* Οὔπω γὰρ ἐν τῷ τότε ἄμπελος ἐφυτοκομεῖτο ἐν Γερμανίᾳ, οὐδὲ δῆλον ὑπὸ τίνος πρώτου ἐκεῖ ἐφυτεύθη· φανερὸν δ' ὅτι ἐκ τῆς ὁμόρου Γαλλίας μετηνέχθη ἐκεῖσε. Φλαύϊος δ' Οὐόπισκος (ἐν βίῳ Πρόβου 19) καὶ Αὐρήλιος Βίκτωρ (34) καὶ Εὐτρόπιος (9, 11) ἱστορήκασι Πρόβον τὸν αὐτοκράτορα (ἔτει μ. Χ. 276—282) συγχωρῆσαι τοὺς τῶν Παννόνων καὶ Μοισῶν γεωλόφους ἀμπέλοις ἐκ Γαλλίας καταφυτεῦσαι καὶ νέμεσθαι, λύσαντα τὸν τοῦ Δομετιανοῦ νόμον, ὃς τοὺς ἀμπελῶνας ἐκτέμνειν ἐκέλευε.

[3]). *Ῥᾷον ἂν οἰνοφλυγίᾳ ἡττηθεῖεν ἢ ὅπλοις.* Οὕτως ἔδοξέ μοι μεθερμηνευτέον εἶναι τὸ χωρίον, ὃ τοῖς ἑρμηνευταῖς πράγματα παρέσχε τε καὶ παρέχει. Δοκεῖ γὰρ ὁ Τάκιτος δηλοῦν βούλεσθαι ὅτι οἱ πάλαι Γερμανοί, οἳ χαλεπῶς ἐνικῶντο τοῖς ὅπλοις, οὐχ ὁμοίως χαλεπῶς, ἀλλ' εὐχερέστερον (haud minus facile) ἐνικῶντο τῷ τῆς οἰνοφλυγίας κακῷ, εἰς μέθην κατολισθαίνοντες. Ὁ δὲ Ζιμμερμάνος ἄλλον ἡγεῖται εἶναι τοῦ χωρίου τὸν νοῦν· βούλεσθαι τὸν Τάκιτον λέγειν, ὅτι πλεῖστον οἱ Γερμανοὶ φέρειν δύνανται οἶνον, καὶ διὰ τοῦτο *οὐκ ἂν ῥᾷον ἡττηθεῖεν τῷ πίνειν ἢ τοῖς ὅπλοις*· ἤτοι ὁμοίως χαλεπόν ἐστι νικᾷν αὐτοὺς τῷ οἰνοποτεῖν ὡς τῷ ἐν ὅπλοις μάχεσθαι. Ἀλλὰ κατὰ τὸν νοῦν τοῦτον δεήσει μεταβάλλειν ἡμᾶς τὸ κείμενον γράφοντας· *haud minus difficile.*

ΚΔ΄.

[1]). Τῇ ἐνοπλίῳ ταύτῃ τῶν Γερμανῶν χορείᾳ ὁμοία ἦν ἡ παρ' Ἕλλησι πυῤῥίχη.

[2]). *Οὐ μέντοι ἐπὶ κέρδει, ἢ μισθῷ·* τὸ σχῆμα ἓν διὰ δυοῖν.

[3]). *Τῇ δὲ κυβείᾳ.* Ἡ λέξις συνεκδοχικώτερον σημαίνει πᾶν

παίγνιον, ὑπὸ τύχης μᾶλλον ἢ τέχνης ἀγόμενον· ἐνταῦθα δὲ τὴν καλουμένην *πλειστοβολίνδαν*.

4). *Ὃ θαυμάζειν ἄξιον*. Εἰκότως· τὰ μὲν γὰρ σπουδαῖα ἐν συμποσίοις (κεφ. 22) μεθύοντες ἐχρημάτιζον, τῇ δὲ κυβείᾳ ἐσχόλαζον νήφοντες, ὑπεναντία τοῖς Ῥωμαίοις ποιοῦντες, οἳ ἀπὸ δείπνου παίζειν οἰνωμένοι εἰώθεσαν.

5). *Οὕτω βέβαιον ἐν πράγματι φαύλῳ τὸ ἦθος, ὃ αὐτοὶ πίστιν ἀποκαλοῦσιν*. Ἡ πίστις ἐξαίρετος ἔκπαλαι ἦν τοῖς Γερμανοῖς ἀρετή, οὐδέ ποτε τὴν ὑπόσχεσιν ψευδομένοις· διὸ καὶ οἱ ῥωμαῖοι αὐτοκράτορες τὴν τοῦ σώματος φυλακὴν Γερμανοῖς μάλιστα καταπιστεύειν εἰώθεσαν. Παραμένει δὲ τῷ γένει μέχρι τοῦ νῦν ἡ πίστις καὶ τοῦ ἤθους τὸ ἄπλαστόν τε καὶ βέβαιον, ἐφ' ᾧ εἰκότως σεμνύνεται. *Τευτονικὴ γὰρ πίστις* (deutsche Treue), ταὐτὸ δύναται τῇ ἐχυρᾷ καὶ βεβαίᾳ.

6). *Τῆς τῆς νίκης αἰσχύνης σφᾶς αὐτοὺς ἀπαλλάττοντας*. Εἰ καὶ παρὰ τοῖς Γερμανοῖς ἐνενόμιστο δοῦλον ποιεῖσθαι τὸν ἐν κυβείᾳ τὸ ἑαυτοῦ σῶμα θέντα καὶ νικηθέντα, αἰσχρὸν ὅμως γε τοῦτο παρὰ τοῖς ἐπιεικεστέροις ἐκρίνετο, καὶ ἅμα λυπηρὰ ἦν τοῖς κεκτημένοις ἡ τῶν οὕτως ἀτυχησάντων ὄψις. Διὸ τούτους προῃροῦντο πιπράσκειν, ἵνα μήτ' αἰσχύνοιντο νικήσαντες ἐν κυβείᾳ νίκην ἀνόσιον, μήτ' ἀνιῶντο καθ' ἡμέραν τὴν οἰκτρὰν τῶν νενικημένων τύχην ὁρῶντες.

ΚΕ'.

1). *Τοῖς δ' ἄλλως δουλεύουσι*. Δηλονότι τοῖς μὴ ἑκουσίᾳ ἑαυτοὺς δουλείᾳ ὑποβαλοῦσιν, ἀλλ' ἢ ἐν δουλείᾳ γεγεννημένοις, ἢ νόμῳ πολέμου ἢ ναυαγίου ἢ μοναρχίας, ἢ ἐκ καταδίκης, ἢ ἄλλῳ τινὶ τρόπῳ δεδουλωμένοις. Πολλαχῶς γὰρ ἦν τὸ πάλαι τοῖς ἐλευθέροις εἰς δουλείαν μεταπεσεῖν.

2). *Ἔργα τοῖς οἰκέταις προστάσσοντες*. Οἱ Ῥωμαῖοι ἀστυκοὺς καὶ ἀγροτικοὺς διέστελλον δούλους, ὧν τοῖς μὲν τὰ κατ' οἶκον τοῖς δὲ τὰ κατ' ἀγρὸν ἔργα διένεμον.

3). *Τὰ δὲ κατ' οἶκον ἔργα ἡ γυνὴ καὶ τὰ τέκνα ἐξυπουργοῦσιν*. Οὐ τὸν οἶκον οὔτε τὴν γυναῖκα καὶ τὰ τέκνα τοῦ δούλου, ἀλλὰ τοῦ δεσπότου, νοητέον ἐνταῦθα· διὸ τὸ τοῦ κειμένου *cetera* ἐπιῤῥηματικῶς ἐκδεκτέον κατὰ τὸν Ἔσσιον. Ἴσως δ' ὁ Τάκιτος *ceterum* ἔγραψε. Σοφός δέ τις ἔστιξε τὸ χωρίον ὧδε: *Et servus hactenus. Paret cetera domus, officia uxor ac liberi exsequuntur*· ὃ μεθερμηνευτέον κατὰ ταύτην τὴν στίξιν ὧδε. *Καὶ ὁ μὲν δοῦλος ταῦτα*· τὰ δ' ἄλλα ἔργα ὁ οἶκος

(τοῦ δεσπότου) ὑπηρετεῖ, ἡ γυνὴ καὶ τὰ τέκνα ἐξυπουργοῦσι.

[4]). *Πλὴν ὅτι ἀτιμωρητὶ (τὸν δοῦλον κτείνουσι).* Κτείνουσι, φησί, τὸν δοῦλον οἱ Γερμανοί, οὐχ ὥσπερ Ῥωμαῖοι, τραχύτερον αὐτὸν κολάσαι βουλόμενοι, ἀλλ' ἐξ ἀναζέσεως θυμοῦ καθάπερ πολέμιον, μόνῳ τοῦ τὸν πολέμιον κτείνοντος διαφέροντες τῷ ἀτιμωρητὶ τοῦτο ποιεῖν. Οὐδεὶς γὰρ ὁ δούλῳ ἀνῃρημένῳ τιμωρῶν, ὥσπερ πολεμίῳ οἱ τούτου συμπολῖται καὶ σύμμαχοι.

[5]). *Σπανίως γὰρ ἐν οἴκῳ λόγου τινὸς ἀξιοῦνται.* Τοὐναντίον ἐν Ῥώμῃ· οὐ μικρὰν γὰρ ἐκεῖ ῥοπὴν ἐν τῷ τοῦ δεσπότου οἴκῳ εἶχον οἱ ἀπελεύθεροι καὶ ἐξελευθερικοί, οἳ καὶ ἐπετρόπευον τῶν δεσποτῶν πολλάκις· καὶ γάμον αὐτοῖς συνῆπτον. Σημειωτέον ἐνταῦθα ὅτι *ἀπελεύθεροι* οὐ μόνον αὐτοὶ οἱ ὑπὸ τῶν δεσποτῶν ἐλεύθεροι ἀφειμένοι δοῦλοι, ἀλλὰ καὶ οἱ τούτων ἔκγονοι ἐκαλοῦντο παρ' Ἕλλησιν, οἳ τὸν παρὰ Ῥωμαίοις *libertum* καὶ *libertinum* οὐ διέκρινον. Οἱ δὲ τὴν τῶν ῥημάτων σημασίαν διευκρινεῖν ἐθέλοντες, *ἐξελευθέρους* ὠνόμαζον τοὺς τῶν χειραφέτων ἐκγόνους· *ἐξελευθερικοὺς* δὲ τοὺς εἰς τὴν τάξιν ἐκείνην ἐν τῇ πόλει τελοῦντας, οἳ δοῦλοι πρότερον ὄντες ἐλεύθεροι ἀφείθησαν, ἢ ἐκ δούλων τὸ γένος εἷλκον· ἴδε Reitz Gloss. Théoph. σελ. 1253. Πλουτ. Σύλλ. 8,23. Ἀντών. 58. Διον. Ἁλικ. Ἀρχ. Ῥωμ. 4,32).

[6]). *Οὐδέποτε δ' ἐν τῇ πόλει·* ἧς οὐδοπωστιοῦν αὐτοῖς ἔμελεν ἐν κινδύνῳ καθεστηκυίας. Ἀλλὰ γ' ἐν Ῥώμῃ, μάλιστα κατὰ τοὺς τῶν αὐτοκρατόρων χρόνους, πλεῖστοι τῶν ἐξελευθερικῶν εἰς μέγα προῆλθον δυνάμεως καὶ τὴν προτέραν τῶν εὐγενῶν ἐταπείνωσαν ὑπερηφανίαν.

[7]). *Πλήν γε δὴ παρὰ τοῖς μὴ αὐτονομουμένοις.* Τὸ τοῦ κειμένου *quae regnantur* οὐ τὰ βασιλευόμενα ἔθνη, ἀλλὰ τὰ ἄλλοις ὑποτεταγμένα δηλοῖ, οἷον ἦν τὸ τῶν Μάρσων, ὃ τοῖς Βρουκτέροις ὑπέκειτο.

[8]). Σημειωτέον ἐπὶ πᾶσιν, ὅτι, ἐξ ὧν ὁ Τάκιτος ἐν τῷ κεφαλαίῳ τούτῳ περὶ δούλων φησὶ, δῆλον καθίσταται, ὅτι οἱ τῶν Γερμανῶν δοῦλοι οὐχ ὅμοιοι τοῖς παρὰ Ῥωμαίοις ἦσαν· ἀλλὰ μᾶλλον ἐπίμορτοι γεωργοί, ἄνθρωποι οὐκ ἐλεύθεροι, φόρου ὑποτελεῖς καὶ ὑποχείριοι τοῖς κυρίοις.

ΚΣΤ'.

[1]). *Ἀνατοκίζειν.* Οὕτω μεθηρμήνευσα τὸ τοῦ κειμένου *in usuras extendere,* τῷ Βυλαύῳ ἑπόμενος. Ἴσως δὲ γραπτέον *usuris* ἢ *per usuras,* ὃ κρεῖττον τῷ Πασσαυΐῳ δοκεῖ.

[2]). *Παντελῶς ἀγνοοῦσιν.* Οὔτε γὰρ χρήματα αὐτοῖς ἦν,

οὔτε συναλλαγαὶ ἐγίγνοντο, πλήν γε δὴ τοῖς ἐγγὺς τοῦ Ῥήνου καὶ Δανουβίου οἰκοῦσι. Πρβλ. κεφ. έ, ιζ', κγ', κδ'.

[3]). *Καὶ διὰ τοῦτο μᾶλλον φυλάττονται ταῦτα* κτλ. Φυλάττεσθαι τοὺς Γερμανοὺς τὸ ἐπὶ τόκῳ δανείζειν λέγει ὁ Τάκιτος κυριολεκτικῶς μὲν οὔ· (ἠγνόουν γὰρ αὐτό· οὐδεὶς δὲ φυλάττεται κακὸν ἀγνοούμενον), ὀρθῶς δὲ κατὰ τὸ νοούμενον. Ἐπειδὴ γὰρ *ignoti nulla cupido*, ἤτοι οὐδεὶς ἐπιθυμεῖ τοῦ ἀγνοουμένου, διὰ τοῦτο εὖ ἔχει λέγειν, ὅτι μᾶλλον ἔφευγον οἱ τῆς Γερμανίας λαοὶ τὸ ἐπὶ τόκῳ δανείζειν παντελῶς ἀγνοούμενον, ἢ εἰ σφίσιν ἀπηγόρευτο ὑπὸ νόμων. Ἀεὶ δὴ παρὰ τοῖς λαοῖς πλέον δύναται πρὸς δικαιοπραγίαν ἡ ἄγνοια τοῦ κακοῦ ἢ οἱ νόμοι. Ἴδε καὶ Ἰουστῖνον 2, 2.

[4]). *Οἱ ἀγροὶ ὑπὸ δήμων ὅλων* κτλ. Πολλὴν τὸ κείμενον τοῦ χωρίου τούτου παρέχει ἀμφισβήτησιν· πολλοὶ δ' αὐτῷ κατεμελέτησαν τὴν διάνοιαν, τὴν ὀρθὴν γραφὴν καὶ τὸν ἀληθῆ νοῦν ἀνευρεῖν πειρώμενοι. Καὶ οἱ μὲν τὴν γραφὴν *in vices* αἱροῦνται, καθ' ἣν ὁ νοῦς τοῦ χωρίου εἴη ἂν ὅδε· *Οἱ ἀγροὶ ὑπὸ πάντων (ὑπὸ παντὸς δηλονότι τοῦ λαοῦ) εἰς ἀμοιβαίαν κτῆσιν καταλαμβάνονται.* Οἱ δὲ ἀσπάζονται τὴν γραφὴν *per vices*, καθ' ἣν τὸ χωρίον δηλοῖ τάδε· *Οἱ ἀγροὶ ὑπὸ πάντων (ὑπ' ἐθνῶν δηλονότι ὅλων), ἐξ ἀμοιβῆς (ἄλλοτε δηλονότι ὑπ' ἄλλων) καταλαμβάνονται·* Ἐοίκασιν οὖν κατα τὰς εἰρημένας γραφὰς οὐ μόνιμον οἱ Γερμανοὶ ἔχειν τὸ πάλαι τὴν οἴκησιν, ἀλλὰ τόπον ἐκ τόπου ἀμείβειν· καὶ νῦν μὲν τήν δε τὴν χώραν οἰκοῦντες γεωργεῖν, νῦν δ' αὖ ἑτέραν, ἄλλοις ἐκείνην εἰς γεωργίαν καταλιμπάνοντες· Συμβαίνει δὲ τούτοις συνᾴδειν ἃ Καῖσαρ περὶ Σοήβων (bel. gal. 4, 1) ἱστόρηκεν. *Ἴδιος αὐτῶν ἑκάστῳ καὶ διωρισμένος ἀγρὸς οὐκ ἔστιν, οὐδ' ἔξεστιν αὐτοῖς πλέον ἔτους ἑνὸς ἐν τῷ αὐτῷ τόπῳ διαμένουσι γεωργεῖν.* Ἔτι δὲ συνᾴδει ἅ ὁ αὐτός φησι (bel. gal. 6, 22) περὶ Γερμανῶν. *Γεωργίᾳ οὐ χαίρουσιν, οὐδέ τις ὡρισμένον ἔχει μέτρον ἀγροῦ ἢ γῆν ἰδίαν, ἀλλὰ κατ' ἔτος οἱ ἐν ἀρχῇ καὶ οἱ ἡγεμόνες ἔθνεσι καὶ συγγενείαις ἀνθρώπων εἰς ταὐτὸ γεγονότων παρέχουσι τῆς γῆς ὅσον καὶ ὅπου δοκεῖ· τῷ δ' ἐπιόντι ἔτει ἀλλαχόσε μετανίστασθαι αὐτοὺς ἀναγκάζουσιν. Αἰτίας δὲ τούτου πολλὰς λέγουσιν, ἵνα μὴ ἐμφιλοχωρήσαντές που ὑπὸ συνηθείας ἀπὸ τῆς περὶ τὸν πόλεμον σπουδῆς ἐπὶ γεωργίαν τράπωνται.* Ἀλλὰ καὶ Στράβων (ζ. 1) παραπλήσια τούτοις περὶ τῶν πέραν τοῦ Ἄλβιος Γερμανῶν μνημο-

νεύει. *Κοινὸν δ' ἐστὶν ἅπασι τοῖς ταύτῃ τὸ περὶ τὰς μεταναστάσεις εὐμαρὲς διὰ τὴν λιτότητα τοῦ βίου καὶ διὰ τὸ μὴ γεωργεῖν μηδὲ θησαυρίζειν, ἀλλ' ἐν καλυβίοις οἰκεῖν ἐφήμερον ἔχουσι τὴν παρασκευήν.* Πιθανώτεροι δὲ δοκοῦσιν οἱ τὴν γραφὴν *vicis* ἀποδεχόμενοι, καθ' ἣν καὶ ἡμῖν ἔδοξεν εἰς τὴν ἑλλάδα φωνὴν τὸ χωρίον μετενεγκεῖν. Τούτων δ' αὖ οἱ μὲν τῷ Καίσαρι καὶ τῷ Στράβωνι οὐ πάνυ τι δεῖν πιστεύειν φασὶν, ὡς οὐχ ἱκανῶς τὰ τῶν Γερμανῶν ἐξερευνήσασιν· οἱ δὲ τὰ τοῦ Καίσαρος καὶ Στράβωνος τοῖς τοῦ Τακίτου ῥήμασι συμβιβάζειν πειρῶνται, τοιοῦτό τι ἐν Γερμανίᾳ πράττεσθαι πάλαι ὑποτιθέντες, οἷον ἔπειτα τὸν Οὐανδήλων βασιλέα Γιζέριχον ἐν Ἀφρικῇ ποιῆσαι μανθάνομεν παρὰ Προκοπίου (Πολ. Βανδ. 1, 5), τοὺς μὲν εὐγενεῖς καὶ πλουσίους τῶν Ἄφρων, καὶ τὴν γῆν αὐτῶν, καὶ τὸν οἶκον ἅπαντα τοῖς ἑαυτοῦ υἱέσι παραδόντα δουλεύειν, τοὺς δ' ἄλλους ἀφελόντα τοὺς ἀγροὺς καὶ τοῖς συστρατευομένοις κατακληρουχήσαντα Οὐανδήλοις. Κατὰ δὴ τοὺς τελευταίους ἑρμηνευτὰς εἴη ἂν τοῦ εἰρημένου χωρίου ὁ νοῦς ὅδε·

« Οἱ ἀγροὶ (οἱ ἐν ταῖς χειρωθείσαις ἐπαρχίαις) ὑπὸ δήμων ὅλων (ἐθνῶν δηλονότι ὅλων ἢ συγγενειῶν τῶν νικητῶν) κατὰ τὸν ἀριθμὸν τῶν ἐν ἑκάστῳ γεωργῶν (τῶν αἱρουμένων δηλονότι γεωργεῖν μᾶλλον ἐν αὐτοῖς κατοικήσαντας ἢ πολεμεῖν) καταλαμβάνονται. Οὗτοι δ' ἔπειτ' αὐτοὺς πρὸς ἀλλήλους κατὰ τὴν ἑκάστου ἀξίαν διανέμονται· (βουλῇ δηλονότι καὶ κελεύσει τῶν ἡγεμόνων, ὥσπερ Γιζέριχος ἐν Ἀφρικῇ τοὺς πλείστους τῶν ἀγρῶν καὶ ἀρίστους τοῖς ἑαυτοῦ υἱέσι καὶ τοῖς εὐπατρίδαις, τοὺς δὲ βραχυτέρους καὶ χείρους τοῖς ἄλλοις Οὐανδήλοις διένειμε).

Δῆλον οὖν, ὅτι κατὰ ταύτην τοῦ χωρίου τὴν ἑρμηνείαν οὔτε ἄλλοτ' ἀλλαχόσε οἱ Γερμανοί, ὥσπερ περὶ αὐτῶν ὁ Καῖσαρ ἱστόρηκε, μετανίστασθαι ἠναγκάζοντο, οὔτε μὴν ἐν τῷ αὐτῷ μένοντες τοὺς ἀγροὺς ἄλλοτε ἄλλοι ἐξ ἀμοιβῆς εἰώθεσαν γεωργεῖν, ὥσπερ Αἰγύπτιοι καθ' Ἡρόδοτον (2, 168) καὶ Δαλμάται κατὰ Στράβωνα (ζ'. 5), καὶ Γέται καθ' Ὁράτιον (od, 3, 24. στ. 11—14), καὶ οἱ πρὸ τῆς ἀρχῆς τοῦ Διὸς βιώσαντες κατὰ Μάρωνα (Γεωρ. 1 στ. 125 κ. ἑ.).

[5]). *Τοὺς ἀγροὺς κατ' ἔτος ἀμείβουσι* κτλ. Ἐξήγησις ταῦτ' ἐστὶ τῶν λέξεων *per vices* κατὰ τοὺς ταύτην τὴν γραφὴν αἱρουμένους. Κατὰ δὲ τοὺς γράφοντας *vicis* οὐδὲν ἄλλο τοῖς ῥήμασι τούτοις δηλοῦται ἢ τὸ καὶ νῦν ἔτι ἐν Γερμανίᾳ καὶ ἀλλαχοῦ τηρούμενον ἔθος, μὴ τὸν αὐτὸν κατ' ἐνιαυτὸν σπείρειν ἀγρόν, ἀλλ' ἐξ ἀμοιβῆς παρ' ἐνιαυτὸν γεωργεῖν, ἢ κατὰ τρίτον ἀεὶ ἢ τέ-

ταρτον ἔτος νεᾶν· οὐ γὰρ κατ' ἔτος ἡ γῆ καρπὸν δύναται φέρειν.

[6]). *Τοιγάρτοι καὶ τὸν ἐνιαυτὸν οὐκ εἰς ἴσας ἡμῖν ὥρας διαιροῦσι* κτλ. Τὸ αὐτὸ καὶ περὶ Αἰγυπτίων ἱστορεῖ Διόδωρος (1, 11. 12. 26)· εἰς τρεῖς γὰρ καὶ οὗτοι τὸ ἔτος διήρουν ὥρας.

ΚΖ΄.

[1]). *Περὶ τὰς κηδείας οὐδεμία φιλοτιμία* κτλ. Τοὐναντίον παρὰ Ῥωμαίοις καὶ Γάλλοις, οἷς ἔθος λαμπρῶς τοὺς τεθνεῶτας κηδεύειν καὶ πολυτελεῖς αὐτοῖς τάφους κατασκευάζειν.

[2]). *Τοῦτο δὲ μόνον αὐτοῖς τηρεῖται· τῶν ἐπιφανῶν ἀνδρῶν τοὺς νεκροὺς* κτλ. Τὸ τοὺς νεκροὺς καίειν, ὥσπερ ἄλλοις λαοῖς, οὕτω καὶ τοῖς Γερμανοῖς ἐν ἔθει τὸ πάλαι ἦν. Διὸ πολλαὶ ἐν Γερμανίᾳ ὀστοδόχοι κάλπαι ὑπὸ χώματα τεθαμμέναι ἐς τόδε ἀνορωρύχαται. Οὐχ ὑποληπτέον δὲ τοὺς τύμβους ἐκείνους καὶ τὰς κάλπας μόνων εἶναι Ῥωμαίων· εὕρηνται γὰρ κἀν τῇ τῶν Κίμβρων χώρᾳ καὶ ἐν Ὁλσατίᾳ καὶ Πομερανίᾳ καὶ ἀλλαχοῦ τοιαῦται, ὅπου οὐδέποτε Ῥωμαίους ἐλθόντας ἴσμεν. Οἱ δὲ νῦν Γερμανοὶ τὰ χώματα ἐκεῖνα *Hunen*, ἢ *Huehnen*, ἢ *Huehnengraeber* καλοῦσιν, ἀπὸ τοῦ ἔθνους δηλονότι τῶν Οὔννων, ὧν τάφους αὐτὰ οὐκ ὀρθῶς εἶναι ἡγοῦνται, ἢ ἀπὸ τῆς λέξεως *Huehnen, γίγαντας* σημαινούσης, οἵους τοὺς ἑαυτῶν παλαιτάτους προγόνους γενέσθαι οἴονται, ἢ ἀπὸ τῆς λέξεως *Hun, θάνατον* δηλούσης. Τὰ δὲ ξύλα, οἷς τοὺς νεκροὺς καίειν ἐνενόμιστο, δεισιδαιμονίᾳ τινὶ ἐκλέγειν ἐοίκασιν, οὐκ ἐς κόμπον ἀφορῶντες, ὥσπερ Ῥωμαῖοι, καὶ πολυτέλειαν.

[3]). *Οὔτ' ἐσθῆτας ἐπιφοροῦσιν, οὔτε θυώματα.* Πρβλ. *Annal*. 3, 2. ὅθεν κατάδηλον γίγνεται, ὅτι αἱ τῇ πυρᾷ τοῦ νεκροῦ ἐπιτιθέμεναι ὑπὸ Ῥωμαίων ἐσθῆτες οὐ τοῦ νεκροῦ περιβόλαια οὐθ' ἱμάτια τούτῳ κεχαρισμένα, ἀλλὰ τάπητες ἦσαν πολυτελεῖς. Τετραγώνους γὰρ ἰσοπλεύρους οἱ Ῥωμαῖοι τοῖς πλουσιωτέροις καὶ ἐπιφανεστέροις ἐγείρειν εἰώθεσαν τὰς πυράς, ὧν τὰς πλευρὰς ἐκάλυπτον τάπησιν, ὥστε τὸν θημῶνα ἐκεῖνον τῶν ξύλων μεγάλου οἰκοδομήματος ἢ ὑψηλοῦ πύργου ὄψιν παρέχειν.

[4]). *Τὴν δὲ τιμὴν τῶν ὑψιδμήτων καὶ πόνου πολλοῦ δεομένων μνημείων* κτλ. Καὶ ταῦτα τείνει εἰς τοὺς Ῥωμαίους, οἳ τάφους πολλάκις ὑψηλοὺς ᾠκοδόμουν, τοὺς μὲν ἰδίους, τοὺς δὲ τῷ οἴκῳ ἢ τῷ γένει κοινούς, μαρμάρου, ἢ λίθου, ἢ πλίνθων κατασκευάζοντες, ἀνδριάσι δέ, κίοσι, βωμοῖς, καὶ οἰκίσκοις κοσμοῦντες. Ἀλλὰ καὶ Γερμανῶν τοῖς διασημοτέροις ὑψηλότεροι

κατὰ λόγον τῆς διαστημότητος ἀνίσταντο τύμβοι (ἴδε σημ. 2), δένδροις, ἢ τείχει, ἢ λίθοις ὑπερμεγέθεσι περιειλημμένοι.

[5]). *Ὀδυρμῶν μὲν καὶ δακρύων ταχὺ ἀποπαύονται.* Ἀθανάτους γὰρ ἐπίστευον τὰς ψυχὰς εἶναι, τοὺς δ' ἀγαθοὺς καὶ ἀλκίμους ἄνδρας τοὺς ὑπὸ πλήθους τραυμάτων ἀποθανόντας εἰς τὴν τοῦ Οὐοδάνου ἢ Ὀδίνου κατοικίαν ἐν Οὐαλάλλᾳ μεθίστασθαι κἀκεῖ μακάριον βίον ἄγειν, εὐωχουμένους τε καὶ ἀγῶσί τισι τερπομένους. Διὸ μεγάλη μὲν αὐτοῖς καταφρόνησις τοῦ θανάτου, μέγας δ' ἔπαινος τὸ τραυμάτων μαχομένους τυγχάνειν.

[6]). *Νῦν δὲ διέξειμι τὰ παρ' ἑκάστῳ φύλῳ κτλ. Φῦλον ἢ γένος*, ῥωμαϊστὶ *gens*, πληθὺς ἀνθρώπων ἐστὶν ἐκ τῆς αὐτῆς ῥίζης φυεῖσα καὶ τῷ ἐκ ταύτης κοινῷ γνωριζομένη ὀνόματι, εἰς ἔθνη δὲ καὶ λαοὺς πλείους μεριζομένη. Ἔθνος δέ, ῥωμαϊστὶ *natio*, φύλου ἢ γένους μοῖρά ἐστιν ἐξ ἀνθρώπων συνεστῶσα κοινῇ μὲν διαλέκτῳ χρωμένων, οὐ μέντοι ἀναγκαίως καὶ τὴν αὐτὴν χώραν οἰκούντων. *Λαὸς* δέ, ῥωμαϊστὶ *populus*, πληθὺς ἀνθρώπων ἐστὶ πολιτείᾳ κοινῇ καὶ κοινοῖς νόμοις συνημμένων ἀλλήλοις. Πολλάκις ὅμως ταῦτα ἐν τῇ χρήσει συγκέχυται.

ΚΗ'.

[1]). *Ἰούλιος ὁ θεός.* Ὁ Καῖσαρ δηλονότι (ἴδε bel. gal. 6, 24.)· τοὺς γὰρ αὐτοκράτορας ἀποθεοῦντες μετὰ τὴν τελευτὴν οἱ Ῥωμαῖοι θεοὺς ἐπωνόμαζον.

[2]). *Διὸ πιστευτόν ἐστι* κτλ. Πρβλ. *Liv.* 5, 34, *Iustin.* 24, 4. *Caes. bel. gal.* 6, 24. Τοὐναντίον δὲ γερμανικοὶ λαοὶ πολὺ πρὸ τῶν τοῦ Καίσαρος χρόνων διαβάντες τὸν Ῥῆνον εἰς Γαλλίαν εἰσέβαλον· καὶ πάντες σχεδὸν οἱ Βέλγαι τοῦ γερμανικοῦ ἦσαν γένους πρβλ. *Caes. bel. gal.* 1. 39. 51.

[3]). *Τὰ μεταξὺ οὖν τοῦ Ἑρκυνίου δρυμοῦ καὶ τῶν ποταμῶν Ῥήνου καὶ Μαίνου κατέσχον οἱ Ἑλουήτιοι.* Οἱ καθ' ἡμᾶς τὰ τῶν Γερμανῶν ἀρχαιολογοῦντες τὸ τοῦ Ἑρκυνίου δρυμοῦ ὄνομα εἰς τόδε διαμένειν φασί· ταὐτὸ γὰρ εἶναι τῷ νῦν *Harz* ἢ *Harzwald*. Περὶ δ' αὐτοῦ τοῦ δρυμοῦ, ἤτοι τῆς ἀρχῆς αὐτοῦ καὶ ἐκτάσεως, οὐδεὶς ἂν ἔχοι σαφές τι εἰπεῖν καὶ ὡρισμένον καὶ βέβαιον διὰ τὴν πολλὴν ἐν τοῖς ἀρχαίοις συγγραφεῦσιν ἀσάφειαν καὶ ἀσυμφωνίαν, οἳ τὴν Γερμανίαν οὐκ ἀκριβῶς ἐξ αὐτοψίας γιγνώσκοντες, ἐξ ἀκοῆς ἀμφιβόλου καὶ ἀορίστου γεωγραφεῖν τὰ κατ' αὐτὴν ἐπειρῶντο. Τοῖς μέντοι γε ῥωμαίοις συγγραφεῦσιν ἑπόμενοι πιθανὰ ἂν λέγοιμεν τάδε. Ὁ Ἑρκύνιος δρυμὸς ἤρχετο μὲν ἀπὸ τῶν ὁρίων τῶν Ἑλουητίων καὶ Νεμήτων καὶ Ῥαυ-

ρακῶν ἐγγὺς τῶν πηγῶν τοῦ Δανουβίου καὶ Ῥήνου κεκλιμένος πρὸς ἄρκτον (Cæs. bel. gal. 6, 24. 25) εἶτα δὲ τὴν ἀριστερὰν τοῦ Δανουβίου ὄχθην παρήκων, πρὸς νότον μὲν τῇ Ῥαιτίᾳ, πρὸς βοῤῥᾶν δ' ἄνεμον τοῖς Χάττοις συνῆπτε, καὶ μέχρι τῶν ὁρίων τῶν Δάκων διέτεινεν, οὕτω που εὐρυνόμενος, ὥςε τὸ εὖρος αὐτοῦ ἡμερῶν ἐννέα ὁδὸν εἶναι ἀνδρὶ εὐζώνῳ (Cæs. αὐτόθι). Ἐνταῦθα δὴ τοῦ δρυμοῦ ἐν χωρίοις ἐρυμνοῖς μέγαν κύκλον περιλαμβάνοντος ἐν μέσῳ ἵδρυτο χώρα καλῶς δυναμένη οἰκεῖσθαι, ἔνθα καὶ Βουΐαιμον τὸ τοῦ Μαροβούδου βασίλειον (ἴδε σημ. 4.) Ἐντεῦθεν δὲ πρὸς ἄρκτον τρεπόμενος τοῦ Δανουβίου ἐχωρίζετο καὶ πολλῶν ἐθνῶν τῇ χώρᾳ συνῆπτε. Τὸ δὲ μῆκος αὐτοῦ ὁδὸν γενέσθαι λέγεται ἡμερῶν ἑξήκοντα. (ἴδε. Mel. de situ orbis 3, 3). Ὑπεραίρει δ' ἄντικρυς τὴν ἀλήθειαν ἃ Καῖσαρ (bel. gal. 6, 24.) περὶ αὐτοῦ εἴρηκε, μηδένα τῶν Γερμανῶν ἔχειν εἰπεῖν ἢ αὐτὸν ποτ' ἐς τὴν ἀρχὴν τοῦ Ἑρκυνίου ἀφικέσθαι δρυμοῦ, ἢ παρ' ἄλλου πυθέσθαι, ὅπου ἄρχεται. Οἱ δ' ὕστερον γεωγραφοῦντες (πρδ. Πτολεμαῖος) τὸν Ἑρκύνιον δρυμὸν εἰς τὰ ὄρη συνέστειλαν, ἃ τὰ Καρπαταῖα τοῖς Σουδήτοις συζεύγνυσι. Τοὐναντίον δὲ Πλούταρχος (Μάριος 11) τοὺς Κιμμερίους, οἳ ἐπ' ἐσχάτοις παρὰ τὴν ἔξω θάλασσαν ᾤκουν, μέχρι τῶν Ἑρκυνίων διήκειν φησίν, ἀπίθανα λέγων.

4). *Τὰ δ' ἀπωτέρω οἱ Βόϊοι.* Βόϊοι ἢ Βοῖοι, ὁμοίως τοῖς Ἑλουητίοις κελτικὸν ἔθνος, οὗ ἡ ἀρχαία πατρὶς ἄδηλος, πολλαχόσε μετανέστησαν. Εὕρηνται δ' οἰκήσαντες ἐν Γαλατίᾳ, Ἰταλίᾳ, Γερμανίᾳ, Παννονίᾳ, Νωρικῷ, παρὰ τὸν Πάδον καὶ τὸν Δανούβιον, ἐν Ἰλλυρίᾳ, ἐν τῷ Ἑρκυνίῳ δρυμῷ καὶ ἐν Βοημίᾳ ἢ Βουϊαιμίᾳ. Οἱ δ' ἐν Νωρικῷ τοῖς Λαγγοβάρδοις ὕστερον ὑποταγέντες ἐν τῇ νῦν Βαυαρίᾳ Βοϊάριοι ἀπεκλήθησαν.

5). *Μένει δὴ ἐς τόδε τὸ τοῦ Βουϊαίμου ὄνομα* κτλ. *Βουΐαιμον* ἢ ὀρθότερον *Βοιόαιμον* τὸ τοῦ Μαροβούδου ἐστὶ βασίλειον ἐν τῷ Ἑρκυνίῳ δρυμῷ κατὰ Στράβωνα (7, 1.) Μετέβαλε δὲ τοὺς οἰκήτορας, οἳ περὶ τοὺς χρόνους τῆς Χριστοῦ γεννήσεως ὑπὸ Μαρκομάννων ἐξελαθέντες εἰς Νωρικὸν καὶ τὴν ὑπ' αὐτῶν κληθεῖσαν Βοϊοαρίαν (τὴν νῦν Βαυαρίαν) μετῴκησαν. Οὐκ ἐγγὺς δὲ τῶν τοῦ Δανουβίου καὶ Ῥήνου πηγῶν ἦν τὸ Βουΐαιμον, ὡς ἄν τις ὑπολάβοι τὰ τοῦ γεωγράφου (αὐτόθι) ἀναγινώσκων· ἀλλ' ἐν τῇ νῦν Βοημίᾳ, ἣ ὀρθότερον ἂν *Βουϊαιμία* ἢ *Βοιοαιμία* καλοῖτο. Σημαίνει δὲ *Βουΐαιμον* ἢ *Βοιόαιμον* Βοΐων πατρίδα ἢ κατοικίαν. *Ἄϊμ* γὰρ ἢ *χάϊμ* γερμανική ἐστι φωνὴ ἴσον δυναμένη τῇ καθ' Ἕλληνας πατρίδι ἢ κατοικίᾳ.

6). *Ἀλλὰ πότερον οἱ Ἀραβίσκοι εἰς Παννονίαν*

ἐξ Ὄσων, γένους γερμανικοῦ, ἢ κτλ. Τοὺς Ἀραβίσκους οἱ μὲν περὶ τὴν πόλιν Μουρσίαν (νῦν Ἐσσὲκ) παρὰ τὸν Δραῦον ἢ Δράβον ποταμόν, οἱ δὲ ὀρθότερον, ὡς ἐμοὶ δοκεῖν, μεταξὺ τῶν ποταμῶν Ἀραβῶνος (νῦν Ῥάαβ) καὶ τοῦ Δανουβίου ἐν Παννονίᾳ κατοικῆσαί φασιν. Οἱ δ' Ὄσοι κατά τινας μὲν τὴν περὶ τὰς πηγὰς τοῦ Οὐϊάδου (τοῦ νῦν Oder) καὶ τοῦ Οὐϊστούλα χώραν ἐνέμοντο, κατ' ἄλλους δὲ τὰ πρὸς ἕω τῆς Ἀνισίας ἐν τῇ νῦν Αὐστρίᾳ. Σημειωτέον δ' ὅτι ἐνταῦθα μὲν γερμανικὸν φῦλον καλεῖ τοὺς Ὄσους ὁ Τάκιτος, τοὐναντίον δ' ἐν Κεφ. 43 οὐ Γερμανοὺς αὐτοὺς εἶναι λέγει, τῇ διαλέκτῳ τεκμηριούμενος οὔσῃ παννονικῇ. Διό τινες τὰς λέξεις *germanorum natione* ὡς ἄλλοθεν εἰς τὸ κείμενον παρεισρυείσας ἐξοβελίζουσιν. Ἕτεροι δ' οἴονται περὶ μόνης τῆς κατοικίας τῶν Ὄσων καὶ Ἀραβίσκων ποιεῖσθαι λόγον ἐνταῦθα τὸν Τάκιτον, ἐνδοιάζοντα καὶ ζητοῦντα, πότερον, παρὰ τὴν ἀριστερὰν τοῦ Δανουβίου ὄχθην ἐν Γερμανίᾳ, ἢ παρὰ τὴν δεξιὰν ἐν Παννονίᾳ οἱ Ὄσοι καὶ Ἀραβίσκοι πρότερον ᾤκουν· ἐν δὲ Κεφ. 43 τὸ γένος αὐτῶν δηλοῦν.

7). *Ἑκατέρα τῶν ὀχθῶν* κτλ. Ὄχθας ἀορίστως λέγων ὁ Τάκιτος τὰς τοῦ Ῥήνου συνήθως σημαίνει· ἐνταῦθα δὲ νοητέον τὰς τοῦ Δανουβίου, ὧν τὴν ἀριστερὰν ἤτοι βορείαν οἱ Ὄσοι, τὴν δὲ δεξιὰν ἢ μεσημβρινὴν οἱ Ἀραβίσκοι οἰκῆσαι οὐκ ἀπιθάνως λέγονται.

8). *Οἱ δὲ Τρηούϊροι καὶ οἱ Νερούϊοι.* Οἱ μὲν Τρηούϊροι ἢ Τρήβιροι, ἔθνος ἦν ἀρειμανές, ἱππικῇ μάλιστα διαφέρον δυνάμει, οἰκοῦν δὲ μεταξὺ τῶν ποταμῶν Μώσα καὶ Ῥήνου μέχρι τῆς Ἀρδουέννης ὕλης πρὸς ἄρκτον. Πολίσματα δ' εἶχε Κομφλυεντίαν ἐπὶ τῇ τοῦ Μοσέλλα καὶ Ῥήνου συῤῥοίᾳ καὶ Βίγγιον καὶ ἄλλα· πρωτεύουσαν δὲ πόλιν ἐπὶ τῷ Μοσέλλᾳ, μεγίστην ἐν Γαλατίᾳ καὶ ὀλβιωτάτην, τὴν Αὐγούσταν Τρηουΐρων, ἕδραν τῶν ῥωμαίων αὐτοκρατόρων ἀπὸ Κωνσταντίνου τοῦ μεγάλου ἕως Οὐάλεντος. Οἱ δὲ Νερούϊοι πρὸς ἄρκτον τῶν Τρηουΐρων καὶ τῆς Ἀρδουέννης ὕλης, πρὸς δ' ἑσπέραν τῶν Μεναπίων, ὑλώδη καὶ κατὰ τὴν παραλίαν ἑλώδη χώραν (τὴν νῦν Hennegau καὶ Namur) ἐνέμοντο, ἐν ᾗ πρωτεῦον πόλισμα τὸ Βάγακον (νῦν Bavay) ἦν.

9). *Οὐαγγίονες, Τριβόκχοι, Νέμητες.* Οἱ μὲν Οὐαγγίονες περὶ τὴν πόλιν Βορβητόμαγον (νῦν Worms), ᾤκουν· οἱ δὲ Τριβόκχοι περὶ τὸ Ἀργεντοράτον τὸ ἔπειτα Στρατισβοῦργον (νῦν Strasbourg) κληθέν· οἱ δὲ Νέμητες περὶ τὴν πόλιν Νοιόμαγον, ἢ βραδύτερον Σφίρα ἐκλήθη (νῦν Speyer).

10). Καὶ Οὔβιοι δέ. Οὗτοι τὴν δεξιὰν τοῦ Ῥήνου ὄχθην ἐνέμοντο ἀπὸ τοῦ ποταμοῦ Λαυγόνα ἢ Λογάνα κατ' ἄλλους, (νῦν Lahn) ἕως τῆς Κολωνίας (νῦν Kœln)· φιλίαν δὲ πρὸς Καίσαρα συν-

θέμενοι ὑπὸ τῶν ἄλλων Γερμανῶν ἐμισοῦντο. Διὸ καὶ κατὰ τὸ 37 π. Χ. ἔτος ἐς τὴν τῶν Τρηουΐρων χώραν ἑκόντες μετῳκίσθησαν ὑπ' Ἀγρίππα καὶ πόλιν ἐπὶ τῆς ὄχθης τοῦ Ῥήνου ἔκτισαν, *Κολωνίαν Ἀγριππῖναν* κληθεῖσαν, ἀφ' ἧς καὶ αὐτοὶ Ἀγριππινεῖς (Agrippinenses) προσηγορεύθησαν.

ΚΘʹ.

1). *Βατάουοι* ἢ Βαταυοί. Οὗτοι πρῶτον μὲν εἰς τὴν ὑπὸ τῶν ποταμῶν Ῥήνου, Οὐακάλου ἢ Οὐαχάλιδος (νῦν Waal) καὶ Μώσα περιειλημμένην νῆσον κατῴκησαν ἐκ Γερμανίας μεταναστάντες· εἶτα δὲ μείζω χώραν πρὸς νότον κατέσχον, ἣ ἀπ' αὐτῶν *Βαταουΐα* ἢ *Βαταυΐα* ἐκλήθη. Πολίσματα δ' ἔκτισαν Νοδιόμαγον (νῦν Nimwegen) ἐπὶ τῷ Οὐακάλῳ, Ἀρενάτιον (νῦν Arnheim), Τραΐεκτον (νῦν Utrecht), Λούγδουνον (νῦν Leyden). Προσεχώρησαν δὲ Ῥωμαίοις οὐχ ἡττημένοι, ἀλλ' ὡς σύμμαχοι· καὶ πολλάκις αὐτοῖς ἐν τοῖς πρὸς τοὺς Γερμανοὺς πολέμοις ἐπεκούρησαν, ἵππον μάλιστα παρέχοντες ἀξιόλογον· Ἀλλ' ἔπειτα τὸ ὑπακούειν δυσχεράναντες πολλάκις μὲν αὐτῶν ἐπειράθησαν ἀποστῆναι, οὐδέποτε δὲ τῆς αὐτονομίας τυχεῖν ἐδυνήθησαν.

2). *Τὸ τῶν Ματτιακῶν ὑπακούει ἔθνος*. Οὗτοι μοῖρα τῶν Χάττων γενέσθαι λέγονται, τὰ μεταξὺ τῶν ποταμῶν Ῥήνου, Μαίνου καὶ Λαυγόνα (Lahn) κατέχοντες, πρὸ τοῦ 800 ἔτους ἀπὸ κτίσεως Ῥώμης ἄγνωστοι τοῖς Ῥωμαίοις, οἳ αὐτοὺς ὕστερον ὑπαγαγόμενοι φρούρια ἔκτισαν ἐν τῇ χώρᾳ καὶ ἀργυρεῖα ὤρυξαν. Ἐν ταύτῃ καὶ αἱ περίφημοι θέρμαι, τὰ καλούμενα *Ματτιακὰ ὕδατα*, πρὸς τῇ νῦν Οὐϊσβάδῃ ἦσαν. Πρωτεύουσαν δ' εἶχον οἱ Ματτιακοὶ πόλιν τὸ *Μάττιον*, ὃ νῦν εἰς μικρὸν συνέσταλται κωμίδιον Μάδεν καλούμενον κἀπὶ τῷ ποταμῷ *Ἀδράνᾳ* (νῦν Edder) κείμενον. Ἄλλοις δὲ Μάττιον τὸ νῦν *Matten* εἶναι δοκεῖ μεταξὺ τῶν ποταμῶν Ῥήνου καὶ *Matze* οἰκούμενον.

3). *Γῆν δεκουμάτιν*. Οὕτως ἔδοξέ μοι μεθερμηνεῦσαι τοὺς παρὰ Τακίτῳ καὶ παρ' ἄλλοις καλουμένους *decumates agros*. Ἦσαν δ' οὗτοι γῆ μεθορία, πολλῶν ὀκτασταδίων ἤτοι μιλίων ῥωμαϊκῶν ἔχουσα πλάτος, μεταξὺ τοῦ ὁρίου τῆς τῶν Ῥωμαίων χώρας καὶ τῆς τῶν γερμανικῶν ἐθνῶν πέραν τοῦ Ῥήνου καὶ τοῦ Δαναβίου ἔρημος καταλελειμμένη ἐς πλείω τῶν ἐπὶ τοῖς ὁρίοις οἰκούντων ἀπὸ τῶν πολεμίων ἀσφάλειαν. Ἀλλὰ κατὰ μικρὸν τὴν ἔρημον ταύτην Γάλλοι μετανάσται, ἀπορίᾳ τῶν ἀναγκαίων εὐπετέστερον τῶν κινδύνων καταφρονοῦντες, ᾤκησαν καὶ ἐνέμοντο κτῆσιν ἀβέβαιον, δεκάτην, ὡς ἔοικε, τελοῦντες τοῖς φρουροῦσι τὸ ὅριον τάγμα-

σιν· ὅθεν ἡ χώρα *δεκουμάτις* προσηγορεύθη. Τελευταῖον δὲ καὶ ταύτην οἱ Ῥωμαῖοι ἱκανῶς ἤδη οἰκουμένην κατασχόντες τῇ οἰκείᾳ προσέθεντο, ἀντὶ τῶν εἰρημένων ποταμῶν τῶν πρότερον φύσει τὴν τῶν Ῥωμαίων οριζόντων ἀρχήν, χειροποίητον προσωτέρω στήσαντες ὅριον, οὗ ἴχνη τινά, τά τε καλούμενα *δαιμόνια τείχη* (Teufelsmauer) καὶ τάφροι τινὲς ἐπὶ τῆς ζευγνύσης τὴν Ῥατισβόνναν καὶ τὸ ἐπὶ τῷ Μαίνῳ Ὀβερβοῦργον εὐθείας, μέχρι τοῦ νῦν ὁρᾶται.

Λ.′

1). *Τούτων ἀπωτέρω*. Τῶν προειρημένων δηλονότι λαῶν οὐ τῶν τὴν δεκουμάτιν χώραν κατειληφότων.

2). *Αἱ τῶν Χάττων οἰκήσεις*. Οἱ Χάττοι ἀμφωτέρωθι τοῦ ποταμοῦ Ἀδράνα (Edder) οἰκήσαντες φαίνονται, πρὸς ἄρκτον μὲν τοῖς Χαττουαρίοις (Κασουαρίοις κατὰ Πτολεμαῖον) καὶ Τουβαντίοις, πρὸς δὲ δυσμὰς τοῖς Ματτιακοῖς ὁμοροῦντες, πρὸς δ' ἕω μέχρι τῆς *Δεκουμάτιδος χώρας* ἐν τῇ νῦν Ἀσσίᾳ (Hessen) διήκοντες. Ἴσχυσαν δὲ μάλιστα μετὰ τὴν τῶν Χηρούσκων παρακμήν, καὶ πολλάκις πολεμηθέντες καὶ ἡττηθέντες ὑπὸ Ῥωμαίων (οἳ καὶ τὴν πρωτεύουσαν αὐτῶν πόλιν τὸ Μάττιον ἑλόντες ἐνέπρησαν), οὐ πολὺν χρόνον ἔμειναν ὑποχείριοι, ἀλλὰ ταχὺ ἀνεκτήσαντο τὴν ἐλευθερίαν.

3). *Προτάσσουσι γὰρ λογάδας*. Τοὺς ἀλκιμωτάτους δηλονότι, ὥσπερ καὶ τοῖς Ῥωμαίοις εἴθιστο, ἐκλέγοντες προτάσσουσιν ἐν ταῖς μάχαις οἱ Χάττοι. Εἰσὶ δ' οἳ τὰς τοῦ κειμένου λέξεις *praeponere electos* δηλοῦν φασιν, ὅτι οἱ Χάττοι *ἐξελέγοντο τοὺς σφῶν ἐν ταῖς μάχαις ἡγησομένους, ἤτοι τοὺς στρατηγούς*. Ἀλλὰ τοῦτο κοινὸν τοῖς Γερμανοῖς, οὐκ ἴδιον ὂν τοῖς Χάττοις ἐκ τοῦ κεφ. 7 γιγνώσκομεν.

4). *Τῇ μὲν ἡμέρᾳ ἐς ἔργα (τὰ προσήκοντα) χρῶνται*. Πολλὰ ἦν ταῦτα, ἐν οἷς καὶ τὸ ἡμεροσκόπους ἱδρύειν.

5). *Τὴν μὲν τύχην τίθενται ἐν ἀδήλοις, τὴν δ' ἀρετὴν ἐν βεβαίοις*. Τοῦτ' ἔστι τῇ μὲν τύχῃ ὡς ἀδήλῳ ἧττον πιστεύουσι, τῇ δ' ἰδίᾳ μᾶλλον ἐπιθαῤῥοῦσι ἀρετῇ, ἅτε ἐπ' αὐτοῖς κειμένῃ καὶ διὰ τοῦτο βεβαίᾳ.

6). *Σιδηρᾶ ἐργαλεῖα*· ἀξίνας δηλονότι, σκαπάνας, πτύα, καὶ ὅσα εἰς κατασκευὴν χαρακωμάτων καὶ ὀχύρωσιν τοῦ στρατοπέδου χρήσιμα.

7). *Τοὺς μὲν ἄλλους φαίης ἂν ἰδὼν ἐξιέναι εἰς μάχην, τοὺς δὲ Χάττους ἐς πόλεμον*. Ἡ μὲν γὰρ μάχη ὅπλων μόνον δεῖται, ἃ οἱ ἄλλοι Γερμανοὶ ἔφερον καθάπερ μιᾷ ἐπι-

ϐολῇ τὸν πόλεμον διαπράξειν ἐλπίζοντες· ὁ δὲ πόλεμος τέχνης τε δεῖται καὶ εὐταξίας καὶ ἀποσκευῆς καὶ ἐργαλείων, ὧν μόνοι τῶν Γερμανῶν οἱ Χάττοι ἐφρόντιζον·

[8]) *Ταχὺ δ' αὖ εἴκειν* ἤτοι ὑποχωρεῖν τῆς νίκης τοῖς πολεμίοις· τοῦτο δὲ τοῖς Χάττοις, οἷς ἐν τῷ πεζικῷ πᾶσα ἡ δύναμις, οὐ συνέϐαινε, βεϐαίαν, οὐ ταχεῖαν θηρωμένοις νίκην.

[9]). *Ἡ μὲν γὰρ ταχύτης προσεχὴς* κτλ. Ὁ νοῦς τοῦ χωρίου ἐστὶν ὅδε. Ὁ τοὺς πολεμίους δεδιὼς ὀξύτερον αὐτοῖς ἐπιτίθεται, τῇ ὁρμῇ τὴν ἀποῦσαν ἀνδρείαν ἀναπληρῶν· ὁ δ' ἀνδρεῖος μελλητικώτερος δι' ἀφοϐίαν ἐστὶ πρὸς τὰς ἐπιθέσεις καὶ προμηθέστερος. ἤ, Ἡ μὲν τῆς ἐφόδου ὀξύτης ῥᾳδίως αἴτιον ἔχει τὸν φόϐον· ἡ δὲ προμηθὴς μέλλησις τοὐναντίον εὐστάθειαν ψυχῆς καὶ καρτερίαν τεκμηριοῖ.

ΛΑʹ.

[1]). *Ἐφ' αἵματι καὶ σκύλοις.* Μετὰ τὸ ἐκχέαι αἷμα καὶ σκυλεῦσαι πολέμιον· ἡ γὰρ *ἐπὶ* ἐνταῦθα χρόνον σημαίνει.

[2]). *Ὀφελός τι τοῦ βίου εὑρέσθαι.* Ἔστι τὸ κείμενον *pretia nascendi retulisse* μεθερμηνεῦσαι καὶ ὧδε· *κτήσασθαι ἐκεῖνο, δι' ὃ γεγεννῆσθαι λυσιτελεῖ* ἤτοι τὴν ἀρετήν.

[3]). *Καὶ ἤδη λευκοτριχοῦσι τούτῳ ἐπίσημοι.* Οὐ διὰ τὸ μήπω καιροῦ τυχεῖν ἐς τὸ πολέμιον κτεῖναι, ἀλλὰ διὰ τὸ μείζονος ἐπ' ἀρετῇ δόξης ἐπιθυμεῖν· διὸ καὶ μετὰ τὸ πολέμιον ἀνελεῖν μέχρι γήρως ἐτήρουν τὸ σχῆμα, ᾧ εἰς μείζω ἐν τοῖς πολέμοις ἀλκὴν παρωτρύνοντο.

[4]). Πολλοὶ ἀντὶ τοῦ ἐπιθέτου *torva*, γράφουσι *neva* ἢ *non nova* ἄλλοι δὲ *mira*, ἢ *saeva* καὶ ἄλλοι ἄλλως κατὰ τὴν γραφὴν τὸν νοῦν μεταϐάλλοντες τοῦ χωρίου.

[5]). *Ἕως ἂν τὸ ἄναιμον γῆρας* κτλ. Ἕως ἂν τὸ γῆρας οὕτως αὐτοὺς ἀσθενεῖς καταστήσῃ, ὥστε βίῳ οὕτω τραχεῖ μὴ ἔχειν ἐγκαρτερεῖν.

ΛΒʹ.

[1]). *Οἱ Οὐσίπαι καὶ Τέγκτεροι.* Οἱ Οὐσίπαι ἢ Οὐσιπέται καὶ οἱ Τέγκτεροι, ἢ Τεντερίδαι κατὰ Πλούταρχον (Καισ. 22), γερμανικὰ ἦσαν ἔθνη, κοινὰ ἔχοντες τὰ τῆς τύχης. Οὗτοι οὖν οὐ πάνυ δῆλον, ὅπου πρότερον ᾤκουν. Εἶτα δὲ σὺν τοῖς Οὐϐίοις ὑπὸ Σοήϐων ἐξελαθέντες καὶ τριετίαν πολλαχοῦ πλανηθέντες τῆς Γερμανίας ἐπὶ τὸν Ῥῆνον ἀφίκοντο, ὃν διαπεραιωσάμενοι τὴν τῶν Μενα-

πίων καὶ Ἐβουρώνων καὶ Κονδρούσων (ἐθνῶν γαλατικῶν) χώραν καὶ τὰς οἰκίας παρὰ τὸν Μοσέλλαν κατέλαβον. Εἶτα δ' αὖ προσωτέρω ἐν Γαλλίᾳ πλανώμενοι ὑπὸ Καίσαρος μάχῃ ἡττηθέντες ἐτράπησαν καὶ πολλοὺς τῶν οἰκείων ἀποβαλόντες εἰς τὸν Ῥῆνον ἑαυτοὺς ἐνέβαλον φέροντις καὶ ἀπώλοντο. Ὀλίγοι δὲ τῶν ἱππέων τῇ μάχῃ οὐ παρατυχόντες, τὸ ῥεῖθρον διανηξάμενοι εἰς τὴν τῶν Σουγάμβρων ἢ Σουκάμβρων διεσώθησαν χώραν. Τούτων δ' ἔπειτα ἐς Γαλλίαν μεταναστάντων, οἱ Οὐσίπαι καὶ οἱ Τέγκτεροι πᾶσαν αὐτῶν τὴν χώραν περὶ τὸν ποταμὸν Λουπίαν κατέσχον, οἱ μὲν ἐγγὺς τῆς τῶν Βαταυῶν νήσου οἰκήσαντες, οἱ δὲ Τέγκτεροι τοῖς Οὐβίοις καὶ Χάττοις γενόμενοι ὁμοτέρμονες.

ΛΓ'.

1). *Τοῖς Τεγκτέροις οἱ Βρούκτεροι συνῆπτόν ποτε.* Οὗτοι μεταξὺ τῶν ποταμῶν Λουπία καὶ Ἀμασία ᾤκουν· μέρος δὲ τῆς χώρας αὐτῶν ἡ τευτοβουργικὴ ὕλη κατεῖχεν, ἐν ᾗ Ἀρμίνιος ὁ τῶν Χηρούσκων ἡγεμών, λαμπρῶς ὑπὲρ αὐτονομίας ἀγωνισάμενος, τοὺς ὑπὸ Κοϊντιλίῳ τῷ Οὐάρῳ Ῥωμαίους πασσυδεὶ διέφθειρεν. Ἐκοινώνησαν δὲ τῆς μάχης τοῖς Χηρούσκοις καὶ Βρούκτεροι καὶ τὸν ὀθνεῖον συναπεσείσαντο ζυγόν. Δοκοῦσι δ' οἱ Ῥωμαῖοι καὶ μετὰ τὴν πανωλεθρίαν ἐκείνην κράτος τι ἀνακτήσασθαι παρὰ τοῖς Βρουκτέροις. Φρούριά τε γὰρ ἐπὶ τοῖς ὁρίοις ἔκτισαν καί τινα ἡγεμόνα δέξασθαι αὐτοὺς ἐπηνάγκασαν. Πολίσματα δ' αὐτῶν Ὀσναβρούγα καὶ ἄλλα ὑπὸ Πτολεμαίου μνημονευόμενα. Προφῆτις δέ τις, Βελήδα τοὔνομα (ὡς γράφει αὐτὸ Δίων 67, 5) ἢ Οὐελήδα, ἐν πύργῳ τινὶ ἐπὶ τῷ Λουπίᾳ οἰκοῦσα, μέγιστον παρ' αὐτοῖς κλέος ἐκτήσατο.

2). *Νῦν δὲ οἱ Χαμαυοὶ καὶ Ἀγγριουάριοι.* Οἱ μὲν Χαμαυοὶ ἢ Χάμαβοι παρὰ τὸν μέσον Οὐΐσουργιν ᾤκουν, ὡς ἔστι κἀκ τοῦ νῦν πολίσματος Χάμελν εἰκάσαι, ἐν ᾧ ἴχνη τοῦ ἐθνικοῦ ὀνόματος περισέσωσται. Πρότερον δὲ δοκοῦσι δυσμικωτέραν τε καὶ βορειοτέραν τὴν οἴκησιν σχεῖν ἐν τῷ νῦν νομῷ Χάμελανδ. Μοῖρα δέ τις αὐτῶν καὶ μεταξὺ τοῦ Οὐϊσούργιος καὶ τοῦ Μηλιβόκου ὄρους οἰκήσασα εὕρηται. Οἱ δ' Ἀγγριουάριοι τὴν πρὸς νότον τῶν Χαύκων ἐφ' ἑκατέρᾳ τοῦ Οὐϊσούργιος χώραν πάλαι ἐνέμοντο, πρὸς μὲν λίβα ἄνεμον τοῖς Βρουκτέροις, πρὸς δ' εὖρον τοῖς Φόσοις συντερμονοῦντες. Φίλοι δὲ τοῖς Ῥωμαίοις γενόμενοι ὕστερον τὴν τῶν Βρουκτέρων χώραν κατέσχον.

3). *Ἐξελάσαντες τοὺς Βρουκτέρους καὶ παντελῶς διολέσαντες.* Ἐπὶ μεῖζον ἔοικεν ἡ φήμη δεινῶσαι τὸ πρᾶγμα,

ὁ δὲ Τάκιτος ῥαδίως πάντα πιστεῦσαι αὐτῇ, ἅτε τοῖς Ῥωμαίοις θυμαρῆ μηνυούσῃ. Ἀλλ' ὅμως οἱ Βρούκτεροι οὐ πάντες ἀπώλοντο, μοῖρα γὰρ αὐτῶν κατὰ τὴν Κολωνίαν Ἀφριππίναν διαβᾶσα τὸν Ῥῆνον ταχὺ δύναμιν ἀνεκτήσατο καὶ φοβερὸν τοῖς Ῥωμαίοις τὸ τῶν Βρουκτέρων κατέστησεν ὄνομα.

4). *Εἴθε δὴ τοῖς ἔθνεσι παραμένοι* κτλ. Τὸν πρὸς τὴν πατρίδα ἔρωτα καὶ ὑπὲρ αὐτῆς φόβον ἐκφαίνει τοῖς ῥήμασι τούτοις ὁ Τάκιτος, ὥσπερ προορῶν τῇ διανοίᾳ τὸ εἱμαρμένον. Πάντες γὰρ ἴσμεν ὅτι τὸ μέγα τῆς Ῥώμης κράτος ἀπώλετο κατὰ βραχὺ ὑπὸ γερμανικῶν ἐθνῶν πολεμούμενον.

ΛΔ'.

1). *Ὄπισθεν.* Ἐξ Ἀνατολῶν δηλονότι ἢ πρὸς τὸν Οὐΐσουργιν ποταμόν.

2). *Δουλγούμνιοι καὶ Χασουάριοι.* Ἔθνη καὶ ταῦτα γερμανικά. Καὶ οἱ μὲν Δουλγούμνιοι ἑξῆς τῶν Ἀγγριουαρίων πρὸς νότον ἐν τῇ νῦν Παδερβορνικῇ χώρᾳ τὸ πάλαι οἰκοῦντες, ἐν τοῖς ὕστερον χρόνοις, ὡς ἔοικε, τὰς οἰκήσεις μετήλλαξαν· ὁ γὰρ Πτολεμαῖος μνημονεύει Δουλγουμνίους πρὸς νότον οἰκοῦντας τῶν Λαγγοβάρδων. Οἱ δὲ Χασουάριοι ἢ Χαττουάριοι περὶ τὰς πηγὰς τοῦ Λουπία ἐπὶ τῆς ἀριστερᾶς τοῦ Οὐΐσούγιος ὄχθης ἐν τῇ νῦν Ἐπισκοπῇ Ὀσναβρούγας καὶ Παδερβόρνου, ὅπου ὁ ποταμὸς Χάσης τῷ Ἀμασίᾳ συμμίγνυται, τὸ πάλαι ἵδρυντο. Εἶτα δὲ καὶ ἐν τῇ πρὸς ἑσπέραν τοῦ κάτω Ῥήνου χώρᾳ, ἐν τῇ νῦν Γελδρίᾳ μετῴκησαν τοῖς Φράγκοις συναριθμούμενοι, καὶ ὑπὸ Τιβερίου καὶ Γερμανικοῦ μάχῃ ἡττήθησαν.

3). *Ἔμπροσθεν·* πρὸς τὰ τοῦ Ῥήνου στόματα καὶ τὴν θάλασσαν.

4). *Οἱ Φρείσιοι*, ἢ Φρίσσιοι, ἢ Φρίσσονες πάλαι μὲν μεταξὺ τοῦ βορείου Ὠκεανοῦ, (τῆς νῦν βορείας ἢ Γερμανικῆς θαλάσσης) τοῦ Ἰσάλα καὶ Ἀμασία περὶ τὴν Φλεύωνα λίμνην (Φληοὺμ κατὰ Πτολεμαῖον), ἢ τοῦ προσεῴου τοῦ Ῥήνου στόματος εὐρύτατον ἦν ἀνάχυμα, οἰκῆσαι λέγονται, ἄδηλα ἡμῖν τὰ πρὸς μεσημβρίαν ἔχοντες ὅρια. Ἐν δὲ τῷ ὑπὸ τῶν Ἱστορικῶν μέσῳ καλουμένῳ αἰῶνι ὑπὲρ τὸν Σκάλδιν καὶ τὸν Ἄλβιν τοὺς τῆς χώρας ὅρους ἐξέτειναν. Ἐπὶ δὲ βασιλέως αὐτῶν Ῥαδοβόδου ὑπὸ Καρόλου τοῦ Μαρτέλλου νικηθέντες ὑπήκοοι τοῖς Φράγκοις ἐγένοντο.

5). *Λίμνας εὐρυτάτας.* Πολλαὶ τούτων, ἐν αἷς καὶ ἡ ἀνωτέρω εἰρημένη Φλεύων, ἐν ὑστέροις χρόνοις πλημμυρίδος ἐπελθούσης μεγάλης, οἷα ἐν τοῖς τοῦ Ὠκεανοῦ φιλεῖ συμβαίνειν αἰγιαλοῖς, καὶ

τοῦ κύματος τὴν ἁλιτενῆ γῆν ἐπὶ πολλὰ ὀκταστάδια ἐπικλύσαντος, εἰς ἕνα μέγαν συνεῤῥύησαν κόλπον, τὸν Αὐστρῖνον (νῦν Σουυιδερσὲ) καλούμενον.

[6]). *Καὶ τὰς Ἡρακλέους δὲ στήλας μέχρι τοῦ νῦν ἐκεῖ διαμένειν* κτλ. Τὰς μυθώδεις ἐκείνας στήλας ἄλλος ἀλλαχοῦ ἱδρύσθαι ἔφασκεν, ὅπου ποθ' ἕκαστος τὴν γῆν περατοῦσθαι ἐπίστευεν· οἱ μὲν ἐπὶ τῷ τῶν Γαδείρων πορθμῷ, οἱ δ' ἐπὶ τῷ Σουνδικῷ τῷ τὴν Δανίαν τῆς Σουηδίας διείργοντι, οἱ δ' ἐν τῇ τῶν Φρεισίων χώρᾳ.

ΛΕ'.

[1]). *Ἐπὶ μακρὸν ἐπικυρτουμένη*. Τὸ ἐπικύρτωμα τοῦτο ἡ Κιμβρικὴ Χερσόνησος, ἤτοι ἡ νῦν ἤπειρος τῆς Δανίας ἐστίν, ἧς ὁ Τάκιτος κυρτοτέραν καὶ στρογγυλωτέραν ᾤετο εἶναι τὴν πρὸς ἄρκτον ἐξέχουσαν πλευράν.

[2]). *Ἐπαναχωρεῖ*· ὑπονοεῖ δηλονότι πρὸς νότον, τῇ Βαλτικῇ ἐκχωροῦσα θαλάττῃ. Ἰστέον δ' ὅτι τῆς νῦν Βαλτικῆς καλουμένης θαλάττης τὸ μὲν ἀπὸ τῆς Κιμβρικῆς Χερσοννήσου μέχρι τῶν τοῦ Οὐϊστούλα ἐκβολῶν (ὧν ἐγγὺς αἱ Ἠλεκτρίδες ἔκειντο νῆσοι) *Σουηβικὴ* ἐκαλεῖτο θάλαττα, τὸ δ' ἐκεῖθεν πρὸς ἕω καὶ βοῤῥᾶν ἐκτεινόμενον, *Σαρματική*. Ἀμφότερα δὲ ὡς καὶ πρότερον ἡμῖν (κεφ. ά. σημ. 3) εἴρηται, τοῦ Ὠκεανοῦ μέρη ὑπελαμβάνετο ὑπὸ τῶν ἀρχαίων.

[3]). *Τὸ τῶν Χαύκων ἔθνος*. Οἱ Χαῦκοι ἢ Καῦκοι εἰς μείζους καὶ ἐλάττους διῄρηντο. Καὶ οἱ μὲν ἐλάττους μεταξὺ τῶν ποταμῶν Ἀμασία καὶ Οὐϊσούργιος ἀπὸ τοῦ νῦν Παπεμβούργου μέχρι τῆς προσαρκτίου θαλάττης ἐν τῇ προσεῴα Φρεισίᾳ, τῇ τοῦ Μοναστηρίου Ἐπισκοπῇ καὶ τῇ νῦν ἡγεμονίᾳ τοῦ Ὀλδεμβούργου κατὰ τοὺς χρόνους τοῦ Πτολεμαίου οἰκοῦντες φαίνονται· οἱ δὲ μείζους πέραν τοῦ Οὐϊσούργιος μέχρις Ἄλβιος τὴν Βρεμαίαν καὶ Λαυεμβουργικὴν χώραν ἐνέμοντο.

[5]). *Τὰς πλευρὰς ὅμως τῶν εἰρημένων ἐθνῶν* κτλ. Δηλονότι τῶν Οὐσιπῶν, Τεγκτέρων, Βρουκτέρων, Χαμαυῶν, Ἀγγριουαρίων, Δουλγουμνίων, Χασουαρίων καὶ Φρεισίων.

ΛϚ'.

[1]). Οἱ Χηροῦσκοι, οἳ καὶ Χερουσκοὶ παρὰ Δίωνι καὶ Χαιρουσκοὶ παρὰ Πτολεμαίῳ καλοῦνται, ἔθνος ἦν πάλαι τῆς Γερμανίας οὐ πάνυ μέγα· τοὔνομα ὅμως αὐτοῦ, πλειόνων ἔπειτα συμμάχων ἐθνῶν ἐπὶ Ῥωμαίους ἡγεμονεύσαντος ἐπὶ πᾶσαν ἐξετάθη τὴν συμ-

μαχίαν, τοὺς Δουλγουμνίους, Ἀνσιβαρίους, Χασουαρίους, Χαμαυούς, Τουβαντίους καὶ Μάρσους σὺν αὐτοῖς τοῖς Χηρούσκοις περιλαμβάνον. Διὰ τοῦτο δὲ καὶ τὴν χώραν αὐτῶν ὁρίσαι οὐ ῥᾴδιον· οἱ γὰρ ἀρχαῖοι οὐχ ἱκανῶς αὐτοὺς τῶν συμμάχων διέκρινον. Δοκοῦσι μέντοι οἱ Χηροῦσκοι, ὅτε μάλιστα ἤκμαζον, τὴν χώραν οἰκεῖν μεταξὺ τῆς Βακενίδος ὕλης (τῆς νῦν Θυριγγίας) πρὸς νότον, τοῦ Μηλιβόκου πρὸς ἄρκτον, τοῦ Οὐϊσούργιος πρὸς ἑσπέραν καὶ τοῦ Ἄλβιος πρὸς ἀνίσχοντα ἥλιον, ἤτοι τὰς κατὰ τὴν νεωτέραν Γεωγραφίαν δύο ἡγεμονίας, τὴν Καλεμβεργικὴν καὶ τὴν Βρυνοπολίτιδα (Braunschweig). Ὑπήκουον δ' οἱ Χηροῦσκοι πρότερον τοῖς Ῥωμαίοις, ὑφ' οἷς οὐκ ὀλίγοι μισθοῦ ἐστρατεύοντο. Ἐπεὶ δὲ Κοϊντίλιος Οὔαρος στρατηγὸς τῶν Ῥωμαίων τραχύτερον αὐτοῖς ἤρξατο χρῆσθαι, τὴν ὕβριν καὶ βίαν οὐ φέροντες, συμμαχίαν πρός τε τὰ εἰρημένα ἔθνη καὶ πρὸς τοὺς Χάττους συνθέμενοι, ἔτει θ'. μ. Χ. ἀπέστησαν, καὶ Ἀρμινίου ἡγουμένου ἐπιθέμενοι τοῖς Ῥωμαίοις τὰ ὑπὸ τῷ εἰρημένῳ στρατηγῷ τρία τούτων τέλη ἐν τῇ Τευτοβουργικῇ χειμαδεύοντα ὕλῃ κατέκοψαν καὶ ἀνεκτήσαντο τὴν αὐτονομίαν. Εἰ δὲ καὶ ὁ Γερμανικός, ἓξ ἔτεσιν ὕστερον τὸν Ῥῆνον διαπεραιωσάμενος, τούς τε Χηρούσκους καὶ τὰ τούτοις συμμαχοῦντα ἔτρεψεν ἔθνη, καὶ τὸν Ἀρμίνιον ἐν τῷ πεδίῳ Ἰδισταυΐσῳ κατεμαχέσατο, καὶ μέχρι τῆς Τευτοβουργικῆς ὕλης προῆλθεν, (ἔνθα τὰ τῶν ὑπὸ Οὐάρῳ τεθνηκότων ὀστᾶ εὐσεβῶς συνέλεξέ τε καὶ ἔθαψε, καὶ τὰ στρατιωτικὰ σημεῖα ἀνεκομίσατο) ὑπαγαγέσθαι ὅμως αὐτοὺς πάλιν οὐκ ἐδυνήθη. Οὐ μὴν ἀλλ' ἐμφύλιοι στάσεις τὰ πράγματα αὐτῶν ὕστερον ἐλυμήναντο, μακρὰ δ' εἰρήνη οὕτως αὐτοὺς ἐξεχαύνωσεν, ὥστε τὸ κράτος ἀποβαλεῖν νικηθέντας ὑπὸ τῶν Χάττων.

2). *Φόσοι.* Οὗτοι ὑπὸ μόνου μνημονεύονται τοῦ Τακίτου. Ἦσαν δ' ἔθνος οὐ μέγα, ὅμοροι τοῖς Χηρούσκοις, παρὰ τὸν ποταμὸν Φόσιον (Fuse) ἴσως οἰκοῦντες, ἔνθα οὗτος τῷ Ἀλλέρῳ συμβάλλει.

ΑΖ'.

1). *Τὸν αὐτὸν τῆς Γερμανίας κόλπον*· τὸ αὐτὸν τοῖς Χηρούσκοις δηλονότι καὶ Χαύκοις, ἢ κατ' ἄλλους τοῖς Χαύκοις μόνοις.

2). *Οἱ ἔγγιστα τοῦ ὠκεανοῦ Κίμβροι κατέχουσιν.* Οὗτοι φιλοπόλεμον καὶ μαχιμώτατον ἔθνος ἐγένοντο, ἐπ' ἐσχάτοις τῆς Γερμανίας, ὡς ὑπὸ πάντων σχεδὸν τῶν ἀρχαίων ὁμολογεῖται, παρὰ τὴν Γερμανικὴν θάλασσαν οἰκοῦντες, καὶ οὐ μόνον τὴν Κιμβρικὴν Χερσόνησον καὶ Ὁλσατίαν καὶ Διττομαρσίαν καὶ Ἰουτίαν, ἀλλὰ καὶ τῆς ἀντιπέραν Σκανδίας τὴν παραλίαν κατέχοντες. Εἰ δ' οἱ

αὐτοὶ τοῖς Κιμμερίοις εἰσίν, ὥς τινες τῶν νεωτέρων εἰκάζουσιν, ἐκ τῶν περὶ τὴν Μαιώτιδα λίμνην τόπων ἐν χρόνοις παλαιτέροις ἐπὶ τὴν ὑπάρκτιον ἐλθόντες θάλασσαν, οὐ δῆλον. Φοβεροὶ δ' οἱ Κίμβροι ἄλλοις τε κατὰ τὴν Εὐρώπην ἔθνεσι καὶ δὴ καὶ τοῖς Ῥωμαίοις ἐγένοντο· πλῆθος γὰρ αὐτῶν μέγα, εἴτε λείας ἐπιθυμοῦντες, εἴτε γῆς εὐφορωτέρας καὶ εὐηλιωτέρου κλίματος χρήζοντες, εἴτε διὰ τὴν ἔμφυτον τοῖς Γερμανοῖς περὶ τὰς μεταναστάσεις εὐμάρειαν, εἴτε δι' ἄλλην τινὰ αἰτίαν τὴν ἑαυτῶν πατρίδα καταλιπόντες, πρὸς νότον πανοικὶ ὥρμησαν. Προσεταιρισάμενοι δὲ πρῶτον τοὺς Τεύτονας, εἶτα συμμαχίαν πρὸς Ἄμβρωνας καὶ Τυγουρίνους, ἔθνη κελτικά, ποιησάμενοι, ἄλλας τε κατὰ τὴν Εὐρώπην χώρας καὶ δὴ καὶ τὴν Ἰταλίαν ἐπιόντες ἐλῄζον, ἢ κατελάμβανον εἰς οἴκησιν ἑαυτοῖς, τοὺς προτέρους οἰκήτορας ἐξελαύνοντες. Πολλοὺς οὖν στρατοὺς καὶ στρατηγοὺς τῶν δυνάμει τότε ἀκμαζόντων Ῥωμαίων διέφθειραν, σκηπτοῦ δίκην προσπίπτοντες καὶ τῇ τῆς ἐφόδου ὀξύτητι ἀνυπόστατοι ὄντες· Τέλος δὲ ἐν τῷ περὶ Βερκέλλας πεδίῳ ἐν Ἰταλίᾳ ὑπὸ Μαρίου μάχῃ κρατερᾷ νικηθέντες πασσυδεὶ ἀπώλοντο.

3). *Ἐφ' ἑκατέρας ἀκτῆς*. δηλονότι τῆς παραλίας τῆς τε πρὸς ἑσπέραν καὶ τῆς πρὸς ἕω τῆς Κιμβρικῆς Χερσονήσου.

4). *Εὐρέα ἐρύματα*· οὕτω μεθηρμήνευται τὰ τοῦ κειμένου *castra ac spatia*, ἃ κεῖται ἀντὶ τῶν *castrorum spatia* κατὰ τὸ σχῆμα *ἓν διὰ δυοῖν*.

5). *Τὴν συμφοράν*, ἤτοι τὰ περὶ τοῦ ὀλέθρου αὐτῶν θρυλλούμενα. Εἰσὶ δ' οἳ *exitus* οὐ τὸν *ὄλεθρον*, ἀλλὰ τὴν *ἔξοδον*, ἤτοι τὴν *ἀπανάστασιν* τῶν Κίμβρων δηλοῦν ἡγοῦνται· ἀλλ' οὐκ οἰκεία τῷ Τακίτῳ ἡ χρῆσις τῆς λέξεως κατὰ ταύτην τὴν σημασίαν.

6). *Καικιλίου Μετέλλου* κτλ. ἔτει 113 π. Χ

7). *Ἐς τὴν δευτέραν τοῦ Αὐτοκράτορος Τραϊανοῦ ὑπατείαν*· ἔτει 98 μ. Χ.

8). *Οὕτω μακρὸν χρόνον ἡ Γερμανία νικᾶται*· τὸ *νικᾶται* κεῖται ἐνταῦθα ἀντὶ τῶν *νικᾶσθαι λέγεται* ἢ *πολεμεῖται ἵνα νικηθῇ*.

9). *Οὐχ Ἱσπανίας ἢ Γαλλίας*. Διττὴ ἡ Ἱσπανία παρὰ Ῥωμαίοις· ἡ μὲν ἐντεῦθεν, ἡ δὲ πέραν τοῦ ποταμοῦ Ἰβήρου. Διττὴ δὲ καὶ ἡ Γαλλία· ἡ μὲν ἔνθεν, ἡ δὲ πέραν τῶν Ἄλπεων.

10). *Τῆς τοῦ Ἀρσάκου βασιλείας δεινότερον ἡμῖν* κτλ. Οἱ Γερμανοὶ ἐρρωμενέστερον, φησί, μάχονται ὑπὲρ τῆς σφῶν ἐλευθερίας ἢ οἱ Πάρθοι ὑπὲρ τῆς τοῦ Ἀρσάκου βασιλείας. Τῆς ἐλευθερίας ὁ ἔρως ὀξύτερον τοῖς Γερμανοῖς ἐστι κέντρον εἰς τὸ πολε-

μεῖν ἡμῖν ἢ ὁ πλοῦτος καὶ ἡ λαμπρότης τῆς τοῦ Ἀρσάκου βασιλείας τοῖς Πάρθοις.

[11]). *Τί γὰρ ἄλλο ἢ τὸν τοῦ Κράσσου φόνον* κτλ. Μάρκος Λικίνιος Κράσσος ἔτει 56 π. Χ. ὑπατεύσας, εἶτα δὲ Συρίας ἀνθύπατος, ἔτει 53. π. Χ. ὑπὸ Πάρθων ἀπέθανεν, ὧν ὁ Βασιλεὺς Φραάτης τῷ Αὐγούστῳ ἐν Ἀσίᾳ ἔπειτα διατρίβοντι, δείσας μὴ ὅπλα οἱ ἐπενέγκοι, τούς τε αἰχμαλώτους καὶ τὰ σημεῖα τὰ ἐν τῇ ἥττῃ τοῦ Κράσσου καὶ Ἀντωνίου ἁλόντα ἀπέστειλε. Πάκορος δὲ ὁ Ὀρώδου τοῦ τῶν Πάρθων βασιλέως υἱὸς Δεκίδιον Σάξαν τὸν Συρίας ὕπαρχον μάχῃ νικήσας τὴν Συρίαν κατέσχεν· ἀνῃρέθη ὅμως ὕστερον ὑπὸ Οὐεντιδίου καταγωνισαμένου τοὺς Πάρθους.

[12]). *Ἀλλ' οἱ Γερμανοὶ Κάρβωνα καὶ Κάσσιον* κτλ. Γναῖος μὲν ὁ Κάρβων ἔτει 113 π. Χ. περὶ Νωρήειαν πόλιν τοῖς Κίμβροις συμμίξας οὐκ ὀλίγους ἀπέβαλε. Λεύκιος δὲ Κάσσιος ὁ Λογγῖνος ἔτει 107 π. Χ. ἔν τινι τῶν Ἑλουητίων νομῷ ὑπὸ Τιγυρίων νικηθεὶς καὶ ὑπὸ ζυγὸν διελθεῖν ἀναγκασθεὶς ἀνῃρέθη· Μάρκον δὲ Αὐρήλιον Σκαῦρον, Κασσίου ὕπαρχον, ἔτει τῷ αὐτῷ ὑπὸ Κίμβρων ζωγρηθέντα ὁ Βασιλεὺς Βοιῶριξ ἀπέκτεινεν ὀργισθείς, ὅτι αὐτοὺς τῆς ἐς Ἰταλίαν στρατείας ἐπειρᾶτο κωλῦσαι, ἀήττητον ἀποφαίνων τὴν τῶν Ῥωμαίων δύναμιν· Κόϊντος δὲ Σερουΐλιος Καιπίων ἀνθύπατος καὶ Γναῖος Μάνλιος Μάξιμος (ἔτει 105 π. Χ. ὑπατεύσας) πρὸς Τευτοσάγας πολεμοῦντες ἐγγὺς τῆς Τολώσης μεγάλως ἐσφάλησαν, διὰ θράσος τε καὶ διχόνοιαν μάχῃ ὑπ' αὐτων ἡττηθέντες.

[13]). *Καὶ αὐτὸν δὲ Καίσαρα τόν τε Οὔαρον καὶ τάγματα σὺν τούτῳ τρία ἀφείλοντο.* Τῆς μεγάλης ταύτης πληγῆς εἰς Ῥώμην ἀπαγγελθείσης, οὕτω φασὶν ἐκπλαγῆναι τὸν Αὔγουστον, ὥστ' ἐπὶ μῆνας πολλοὺς συνεχεῖς μήτε τὸν πώγωνα μήτε τὴν κόμην ἐθέλειν κείρασθαι, θαμὰ δὲ τὴν κεφαλὴν ἐναράσσειν ταῖς θύραις ἀναβοῶντα· ἀπόδος μοι τὰ τάγματα, Οὔαρε.

[14]). *Καὶ Δροῦσος καὶ Νέρων καὶ Γερμανικός.* Ὁ μὲν Δροῦσος οὗτος τοῦ Τιβερίου ἦν ἀδελφός, ἐν ἔτεσι μ. Χ. 12—19 τετράκις ἐπὶ Γερμανοὺς στρατεύσας. Νέρων δὲ Τιβέριος Κλαύδιος ἦν ὁ Δρούσου ἀδελφός, Αὐγούστου δὲ διὰ Λιουΐας υἱὸς πρόγονος, ὃς ἐν ἔτει 7—8 μ. Χ. στρατηγῶν ἐν Γερμανίᾳ τὸ πλέον συνέσει καὶ εὐβουλίᾳ, ἢ ἀνδρείᾳ καὶ ὅπλων δυνάμει κατώρθωσε. Γερμανικὸς δὲ Δρούσου μὲν ἦν υἱὸς καὶ Τιβερίου ἀδελφιδοῦς, τετράκις δ' ἐν ἔτεσι 14—17 μ. Χ. ἐς Γερμανίαν στρατεύσας καλὰς ἤρατο νίκας.

[15]). *Γαΐου τοῦ Καίσαρος,* τοῦ ἐπικληθέντος Καλιγούλα.

[16]) *Τὸ δ' ἐντεῦθεν εἰρήνη*· ἐπὶ τῶν αὐτοκρατόρων Κλαυδίου καὶ Νέρωνος.

[17]). *Ἕως ἐπιλαβόμενοι καιροῦ* κτλ. Ἐπὶ τῶν αὐτοκρατόρων Γάλβα, Ὄθωνος, Οὐϊτελλίου καὶ Οὐεσπασιανοῦ.

[18]). *Τὰ τῶν ταγμάτων χειμάδια εἷλον*. Οἱ Βαταυοὶ δηλονότι ἔτει 69 μ. Χ.

[19]). *Ἀπὸ τῶν ἔγγιστα χρόνων*· οὐ μόνον τῶν τοῦ Δομετιανοῦ ἀλλὰ καὶ τῶν τοῦ Νερούα καὶ Τραϊανοῦ καὶ Ἀδριανοῦ.

ΛΗ.'

[1]). *Τὴν γὰρ μείζω τῆς Γερμανίας νέμονται μοῖραν*. Οἱ Σουῆβοι ἢ Σόηβοι μέγιστον τῶν γερμανικῶν ἦν φύλων, τὴν μείζω καὶ ἑωθινὴν μοῖραν τῆς Γερμανίας νεμόμενον, ἢ κατὰ πλάτος μὲν γεωγραφικὸν ἀπὸ Δανουβίου εἰς τὴν Σουηβικὴν (ἴδε Κεφ. λέ. σημ. 2) θάλασσαν καὶ πέραν αὐτῆς, κατὰ δὲ μῆκος ἀπὸ Ἀλβιος ἐς Οὐϊστούλαν πρὸς ἕω διέτεινε. Μέση δὲ διαρρεῖται ἡ χώρα τῷ ποταμῷ Οὐϊάδῳ εἰς τὴν Σουηβικὴν ἐκβάλλοντι θάλασσαν καὶ τῷ Ἑρκυνίῳ διείληπται δρυμῷ. Ὁ δὲ Καῖσαρ (del. gal.) μεγάλου τῶν Σουήβων μέρους τὴν οἴκησιν παρὰ τὴν βορείαν τοῦ Μαίνου ἀκτὴν ἐν τῇ νῦν Ἀσσίᾳ τιθέμενος ἁμαρτάνει τοῦ ἀληθοῦς. Οὐδέ ποτε γὰρ ἐκεῖ Σουῆβοι ᾤκησαν. Φασὶ δ' οἱ περὶ ταῦτα δεινοὶ τὸ τῶν Σουήβων ὄνομα ἀπὸ τοῦ γερμανικοῦ ῥήματος *schweben* ἢ τοῦ *schweifen* παρῆχθαι καὶ *πλάνητας* ἢ *νομάδας* σημαίνειν, ὥσπερ τοὐναντίον τὸ τῶν Σαξόνων παρὰ τὸ *sassen* ἢ *sitzen* (ἵζειν) παρωνύμως εἰρῆσθαι καὶ *ἐγκαθεστῶτας, ἐγκατοίκους* δηλοῦν.

[2]). *Γνώρισμα δὲ τῷ φύλῳ τὸ τὴν κόμην ἀνασπᾶν καὶ ἅμματι συνδεῖν*. Οἱ Σουῆβοι τὰς τρίχας τῆς κεφαλῆς πανταχόθεν ἐπὶ τὴν κορυφὴν ἀνασπῶντες ταινίᾳ τινὶ συνέδουν, ἢ ἀλλήλαις οὕτω συνέπλεκον, ὥστε ἐς κρώβυλόν τινα ἐπὶ τῆς κορυφῆς τὴν κόμην συνάγεσθαι τῷ τῶν παλαιτάτων Ἀθηναίων ἴσως οὐκ ἀπεμφερῆ (ἴδε Θουκυδ. 1, 6.)

[3]). *Οὕτω δὲ τῶν δούλων οἱ τῶν Σουήβων ἐλεύθεροι διακρίνονται*. Ἴσως οἱ τῶν Σουήβων δοῦλοι ἐξυρῶντο τὴν κόμην ἢ οὕτως ἐκείροντο, ὥστε μὴ ἔχειν αὐτὴν ἐπὶ τὴν κορυφὴν ἀνακάμπτεσθαι καὶ συμπλέκεσθαι.

[4]). *Παρὰ δὲ τοῖς Σουήβοις μέχρι πολιᾶς ἡ αὐχμηρὰ ἀνασπᾶται κόμη καὶ πολλάκις ἐπ' αὐτῆς ψιλῆς συνδεῖται τῆς κορυφῆς*. Οὕτω μεθηρμήνευσα τὸ χωρίον, τοῖς ἑρμηνευταῖς ἐκείνοις ἑπόμενος, οἳ τὸ τοῦ κειμένου *retro*

sequuntur ἐκ τοῦ *retrorsum torquent*, ἢ *retrovertunt* παρεφθάρθαι, τὸ δὲ *solo* τὸ ψιλὸν ἐνταῦθα σημαίνειν φασί.

ΛΘ΄.

1). *Ἀρχαιοτάτους τῶν Σουήβων καὶ εὐγενεστάτους ἑαυτοὺς οἱ Σέμνωνες εἶναι φάσκουσιν.* Οἱ Σέμνωνες κατὰ Στράβωνα, ἢ Σέμνονες, μοῖρα τῶν Σουήβων ὄντες, μεταξὺ τοῦ Ἄλβιος καὶ Οὐϊάδου (Oder) ποταμοῦ, ᾤκουν· ἤτοι τὴν νῦν Μεγαλοπολῖτιν (Mecklenburg) χώραν καὶ τὴν Βρανδεβουργικήν· ἔτι δὲ μέρος τῆς Σαξονίας, τῆς Βοημίας, τῆς Μαρχίας, τῆς Λουσατίας, τῆς Σιλησίας καὶ Πολωνίας, ἔνθα τοῦ ἐθνικοῦ ὀνόματος ἴχνη ἐν τοῖς τοπικοῖς *Semlin*, *Semmeley*, *Senske*, *Senkig*, *Semten*, *Semana* (silva) περιλελεῖφθαι ἔοικεν. Ἐγένοντο δὲ Ῥωμαίοις γνωστοὶ ἐπὶ τῶν τοῦ Τιβερίου στρατειῶν καὶ τοῦ πρὸς Ἀρμίνιον πολέμου· εἶτα δ' ἐπὶ Δομετιανοῦ αὐτοκράτορος, ὅτε Μάσυος ὁ Σεμνώνων βασιλεὺς καὶ Γάννα προφῆτις αὐτῶν εἰς Ῥώμην ἦλθον· τέλος δ' ἐπ' Ἀντωνίνου τοῦ φιλοσόφου. Ἐξ ἐκείνου δ' οὐδεμία τῶν Σεμνώνων μνεία ἐν τῇ ἱστορίᾳ γίγνεται.

2). *Ἐντεῦθεν* (inde)· ἀμφίβολον· ἆρα ἐκ τοῦ ἄλσους; ἢ ἐκ τῆς γῆς, ἐφ' ἧς ἐκκυλινδοῦνται;

3). *Ἑκατὸν γὰρ οἰκοῦσι δήμους.* Ἐπειδὴ ὁ μὲν Καῖσαρ (bel gal. 1, 37., καὶ 4, 1.) τοὺς Σουήβους, ὁ δὲ Τάκιτος ἐνταῦθα τοὺς Σέμνωνας ἑκατὸν δήμους οἰκῆσαί φησιν, ἀνάγκη ἢ τὸν ἕτερον αὐτῶν ἁμαρτάνειν, ἢ ἀμφοτέρους ἐξ ἀβεβαίου φήμης μᾶλλον, ἢ ἐκ μαρτυρίας ἀξιοπίστου τὰ περὶ αὐτῶν ἱστορεῖν.

Μ΄.

1). *Τοὐναντίον τοῖς Λαγγοβάρδοις.* Οἱ Λαγγόβαρδοι ἢ Λογγίβαρδοι ἢ Λογγόβαρδοι πολλάκις τὰς οἰκήσεις μετέβαλον· καί περ δ' ὀλίγοι ὄντες μέγα κλέος καὶ κράτος ἐν ὅπλοις ἐκτήσαντο, ἐῤῥωμένως μαχόμενοι. Φασὶ δ' αὐτοὺς παρὰ τὸ Γερμανικὸν *lang* (μακρὸν) καὶ *buren* (βοᾷν), *barten* (μάχεσθαι), ἢ *bart* (πώγων), ἢ *bard* (λόγχη) οὕτω κεκλῆσθαι, εὐρυβόας δηλονότι καθ' Ἑλλάδα φωνήν, ἢ μαχητάς, ἢ μακροπώγωνας, ἢ δολιχεγχεῖς· οἱ δὲ πιθανώτερον ἐκ τῆς οἰκήσεως αὐτῶν οὕτως ὠνομάσθαι φασί, πεδιάδος οὔσης μακρᾶς καὶ εὐφόρου, παρακειμένης τῇ ἀριστερᾷ τοῦ Ἄλβιος ὄχθῃ καὶ ἀπὸ τῆς Ἀμμονίας (Hamburg) εἰς τὸ νῦν Σαλζουέδελον διηκούσης· *Bœrde* γὰρ γερμανικὴ ἐστι φωνὴ νομὸν ἢ χώραν σημαίνουσα. Ἐνταῦθα οὖν οἰκοῦντες ἐγνώσθησαν τὸ πρῶτον ἐπὶ τῆς Τιβερίου στρατείας· εἶτα δὲ μνημονεύονται μετὰ τῶν Σεμνώνων ἐν

τῇ συμμαχίᾳ τῶν Μαρκομάννων, ἀφ' ὧν ἐλευθερίας ἔρωτι ἐς τοὺς Χηρούσκους ἀπέστησαν. Οὐ πολλῷ δ' ὕστερον μάχῃ τῶν Χηρούσκων κρατήσαντες ἀπὸ Ἄλβιος πρὸς ἑσπέραν μέχρι Ῥήνου τὴν ἑαυτῶν ἐξέτειναν ἀρχήν. Κατὰ δὲ τὴν πέμπτην μ. Χ. ἑκατονταετηρίδα μέρος τῆς νῦν Οὐγγαρίας παρὰ τὴν βορείαν τοῦ Δανουβίου ὄχθην κατέλαβον τοὺς Ἑρούλους νικήσαντες. Κατὰ δὲ τὴν ἕκτην μ. Χ. ἑκατονταετηρίδα ὑφ' ἡγεμόνι τῷ Αὐδοΐνῳ τὸ δεύτερον τὸν Δανούβιον διαβάντες τὴν Παννονίαν κατέσχον. Εἶτα δὲ κληθέντες ὑπὸ Ναρσῆ, ἡγουμένου αὐτῶν Ἀλβοΐνου, ὑπερβάντες τὰς Ἄλπεις καὶ τὴν ἄνω Ἰταλίαν ὑφ' ἑαυτοῖς ποιησάμενοι τὸ Λαγγοβαρδικὸν ἱδρύσαντο βασίλειον, ὃ δυσὶν ὕστερον ἑκατονταετηρίσιν (ἔτει 774 μ. Χ.) Κάρολος ὁ μέγας κατέλυσε.

2). *Πο῾ρ῾ρωτέρω δὲ Ῥεύδιγγοι καὶ Ἀουΐωνες καὶ Ἄγγιλοι καὶ Οὐάρνοι καὶ Εὐδόσεις καὶ Σουάρδονες καὶ Νουΐθονες.* Οὐδὲν περὶ τῶν οἰκήσεων τῶν ἐθναρίων τούτων ἐκ τῆς ἱστορίας γιγνώσκομεν· κατὰ δὲ τὴν πιθανωτέραν τῶν ἀρχαιολογούντων δόξαν λεκτέον περὶ αὐτῶν τάδε.

Οἱ μὲν Ῥεύδιγνοι ἢ Ῥεύδιγγοι πρὸς ἄρκτον τῶν Λαγγοβάρδων ᾤκουν ἐπὶ τῆς δεξιᾶς τοῦ Ἄλβιος ὄχθης· ἐκ δὲ τοῦ ἐθνικοῦ αὐτῶν ὀνόματος, ὃ οἱ ἀρχαιολογοῦντες ἐκ τοῦ γερμανικοῦ *Reid κάλαμον* σημαίνοντος, παράγουσιν, εἰκάζεται ὅτι τελματώδη τινὰ χώραν παρὰ τὸν ποταμὸν ἐνέμοντο ἐπὶ πολὺ τοῦ πεδίου ἀναχεόμενον.

Οἱ δὲ Ἀουΐονες, οὕς τινες ἀπὸ τοῦ Γερμανικοῦ *Aue* τοῦ *λειμῶνα* σημαίνοντος προσαγορευθῆναι ὑπολαμβάνουσι, παρὰ τὸν ποταμὸν Αὖον (Awe) ἐν Ὀλσατίᾳ, κατ' ἄλλους δὲ περὶ τὸν Αὔϊον καὶ Ἰλμεναύϊον ἐν τῇ Λυνεβουργικῇ, ἢ παρὰ τὸν Ἄλβιν ἐν τῇ Λαυεμβουργικῇ, καὶ Μεγαλοπολίτιδι (Mecklenburg) χώρᾳ τὴν οἴκησιν εἶχον.

Οἱ δὲ Ἄγγιλοι ἢ Ἀγγειλοί, οὕς τινες παρὰ τὸ *Aeng* (παράκτιον πεδίον) οὕτω κληθῆναι νομίζουσι, πρῶτον ἐπὶ τῆς δεξιᾶς τοῦ Ἄλβιος ὄχθης ἐν τῇ Μεγαλοπολίτιδι, εἶτα δ' ἐπὶ τῆς ἀριστερᾶς ἐν τῇ Παρθενοπολίτιδι (Magdeburg) χώρᾳ οἰκῆσαι δοκοῦσι, τὰς ὑπὸ τῶν Λαγγοβάρδων καταλειφθείσας οἰκήσεις καταλαβόντες. Εἶτα δ' οἱ μὲν εἰς Θυριγγίαν, οἱ δ' εἰς τὴν Κιμβρικὴν Χερσόνησον καὶ τὴν νῦν Σλεσβικίαν (ἔνθα καὶ νῦν κώμη *Angeln* σώζεται τὸ ἐθνικὸν μηνύουσα ὄνομα) μετανέστησαν. Ὕστερον δὲ (ἔτει 449 μ. Χ.) σὺν τοῖς Σάξοσιν, ἡγουμένων Ἐγγίστου καὶ Ὅρσα ὑπὸ τοῦ βασιλέως Οὐορτιγερίου παρακληθέντες εἰς Βρεττανίαν διέβησαν.

Οἱ δὲ Οὐάρνοι (ἴσως οἱ αὐτοὶ τοῖς παρὰ Πτολεμαίῳ Φαροδει-

νοῖς) τὰ περὶ τὸν Οὐαρνούϊον (Warnow) ποταμὸν ἐν τῇ Μεγαλοπολίτιδι χώρᾳ κατεῖχον.

Οἱ δὲ Εὐδόσεις ᾤκουν ἐν Ὀλσατίᾳ, ἔνθα καὶ πολίχνιον Εὔτινον ἢ Ὄτινον (Eutin) καὶ ποτάμια Εὔδωρος (Eudora) καὶ Εὔδιγγος (Euding) ἴχνη τοῦ ἐθνικοῦ ὀνόματος μέχρι τοῦ νῦν διασώζουσιν.

Οἱ δὲ Σουάρδονες, ὧν τινες τοὔνομα ἀπὸ τοῦ *Schwert ξίφος* δηλοῦντος παράγουσι, παρὰ τὴν Λυβέκκαν οἰκῆσαι λέγονται, ἔνθα νῦν Σουαρδοβία (Schwartau) καὶ ποταμὸς Σουάρδα (Schwarta) ἴχνη τοῦ ἐθνικοῦ ὀνόματος φέρουσιν.

Οἱ δὲ Νουΐθονες ἢ Νυΐθονες, μέρος τῆς Μεγαλοπολίτιδος χώρας ἢ τῆς Σλεσβικίας ἐνέμοντο, παρὰ τὸ *natjan* (ποτίζειν) ἢ *nutan* (ἁλιεύειν) ὀνομασθέντες, ὥς τινες οἴονται.

3). *Πλὴν ὅτι Ἕρθαν* (Hertham). Ἄλλοι γράφουσι *Nerthum*, Νέρθον· ἔστι δὲ τοὔνομα *Hertha* τὸ αὐτὸ τῷ νῦν παρὰ Γερμανοῖς *Erde* καὶ παρ' Ἕλλησιν Ἔρα, ὃ γῆν δηλοῖ, ἢ τῷ *Heerd*, ὅπερ Ἑστίαν σημαίνει. Ὅτι δὲ ἡ γῆ καὶ παρ' Ἕλλησιν ἐλατρεύετο, Δημήτηρ (Δᾶ μάτηρ) καλουμένη καὶ Κυβέλη καὶ Ῥέα, δῆλον.

4). *Ἔστι γοῦν ἐν νήσῳ τινὶ τοῦ Ὠκεανοῦ* κτλ. Ὠκεανὸν καὶ ἐνταῦθα τὴν Σουηβικὴν καὶ Σαρματικήν, ἤτοι τὴν νῦν Βαλτικὴν νοητέον θάλασσαν. Περὶ δὲ τῆς νήσου, ἐν ᾗ τὸ τῆς θεᾶς Ἕρθας ἢ Νέρθου ἄλσος κατὰ τὸν Τάκιτον ἔκειτο, οὐχ ὁμολογοῦσιν οἱ ἑρμηνευταί. Πιθανώτεροι μέντοι δοκοῦσιν οἱ τὴν Ἑλγολανδίαν, ἢ τὴν Ῥουγίαν, μάλιστα δὲ οἱ τὴν Ἀλσέναν ὑπολαμβάνοντες τὴν ἱερὰν εἶναι νῆσον. Εἰκὸς γὰρ τὸ κοινὸν ἐκεῖνο τῶν εἰρημένων Σουηβικῶν ἐθνῶν ἱερὸν μὴ πόῤῥω τῆς χώρας αὐτῶν ἀπέχειν. Ἐγγυτάτω δὲ τῶν ἄλλων νήσων ἡ Ἀλσένα κεῖται.

5). *Ἐν τῷ ἀδύτῳ.* Ἄδυτον ἐνταῦθα νοητέον τὸν τοῦ ἄλσους μυχόν, ἢ τοῦ ὀχήματος τὸ κεκαλυμμένον καὶ ἀθέατον.

6). *Καὶ αὐτὴ ἡ θεά.* Οὐ τὸ ἴνδαλμα τῆς θεᾶς. Εἰ γὰρ τοῦτο, οὐκ ἂν προσετίθετο τό· *εἴτις πιστεύειν ἐθέλοι*, γνωστοῦ πᾶσιν ὄντος, ὅτι τὰ ἰνδάλματα ἢ ἀγάλματα τῶν θεῶν ἐκαθαίροντο.

7). *Οὓς παραχρῆμα ἡ αὐτὴ καταπίνει λίμνη.* Οἱ τοῖς ἱερεῦσιν εἰς τὴν κάθαρσιν τῆς θεᾶς διακονήσαντες δοῦλοι παραυτίκα εἰς τὴν λίμνην εἰσωθούμενοι ἀπεπνίγοντο, ἵνα μὴ ἔκπυστα ὑπ' αὐτῶν τὰ μυστήρια γένοιτο.

ΜΑ'.

1). *Ἡ τῶν Ἑρμουνδούρων πόλις κεῖται.* Ἑρμουνδοῦροι ἢ Ἑρμόνδοροι, Σουήβων καὶ οὗτοι μοῖρα, πρὸς ἄρκτον μὲν

τῶν Σουδήτων ὀρῶν, πρὸς ἕω δὲ τῶν Χάττων, πρὸς μέσην δ' ἄνεμον τῆς Δεκουμάτιδος χώρας οἰκοῦντες, τὰ νοτιώτατα τῆς Θυριγγίας, τὴν Φραγκονίαν καὶ τὰ πρὸς λίβα κεκλιμένα μέρη τοῦ νῦν σαξωνικοῦ βασιλείου ἐνέμοντο. Ἐτυμολογεῖται δὲ τοὔνομα ἐκ τοῦ *Hermun* καὶ *Dur* ἢ *Thur* (ὕψος, ὄρος), σημαῖνον *Γερμανοὺς ὀρεινούς*.

²). *Πιστὴ Ῥωμαίοις*. Πρὸ τοῦ 152 ἔτους, ὅτε πάντα τὰ ἔθνη ἀπὸ τῆς Ἰλλυρίας ἕως Γαλατίας κατὰ τῶν Ῥωμαίων συνώμοσαν.

³). *Ἐν τῇ λαμπροτάτῃ τῆς Ῥαιτίας ἀποικίᾳ*. Πιθανώτερον τῇ Αὐγούστῃ Οὐϊνδελικῶν τῇ πρότερον καλουμένῃ Δαμασίᾳ τῶν Λικατίων. Εἰσὶ δ' οἳ τὴν Οὐϊελδιδέναν ἐν τῷ Τυρώλῳ ἢ τὸ Τρίδεντον σημαίνειν ἐνταῦθα τὸν Τάκιτον οἴονται· τὴν γὰρ Αὐγούσταν Οὐϊνδελικῶν μικρὰν ἔτι ἐν τῷ τότε εἶναι, ὥστε μὴ ἂν ὀρθῶς ὑπὸ τοῦ Τακίτου *λαμπροτάτην ἀποικίαν* Ῥωμαίων κληθῆναι. Ἐν ἔτει γὰρ 13 μ. Χ. ἡ Ῥαιτία καὶ Οὐϊνδελικία ὑπὸ Τιβερίου καὶ Δρούσου τῶν τοῦ Αὐγούστου διὰ Λιουΐας προγόνων χειρωθεῖσαι Ῥωμαϊκὴ ἐπαρχία ἐγένοντο.

⁴). *Ὅπου τύχοι καὶ οὐδενὸς φύλακος παραπέμποντος*. Οἱ Ῥωμαῖοι κατὰ τὸν Λίψιον οὐδενὶ τῶν ἀλλοδαπῶν εἰς τὴν ἑαυτῶν ἀρχὴν εἰσιέναι ἐπέτρεπον, εἰμὴ ὑπὸ φύλακι καὶ κριτῇ τῶν ἑκάστῳ πρακτέων ἢ μή. Κατὰ δὲ τὸν Δίωνα (72, 2) οὐκ ἐξῆν τοῖς ἀλλοδαποῖς οὔτε πολλάκις, οὔτε πολλαχοῦ τῆς τῶν Ῥωμαίων χώρας ἀθροίζεσθαι, ἀλλ' ἅπαξ ἐν ἑκάστῳ μηνὶ καὶ εἰς τόπον ἕνα, ἑκατοντάρχου ῥωμαίου ἀεὶ παρόντος.

⁵). *Ἐν τῇ χώρᾳ τῶν Ἑρμουνδούρων τὰς πηγὰς ἔχει ὁ Ἄλβις*. Ἀλλ' ὁ Δίων, ἑκατὸν σχεδὸν ἔτεσιν ὕστερον τοῦ Τακίτου τὰ ῥωμαϊκὰ ἱστορῶν, ἐκ τῶν Οὐανδαλικῶν ὀρῶν ῥεῖν τὸν Ἄλβιν φησίν (85, 5). Εἰκάζεται οὖν, ὅτι μοῖρά τις Ἑρμουνδούρων ὑπὸ Μαροβούδῳ στρατευσαμένη περὶ τὰς πηγὰς τοῦ Ἄλβιος ἐν τοῖς Οὐανδαλικοῖς ὄρεσιν, ἤτοι τῷ νῦν καλουμένῳ Γιγαντείῳ ὄρει (Riesengebirg), ᾤκησε καὶ μέχρι Τακίτου τὴν χώραν ἐκείνην κατεῖχεν· ἢ ὅτι τὸ τῶν Ἑρμουνδούρων βασίλειον ὑπὸ Οὐϊβιλίου αὐξηθὲν καὶ τὰ περὶ τὰς πηγὰς τοῦ Ἄλβιος μέχρι τινὸς περιεῖχε.

ΜΒ'.

¹). *Ἑξῆς τῶν Ἑρμουνδούρων οἱ Ναρίσκοι οἰκοῦσιν, εἶτα Μαρκομάννοι καὶ Κούαδοι*. Καὶ ταῦτα τὰ ἔθνη τοῦ τῶν Σουήβων ἦσαν φύλου. Καὶ οἱ μὲν Ναρίσκοι, οἱ αὐτοὶ τοῖς παρὰ Πτολεμαίῳ (2, 11.) Οὐαριστοῖς καὶ παρὰ Δίωνι (71, 21) Ναρισταῖς ὄντες, τὰ δυσμικώτερα τῶν Σουδήτων ὀρῶν (τὸ

νῦν καλούμενον Fichtelgebirg), καὶ μέρος τοῦ ἄνω Παλατινάτου ᾤκουν, πρὸς μὲν ἑσπέραν τοῖς Ἑρμουνδούροις, πρὸς δ' ἕω τοῖς Μαρκομάννοις συντερμονοῦντες. Μοῖρα δέ τις αὐτῶν ἐπὶ Μάρκου Αὐρηλίου πρὸς νότον χωρήσασα ἐς τὴν τῶν Ῥωμαίων μετανέστη ἀρχήν.

Οἱ δὲ Μαρκομάννοι, τῶν Σουήβων ἰσχυρότατοι ὄντες, πολλάκις μὲν τὰς οἰκήσεις μετέβαλον, πολλάκις δὲ πρὸς πολλοὺς ἐπολέμησαν, Κουάδοις τε καὶ ἄλλοις τισὶ τῶν γερμανικῶν ἐθνῶν συμμαχοῦντες. Καὶ πρῶτον μὲν παρὰ τὸν Ῥῆνον καὶ Μαῖνον καὶ Δανούβιον οἰκοῦντες ὑπὸ βασιλεῖ Ἀριοβίστῳ πρὸς Ἑλουητίους καὶ Καίσαρα ἐπολέμησαν· εἶτα δὲ παρὰ Μαῖνον καὶ Νίκερον πρὸς Ἑρμουνδούρους· εἶτα παρὰ τὸν ἐν Φραγκονίᾳ Σάλαν πρὸς Δροῦσον· εἶτα πάλιν ὑπὸ Μαροβούδῳ παρὰ τὴν ἀρκτῴαν τοῦ Δανουβίου ὄχθην καὶ ἐν Βουϊαιμίᾳ πρὸς Βοΐους (οὓς ἐξελάσαντες τὴν χώραν κατέσχον) καὶ Ἑρμουνδούρους καὶ Τιβέριον καὶ Χηρούσκους καὶ Σέμνωνας καὶ Λαγγοβάρδους καὶ Δομετιανὸν καὶ Τραϊανὸν καὶ Ἀδριανόν. Ὕστερον δ' ἐν τῷ μαρκομαννικῷ καλουμένῳ πολέμῳ πρὸς Μάρκον Αὐρήλιον καὶ Ἡλιογάβαλον καὶ Αὐρηλιανὸν καὶ Ὀνώριον καρτερῶς ἠγωνίσαντο. Ἀπὸ δὲ τῆς τελευτῆς τοῦ Ἀττίλα, ᾧ συνεστρατεύοντο, οὐκέτι μνημονεύονται ἐν τῇ ἱστορίᾳ. Δοκεῖ δὲ τοὔνομα αὐτῶν ἐκ τῶν γερμανικῶν λέξεων *Mark* καὶ *Mann* συνεστάναι, τῆς μὲν *ὅριον* τῆς δὲ *ἄνδρα* σημαινούσης, καὶ *ἄνδρας ἐφορίους* δηλοῦν.

Οἱ δὲ Κούαδοι, τῶν Μαρκομάννων σύμμαχοι, ὀρεινά τινα τῆς νῦν Βοημίας καὶ Μοραυΐας μέρη ἐνέμοντο. Μοῖρα δέ τις αὐτῶν, συνταξαμένη τῷ Μαροβούδῳ τῆς οἰκείας ἐξελαθέντι, βασιλέα ἴδιον εἵλετο καὶ φιλίαν πρὸς Ῥωμαίους συνέθετο. Ὅτε δ' οὗτοι ἐπὶ Μάρκου Αὐρηλίου (ἔτει 167 μ. Χ.) τὸν πρὸς Μαρκομάνους μακρὸν ἐξήνεγκαν πόλεμον, τούτοις πάλιν οἱ Κούαδοι συμμαχήσαντες οὐ μικρὸν τοὺς Ῥωμαίους ἔβλαψαν. Ἔπειτα δ' ἐποιήσατο πρὸς αὐτοὺς ὁ Αὐτοκράτωρ εἰρήνην· οὐ μέντοι δαμάσαι τὸ φιλελεύθερον καὶ φιλοπόλεμον αὐτῶν ἐδυνήθη, οἳ πολλάκις καὶ ὕστερον τὰς μεθορίους τῶν Ῥωμαίων ἐπαρχίας κατέλαβον.

2). *Οἷον μέτωπον* κτλ. Ἡ τῶν Μαρκομάνων καὶ Κουάδων χώρα οἷον μέτωπον τῆς Γερμανίας πρὸς Ῥωμαίους ἐστί.

3). *Ἐφ' ὅσον ὁ Δανούβιος διατείνει.* Πολλαχῶς καὶ ἄλλως γράφεται τὸ χωρίον· τῆς ποικίλης ὅμως γραφῆς ὁ νοῦς παραπλήσιος.

4). *Τὸ κλεινὸν τοῦ Μαροβούδου καὶ Τούδρου γένος.* Τὸ μὲν Μαροβούδου γένος τῶν Μαρκομάννων, τὸ δὲ Τούδρου ἢ Τρούδου τῶν Κουάδων ἐβασίλευε.

ΜΓ'.

1). *Ὄπισθεν δὲ Μάρσιγνοι, Γοθῖνοι, Ὄσοι, Βοῦροι κτλ.* Τὰ ἔθνη ταῦτα ἐπὶ τοῖς ἑωθινοῖς τῆς Γερμανίας ὁρίοις παρὰ τὸν ἄνω Οὐΐαδον καὶ Οὐϊστούλαν ἐν τοῖς Γιγαντείοις καὶ ἄλλοις τῆς Σιλησίας καὶ Βοημίας ὄρεσιν ᾤκουν, οἱ μὲν Μάρσιγνοι καὶ Γοθῖνοι τὰ τῶν Μαρκομάννων, οἱ δὲ Ὄσοι καὶ Βοῦροι τὰ τῶν Κουάδων νῶτα πρὸς ἕω κατέχοντες. Καὶ οἱ μὲν Μάρσιγνοι, Οὐανδηλικόν, ὡς ἔοικε, φῦλον, ἐπὶ τῆς προσαρκτίου τοῦ Γιγαντείου ὄρους κλιτύος πρὸς ἕω τῶν πηγῶν τοῦ ποταμοῦ Σπρέα τὴν οἴκησιν εἶχον. Οἱ δὲ Ὄσοι, ἔθνος Παννονικόν, καὶ οἱ Γοθῖνοι, κελτοὶ τὸ γένος, ὑπὸ τὴν ἐσχατιὰν τοῦ Ἑρκυνίου δρυμοῦ, ἔνθα οὗτος τῷ Καρπάτῃ συνάπτει, ὀρεινὴν χώραν ἐνέμοντο. Οἱ δὲ Βοῦροι περὶ τὰς τοῦ Οὐϊάδου καὶ Οὐϊστούλα πηγὰς κατῴκουν, ἴσως μεταξὺ τῆς Βρέγης, τῆς Κρακοβίας (Καῤῥοδούνου) καὶ τοῦ Ῥατιβόρου.

2). *Τῶν δὲ φόρων τοὺς μὲν Σαρμάται, τοὺς δὲ Κούαδοι αὐτοῖς ἅτε ἀλλογενέσι τάττουσιν.* Οἱ μὲν Σαρμάται δηλονότι τοῖς Ὄσοις, οἱ δὲ Κούαδοι τοῖς Γοθίνοις ἐπετίθεσαν φόρους.

3). *Οἱ δὲ Γοθῖνοι ἐπὶ μείζονι αἰσχύνῃ καὶ σίδηρον ἐξορύσσουσιν·* ἴδε κεφ. 6. σημ. 1.

4). *Διαλαμβάνει γὰρ καὶ διατέμνει τὴν Σουηβίαν ὄρη συνεχῆ.* Πολλὰ τὰ τὴν Σουηβίαν διαλαμβάνοντα ὄρη, ἃ ἐν τῇ σημειώσει 1 τοῦ κεφ. έ. περιέχεται. Ἐνταῦθα δὲ νοείσθω τὰ Οὐανδηλικὰ ἢ Γιγάντεια, ἡ Λοῦνα καὶ ὁ Καρπάτης.

5). *Οἱ Λύγιοι.* Οὗτοι καὶ Λούϊοι παρὰ Στράβωνι καὶ Λοῦγοι παρὰ Πτολεμαίῳ καὶ ἔτι Λογίωνες καλούμενοι τοῦ Σουηβικοῦ ἦσαν φύλου, καὶ τὰ πεδινὰ μεταξὺ τοῦ ἄνω Οὐϊάδου καὶ Οὐϊστούλα ἐνέμοντο, πρὸς μὲν Βοῤῥᾶν τοῖς Βουργουνδίωσι, πρὸς δ' ἀπηλιώτην τοῖς Γόθωσι, πρὸς δὲ μεσημβρίαν τοῖς Βαστάρναις καὶ Ὄσοις, πρὸς δ' ἑσπέραν τοῖς Μαρσίγνοις καὶ Σιλίγγοις καὶ Σέμνωσιν ὁμοροῦντες. Μετέσχον δὲ τῆς ὑπὸ Μαροβούδῳ μεγάλης τῶν ἐθνῶν συμμαχίας καὶ ἐπὶ Δομετιανοῦ, ἔτει 84 μ. Χ., ἰσχυρῶς τοὺς Κουάδους ἐπίεσαν πολεμοῦντες. Ἐξ ἐκείνου δ' οὐδεμία αὐτῶν μνεία γίγνεται ἐν τῇ Ἱστορίᾳ.

6). *Ἀρκέσει τούτων τὰς κρατίστας κατονομάσαι. Ἀρίους, Ἑλβεκώνας, Μανίμους, Ἐλυσίους, Ναρβάλους.* Ἑκάστου τῶν ἐθνῶν τούτων τὴν οἴκησιν ἐν τῇ εἰρημένῃ μεταξὺ τοῦ Οὐϊάδου καὶ Οὐϊστούλα χώρᾳ ὁρίσαι χαλεπόν.

7). *Τὸ δ' ὄνομα Ἄλκοι καλοῦνται.* Τοὔνομα τοῦτο

ἴσως ἀπὸ τοῦ σλαυϊκοῦ *Holczy* ἐπὶ τὸ ῥωμαϊκώτερον ἐσχημάτισται, ταὐτοσήμου ὄντος τῷ παρ' Ἕλλησι *κοῦροι*· τοὺς Διοσκούρους οὖν δηλοῖ.

8). *Τῶν ἀνωτέρω κατειλεγμένων λαῶν.* Τῶν Μαρσίγνων δηλονότι, Γοθίνων, Ὄσων καὶ Βούρωνι

9). *Τὸ σῶμα χρωννύουσι.* Διὰ τοῦτό τινες τοὺς Ἀρίους οὐ Γερμανοὺς εἶναί φασιν· οἱ δὲ Γερμανοὺς μὲν αὐτοὺς ὑπολαμβάνουσιν, ἀλλὰ τοῖς Σαρμάταις ὁμόρους καὶ διὰ τοῦτο τῶν Σαρματικῶν ἐθῶν κοινωνήσαντας.

10). *Ἐπέκεινα τῶν Λυγίων οἱ Γόθωνες βασιλεύονται.* Οἱ Γόθωνες ἢ Γύθωνες, οἱ ὕστερον Γόττοι καὶ Γότθοι κληθέντες, συγγενεῖς ἴσως τοῖς Γέταις ἦσαν καὶ περὶ τὰς ἐκβολὰς τοῦ Οὐϊστούλα τὸ πάλαι ᾤκουν· ἄδηλον δέ, πότε καὶ τίνος ἕνεκεν ἐκεῖθεν ἀπαναστάντες πρὸς νότον ἐχώρησαν. Κατὰ γὰρ τὴν γ'. μ. Χ. ἑκατονταετηρίδα τὴν παραλίαν τοῦ Εὐξείνου χώραν περὶ τὸν Βυρυσθένη καὶ Δάναστριν κατέχοντες φαίνονται, ὅθεν ὁρμώμενοι πρὸς Ῥωμαίους ἐπολέμουν. Τοῦ δὲ χρόνου προϊόντος, τήν τε Δακίαν ὑφ' ἑαυτοῖς ἐποιήσαντο καὶ τὸν Ἴστρον διαπεραιωσάμενοι ὥρμησαν πρὸς τὰ νοτιώτερα, καὶ διαποντίους στρατείας ἀνείλοντο, ὧν ἡ κατὰ τὸ 269 ἔτος ἐξετάθη καὶ μέχρι Κύπρου. Καίπερ δ' ὑπὸ Κλαυδίου τοῦ Αὐτοκράτορος ἐν Μοισίᾳ μάχῃ κρατερᾷ ἡττηθέντες καὶ πλείστους ἀποβαλόντες, παρέτειναν ὅμως ἐπὶ χρόνον ἔτι τινὰ τὴν τῶν Ῥωμαίων λυμαινόμενοι μεθορίαν. Εἶτα δ' ἐπὶ Κωνσταντίνου τοῦ Μεγάλου ὤφθησαν αὖθις τὴν τῶν Ῥωμαίων ἐπιτρέχοντες χώραν· ἀλλ' ἠναγκάσθησαν (ἔτει 331) πρὸς αὐτοὺς εἰρήνην συνθέσθαι. Ὕστερον δὲ (ἔτει 375 μ. Χ.) οἱ μὲν ἐπὶ Πόντῳ Γότθοι (οἳ Ὀστρογότθοι ἤτοι ἑῷοι Γότθοι ἐκλήθησαν) ὑπ' Ἀττίλα ἐγένοντο· οἱ δὲ τούτων τῷ Βυρυσθένει διωρισμένοι καὶ ἐν Δακίᾳ οἰκοῦντες (οἳ Οὐϊσίγοτθοι ἤτοι ἑσπέριοι Γότθοι προσηγορεύθησαν), τὸν Ἴστρον διαβῆναι ἀναγκασθέντες, ᾤκησαν ἐν Μοισίᾳ καὶ Θρᾴκῃ, ἔνθα αὐτοῖς ὁ Αὐτοκράτωρ Οὐάλης χώραν παρέσχεν εἰς οἴκησιν. Ἀλλ' οὐ πολλῷ ὕστερον νεοχμώσαντες καὶ ὅπλα τοῖς Ῥωμαίοις ἀντάραντες τὰς ἐγγὺς χώρας ἐδῄουν καὶ τὸν αὐτοκράτορα ἀπέκτειναν ἀντιστρατευσάμενον. Ἐντεῦθεν τὰς ἀνατολικὰς χώρας τῆς τῶν Ῥωμαίων ἀρχῆς πολλάκις οἱ Γότθοι κατέδραμον· ὑπ' Ἀλαρίχῳ δὲ καὶ εἰς Ἰταλίαν εἰσέβαλον (ἔτει 470 μ. Χ.) καὶ τὴν Ῥώμην εἷλον (ἔτει 410 μ. Χ.) καὶ τῆς Γαλλίας καὶ Ἱσπανίας πολλὰ κατέσχον, καὶ τοὔνομα αὐτῶν ἀπὸ τῶν ἑωθινῶν μέχρι τῶν δυσμικωτάτων τῆς Εὐρώπης φοβερὸν κατέστη τοῖς ἔθνεσιν.

11). *Εἶτα δ' ἐπ' αὐτῷ τῷ Ὠκεανῷ οἱ Ῥύγοι οἰκοῦσι*

καὶ οἱ Λεμόβιοι. Ὠκεανὸς ἐνταῦθα ἡ Σουηβικὴ (ἴδε κ. λέ. σημ. 2) καλεῖται θάλασσα. Καὶ οἱ μὲν Ῥόγοι, ἢ Ῥούγιοι, ἢ Ῥουτίκλειοι κατὰ Πτολεμαῖον, ὧν τὸ ἐθνικὸν ὄνομα ἡ Ῥουγία νῆσος καὶ ἡ Ῥουγία Ὕλη (Ruegenwald) διασώζουσι, μεταξὺ τῶν ποταμῶν Οὐϊάδου καὶ Οὐϊστούλα τὴν οἴκησιν εἶχον· τούτων οἱ ἡγεμόνες, ὡς καὶ οἱ τῶν Τουρκιλίγγων καὶ Ἑρούλων, Ἀττίλᾳ τῷ τῶν Οὔννων βασιλεῖ συνεμάχησαν, οὗ τελευτήσαντος, τῆς νῦν Αὐστρίας καὶ Μοραυΐας καὶ Οὐγγαρίας μέρος κατέσχον. Οἱ δὲ Λεμόβιοι πρὸς ἕω τῶν Ῥόγων ἐν τῇ νῦν Πομερανίᾳ κατῴκουν.

ΜΔʹ.

[1]). *Προσωτέρω δὲ τῶν Συϊόνων αἱ πόλεις* (civitates). Προϊὼν ὁ Τάκιτος εἰς τὴν ἀρκτῴαν Γερμανίαν τὰ ἤθη μᾶλλον καὶ ἔθιμα τῶν λαῶν ἢ τὰς οἰκήσεις καὶ χώρας σκοπεῖ, τῇ Ἱστορίᾳ μᾶλλον ἢ τῇ Γεωγραφίᾳ προσέχων. Διὸ οὔτε τοῦ Οὐϊστούλα, οὔτε τῆς Κιμβρικῆς Χερσονήσου, οὔτε τοῦ Κοδανοῦ κόλπου, οὔτε μὴν τῆς Σκανδίας μνείαν ποιεῖται. Ἔοικε δ' ὁ Ῥωμαῖος τὰ ἐκεῖ οὐκ ἀκριβῶς παρ' ἐμπόρων πυθέσθαι. Εἰσὶ δ' οἱ Συΐονες τῶν νῦν Σουήκων ἢ Σουηδῶν πρόγονοι, ὧν τοὔνομα ἀπὸ τοῦ γερμανικοῦ *Sue-See* παρῆχθαί τισι δοκεῖ καὶ *θαλασσίους* σημαίνειν. Καὶ τούτους οὖν τοῖς Σουήβοις συγκαταλέγει ὁ συγγραφεύς. Ἴδε τοῦ μέ. κεφαλαίου τὸ τέλος.

[2]). *Ἐν αὐτῷ κείμεναι τῷ Ὠκεανῷ.* Ἐν τῇ Γερμανικῇ δηλονότι καὶ τῇ Σουηβικῇ θαλάσσῃ. Οἱ γὰρ ἀρχαῖοι τὰ νοτιώτερα τῆς Σκανδίας μόνα καὶ ταῦτα ἐκ φήμης γιγνώσκοντες, νῆσον αὐτὴν εἶναι ᾤοντο τῷ ὑπαρκτίῳ περικλυζομένην Ὠκεανῷ.

[3]). *Οὐδεμίαν τοῖς ἀρχομένοις τοῦ ὑπακούειν παρέχων αἵρεσιν.* Οὕτω μεθηρμήνευταί μοι τὸ κείμενον *non precario jure parendi,* τῷ νῷ μᾶλλον ἢ τῇ λέξει προσέχοντι. Ἡ δὲ φράσις ὑποσόλοικός πως ἢ ἀήθης ἐστὶ καὶ ἀνώμαλος. Ἔδει γὰρ ὁμαλώτερον λέγειν· *non precario jure imperandi,* ἢ *exigendi ut sibi pareatur.*

[4]). *Δῆλον δ' αὖ, ὅτι οὔτ' εὐγενῆ, οὔτ' ἐλεύθερον, οὔτ' ἀπελευθερικὸν τοῖς ὅπλοις ἐπιστῆσαι συμφέρει τοῖς βασιλεύουσι.* Διατί; Διότι ὁ δοῦλος τῷ ἑαυτοῦ κυρίῳ μόνῳ προσέχει, παρ' οὗ τήν τε ἐλευθερίαν καὶ ἀγαθὰ ἄλλα τῆς ἑαυτοῦ πίστεως ἀμοιβὴν ἀπεκδέχεται· οὐδ' ἂν ῥαδίως αὐτῷ τις ἄλλος πιστεύσειε, δεδιὼς τὴν καταγγελίαν· οὐδὲ φόβος μὴ νεωτερίσῃ ποτὲ ὁ τοιοῦτος ἢ στάσιν παρασκευάσῃ, οἷον ἂν δράσειεν ὁ εὐγενής, ἢ ὁ ἐλεύθερος ἢ ἀπελευθερικὸς τῶν τῇ πόλει συμφερόντων κηδόμενος.

ΜΕ΄.

[1]). *Πέραν τῶν Συϊόνων ἄλλη διακέχυται θάλασσα νωθὴς* κτλ. Ἐξ ἀκοῆς ἱστορῶν τὰ περαιτέρω ὁ Τάκιτος οὐ θαυμαστὸν εἴ που πλημμελεῖ, ἀληθῆ ψευδέσιν ἀναμιγνὺς ἢ μυθώδεσιν. *Ἄλλην θάλασσαν* λέγει ἐνταῦθα κατά τινας τὴν νῦν *Λευκὴν* καλουμένην· κατ' ἄλλους δ' οὐ ταύτην (ἥν φασιν ἐν τῷ τότε χρόνῳ μήπω ἑωρακέναι μηδ' ἄλλως ἐγνωκέναι Ῥωμαίους), ἀλλὰ τῆς Σουηδικῆς καὶ Σαρματικῆς θαλάσσης τὰ βορειότερα (τὸν νῦν Φιννικὸν καὶ Βοθνικὸν κόλπον) ἃ τοῦ τὴν γῆν πᾶσαν περιῤῥέοντος Ὠκεανοῦ μέρη, ὥσπερ δὴ καὶ αὐτὴν τὴν Σουηδικὴν καὶ Σαρματικὴν θάλασσαν, οἱ ἀρχαῖοι ᾤοντο εἶναι, καὶ τῇ Κασπίᾳ θαλάσσῃ καὶ τῷ Πόντῳ οὕτω συνέχεσθαι, ὥστ' ἔχειν τινὰ ἐκεῖθεν πρὸς ἕω πλέοντα ἐνταῦθα ἐλθεῖν· (ἴδε Στράϐ. ζ΄. 2). Νωθὴς δὲ καὶ σχεδὸν ἀκίνητος ἡ εἰρημένη καλεῖται θάλασσα διὰ τὴν ὑπὸ τοῦ ψύχους πῆξιν τοῦ ὕδατος. Διὰ τὴν αὐτὴν ἴσως αἰτίαν νεκρὰ θάλασσα προσηγορεύθη τὸ πάλαι (ἴδε Ὀρφ. Ἄργον. 1083 κ. ἑ.) καὶ ὁ Κρόνιος πόντος, ὃν εὐλόγως ἄν τις εἰκάσειε τὸν αὐτὸν τῇ Σαρματικῇ εἶναι θαλάσσῃ.

[2]). *Ἡ περιζώννυσθαί τε καὶ περικλείεσθαι τὸν τῆς γῆς κύκλον διὰ τόδε πιστεύεται, ὅτι* κτλ. Τὸ μὲν φαινόμενον κατ' ἀλήθειαν ὁ Τάκιτος ἱστορεῖ, τὴν δ' ἀληθῆ αὐτοῦ αἰτίαν ἀγνοῶν φαίνεται. Οὐ γὰρ δήπου διὰ τὸ τὴν γῆν ἐκεῖ περατοῦσθαι ἱκανὸν καὶ μετὰ τὴν δύσιν τοῦ ἡλίου φῶς ἐπ' αὐτὴν διαχεῖται, ὥστε καὶ τοὺς ἀστέρας, ὥς φησιν, ἀμαυροῦσθαι, ἀλλὰ διὰ τὸ τὸν ἥλιον ἐν ταῖς ὑπαρκτίοις χώραις ἐλάχιστον χρόνον καὶ ἐγγὺς τοῦ ὁρίζοντος ὑπὸ τὴν γῆν διαμένειν τοῦ θέρους· τοῦτο γὰρ παραίτιον τοῦ δι' ὅλης τῆς νυκτὸς παρατείνεσθαι ἐκεῖ τὸ λυκόφως. Ἐλέγχεται γοῦν ὁ Τάκιτος οὐδ' ἄκρῳ δακτύλῳ ἀστρονομικῶν γευσάμενος μαθημάτων· ᾔδει γὰρ ἄν, ὃ Ἵππαρχος κατὰ Στράϐωνα (Β, 1) δυσὶν ἑκατονταετηρίσι πρότερον ἐδίδαξε· κατὰ τὸν Βορυσθένη καὶ τὴν Κελτικὴν *ἐν ὅλαις ταῖς θεριναῖς νυξὶ παραυγάζεσθαι τὸ φῶς τοῦ ἡλίου, περιϊστάμενον ἀπὸ τῆς δύσεως ἐπὶ τὴν ἀνατολήν*.

[3]). *Ἔτι δὲ καὶ ψόφον ἀκούεσθαι, καὶ θεῶν ἰδέας καὶ ἀκτῖνας* κτλ. Τὸ μὲν ψόφον ἀκούεσθαι ψευδές, ἐπιστεύετο δ' ὑπὸ τῶν χυδαίων, μύδρῳ διαπύρῳ παρεικαζόντων τὸν ἥλιον, ὃς ὕδατι ἐμϐαπτιζόμενος σίζει· ἦν δ' ἡ δόξα αὕτη Ποσειδωνίου (ἴδε Στράϐ. Γ΄. 1). Αἱ δὲ θεῶν ἰδέαι καὶ αἱ τὰς κεφαλὰς αὐτῶν ἐπιστέφουσαι ἀκτῖνες οὐδὲν ἄλλο ἐοίκασιν εἶναι ἢ νέφη μετέωρα,

πολυειδῶς σχηματιζόμενα καὶ μορφὴν θεῶν ἐσθ' ὅτε λαβάνοντα, θαυμασίως δὲ τῇ *βορείᾳ* καταυγαζόμενα *αἴγλῃ*, ἧς τὸν γήϊνον μαγνητισμὸν αἴτιον εἶναί φασιν οἱ φυσικευόμενοι.

4). *Ἕως ὧδε, ὡς λόγος, ἡ ἀληθὴς φύσις διήκει.* Τὴν ἐν τῷ τότε κοινὴν περὶ τοῦ πέρατος τοῦ κόσμου φήμην καὶ δόξαν ἐκφέρει ἐνταῦθα ὁ Τάκιτος, καθ' ἣν *post omnia oceanus, post oceanum nihil.*

5). *Τὴν δεξιὰν οὖν τῆς Σουηβικῆς θαλάσσης παραλίαν τὰ τῶν Αἰστύων νέμεται ἔθνη.* Ἐκ τῆς περὶ τοῦ πέρατος τῆς γῆς φήμης εἰς τὴν τῶν πραγμάτων ἀλήθειαν ἐπανιὼν ὁ Ἱστορικὸς τὴν δεξιὰν τῆς Σουηβικῆς ἢ τῆς Σαρματικῆς καλουμένης θαλάσσης παραλίαν ὑπὸ τῶν Αἰστύων φησὶ κατέχεσθαι· Ἦσαν δ' οὗτοι οὐχ οἱ παρὰ Στράβωνι (Ι σελ. 63) Ὠστιαῖοι οἱ πέραν τοῦ Ῥήνου γνωστὴν χώραν νεμόμενοι, οὔτε οἱ παρὰ Στεφάνῳ τῷ Βυζαντίῳ Ὠστίωνες οἱ παρὰ τὸν ἑσπέριον ὠκεανὸν οἰκοῦντες, ἀλλ' ἔθνος ἄλλο, πέραν τῶν τοῦ Οὐϊστούλα ἐκβολῶν ἐν τῇ νῦν ἑῴᾳ Βορουσσίᾳ καὶ Κουρονίᾳ καὶ Λιβονίᾳ καὶ Αἰστονίᾳ ἐν τῷ τότε οἰκοῦν, ὧν δὴ τοὔνομα ἐν τοῖς νῦν *Αἴστοσι* μέχρις ἡμῶν διασέσωσται, ἀπὸ τοῦ γερμανικοῦ *œst*, ἢ *ost* παραγόμενον καὶ ἑῴους ἀνθρώπους σημαῖνον. Καίπερ δὲ τὸ τῶν Αἰστύων ἔθνος ὑπὸ τοῦ Τακίτου τῆς Γερμανοῖς συγκατειλεγμένον, οὐ Γερμανικὸν ὅμως φαίνεται ὄν, διαλέκτῳ χρώμενον τῆς βρεττανικῆς ἐγγυτέρᾳ. Ἥτις δ' ἦν αὕτη, ἀγνοεῖται, ἀλλ' ἐξ εἰκασίας ἂν εἴποιμεν ὅτι ἡ Σκυθοκελτική, ἣν ἴσως τοῖς ἀρχαιοτάτοις τῶν τὴν ἑσπερίαν Εὐρώπην οἰκησάντων ἐθνῶν κοινὴν γενομένην ἐπὶ πλεῖστον χρόνον οἱ Βρεττανοὶ διετήρησαν. Οἱ δὲ νῦν Αἴστονες δῆλον ὅτι γλώσσῃ Φιννικῇ χρῶνται.

7). *Σεβίζουσι δὲ θεῶν μητέρα καὶ κάπρων εἰκόνας.... φέρουσι.* Θεῶν μήτηρ ἡ τῶν Σουήβων Ἶσις, ἡ τῶν Γερμανῶν Ἔρθα, ἡ τῶν Σκανδιναυῶν Φρίγγα, ἡ τῶν Κίμβρων Φοσέτα, μάλιστα δὲ ἡ Σύβα ἐστίν, ἡ παρὰ τὴν ἀκτὴν τῆς νῦν Βαλτικῆς θαλάσσης ὑπὸ τῶν Οὐενεδῶν (τῶν νῦν Βένδων) λατρευομένη, ἣν οἱ Ῥωμαῖοι διά τε τὴν τῶν ὀνομάτων καὶ τὴν ἄλλην ὁμοιότητα τῇ Κυβέλῃ παρείκαζον. Τὰς δὲ κάπρων εἰκόνας οὐκ ἀπιθάνως τινὲς περίαπτα φυλακτήρια ὑπειλήφασιν εἶναι, κάπροις ἐξεικασμένα, ἃ ἐν ταῖς μάχαις τῶν τραυμάτων ἀλεξητήρια οἱ Αἴστυοι φέρειν εἰώθεσαν. Τεκμαίρονται δὲ τοῦτο τῷ τοιαῦτα ἐγγὺς Πριλουϊτίου Μεγαλοπολιτικοῦ κωμιδίου ἀπ' αὐτοῦ ἔτι τοῦ 1687 ἔτους ἐξορυχθῆναι.

8) *Καὶ μόνοι ἁπάντων τὸ ἤλεκτρον, ὃ γλέσσον αὐτοὶ καλοῦσι.* κτλ. Τὸ ἤλεκτρον, περὶ οὗ ἐνταῦθα ὁ λόγος, οὐ χρυσοῦ καὶ ἀργύρου ἦν μίγμα, οἷον τὸ παρ' Ὁμήρῳ, ἀλλὰ τὸ

καὶ νῦν τῷ αὐτῷ ὀνόματι γνωριζόμενον· ῥητινῶδές τι σῶμα, εἰς κατασκευὴν κοσμημάτων χρήσιμον. Ἐκαλεῖτο δὲ τότε παρὰ τοῖς Γερμανοῖς *γλέσσον* διὰ τὴν πρὸς τὴν ὕελον ὁμοιότητα· ἡ γὰρ φωνὴ γλὲς ἢ γλὰς στιλπνὸν σῶμα σημαίνει ἢ ὕελον. Συνελέγετο δ' ἐπὶ τῆς ἑωθινωτέρας ἀκτῆς τῆς νῦν Πομερανίας, Κουρονίας καὶ Βορουσσίας, ὅθεν διὰ Παννονίας εἰς τὴν Ἀδριατικὴν θάλασσαν καὶ ἐντεῦθεν εἰς Ῥώμην διεκομίζετο. Νῦν δὲ καὶ ἀλλαχοῦ συλλέγεται ἤλεκτρον.

9). *Οἱ θαυμάζοντες τιμὴν αὐτοῦ λαμβάνουσιν ἀργύριον*. Οἱ βάρβαροι, φησί, λαμβάνουσιν ἀντὶ τοῦ ἠλέκτρου ἀργύριον, θαυμάζοντες, ὅτι πρᾶγμα παρ' αὐτοῖς οὕτως ἄχρηστον τοσούτου ἡμεῖς ἀργυρίου ὠνούμεθα.

10). *Γνοίης δ' ἂν αὐτὸ ὀπὸν δένδρου ὄν κτλ.* Ὁ Τάκιτος τῇ τε κοινῇ τότε δόξῃ καὶ τῷ Πλινίῳ ἑπόμενος (37, 2, 3.) ὀπὸν δένδρου τὸ ἤλεκτρον ὑπελάμβανεν, εἴδους τινὸς πευκῶν ἐξιδρούμενον, ὧν ὕλας μεγάλας τὰς κατὰ τὴν Σαρματικὴν θάλασσαν νήσους τρέφειν οἱ πάλαι ᾤοντο. Ἀλλ' ἡ δόξα αὕτη τῇ ἔπειτα πείρᾳ ψευδὴς οὖσα ἐλήλεγκται. Οὔτε γὰρ ἐν ταῖς ἐκεῖ νήσοις τοιαῦται εὕρηνται ὗλαι ἤλεκτρον ἐξιδροῦσαι, οὔτε τις αὐτὸ ὑπὸ τῶν κυμάτων ἐπὶ τὴν ἀκτὴν ἐκβραζόμενον εἶδεν, ἀλλ' ὁμοίως τῇ ἀσφάλτῳ καὶ τῷ λιθάνθρακι καὶ ἄλλοις ῥητινώδεσι σώμασιν ὀρυκτὸν φαίνεται ὄν, ἐκ φυτῶν ἴσως προελθὸν ὠγυγίων, ἃ ἐν ἀρχαιοτάτῃ τινὶ τῆς γῆς ἡλικίᾳ φυέντα ἐν μεγάλῃ τινὶ ταύτης μεταβολῇ ἔπειτ' ἀπώλετο.

11). *Προσεχῆ τοῖς Συΐοσι τὰ τῶν Σιτόνων οἰκοῦσιν ἔθνη*. Καὶ περὶ Σιτόνων οἱ σοφοὶ οὐχ ὁμολογοῦσιν· ἀλλ' ὁ μὲν Μάννερτος ὁμοεθνεῖς αὐτοὺς γενέσθαι ἡγεῖται τοῖς Συΐοσιν, ἄλλῳ ἄρχοντι ὑπακούοντας· τινὲς δὲ τὰ προσβοῤῥότερα τῆς Σκανδίας αὐτοὺς οἰκῆσαι ὑπολαμβάνουσιν, ἄλλοι δὲ τὰ ἑωθινώτερα, ἄλλοι δὲ τὰ δυσμικώτερα ἐν τῇ νῦν Νορβεγίᾳ· ἄλλοι δ' ἀλλαχοῦ τοποθετοῦσιν αὐτούς.

12). *Τοσοῦτον οὐ μόνον τῶν ἐλευθέρων, ἀλλὰ καὶ τῶν ἐν δουλείᾳ χείρους γεγόνασι*. Τῶν μὲν ἐλευθέρων Γερμανῶν χείρους, διότι δουλεύουσι· τῶν δὲ δουλευόντων, διότι δουλεύουσι γυναικί. Σημειωτέον δ' ὅτι τὰς λέξεις *Προσεχῆ τοῖς Συΐοσι* μέχρι τῶν *χείρους γεγόνασι* τῷ τέλει τοῦ μδ'. κεφαλαίου συναπτέας εἶναι εὐλόγως τινὲς ἡγοῦνται· ὅπου γὰρ περὶ τῶν Συϊόνων ὁ λόγος, ἐκεῖ καὶ περὶ τῶν τοῖς Συΐοσι προσεχῶν Σιτόνων εἰκός ἐστι τὸν Τάκιτον διαλαβεῖν τὰ προσήκοντα.

Μϛ'.

1). *Τὰ δὲ τῶν Πευκινῶν καὶ Οὐενεδῶν καὶ Φίν-*

νων ἔθνη κτλ. Ταῦτα τὰ ἔθνη πρὸς ἕω τοῦ Οὐϊστούλα ἀπὸ τῆς Σαρματικῆς θαλάσσης μέχρι τῶν τοῦ Ἴστρου ἐκβολῶν καὶ τοῦ Πόντου οἰκοῦντα ὑπό τινων μὲν τοῖς Γερμανικοῖς, ὑπ' ἄλλων δὲ τοῖς ὁμοροῦσι Σαρματικοῖς ἐγκαταριθμεῖται. Πλίνιος δὲ (4, 27) καὶ Πτολεμαῖος (3, 5) καὶ Ζώσιμος (1, 27) καὶ ἄλλα τινὰ ἔθνη τούτοις προσκαταλέγουσι· Σκίῤῥους καὶ Ἵῤῥους καὶ Οὐέλτας καὶ Ὀσίους καὶ Κάρβωνας καὶ Κάρπους καὶ Βορανούς. Τὸ δ' ἔθνος τῶν Οὐενεδῶν οὐ τὸ αὐτό ἐστι τοῖς Οὐενέτοις, ὧν ἐν σημειώσεσι 2 Κεφ. ά. μνεία ἐγένετο.

[2]). *Καίτοι οἱ Πευκῖνοι, οὓς ἔνιοι Βαστάρνας ἀποκαλοῦσι* κτλ. Οἱ Πευκῖνοι ἢ Πευκινοὶ ᾤκουν ἐπὶ τῆς μεσημβρινῆς κλιτύος τοῦ ὄρους Πεύκης. ἀφ' οὗ τὴν προσηγορίαν ἔσχον. Κεῖται δ' ἡ Πεύκη κατὰ Πτολεμαῖον (3, 5, 15) πρὸς Ἄρκτον τοῦ Καρπάτου μεταξὺ τῶν τοῦ Τύρα καὶ τοῦ Βορυσθένους πηγῶν ἐν τῇ νῦν Γαλλικίᾳ. Ὁ δὲ Στράβων (7, 3) τὴν ἐν τῷ Ἴστρῳ νῆσον Πεύκην αὐτοὺς κατασχεῖν κἀκ ταύτης οὕτω προσαγορευθῆναί φησι. Δοκεῖ δὲ τὸ τῶν Πευκίνων ἔθνος μερὶς τοῦ τῶν Βασταρνῶν γενέσθαι· εἰς πλείω γὰρ κατὰ τὸν Στράβωνα (7, 3.) φῦλα οἱ Βαστάρναι διῄρηντο, ὧν τινες Ἄτμονοι καὶ Σιδόνες ἐλέγοντο, οἱ δὲ τὴν νῆσον Πεύκην κατασχόντες Πευκῖνοι. Ὤκουν δ' οἱ Βαστάρναι ἀπὸ τῶν πηγῶν τοῦ Οὐϊστούλα παρὰ τὴν ἀριστερὰν τοῦ Ἴστρου ὄχθην μέχρι τῶν τούτου ἐκβολῶν εἰς τὸν Πόντον, μέρος δηλονότι τῆς νῦν Τρανσιλουανίας, Γαλλικίας, Οὐγγαρίας, Μολδαυΐας, Βλαχίας καὶ Βεσσαραβίας κατέχοντες. Πηγάζει δ' ὁ Οὐϊστούλας ἐπὶ τῶν τὴν Γερμανίαν τῆς Σαρματίας διοριζόντων Καρπαταίων ὀρῶν, ἃ δὴ ἀπὸ τοῦ εἰρημένου ἔθνους Βασταρνικαὶ Ἄλπεις ἐκλήθησαν. Τῶν δ' ἀρχαίων οἱ μὲν αὐτοὺς τοῖς Σαρμάταις ἢ Σκύθαις οἱ δὲ τοῖς Γέταις, οἱ δὲ τοῖς Κελτοῖς συγκαταλέγουσιν· ὁ δὲ Στράβων (αὐτόθι) *σχεδόν τι τοῦ Γερμανικοῦ γένους αὐτοὺς εἶναι λέγει.* Διασημαίνει δ' αὐτοὺς ὁ Πλούταρχος (Παῦλ. Αἰμιλ. 12) *ἄνδρας οὐ γεωργεῖν εἰδότας, οὐ πλεῖν, οὐκ ἀπὸ ποιμνίων ζῆν νέμοντας, ἀλλ' ἓν ἔργον καὶ μίαν τέχνην μελετῶντας, ἀεὶ μάχεσθαι καὶ κρατεῖν τῶν ἀντιταττομένων· ὑψηλοὺς μὲν τὰ σώματα, θαυμαστοὺς δὲ ταῖς μελέταις, μεγαλαύχους δὲ καὶ λαμπροὺς ταῖς κατὰ τῶν πολεμίων ἀπειλαῖς.* Πολλάκις οἱ Βαστάρναι τοῖς Βοΐοις, Ταυρίσκοις, Σκορδίσκοις καὶ ἄλλοις ὁμοίως κελτικοῖς ἔθνεσι συνεμάχησαν. Καὶ πρῶτον μὲν φαίνονται ἐν ἔτει 179 π. Χ. κατὰ τῶν ἐν τῇ νῦν Σερουΐᾳ καὶ Βοσνίᾳ οἰκούντων Δαρδανῶν ἢ Δαρδάνων πολεμοῦντες, ὑπὸ Φιλίππου τοῦ β'. καὶ Περσέως παρακληθέντες,

εἶτα δὲ κατὰ Ῥωμαίων συμμαχοῦντες Μιθριδάτῃ καὶ Μαρκομάννοις καὶ Γότθοις, οἷς τελευτῶντες εἰς ἓν ἔθνος συνεφυράθησαν.

3). *Πάντες ἐν ῥυπαρίᾳ καὶ νωχελείᾳ διάγουσιν. Οἱ δὲ προὔχοντες* κτλ. Τὸ μὲν ἐν ῥυπαρίᾳ καὶ νωχελείᾳ τὰ εἰρημένα ἔθνη διάγειν πρὸς τοῦ γερμανικοῦ ἐστι τρόπου· τὸ δὲ τοὺς προὔχοντας μὴ ἴσοις καὶ ὁμοίοις κῆδος συνάπτειν, ἀλλὰ συνοικεῖν τῇ τυχούσῃ, ὅμοιοι αὐτὰ τοῖς Σαρμάταις.

4). *Οἱ δὲ Οὐενέδαι πολὺ τῶν σαρματικῶν ἠθῶν μετειλήφασιν.* Οἱ Οὐενέδαι ἐν τῇ εὐρωπαϊκῇ Σαρματίᾳ ᾤκουν, τὰ Οὐενεδικὰ καλούμενα ὄρη τὰ τὴν Ἑῴαν Βορουσσίαν τῆς Πολωνίας διείργοντα καὶ τὴν περὶ τὸν Χρόνον (νῦν Νείμενα ἢ Μέμελον) ποταμὸν καὶ τὸν Οὐενεδικὸν (νῦν ῥιγαῖον) κόλπον χώραν νεμόμενοι. Οὗτοι ἀπὸ τῆς ἑ. ἑκατονταετηρίδος τὴν ἑωθινὴν Γερμανίαν μέχρι τοῦ Ἄλβιος καὶ τῶν ἐντεῦθεν αὐτοῦ κατέσχον. Οἱ δ' ἀπόγονοι αὐτῶν, οἱ νῦν Οὐένδοι ἢ Βένδοι καλούμενοι, καὶ μέχρις ἡμῶν ἐν Λιβονίᾳ καὶ Βοημίᾳ καὶ Σιλησίᾳ καὶ Στειρίᾳ καὶ Καρνικῇ, καὶ ἔτι ἐν τῇ Βρανδεβουργικῇ καὶ Μεγαλοπολίτιδι καὶ Βρυνοπολίτιδι χώρᾳ οἰκοῦντες εὑρίσκονται. Φαίνονται δὲ Σαρμάται ὄντες καὶ οὐ Γερμανοὶ σαρματικῶν μετειληφότες ἠθῶν, ὡς ὁ Τάκιτος οἴεται. Χρῶνται δὲ καὶ ἀδιαλέκτῳ σαρματικῇ.

5). *Καὶ τῇ τοῦ πεζικοῦ χρήσει καὶ ποδωκείᾳ χαίρουσιν.* Οὕτω μεθηρμήνευσα τὸ χωρίον, ἐκείνοις προσθέμενος, οἳ τὴν ἐν τῷ κειμένῳ γραφὴν *peditum* ὀρθοτέραν τῆς *pedum* ἡγοῦνται, ἅτε τῶν Γερμανῶν (ἴδε κεφ. ς′.) τῷ πεζικῷ μάλιστα ἰσχυόντων.

6), *Τῶν δὲ Φίννων ἥ τε ἀγριότης πολλὴ* κτλ. Τὸ τῶν Φίννων ὄνομα οἱ μὲν ἐκ τῆς λέξεως *Fen* ἢ *Finn*, *ἕλος* κατά τινα Γερμανικὴν διάλεκτον σημαινούσης, παράγουσιν· οἱ δ' ἐκ τῆς λέξεως *Finne*, κατ' ἄλλην τινὰ διάλεκτον *νάπην* δηλούσης. Ὥστε τὸ *Φίννοι* ταὐτὸ δύναται τῷ *ἕλειοι* ἢ *ναπαῖοι*· Ὤκουν δ' οὗτοι περὶ τὸν Φιννικὸν τῆς Σαρματικῆς θαλάσσης κόλπον.

7). *Τοὺς Ἑλλουσίους δηλονότι καὶ Ὠξίωνας.* Περὶ τῶν μυθωδῶν τούτων ἐθνῶν οὐδὲν ἴσμεν. Ἴσως δ' οἱ πάλαι διὰ τοῦτο σώματα καὶ μέλη θηρίων ἔχειν αὐτοὺς διεφήμισαν, ὅτι ὁμοίως τοῖς νῦν Λάπποσι ταράνδων, ἀλκῶν, φωκῶν καὶ ἄρκτων περιεβάλλοντο δέρματα τοῦ ὑπαρκτίου ψύχους ἀλεξητήρια.

ΣΗΜΕΙΩΣΙΣ

ΠΕΡΙ ΤΗΣ ΤΩΝ ΕΘΝΙΚΩΝ ΟΝΟΜΑΤΩΝ ΓΡΑΦΗΣ.

Τῶν ἐθνικῶν ὀνομάτων ἄλλως ὑπ' ἄλλων γραφομένων οὐδ' αὐτὸς τὴν περὶ τὴν γραφὴν ἀνωμαλίαν ὅλως ἐδυνήθην φυγεῖν. Ἔγραψα δὲ τῶν μὲν εἰς ōnes καταληγόντων τὴν παραλήγουσαν τῷ ω ἀεί, τῶν δὲ εἰς ŏnes οὐκ ἀεὶ τῷ ο· τοῦ γὰρ ἐθνικοῦ *Σέμνωνες* τὴν παρὰ Στράβωνι γραφὴν προειλόμην, καὶ τὸ *Γούττωνες* καὶ *Γόθωνες,* τὸ αὐτὸ ὂν τῷ παρὰ Πτολεμαίῳ *Γύθωνες*, ἔγραψα ὁμοίως τῷ ω. Ὅτι δ' ἄστατος παρὰ τοῖς Ἕλλησιν ἡ τῶν ξενικῶν ὀνομάτων γραφή, πάντες ἴσασιν οἱ τοὺς ἱστορικοὺς καὶ γεωγράφους τῶν ῥωμαϊκῶν καὶ τῶν ἑξῆς χρόνων ἀναγιγνώσκοντες. Ἴδε περὶ τῆς συχνῆς τῶν ὀνομάτων καὶ μάλιστα τῶν βαρβαρικῶν μεταπτώσεως καὶ τὰ παρὰ Στράβωνι (Γεωγρ. βιβλ. ις'. κεφ. δ'.)

ΟΥΑΛΕΡΙΟΥ ΚΑΤΟΥΛΛΟΥ

ΑΣΜΑΤΑ ΔΥΟ, ΤΟ ΞΔ΄, ΚΑΙ ΞΣΤ΄.

ΜΕΘΗΡΜΗΝΕΥΜΕΝΑ ΕΜΜΕΤΡΩΣ

ΕΙΣ ΤΗΝ ΕΛΛΗΝΙΔΑ ΦΩΝΗΝ.

ΠΕΡΙ ΤΟΥ ΡΩΜΑΙΟΥ ΠΟΙΗΤΟΥ

Κ. ΟΥΑΛΕΡΙΟΥ ΚΑΤΟΥΛΛΟΥ.

Περι τοῦ βίου Κ. Οὐαλερίου Κατούλλου πάνυ ὀλίγα γιγνώσκομεν, ὧν ἐνταῦθα τὰ κυριώτατα παραθήσομεν. Ἐγεννήθη μὲν οὗτος ἐν Οὐηρώνῃ ἔτει χοζ' ἀπὸ κτίσεως Ῥώμης, (οή π. Χ.) ἐτελεύτησε δὲ τριακοντούτης τὴν ἡλικίαν ἔτει ψζ' ἀπὸ κ. Ρ. (μζ' π. Χ.). Κομιδῇ δὲ νέος ἐς Ῥώμην ἐλθὼν τοῖς τότε παιδείᾳ διαφέρουσι συνεγένετο καί τισιν αὐτῶν, Κ. Λακινίῳ Καλούῳ τῷ ποιητῇ καὶ Κορνηλίῳ Νέπωτι τῷ ἱστορικῷ καὶ Ὁρτησίῳ τῷ ῥήτορι καὶ ἄλλοις, φιλίαν συνέθετο. Ἐκ δὲ τῶν ποιημάτων αὐτοῦ μανθάνομεν, ὡς ἐπαύλεις ἐκέκτητο δύο· τὴν μὲν ἐν τῇ τῆς Οὐηρώνης χώρᾳ ἐπί τινος τῆς Βηνάκου λίμνης χερσονήσου κειμένην, τερπνοτάτην εἶναι δοκοῦσαν καὶ ἥδιστον τοῦ ποιητοῦ ἐνδιαίτημα, τὴν δ' ἐν Λατίῳ παρὰ τὴν Τίβουραν πόλιν· οὐ μέντοι χρημάτων ηὐπόρει. Ἦρα δ' ἐπιμανῶς Κλωδίας τῆς Π. Κλωδίου τοῦ διαβοήτου δημάρχου ἀδελφῆς, εἰς ἣν οὐκ ὀλίγα ποιήματα ἔγραψε καὶ ἣν Λεσβίαν ἐν αὐτοῖς ὀνομάζει. Ταύτης δ' ὕστερον αἰσχρῶς ἑαυτὴν προαγωγευσάσης καὶ φανερῶς ἑταιριζομένης ἀπέστη ὁ ποιητὴς καὶ τὴν παράνοιαν αὐτῆς οἰκτείρει ἐν τοῖς ποιήμασιν. Οὐ μόνον δ' οὐδεμίαν ἦρξεν ἀρχήν, τῶν τῆς πόλεως παντελῶς ἀποσχόμενος, ἀλλὰ καὶ πρὸς τοὺς τότε ἄρχοντας δυσμενῶς πάνυ διέκειτο, μάλιστα

δὲ πρὸς Καίσαρα, ὃν πικρῶς κατεμέμφετο, ἄλλας τε κακίας καταγιγνώσκων αὐτοῦ καὶ οὐχ ἥκιστα τὴν πρὸς Μαμούῤῥαν αἰσχρὰν ὁμιλίαν, ἀνθ' ἧς τούτῳ ἐν ταῖς ἐπαρχίαις ἀργυρολογεῖν συνεχώρει. Δοκεῖ δὲ γονιμώτατος εἰς ποίησιν χρόνος ἐκεῖνος αὐτῷ γενέσθαι, ἐν ᾧ τῷ τῆς Κλωδίας κατείχετο ἔρωτι. Διὸ τὰ πλεῖστα τῶν ποιημάτων αὐτῷ συνετέτακτο οὔπω τοῦ εἰκοστοῦ ἐπιβάντι ἔτους· Διήρηνται δὲ τὰ τοῦ Κατούλλου ποιήματα πάντα εἰς ἰαμβεῖα ἤτοι πολεμικὰ καὶ εἰς λυρικά. Κἀκεῖνα μὲν πολιτικὴν ἔχοντα τὴν ὑπόθεσιν ῥήμασι δηκτικοῖς τῆς πονηρίας καθάπτονται, ἢ τὴν ἀβελτηρίαν χλεύην ποιοῦνται. Τῶν δὲ λυρικῶν τὰ μὲν μακρότερά ἐστιν, ἐλεγεῖα καὶ διηγηματικά, ὧν οὐκ ὀλίγα ἑλληνικῶν ποιημάτων ἀπομιμήματα οἱ φιλολογοῦντες ὑπολαμβάνουσι· τὰ δὲ βραχύτερα, ἐρωτικὰ καὶ βιολογικά, ἐν οἷς μάλιστα ὁ Κάτουλλος εὐδοκίμησε, πλείστην μὲν χάριν, βαθεῖαν δ' αἴσθησιν τοῦ καλοῦ, εὑρέσεως δὲ πρωτοτυπίαν ἐμφαίνουσι.

Κ. ΟΥΑΛΕΡΙΟΥ ΚΑΤΟΥΛΛΟΥ

ᾌΣΜΑ ΞΔʹ.

ΕΠΙΘΑΛΑΜΙΟΝ ΠΗΛΕΩΣ ΚΑΙ ΘΕΤΙΔΟΣ.

ΥΠΟΘΕΣΙΣ ΚΑΙ ΟΙΚΟΝΟΜΙΑ.

Τῶν Οὐαλερίου Κατούλλου ᾀσμάτων τὸ ΞΔ, ἐπιθαλάμιον Πηλέως καὶ Θέτιδος ἐπιγεγραμμένον, κάλλιστον μὲν πάντων τῶν τοῦ ῥωμαίου μελοποιοῦ ποιημάτων κέκριται ὑπὸ τῶν σοφῶν, οὐ μικρὸν δ' ἡμῖν συμβάλλεται εἰς γνῶσιν τοῦ εἴδους ἐκείνου τῶν παρὰ τοῖς ἀρχαίοις μελῶν, ἃ ἐπιθαλάμια κέκληται, καὶ ὧν ὀλίγιστα εἰς ἡμᾶς περισέσωσται· ἔτι δὲ καὶ πολλὰ περιέχει ἄνθη ἐκ τοῦ τῆς ἑλληνικῆς καὶ οὐχ ἥκιστα τῆς ἀλεξανδρινῆς ποιήσεως κήπου, ὑπὸ τοῦ ποιητοῦ φιλοκάλως συνειλεγμένα. Διὰ ταῦτα ἐς τὴν ἀρχαίαν Ἑλλάδα φωνὴν ἐμμέτρως αὐτὸ ἔδοξέ μοι μετενεγκεῖν, τὸ μὲν ἀνδρὸς φίλου εἴκοντι προτροπαῖς, τοῦ τῆς ῥωμαϊκῆς φιλολογίας καθηγητοῦ Εὐθυμίου τοῦ Καστορχίου, τὸ δὲ καὶ αὐτῷ τοῖς ὁμοεθνέσιν ἐκείνοις χαρίσασθαι βουλομένῳ, οἳ τὴν τῶν Ῥωμαίων φωνὴν μηδαμῶς ἐπαΐοντες, τῆς ῥωμαΐδος ὅμως Μούσης μὴ ὅλως ἄγευστοι μένειν ἐθέλοιεν· ἐλπίζω γὰρ οὐχ ὅλως αὐτοῖς ἀηδῆ καὶ ἀπόμουσον οὐδ' ἀνόνητον παρέξειν ἀνάγνωσιν. Ἀναγκαῖον δ' ἡγοῦμαι τῷ Δοιριγγίῳ ἑπόμενος

βραχέ᾽ ἄττα ἐνταῦθα διαλαβεῖν περὶ τῆς τοῦ ποιήματος ὑποθέσεως καὶ τῆς τῶν ἐν αὐτῷ μύθων συναφείας καὶ συμπλοκῆς, οἷον εἰσαγωγήν τινα ἐσόμενα τοῖς ἐντευξομένοις καὶ τὴν τοῦ ποιήματος ἀνάγνωσιν καὶ κατάληψιν ῥᾴονα καταστήσοντα· Ἄρχεται μὲν οὖν ὁ ποιητὴς ἀπὸ τοῦ πλοῦ τῶν Ἀργοναυτῶν, οὓς εἰσάγει ἐπὶ τῆς Ἀργοῦς πλέοντας εἰς τὸν Πόντον. Αἱ δὲ Νηρεΐδες τῷ ἀήθει τοῦ πράγματος ἐκπλαγεῖσαι ἀναδύονται τῶν κυμάτων καὶ τὸ τεράστιον θαυμάζουσι τῆς νεώς. Τότε δὴ πρῶτον ὁ Πηλεὺς καὶ ἡ Θέτις ἀλλήλους ἰδόντες τῷ ἀλλήλων ἁλίσκονται ἔρωτι. Εἶτα δ᾽ αὐτοῖς τὰ τοῦ γάμου παρασκευάζεται, ἡ γαμήλιος εὐτρεπίζεται κοίτη καὶ πάντες οἱ τῆς Θετταλίας οἰκήτορες εἰς τὸν ἐν Φαρσάλῳ τοῦ Πηλέως οἶκον πανταχόθεν συνθέουσι, θεασόμενοι, ὡς ἔθος, τὴν τοῦ γάμου παρασκευήν τε και τελετήν. Ἐπισπᾶται δὲ μάλιστα τὰς ὄψεις αὐτῶν καὶ θαυμασμὸν ἐμποιεῖ ὁ τῇ γαμηλίῳ κλίνῃ ἐφηπλωμένος τάπης ἢ πέπλος, τέχνῃ ἐξαισίᾳ πεποιημένος καὶ ἀρχαίων προσώπων εἰκόσι πεποικιλμένος. Τὸν δὲ πέπλον τοῦτον καὶ τὰς ἐν αὐτῷ εἰκόνας παρεκβατικώτερον τῷ λόγῳ ὑπογράφει ὁ ποιητής, τὸν Ὅμηρον, Ἀπολλώνιον τὸν Ῥόδιον καὶ ἄλλους τῶν ποιητῶν μιμησάμενος, ὁμοίαις χρησαμένους ὑπογραφαῖς. Ὁ μὲν γὰρ Ὅμηρος (Ἰλ. Σ. 478—609) τὴν τοῦ Ἀχιλλέως ἀσπίδα, Ἡφαίστου ἔργον, Ἀπολλώνιος δὲ ὁ Ῥόδιος (Ἀργον. Α. 750—765) τὴν τοῦ Ἰάσονος χλαμύδα, Ἀθηνᾶς οὖσαν δῶρον, Θεόκριτος δὲ (Εἰδύλλ. ά. 27—56) τὸ τοῦ αἰπόλου κισσύβιον λαμπρῶς ὑπετύπωσεν. Ὁ δὲ Ἡσίοδος ὅλου σχεδὸν ποιήματος ὑπόθεσιν τὴν τῆς ἀσπίδος τοῦ Ἡρακλέους ὑπογραφὴν ἐποιήσατο. Φαίη τις ἂν ἐνταῦθα τὸν Κάτουλλον, καθάπερ ἐξηγητήν τινα τῇ γαμηλίῳ παριστάμενον κλίνῃ, οὐ μόνον τὰς τῷ πέπλῳ ἐνυφασμένας εἰκόνας καὶ τοὺς μύθους τῷ πλήθει τῶν θεατῶν ἐξηγεῖσθαι, ἀλλὰ καὶ τὰ ἡγούμενα καὶ ἑπόμενα τοῖς εἰκασμένοις διασαφεῖν.

Πρώτη οὖν ἐν τῷ πέπλῳ ἡ τῆς Ἀριάδνης ἄριστα ὑποτε-

τυπωμένη ὁρᾶται εἰκών, πόῤῥωθεν ἀπὸ τῆς ἀκτῆς τῆς Νάξου, ὅπου μόνη καταλέλειπτο ὑπὸ τοῦ Θησέως, τὸν ἄπιστον ἐραστὴν φεύγοντα τοῖς ὀφθαλμοῖς οἱονεὶ μεθεπούσης. Εὐθὺς γὰρ ὡς ἐξηγέρθη τοῦ ὕπνου ἡ δύστηνος καὶ καταλελειμμένην ἑαυτὴν ἔγνω, περιβλέψασα κύκλῳ καὶ τὴν τοῦ Θησέως ἰδοῦσα ναῦν πλησίστιον ἀποπλέουσαν, ὥσπερ μαινάδος λίθινος τύπος ἔκθαμβος αὐτῇ ἐνητένιζε, δειναῖς τὴν ψυχὴν κλυδωνιζομένη μερίμναις. Εἰδ' ἐκεῖνο ἐνθυμηθείημεν, ὅτι ὁ λόγος ἐνταῦθα περὶ εἰκόνος, ἐν ᾗ τὸ κυριώτατον καὶ σεμνότατον τῆς ὅλης πράξεως μέρος ἐκλεξάμενον παριστάναι δεῖ τὸν τεχνίτην, τί ἂν ἀνυσιμώτερον εὕροιμεν ἐς τὸ ταῖς ψυχαῖς τῶν θεωμένων ὀδύνην καὶ ἔλεον ἐντεκεῖν ἢ τὴν τάλαιναν Ἀριάδνην ἐν τοιαύτῃ ψυχῆς διαθέσει ἐξεικασμένην, ἐγκαταλελειμμένην μὲν ὑπ' ἐραστοῦ ἀπίστου ἐπ' ἐρήμου ἀκτῆς, ὄμμασι δὲ τετηκόσι τῷ πόθῳ εἰς τὸ προκείμενον εὐρὺ πέλαγος ἀφορῶσαν; Οὐ μικρὸν δ' εἰς οἶκτον συμβάλλεται καὶ τὸ τὴν Ἀριάδνην ἐξεικάσθαι παρὰ τῇ ἀκτῇ ἱσταμένην καὶ εἰς τὰ κύματα τῆς παραμυκωμένης θαλάσσης τοὺς ἑαυτῆς ἐκχέουσαν ὀδυρμούς· ἐπιτήδειος γὰρ καὶ παρ' Ὁμήρῳ τοῖς ὀδυρομένοις εὕρηται τόπος ἡ τῆς πολυφλοίσβου θαλάσσης ἀκτή. (ἴδε Ἰλ. Α. 34, Ὀδυσ. Ε. 157 κ. ἑξ.) Κἀκεῖνο δ' ἐνταῦθα σημειωτέον, ὅτι ὁ ῥωμαῖος μελοποιὸς τὴν περιαλγῆ Ἀριάδνην οὔτε τὴν κόμην τίλλουσαν, οὔτε στερνοκοπουμένην, οὔτ' ἄλλο τι πράσσουσαν, οἷς ἡ τὴν ψυχὴν ἔνδον συνέχουσα λύπη ἔκδηλος γίγνεται, ἀλλὰ θάμβει μόνον κατεχομένην σοφῶς ἐποίησε καὶ ἀτημελῶς ἑαυτῆς ἔχουσαν· ὃ δὴ τὸ κάλλος αὐτῆς ἐξαίρει καὶ ἐπαγωγότερον ἀπεργάζεται.

Ὃ οὖν οἱ νεώτεροι διδάσκουσι Κριτικοὶ οἱ περὶ τὴν ἔρευναν τοῦ καλοῦ διατρίβοντες, δεῖν τοὺς γραφεῖς καὶ πλάστας, τὰ τῆς ψυχῆς πάθη ἔκδηλα ποιεῖν ἐν τοῖς ἑαυτῶν ἔργοις ἐθέλοντας, μηδαμῶς τῆς χάριτος ὀλιγωρεῖν καὶ τοῦ πρέποντος, ἀλλὰ φυλάττεσθαι ὅτι μάλιστα, ὅπως μὴ δυσμορφία

τις ἢ ἀκοσμία ἐκ τῆς τοῦ πάθους παραστάσεως προσγενήσεται τῇ εἰκόνι, τοῦθ' ἡδέως πάνυ τὸν ἡμέτερον Κάτουλλον τετηρηκότα ὁρῶμεν. Οὐκ ἄτοπον δ' ὑποθέσθαι, ὅτι καὶ γραφήν τινα οὗτος ἢ λαξευτὴν εἰκόνα εἶχε παράδειγμα ἐν τῷ τὴν Ἀριάδνην ὑποτυποῦν. Τὴν ταύτης τοίνυν προθεὶς ἡμῖν εἰκόνα ὁ ποιητής, ἐξηγητοῦ ἀναδέχεται ἔργον. Καὶ πρῶτον μὲν τὰ περὶ τοῦ ἔρωτος αὐτῆς πρὸς τὸν Θησέα καὶ τὰ τοῦ φόνου τοῦ Μινωταύρου διὰ μακροτέρων διέξεισιν· εἶτα δ' εἰς τὸ κάλλιστον ἔρχεται τοῦ ποιήματος μέρος, ἐν ᾧ ἄλλοις τε τῆς ψυχῆς πάθεσιν, ἃ τῇ λύπῃ φιλεῖ παρέπεσθαι, ἡ τάλαινα κόρη ἔνδον κυμαινομένη δείκνυται, καὶ δὴ καὶ τῇ ὀργῇ, ὑφ' ἧς εἰς δεινὰς προάγεται κατὰ τοῦ Θησέως ἀράς, ἐπιθειάζουσα γοερῶς καὶ ἀξίαν τῆς ἀπιστίας αὐτῷ τιμωρίαν παρὰ θεῶν αἰτουμένη. Ἐνταῦθα τὸν περὶ τοῦ θανάτου τοῦ Αἰγέως μῦθον παρασυνάπτει ὁ ποιητὴς δηλῶν δι' αὐτοῦ, ὅτι οὐ βραδεῖα τῷ Θησεῖ ἐπηνέχθη ἡ τιμωρία, ἀλλὰ ταχέως οὗτος δίκην τῆς ἀπιστίας ἔτισε, τῷ ἑαυτοῦ πατρὶ θανάτου γενόμενος αἴτιος, κἀν τῷ ἐπανήκειν οἴκαδε οὐ χαρᾶς, ὡς εἰκός, ἀλλὰ πένθους τὸν πατρικὸν οἶκον ἐμπλήσας. Τοῦτο δὲ τὴν ὑπὸ τῆς ἀπιστίας τοῦ Θησέως ἐν τῇ τοῦ ἀναγνώστου ψυχῇ διεγερθεῖσαν ἀγανάκτησιν ἁμωσγέπως πραΰνει. Ἁμαρτάνουσι δ', οἶμαι, οἱ φάσκοντες πάντα ταῦτα τῷ πέπλῳ ἐνυφασμένα ὁρᾶσθαι· οὔτε γὰρ τοῖς τοῦ ποιητοῦ ῥήμασι τοῦτο σημαίνεται, οὔτε δυνατὸν πράξεις τε καὶ πάθη τοσαῦτα ἐνεικονισθῆναι τῷ πέπλῳ.

Μετὰ τὰ περὶ Θησέως καὶ Ἀριάδνης ἐπὶ τὴν ἐξήγησιν ἑτέρας ἐν τῷ πέπλῳ εἰκόνος ὁ Κάτουλλος τρέπεται. Ἐνύφαστο γὰρ αὐτῷ καὶ Διονύσου εἰκὼν σὺν θιάσῳ καὶ πομπῇ βακχικῇ ἐπὶ τῆς νήσου Νάξου πλανωμένου, ὃς δὴ πρὸς τὴν δύστηνον ἐλθὼν κόρην, ἔρωτι αὐτῆς διακαεῖ αὐτίκα ἁλίσκεται. Ἴσως δ' ὁ ᾀσματοποιὸς ἐν τῷ ταῦτα ποιεῖν πρὸς ἀρχαῖόν τι τῆς γραφικῆς ἢ πλασικῆς τέχνης ἔργον ὁρῶν τὸ ἑαυτοῦ ᾆσμα

ἐρρύθμιζεν. Ἐπειδὴ γὰρ ἡ τοῦ Βάκχου καὶ τῆς Ἀριάδνης ἐν Νάξῳ ἔντευξις οὐκ ἄχαριν παρεῖχε τοῖς εἰκονογραφοῦσιν ὑπόθεσιν, εἰκὸς τῶν παλαιῶν ζωγράφων οὐκ ὀλίγους ταύτῃ μάλιστα ἐμφιλοτεχνῆσαι τῇ ὑποθέσει. Ἐκ τούτων τῶν παρεκβάσεων, αἳ μακρότεραι τοῦ δέοντος οὖσαι τῇ κυρίᾳ τοῦ ποιήματος ὑποθέσει ἐπισκιάζουσι, πλείστην ὅμως τοῖς ἀναγινώσκουσι παρέχουσι τέρψιν, ἐπάνεισιν ὁ ποιητὴς εἰς τοὺς τοῦ Πηλέως καὶ τῆς Θέτιδος γάμους. Μείζων δ' ἡμῖν ἐνταῦθα καὶ λαμπροτέρα ἐκκυκλεῖται σκηνή. Ὁ γὰρ ταπεινότερος τῶν θεατῶν ὄχλος, ᾧ χαλεποὶ καθ' Ὅμηρον Θεοὶ φαίνεσθαι ἐναργεῖς, ἱκανῶς ἀπολαύσας τῆς ἑορτῆς, τοῖς ἑξῆς εἰς τοὺς γάμους παραγιγνομένοις ἡμιθέοις καὶ θεοῖς τοῦ θαλάμου ἐξίσταται. Καὶ πρῶτοι μὲν μετὰ τοὺς ἀνθρώπους εἰσίασιν οἱ ἡμίθεοι· Χείρων καὶ Πηνειὸς καὶ Προμηθεύς, γαμήλια δῶρα κομίζοντες· εἶτα δ' ἕπονται οἱ θεοὶ καὶ πάντες παρακαθέζονται ταῖς εἰς εὐωχίαν ηὐτρεπισμέναις τραπέζαις. Αὕτη δήπου ἐστὶν ἡ κυκλοειδὴς καὶ σεμνοτάτη ἐκείνη τῶν θεῶν συνεδρία, ἣν Πίνδαρος (Νέμ. Δ. 66—68) ὕμνησε λέγων

> Εἶδεν δ' (ὁ Πηλεὺς) εὔκυκλον ἕδραν,
> Τᾶς οὐρανοῦ βασιλῆες πόντου τ' ἐφεζόμενοι
> δῶρα καὶ κράτος ἐξέφαναν ἐς γένος αὐτῷ.

Ὃ δ' οὖν ἐν τῷ γάμῳ ἔργον ὁ μὲν Θηβαῖος μελοποιὸς (Πύθ. Γ'. 88—92) ταῖς Μούσαις ἀπένειμεν, ἄλλοι δὲ τῶν ἀρχαίων πᾶσι τοῖς ἐκεῖ συνευωχουμένοις θεοῖς, τοῦθ' ὁ Κάτουλλος ἐπινοίᾳ ἀρίστῃ χρησάμενος εἰς τὰς Μοίρας μετήνεγκε· τὰς γὰρ γενεθλίους ταύτας θεὰς παρούσας καὶ τὸν ὑμέναιον ᾀδούσας ποιεῖ, τῷ γάμῳ καὶ τῷ ἐξ αὐτοῦ βλαστήσοντι γένει τὰ μοιραῖα ἐπινηθούσας. Τοῦτ' αὐτὸ δ' Ἀριστοφάνης φησὶ (Ὀρνιθ. 1734) κἂν τῷ τοῦ Διὸς γάμῳ πρότερον πεποιηκέναι τὰς Μοίρας. Εἰ δ' αὗται οὐκ αἰνιγματώδη

οὔθ' ἑλικτά, ὥσπερ εἴθισται τοῖς μαντευομένοις, ἀλλὰ σαφῆ λίαν καὶ πᾶσιν εὐσύνετα περὶ Ἀχιλλέως θεσπιῳδοῦσιν, οὐδαμῶς τοῦθ' ἁμάρτημα τοῦ ποιητοῦ λογιστέον ἡμῖν, ἐκεῖνο μάλιστα μεμνημένοις, ὅτι ἐπὶ θεῶν ἀκριβῶς τὸ μέλλον εἰδότων ἐκεῖνα ᾄδουσιν αἱ προφήτιδες. Λήξαντος τοῦ ὑμεναίου εἶχεν ὁ ποιητὴς καὶ τῷ ὅλῳ ᾄσματι ἐπιθεῖναι πέρας· ἀλλ' ἔδοξεν αὐτῷ μικρὸν ἔτι τοὺς ἐντευξομένους ψυχαγωγῆσαι καλὸν τῷ ποιήματι προσθέντι ἐπίλογον, ἐξ οὗ δὴ οὗτοι μανθάνοντες, ὅτι ταῖς τῶν θνητῶν συνόδοις πάλαι παρεγίγνοντο οἱ θεοί, ἅτε δὴ πρὸς αὐτοὺς μήπω διὰ τὰς ἀνοσιουργίας ἐξηλλοτριωμένοι, τὰς ἔτι παλαιοτέρας ἐκείνας ἐν τοῖς ἡρωϊκοῖς χρόνοις θεοφανείας πιστοτέρας ἡγήσονται. Καὶ περὶ μὲν τῆς τοῦ ποιήματος ὑποθέσεως ἱκανὰ ταῦτα.

Ἡ δ' ἐπιγραφὴ διττὴ φέρεται ἔν τε ταῖς ἀρχαιοτέραις καὶ ταῖς νεωτέραις ἐκδόσεσι. Καὶ ἡ μὲν ἀρχαιοτέρα ἐκείνη, Ἀργοναυτικά, ἁρμόττουσα μὲν τῷ προοιμίῳ, τῇ δ' ὅλῃ τοῦ ποιήματος ὑποθέσει ἀπᾴδουσα, εἰκότως ὑπὸ τῶν πλειόνων πρὸ πολλοῦ ἀπεδοκιμάσθη. Ἑτέρα δ' ἐν κοινῇ σχεδὸν χρήσει ἐστὶ νῦν αὕτη, ἐπιθαλάμιον Πηλέως καὶ Θέτιδος, πολλάκις ἤδη καὶ αὐτὴ ὑπ' ἐκείνων πολεμηθεῖσα, οἳ τὸ ᾆσμα τοῦτο οὐ κατὰ τὸν τύπον τῶν ἐκ τῆς ἀρχαιότητος ἐς ἡμᾶς διασεσωσμένων ἐπιθαλαμίων συντετάχθαι νομίζουσι. Τῷ δέ γε Δοιριγγίῳ, ᾧ περ ἐν τῇ εἰσαγωγῇ ταύτῃ ἔγνωκα κατακολουθῆσαι, οὐχ ἁπλῶς ἐκεῖνο Κάτουλλος προθέσθαι δοκεῖ, Πηλέως καὶ Θέτιδος ἐπιθαλάμιον ᾆσαι. Τοῦτο δ' ἐκ τῆς ὅλης τοῦ ποιήματος διαθέσεως καὶ δὴ κἀκ τῶν μακρῶν ἐν αὐτῷ τεκμαίρεται παρεκβάσεων, αἳ τοῖς ἀληθέσιν ἐπιθαλαμίοις ἥκισθ' ἁρμόττουσαι φαίνονται· εἰ γάρ, φησί, περὶ τῶν γάμων μόνον ἐκείνων μελοποιῆσαι ἐβούλετο Κάτουλλος, οὐκ ἂν πόῤῥω τοὺς τὸ ᾆσμα κοσμήσοντας μύθους ἐζήτησεν, ἀλλ' οἱ γάμοι αὐτοὶ ἀφθονίαν ἂν μύθων παρέσχον αὐτῷ, ὧν ἔστι πολλοὺς ἰδεῖν ἐν τῇ τοῦ Τζέτζου ἐκείνῃ ἐς Λυκόφρονα

πολυμιγίᾳ στ. 178 κ. ἑξ. Εἰδ' ὑποθείημεν τοὐναντίον, (ὅπερ καὶ πιθανώτερον) πρὸς ἐκεῖνο τὸν ποιητὴν ἀπιδεῖν μουσουργοῦντα τὸ ᾆσμα, ὅπως μάλιστα μὲν τοὺς τοῦ Αἰακίδου καὶ τῆς καλῆς Νηρεΐδος γάμους ὑμνήσειεν, εἶθ' ὅμως καὶ ἄλλους τινας μύθους ἐκ τῶν ἡρωϊκῶν τῆς Ἑλλάδος χρόνων ῥυθμῷ τῷ αὐτῷ ἐντείνας παρασυνάψειεν, ὥστε τῇ ποικιλίᾳ μείζω τοῖς ἐντευξομένοις παρασκευάσαι τὴν τέρψιν, ῥᾷον ἂν ἐντεῦθεν καταμάθοιμεν τὴν τοῦ ποιήματος οἰκονομίαν καὶ λόγον περὶ ταύτης ἡμῖν τε αὐτοῖς καὶ τοῖς ἄλλοις διδόναι ἔχοιμεν· οὔτ' ἂν δίκαιος ἡμῖν ἔτι φανείη ὁ πολὺς ψόγος, ὃν οἱ σοφοὶ κατήντλησαν τῶν ἐν τῷ ποιήματι παρεκβάσεων, ὡς ἂν μακροτέρων καὶ πλειόνων οὐσῶν τοῦ προσήκοντος, ἢ ἀναρμόστων καὶ πρὸς ἀλλήλας ἀσυναφῶν. Καί περ οὖν τὸ προκείμενον ᾆσμα, εἴ τις τὴν περὶ τὸ τέλος αὐτοῦ τῶν Μοιρῶν θεσπιῳδίαν ἐξέλοι, οὐδὲν σχεδὸν ἔχον τῷ εἴδει τῶν κυρίως καλουμένων ἐπιθαλαμίων προσῆκον, ἐπειδὴ ὅμως εἰς τοὺς τοῦ Πηλέως καὶ τῆς Θέτιδος γάμους συντέθειται, οἱ δ' ἄλλοι μῦθοι δίκην ἐπικοσμημάτων προσήρτηνται, οὐκ ἂν ἀπεικότως ἡμῖν ἐ π ι θ α λ ά μ ι ο ν κατὰ τὴν εὐρυτέραν τοῦ ὀνόματος σημασίαν καλοῖτο. Πάντα τοίνυν παραλιπόντες, ὅσα ὑπὸ πολλῶν εἰς ἔπαινον τοῦ ποιήματος εἴρηται, τῶν καλλίστων ἐν αὐτῷ ἀπολαύσωμεν ἀνθυλλίων, ἃ τῷ ποιητῇ πολλαχόθεν καὶ ἐκ τόπων πολὺ διεστώτων συνείλεκται. Ἥκει δ' ἡμῖν πρὸς μείζονα τέρψιν ἡ τῶν καλῶς πρὸς ἀλλήλας μεμιγμένων χροιῶν τε καὶ ὀσμῶν ποικιλία.

Νῦν δὲ καὶ περὶ τοῦ ζητήματος ἐκείνου χρὴ βραχέα διαλαβεῖν, περὶ ὃ πολλὰ πονήσαντες οὐ πολύ τι ἤνυσαν οἱ ἑρμηνευταί. Ἐπειδὴ γὰρ ἐκ τῆς ὅλης χροιᾶς τοῦ ποιήματος κατάδηλον γίγνεται, ὅτι ὁ τοὺς Ἕλληνας ποιητὰς σπουδῇ πλείστῃ μιμησάμενος Κάτουλλος κἀνταῦθα τὸ νᾶμα ἐκ τῆς ἐκείνων πηγῆς εἰς τὰς ἑαυτοῦ πρασιὰς διωχέτευσε, πολλάκις ἐζήτηται, τίνα ἄρα τῶν εἰρημένων ποιητῶν μάλιστα

ἑαυτῷ εἰς μίμησιν προὔθετο. Ἦν μὲν οὖν Ἡσιόδου ἐπιθαλάμιον εἰς Πηλέα καὶ Θέτιν ὑπὸ Σκαλιγήρου ἤδη ἐπαινεθὲν (ἴδε Heune ad Apollod. σελ. 764)· ἦν δ' ἕτερον Ἀγαμήστορος Φαρσαλίου, ἐξ οὗ χωρία τινὰ ὁ Τζέτζης ἡμῖν παρατέθεικεν (εἰς Λυκόφρ. 178)· ἀλλ' οὐδέτερον τούτων ὁ ἡμέτερος ποιητὴς ἐνταῦθα δοκεῖ ἀπομάξαι, ἅτε οὐχ ἁπλῶς ἐπιθαλάμιον, ὡς ἄνω εἴρηται, συνθεῖναι ἑλόμενος. Εἶδέ τινα κἀκεῖθεν εἰς ἰδίαν ἀπελέξατο χρῆσιν, (ὃ δὴ ἡμῖν δοκεῖ πιθανόν, τοὺς στίχους 25—27 πρὸς τὸ Ἡσιόδειον ἀπόσπασμα παραβάλλουσι) πάντως ὀλίγα ταῦτα· τὰ δὲ πλεῖστα τοῦ τῆς Ἀριάδνης μύθου ἀλλαχόθεν μᾶλλον ἐρανισάμενος φαίνεται. Εὕρηται παρὰ Κικέρωνι ἐν ταῖς πρὸς Ἀττικὸν ἐπιστολαῖς (Βιβλ. ή. ἐπιστ. έ) ἀρχαίου ποιητοῦ ἀπόσπασμα τόδε.

» . . . . ῥίψαι
» Πολλὰ μάτην κεράεσσιν ἐς ἠέρα θυμήναντα.

Ἐπειδὴ δὲ τοῦτο τῷ περὶ Μινωταύρου ἐκείνῳ 111 ςίχῳ τοῦ προκειμένου ποιήματος συμφωνεῖ, οὐκ ἀπιθάνως ἄν τις εἰκάσειεν ἐν τῷ τῆς Ἀριάδνης μύθῳ τὸν ἀρχαῖον ἐκεῖνον καὶ ἄγνωστον ἡμῖν ποιητὴν ἀπομιμήσασθαι τὸν ἡμέτερον Κάτουλλον. Καθόλου δ' εἰπεῖν, θαῤῥούντως ἔχοι τις ἂν ἀποφήνασθαι, ὅτι οὐ περὶ τὴν μίμησιν τοῦδε μόνου ἢ τοῦδε τῶν Ἑλλήνων ποιητῶν ὁ ῥωμαῖος μελογράφος ἐσπούδασεν (ὅπερ ἐν ἐνίοις μόνον τῶν ἑαυτοῦ ᾀσμάτων ἐποίησεν, ἐκ τῶν τῆς Σαπφοῦς καὶ τοῦ Καλλιμάχου κατὰ πόδα ἐς τὴν ῥωμαΐδα μετενεχθεῖσι φωνήν), ἀλλὰ μελίσσης δίκην τοὺς τῆς ἑλληνικῆς ποιήσεως περιπτὰς λειμῶνας, εἴτι ἐν τοῖς ἄνθεσι τούτων ἥδιστον, ἀπεμύζησεν· ὃ δὴ ἐκ τῶν ἐν τῷ ᾄσματι τούτῳ προφανῶν ἀπομιμημάτων ἱκανῶς, οἶμαι, δηλοῦται. Ὅτι μὲν γὰρ ἐκ τοῦ ἔναγχος ἀνακαλυφθέντος ὁμηρικοῦ εἰς Δήμητρα ὕμνου πολλὰ ὁ Κάτουλλος εἰς τὸ ἑαυτοῦ ᾆσμα

μετήνεγκε, σαφῶς ἔδειξεν ὁ Ῥουγκένιος ἐν τῷ εἰς τὸν αὐτὸν ὕμνον προλόγῳ· ὅτι δὲ κἀκ τῶν Θεοκρίτου εἰδυλλίων, καὶ μάλιστα ἐκ τῶν Ἀδωνιαζουσῶν, οὐκ ὀλίγα ἐξεμιμήσατο, ἔστιν ἰδεῖν ἐν ταῖς τοῦ Οὐαλκεναρίου εἰς τὰς Ἀδωνιαζούσας σοφαῖς σημειώσεσιν· ὅτι δ' ἐκ τῶν Ἀπολλωνίου τοῦ Ῥοδίου Ἀργοναυτικῶν πλείω τῶν εἴκοσι χωρία ἁπλῶς ὑπ' αὐτοῦ μεθηρμήνευται, ἐμφανὲς κατέστησεν ὁ Μισχερλίχιος ἐν ταῖς εἰς Κάτουλλον ἀναγνώσεσι. Τέλος δὲ καὶ ὁ 164 στίχος ἀπομίμησις ἐλέγχεται ὧν τοῦ 1451 στίχου τῆς Κασσάνδρας Λυκόφρονος, ὃν καὶ ἀλλαχοῦ ἐν ὀφθαλμοῖς εἶχε. Καθόλου δέ μοι δοκεῖ Κάτουλλος τὴν τῶν Ἀλεξανδρινῶν μάλιστα μιμήσασθαι ποίησιν· ταύτης γάρ, εἴ γε τῇ γνώμῃ μὴ σφάλλομαι, τὸ προκείμενον ᾆσμα μάλιστα ἀποπνεῖ.

Λοιπὸν δ' ἂν εἴη ἔτι καὶ περὶ τῆς ἐμῆς μεταφράσεως βραχέ' ἄττα εἰπεῖν. Τῶν τοίνυν ἀλλόθροα ποιήματα ἢ συγγράμματα ἐς τὴν οἰκείαν μεταφερόντων φωνὴν οἱ μὲν τῆς διανοίας μόνον καθόλου στοχάζονται, τῆς δὲ λέξεως λίαν ὀλιγωροῦσι, δουλικὸν ἡγούμενοι τὸ περὶ τὴν ζήτησιν λέξεως ἀκριβῶς ταὐτοειδοῦς καὶ ταὐτοδυνάμου τῇ μεθερμηνευτέᾳ σπουδάζειν· οἱ δ' αὖ πᾶν τοὐναντίον οὕτω πέρα τοῦ δέοντος τῇ λέξει προσέχουσιν, ὥστε ῥῆμα πρὸς ῥῆμα ἀποδιδόντες πολλαχοῦ τὴν φράσιν ξενίζουσιν, ἄχαριν δὲ διὰ τοῦτο τὸν λόγον καὶ δυσνόητον ἀπεργάζονται. Ἔστι δὲ καὶ μέση τις τούτων ὁδός, ἣν αὐτὸς προειλόμην βαδίσαι. Τὸ γὰρ κατὰ λέξιν μεθερμηνεύειν μέχρι τούτου μόνον ἔγνων ἐπιτηδεῦσαι, ἐς ὅσον εἶχον τοῖς τοῦ κειμένου ῥήμασιν ἀκριβῶς παρακολουθῶν μήτε ξενοφωνεῖν ἢ ἑλληνικῆς χάριτος ὅλως ἄμοιρα φθέγγεσθαι, μήτ' ἀσαφῆ λέγειν καὶ σκοτεινά· τοὐναντίον δὲ τῆς διανοίας μᾶλλον ἐφρόντισα, χαίρειν φράσας τοῖς ῥήμασιν, ὅπου γε τούτοις μοι οὐκ ἐνῆν δουλικῶς παρακολουθεῖν ἄνευ τοῦ ὀλιγωρῆσαι ὑπὲρ τὸ προσῆκον τῆς καθ' Ἕλληνας ἀκριβείας καὶ εὐεπείας. Εἴ τις οὖν τὴν ἐμὴν τήνδε μετάφρασιν τῷ ῥωμαϊκῷ κει-

μένῳ παρεξετάσειεν, εὕροι μὲν ἄν που μιᾷ λέξει αὐτὴν πλεονάζουσαν ἢ ἐλαττουμένην, ἢ μικρὸν τῆς κυριολεξίας ἐκβαίνουσαν, ἀλλὰ τὸν νοῦν πιστὴν πανταχοῦ καὶ τὰ τοῦ ῥωμαίου ποιητοῦ κατὰ στίχον ἀποδιδοῦσαν. Ἴσως δ' οὐ περιττὸν κἀκεῖνο ἐνταῦθα προσθεῖναι, ὅτι πολλαχοῦ τῆς μεθερμηνείας, μάλιστα δ' ἐν τῇ ἐξηγήσει τῶν τοῦ πέπλου εἰκόνων, ἐπὶ τὸ διηγηματικώτερον τὸν λόγον μετέβαλον, ἀντὶ ἐνεστῶτος ἱστορικοῖς χρησάμενος χρόνοις.

KEIMENON.

Peliaco quondam prognatae vertice pinus
dicuntur liquidas Neptuni nasse per undas
Phasidos ad fluctus et fines Aeetaeos;
cum lecti iuvenes, Argivae robora pubis,
auratam optantes Colchis avertere pellem
ausi sunt vada salsa cita decurrere puppi,
caerula verrentes abiegnis aequora palmis.
Diva quibus retinens in summis urbibus arces
ipsa levi fecit volitantem flamine currum,
pinea coniungens inflexae texta carinae.
Illa rudem cursu prima imbuit Amphitriten.
Quae simul ac rostro ventosum proscidit aequor,
tortaque remigio spumis incanduit unda,
emersere feri candenti e gurgite vultus,
aequoreae monstrum Nereides admirantes.
Illa, siqua alia, vederunt luce marinas
mortales oculi nudato corpore Nymphas
nutricum tenus extantes e gurgite cano.
Tum Thetidis Peleus incensus fertur amore,
tum Thetis humanos non despexit hymenaeos,
tum Thetidi pater ipse iugandum Pelea sensit.
O nimis optato saeclorum tempore nati
heroes, salvete, deum genus, o bona mater.
Vos ego saepe, meo vos carmine compellabo,

ΕΛΛΗΝΙΚΗ ΕΜΜΕΤΡΟΣ ΜΕΘΕΡΜΗΝΕΙΑ.

ΠΗΛΙΑΔΟΣ κορυφῆς ἐκφύντα πρίν ποτε δοῦρα
κῦμα Ποσειδῶνος διανήξανθ', ὡς φάτις, ὑγρόν,
Φάσιδος ἷξε ῥόον δεινοῦ χθόνα τ' Αἰήταο.
ἐν δὲ νέοι λογάδες, ἀργείης ἔκκριτοι ἥβης,
ἱέμενοι Κόλχων χρύσεον δέρας ἐξαφελέσθαι,
βάντες, ἔτλαν ἅλμην διαπρήσσειν νηῒ ταχείῃ,
οἶδμα πλάτῃς σαίροντες ὑπ' εἰλατίνῃσι κελαινόν.
τοῖσι θεὰ ὀβρίμη, πολίων κατέχουσα κάρηνα,
αὐτὴ τεῦξεν ὄχημα θέον πνοιῇσιν ἀφαυρῆς,
ζεύξασα στείρῃ ἐπικαμπέϊ πεύκινα δοῦρα.
Πρώτη ναῦς ἀπλόου κείνη πειρήσατο πόντου·
αὐτίκα δ' ὡς ἔτμηξε δυσήνεμον ἐμβόλῳ οἶδμα,
κῦμά τ' ἀφρῷ λευκάνθη ὑπὸ πληγῇσιν ἐρετμῶν,
λευκῆς ἐξανέδυσαν ἁλὸς βλοσυρῇσιν ὀπωπῇς
ποντογενεῖς κοῦραι θηεύμεναι ἄντα πέλωρον.
ἤματι δὴ κείνῳ, εἰ κἄλλοτ', ἐσέδρακεν ἀνδρῶν
ὄμμ' ἁλίας νύμφας φαινούσας σώματα γυμνά,
βένθεος ἀφρώδους ἄχρι μαζῶν ἐξανεχούσας.
δὴ τότ' ἔρῳ Θέτιδός φασιν Πηλῆα φλεγῆναι.
δὴ τότε λέκτρα Θέτις οὐκ ἠτίμησε βρότεια.
δὴ τότε καὶ γενέτης Πηλεῖ Θέτιν ἁρμόσαι ἔγνω.
ὔμμες δ', οἵτ' ἐγένεσθε κατ' αἰῶνας πολυεύκτους,
ἥρωες, χαίροιτε, θεῶν φύτλη ὀλβιομῆτορ!
πολλάκις αὐτὸς ἐμῆς ὑμέας προσφθέγξομ' ἀοιδῆς.

teque adeo eximie taedis felicibus aucte
Thessaliae columen Peleu, cui Juppiter ipse,
ipse suos divum genitor concessit amores.
tene Thetis tenuit pulcherrima Neptunine?
tene suam Tethys concessit ducere neptem,
oceanusque, mari totum qui amplectitur orbem?
quae simul optatae finito tempore luces
advenere, domum conventu tota frequentat
Thessalia, oppletur laetanti regia coetu:
dona ferunt prae se, declarant gaudia vultu.
deseritur Scyros, linquunt Phthiotica Tempe
Cranonisque domos ac mœnia Larissaea.
Pharsalum coëunt, Pharsalia tecta frequentant.
Rura colit nemo, molescunt colla invencis.
Non humilis curvis purgatur vinea rastris,
non glebam prono convellit vomere taurus,
non falx attenuat frondatorum arboris umbram,
squalida desertis rubigo infertur aratris.
Ipsius at sedes, quacunque opulenta recessit
regia, fulgenti splendent auro atque argento.
candet ebur soliis, collucent pocula mensae,
tota domus gaudet regali splendida gaza.
pulvinar vero divae geniale locatur
sedibus in mediis, Indo quod dente politum
tincta tegit roseo conchyli purpura fuco.
haec vestis priscis hominum variata figuris
heroum mira virtutes indicat arte.
namque fluentisono prospectans litore Diae
Thesea cedentem celeri cum classe tuetur
indomitos in corde gerens Ariadna furores,
necdum etiam sese, quae visit, visere credit,
ut pote fallaci quae tum primum excita somno

καὶ σὲ προσαυδῶ, ὃν ὀλβήεις μεγάλυν' ὑμέναιος
Θεσσαλίης κίον Πηλεῦ, τῷ τ' αὐτὸς ἐρώτων
εἶξεν ἑῶν ἐθέλων γενέτωρ μέγας ἀθανάτων Ζεύς.
οὐ Θέτις εἰναλίη σ' ἠγκάσσατο εἶδος ἀρίστη;
οὐχ ἣν θυγατριδῆν Τηθύς σοι δῶκεν ὀπυίειν,
ὠκεανὸς θ' ὑδάτεσι περικλύζων χθόνα πᾶσαν;
Ὡς οὖν εὐκτὴ τοῖσι προθεσμίη ἤλυθεν ἠώς,
Θεσσαλίης ναέται κατὰ δώματα ἠγερέθοντο
Πηλέος, ἐν δ' ἔπλησαν ἀνάκτορα γηθόσυνοι κῆρ.
δῶρ' ἔφερον, σφετέρῳ δ' ἐνέφαινον χάρμα προσώπῳ·
Σκῦρος ἐχηρώθη, φθιωτικὰ Τέμπε' ἐλείφθη,
Κρανῶνός τε δόμοι καὶ τείχεα λαρισσαῖα.
Φάρσηλον θαμέες φαρσήλια δώματα τ' ἦλθον.
Οὔτις ἄρουραν ἔτεμνε· βοῶν δ' ἐμαλάσσετο δειρή.
οὐκ οἴνην χθαμαλὴν κυρτὴ σμινὺς ἀμφεκάθαιρεν,
οὐ βῶλον προπρηνεῖ ἀνέστρεφεν ὕννιϊ ταῦρος,
οὐ κλαστὴρ ζάγκλῳ περιτέμνεν φυλλάδα δένδρων·
ἶζανε δ' αὐχμήεις ἐπ' ἀεργοῖς ἰὸς ἀρότροις.
αὐτοῦ δῶμα δ' ἅπαν καὶ ἐν μυχίοις θαλάμοισι
μάρμαιρε χρυσῷ τ' ἠδ' ἀργύρῳ αἰγλήεντι.
στίλβ' ἐλέφας θώκων, δέπα δ' αὖτε στίλβε τραπέζης,
γήθετο δ' οἶκος ἅπας, πλούτῳ σελαγῶν βασιλείῳ.
Νυμφίδιον δὲ θεῆς λέχος ἐν δόμῳ ἵδρυτο μέσσῳ,
ἰνδῴου ξεστοῖο τετυγμένον εὖ μάλ' ὀδόντος,
τοῦ ῥοδόχρουν πεπέταστ' ἐφύπερθεν ὕφασμ' ἁλιεργές.
Πέπλος ὃ δ' ἀρχαίων ἠνθισμένος εἰκόσιν ἀνδρῶν
ἐντέχνως ἐνέφαιν' ἡρώων πρόκλυτα ἔργα.
Ἐν γὰρ ἀποσκοπέουσα πολυφλοίσβου ἀπὸ θινὸς
Δίης ὠκυπόροισιν ἀποπλώοντα νέεσσι
Θησέα δεινῷ ἄχει Ἀριάδνη κῆρ βεβόλητο,
οὐδ' ἐτεῇ ὁράαν πω ἐπείθετο ὅσσα ὁρᾶτο,
οἷα δὴ ἄρτι λυθεῖσ' ἐξ ὕπνου φρασσαμένη τε,

desertam in sola miseram se cernat arena.
immemor at iuvenis fugiens pellit vada remis,
irrita ventosae linquens promissa procellæ.
quem procul ex alga maestis Minois ocellis,
saxea ut effigies bacchantis, prospicit, euhoe,
prospicit et magnis curarum fluctuat undis,
non flavo retinens subtilem vertice mitram,
non contecta levi velatum pectus amictu,
non tereti strophio lactentis vincta papillas,
omnia quae toto delapsa e corpore passim
ipsius ante pedes fluctus salis alludebant.
Sed neque tum mitrae neque tum fluitantis amictus
illa vicem curans toto ex te pectore, Theseu,
toto animo, tota pendebat perdita mente.
ah misera, assiduis quam luctibus externavit
spinosas Erycina serens in pectore curas
illa tempestate, ferox quo tempore Theseus
egressus curvis e litoribus Piræi
attigit iniusti regis Gortynia tecta.
Nam perhibent olim crudeli peste coactam
Androgeoneæ pœnas exsolvere cædis
electos iuvenes simul et decus innuptarum
Cecropiam solitam esse dapem dare Minotauro.
quîs angusta malis cum mœnia vexarentur,
ipse suum Theseus pro caris corpus Athenis
proiicere optavit potius quam talia Cretam
funera Cecropiæ nec-funera portarentur:
atque ita nave levi nitens ac lenibus auris
magnanimum ad Minoa venit sedesque superbas.
Hunc simul ac cupido conspexit lumine virgo
regia, quam suavis expirans castus odores
lectulus in molli complexu matris alebat,

ὅττι ῥα κεῖθι λέλειπτο δυσάμμορος οἴη ἐπ' ἀκτῇ.
κοῦρος δ' ἀμνήμων ἀπιὼν ἅλα τύπτεν ἐρετμοῖς,
ὅρκια δοὺς ἀνέμοισι φέρειν μεταμώνια λάβροις.
τὸν δ' ἔκαθεν Μινωῒς ἀπ' ἠϊόνος περιαλγής,
ὥστε τις Εὐϊάδος λαξευτὴ δέρκετο εἰκών·
δέρκετο, καὶ λυγροῖσι κλυδάζετο κήδεσιν ἦτορ.
οὐ μίτρη λεπτὴ ξανθὸν κάρη ἄμπεχε κείνης.
οὐκ ἐσθὴς κούφη καλὰ στέρν' ἀμφεκάλυπτεν,
οὐ στρόφιον μαστοὺς σφαραγεῦντας εὔπλοκον ἴσχε.
πάντα χαμαὶ σποράδην ἀπὸ σώματος αὖθι χυθέντα,
κούρης πάρ' πόδεσιν ῥοθίοις ἅλμης δονέοντο.
ἡ δ' οὔθ' ἧς μίτρης οὔτ' ἀμπεχόνης ἀλέγουσα
κύματι βαλλομένων, κραδίῃ, Θησεῦ, ὅλῃ εἰς σέ,
θυμῷ ὅλῳ καὶ ὅλῃσιν ἀνήρτητο φρεσὶν ἔκνους·
δύσμορος, ἣν θαμινῆς νόου ἐξέστησ' ὀδύνῃσιν
ὀξυτόρους Ἐρυκίνη ἐνεῖσα θεὰ μελεδῶνας
ἤματι δὴ κείνῳ, ὁπότ' Αἰγείδης ἀτέραμνος,
ἠϊόνος κοίλης ἀποπλεύσας Πειραιῆος,
ἵκετο τῆλ' ἀδίκου γορτύνια δώματ' ἄνακτος.
Φασὶ γάρ, ὡς λοιμῷ ποτ' ἀναγκασθεῖσ' ἀλεγεινῷ
Κεκροπίη φόνον Ἀνδρόγεω τῖσαι πολύδακρυν,
ἠϊθέους λογάδας καὶ ἄωτον παρθενικάων
Μινωταύρῳ δαῖτα πικρὴν εἰώθεε πέμπειν.
τοῖσι δ' ἐπεὶ περίερκτον ἐτρύχετο ἄστυ κακοῖσιν,
αὐτὸς ὑπὲρ πόλιος πολυηράτου εἵλετο Θησεὺς
ψυχὴν παρθέσθαι ἢ Κεκροπίης ἀπὸ γαίης
τοίους ἐς Κρήτην νεκροὺς, ἀπάγεσθαι ἀνέκρους·
τοὶ γὰρ νηῒ θοῇ αὔρῃς πλείων τ' ἀκαλῇσι
πρὸς Μίνω μεγάλαυχον ἴδ' ἀγλαὰ δώματ' ἀπῆλθε.
τὸν δ' ὡς παρθενικὴ βασιλὶς κλαδαροῖσιν ἐσεῖδεν
ὄμμασι, τὴν κλισμοῖσιν ἐπ' εὐόδμοις ἀτίταλλε
μήτηρ, ἀγκοίνης ἀγαπάζουσ' ἐν μαλακῇσιν,

quales Eurotae progignunt flumina myrtus
aurave distinctos educit verna colores,
non prius ex illo flagrantia declinavit
lumina, quam cuncto concepit corpore flammam
funditus atque imis exarsit tota medullis.
heu misere exagitans immiti corde furores,
sancte puer, curis hominum qui gaudia misces,
quæque regis Colgos quæque Idalium frondosum,
qualibus incensam iactastis mente puellam
fluctibus in flavo saepe hospite suspirantem!
quantos illa tulit languenti corde timores!
quanto saepe magis fulgore expalluit auri!
cum saevum cupiens contra contendere monstrum
aut mortem oppeteret Theseus aut premia laudis,
non ingrata, tamen frusta, munuscula divis
promittens tacito suspendit vota labello.
Nam velut in sumo quatientem brachia Tauro
quercum aut conigeram sudanti cortice pinum
indomitus turbo contorquens flamine robur
eruit (illa procul radicibus exturbata
prona cadit, late, qua est impetus, omnia frangens),
sic domito sævum prostravit corpore Theseus
nequicquam vanis iactantem cornua ventis,
inde pedem sospes multa cum laude reflexit
errabunda regens tenui vestigia filo,
ne labyrintheis e flexibus egredientem
tecti frustraretur inobservabilis error.
Sed quid ego a primo digressus carmine plura
commemorem, ut linquens genitoris filia vultum,
ut consaguineæ complexum, ut denique matris,
quae misera in gnata deperdita lætabatur,
omnibus his Thesei dulcem praeoptavit amorem,

οἵας Εὐρώτας μύρτους φύει εὐρυρέεθρος,
ἢ οἷα τρέφει ἄνθε' εὔχροα ἠρινὴ αὖρα,
οὐ κείνοιο πάρος πυρόεσσαν ἀπέτραπ' ὀπωπήν,
πρὶν γ' ὅτ' ἐνὶ μελέεσσ' αἰνὴν φλόγα δέξατ' ἔρωτος,
πᾶσα δ' ἀνεφλέχθη καὶ ἐνὶ μυχάτοις μυελοῖσιν.
Ὦ πάϊ δαιμόνι, ὃς μερόπων οἴστροισιν ὀρίνεις
δυστήνων κραδίας, μελεδῶσί τε γήθεα μίσγεις.
Γόλγων τ' ὦ σὺ μέδουσα καὶ εὐσκίου Ἰδαλίοιο.
οἵοις θεινομένην ἠθύξατε κύμασι κούρην
ξείνου ξανθοκόμοιο θαμὰ στενάχουσαν ἔρωτι!
ὅσσα δὲ θυμῷ ἔτλη τηξίφρονα δείματ' ἐκείνη!
ὡς δὲ θάμ' ὤχρησε χρυσοῦ πλέον αὐγήεντος!
Θησεὺς δ' εὖτε πελώρου ἐναντίος ἵετο βῆμεν
νηλειοῦς, πότμον διζήμενος ἢ κλέος ἐσθλόν,
πόλλ' ἱμερτὰ θεοῖσιν, ὅμως γε μάτην, τότε δῶρα
κείνη ὑπισχομένη ἐπὶ χείλεσιν εὔγματ' ἔρυξεν.
Ὡς γὰρ ἐφ' ὑψηλοῖο τανύπτορθον δρύα Ταύρου,
ἢ βλωθρὴν πεύκην ὀπόεσσαν κωνοφορεῦσαν,
πνοιῇ ἀμαιμακέτῃ ἐλελίξασ' αἰνὴ ἄελλα
πρέμνισεν, ἣδ' ἅμα πρόῤῥιζος σπασθεῖσ' ἀπὸ γαίης
ἤριπε, πάντα δ', ὅσον τ' ἐφίκοιτο πρόσω, συνέθραυσε,
τὼς ἄγριον δαμάσας Θησεὺς τέρας ἐξετάνυσε,
γυρὰ κέρα κενεὰς εἰκῇ δινεῦον ἐς αὔρας.
εἶτα δ' ὑπ' εὐλογίης πάλιν ἔτραπε σῶς πόδας ἔξω,
νήματι λεπταλέῳ ἰθύνων ἴχνια πλαγκτά,
ὄφρα πολυγνάμπτου ἐξερχόμενον Λαβυρίνθου
μή μιν δυσκρινέες οἴκου ἀπάφοιεν ἑλιγμοί.
Ἀλλὰ τίη πρώτης παραπλαγχθεὶς ἐνθάδ' ἀοιδῆς
πόλλ' ἐνέπω; τί λέγω, ὡς δὴ προλιποῦσα τοκῆα
κούρη καὶ προσπτύγματ' ἀδελφῆς καὶ γενετείρης,
ἣ θ' ἑῇ αἰνοτόκεια λίην ἐπετέρπετο παιδί,
Θησῆος πάντων ἀνθείλετο ἡδὺν ἔρωτα;

aut ut vecta ratis spumosa ad litora Diæ,
aut ut eam tristi devinctam lumina somno
liquerit immemori discedens pectore coniunx?
Saepe illam perhibent ardenti corde furentem
clarisonas imo fudisse e pectore voces,
ac tum praeruptos tristem conscendere montes,
unde aciem in pelagi vastos protenderet aestus,
tum tremuli salis adversas procurrere in undas
mollia nudatæ tollentem tegmina suræ,
atque hæc extremis maestam dixisse querelis,
frigidulos udo singultus ore cientem.
Siccine me patriis avectam, perfide, ab oris,
perfide, deserto liquisti in litore, Theseu?
siccine discedens neglecto numine divum
immemor ah devota domum periuria portas?
nullane res potuit crudelis flectere mentis
consilium? tibi nulla fuit clementia præsto,
immite ut nostri vellet mitescere pectus?
at non hæc quondam nobis promissa dedisti
voce: mihi non hæc miseræ sperare iubebas,
sed connubia læta, sed optatos hymenæos,
quæ cuncta aërii discerpunt irrita venti.
tum iam nulla viro iuranti femina credat,
nulla viri speret sermones esse fideles;
qui, dum aliquid cupiens animus prægestit apisci,
nil metuunt inrare, nihil promittere parcunt:
sed simul ac cupidæ mentis satiata libido est,
dicta nihil metuere, nihil periuria curant.
certe ego te in medio versantem turbine leti
eripui, et potius germanum amittere crevi,
quam tibi fallaci supremo in tempore deessem.
pro quo dilaceranda feris dabor alitibusque

ἢ ὡς ἀφρώδη σκάφος ἀκτὴν ἵκετο Δίης;
ἢ ὡς φάε' ἔπειτα πεδηθεῖσαν βαρεῖ ὕπνῳ
κάλλιπε ληθήμων μιν ἀποπλείων παρακοίτης;
ἢ θάμ' ἐρωμανέουσαν ὑπερπύρῳ ἔνδοθι θυμῷ
φασί μιν ὀξυτόρον στέρνων ἐκχεῦαι ἀϋτήν·
καὶ νῦν μὲν ῥ' ἀχέουσαν ἀνάντη ἐπ' οὔρε' ἀνέρπειν,
ὄφρα πρόσω τείνειεν ὀπωπὴν εἰς ἁλὸς οἶδμα,
νῦν δ' αὖτε τρομερῆς προπροθεῖν ἀνὰ κύματα ἅλμης,
ἧς κνήμης γυμνῆς μαλακὸν περίβλημ' ἐρύουσαν.
τοίους δ' ἀχνυμένη πυμάτους ἐφθέγξατ' ὀδυρμούς,
ὑγροῦ ἀπὸ στόματος βληχροὺς λυγμοὺς προϊεῖσα.
Οὕτως, ὦ κακόπιστ', ἀπενεγκὼν πατρίδος αἴης,
Θησεῦ, ἠϊόνος μ' ἐπ' ἐρήμης κάλλιπες οἰκτράν;
οὕτω, δὴ σὺ Θεῶν ὄπιν οὐκ ἀλέγων ἀπονίσσῃ,
ἀμνήμων, ἔχθιστα φέρων ψευδόρκι' ἐς οἶκον;
οὐδὲν ἐπιγνάμψαι φρέν' ἀπηνέα σὴν ἐδυνάσθη;
οὐ δ' ἄρα τις στήθεσσι τεοῖς ἐνέην ἐλεητύς,
ἧκέ μοι ἐπρήϋνε τεὴν κραδίην ἀτέραμνον;
ἀλλ' οὐ τοῖα λόγοισι πάρος μοι ὑπέσχεο, Θησεῦ,
οὐδέ μοι ἔλπεσθαι παναπότμῳ τοῖα κέλευες,
ἀλλὰ γάμους φαιδρούς, ἀλλ' ἱμερτοὺς ὑμεναίους,
τὰ σκέδασαν κοῦφοι νῦν πάντ' ἀνεμώλι' ἀῆται.
Μηκέτι θηλυτέρη πιστευέτω ἀνδρὶ ὀμοῦντι,
μηδέ ποτ' ἐλπέσθω πιστοὺς ἀνδρῶν ἔμεν ὅρκους.
ὄφρα γὰρ οἱ τυχέειν τινὸς ἔλδονται κατὰ θυμόν,
οὔ σφιν ὑποσχεσίης οὐθ' ὅρκων ἔπλετο φειδώ:
αὐτὰρ ἐπὴν φρενὸς ἔνδον ἀναπλήσειαν ἐέλδωρ,
οὐ μύθοις προσέχειν, οὔτε ψευδόρκια φεύγειν
μέμνηντ'. Ἦ σ' ἐγὼ ἐκ μεσάτης θανάτοιο θυέλλης
εἴρυσα, καὶ ἑλόμην διολέσσαι μᾶλλον ὅμαιμον,
ἢ σοὶ μὴ ἐπαρῆξαι ἐναίσιμον, ὦ δολομῆτα.
τοὔνεχ' ἕλωρ θήρεσσι καὶ οἰωνοῖσι λέλειμμαι,

præda, neque iniecta tumulabor mortua terra.
quænam te genuit sola sub rupe leæna?
quod mare conceptum spumantibus expuit undis?
quæ Syrtis, quæ Scylla vorax, quæ vasta Charypdis?
talia qui reddis pro dulci præmia vita?
si tibi non cordi fuerant connubia nostra,
sæva quod horrebas prisci præcepta parentis,
at tamen in vestras potuisti ducerc sedes,
quæ tibi iocundo famularer serva labore
candida permulcens liquidis vestigia lymphis,
purpureave tuum consternens veste cubile.
sed quid ego ignaris nequicquam conqueror auris,
externata malo, quæ nullis sensibus auctæ
nec missas audire queunt nec reddere voces?
ille autem prope iam mediis versatur in undis,
nec quisquam apparet vacua mortalis in alga.
sic nimis insultans extremo tempore sæva
fors etiam nostris invidit questibus auris.
Juppiter omnipotens, utinam ne tempore primo
gnosia Cecropiæ tetigissent litora puppes,
indomito nec dira ferens stipendia tauro
perfidus in Cretam religasset navita funem,
nec malus hic celans dulci crudelia forma
consilia in nostris requiesset sedibus hospes!
nam quo me referam? quali spe perdita nitar?
Idomeneosne pctam montes? at gurgite lato
discernens ponti truculentum dividit æquor.
an patris auxilium sperem, quemne ipsa rcliqui
respersum iuvenem fraterna cæde secuta?
coniugis an fido consoler memet amore,
quine fugit lentos incurvans gurgite remos?
præterea nullo litus, sola insula, tecto,

οὐδ' ἄρα με φθιμένην κονίη χυτὴ ἀμφικαλύψει.
Τίς σε πέτρης ἐλόχευσ' ὑπ' ἐρημαίῃσι λέαινα;
τίς σ' ἐκύησε θάλασσ' ἁλίου τ' ἐξέπτυσεν ἀφροῦ;
τίς Σύρτις; τίς Σκύλλα βορή, κακὴ ἠὲ Χάρυβδις,
ὅττι βίου τοῖα γλυκεροῦ τίνεις μοι ἄποινα;
εἴ σοι ἐμός, Θησεῦ, γάμος οὐ προσθύμιος ἔσκεν,
ἁζομένῳ χαλεπὰς γηραιοῦ πατρὸς ἐφετμάς,
ἔμπης σοί γ' ἐνέην· τεὸν εἰς οἶκόν μ' ἀγαγέσθαι,
ἔνθα κε σὴ δμωῒς θυμηδέα ἔργ' ὑπέδρησσον,
ἢ λευκοὺς λοέουσα τεοὺς πόδας ὕδατι φαιδρῷ,
ἠὲ λέχος ῥήγεσσ' ἁλιεργέσι πορσύνουσα.
'Αλλὰ τίη κωφῇσι μάτην τάδ' ὀδύρομαι αὔρῃς
ἔκφρων, αἳ χατέουσ' αἰσθήσιος οὐδὲ δύνανται
οὔτ' ἄλλων ἀΐειν οὔτ' αὐταὶ γῆρυν ἰάλλειν;
κεῖνος δ' ἐν μέσσοισι πολεύει κύμασι πόντου,
οὐδέ τις ἀνθρώπων φύκευς ἐπ' ἐρήμου ὁρᾶται.
ἦ ῥα λίην δαίμων πυμάτῃ μοι δυσμενέουσα
ὥρῃ, καὶ θρήνοισιν ἐμοῖς ἐμέγηρεν ἀκουάς!
ὦ Ζεῦ πανσθενές, αἴθε πάροιθεν μὴ προσέκελσαν
Κεκρόπιαι νῆες Κνωσσοῦ ἁλιγείτονος ἀκτῇ,
μηδὲ φέρων δασμοὺς ταύρῳ νηλεῖ ἀθεμίστους
ἐν Κρήτῃ δολόεις δῆσε πρυμνήσια ναύτης.
μηδ' ἀγανῇ κεύθων ὅδ' ἀπηνέα δήνε' ὀπωπῇ
Ξεῖνος, ἐν ἡμετέροις ἀνεπαύσατο δώμασιν ἐλθών.
ποῖ γὰρ ἴω μελέη; τίνι δ' ἐλπίδι φρεσσὶ πεποίθω;
Ἰδομεναῖα νέωμαι ἐς οὔρεα; ἀλλὰ βερέθρῳ
εὐρυχαδεῖ πόντοιο διείργει μ' ἄγριον οἶδμα.
πατρὸς ἀρηγοσύνηφιν ἐπελπίσω, ὃν λίπον αὐτή,
ἑσπομένη κάσιος πεφορυγμένῳ αἵματι κούρῳ;
πιστῷ ὁμεύνου ἔρωτι κακῶν παραμύθιον εὕρω,
ὃς φεύγει θείνων ἅλα καμπτομένοισιν ἐρετμοῖς;
πὰρ δ' ἄρα θὶς τέταται νήσῳ ἐπ' ἐρήμῃ ἄοικος.

nec patet egressus pelagi cingentibus undis:
nulla fugae ratio, nulla spes: omnia muta,
omnia sunt deserta, ostentant omnia letum.
nom tamen ante mihi languescent lumina morte,
nec prius a fesso secedent corpore sensus,
quam iustam a divis exposcam prodita multam,
caelestumque fidem postrema comprecer hora.
quare facta virum multantes vindice poena,
Eumenides, quibus anguino redimita capillo
frons expirantis praeportat pectoris iras,
huc huc adventate, meas audite querelas,
quas ego, væ miseræ, extremis proferre medullis
cogor inops, ardens, amenti cæca furore.
quæ quoniam veræ nascuntur pectore ab imo,
vos nolite pati nostrum vanescere luctum,
sed quali solam Theseus me mente reliquit,
tali mente, deæ, funestet seque suosque.
Has postquam maæsto profudit pectore voces,
supplicium sævis exposcens anxia factis,
annuit invicto caelestum numine rector,
quo tunc et tellus atque horrida contremuerunt
æquora concussique micantia sidera mundus.
ipse autem cæca mentem caligine Theseus
consitus oblito dimisit pectore cuncta,
quae mandata prius constanti mente tenebat,
dulcia nec maesto sustollens signa parenti
sospitem Erechtheum se ostendit visere portum.
Namque ferunt olim, classi cum mœnia divae
linquentem gnatum ventis concrederet Aegeus,
talia complexum iuveni mandata dedisse.
Gnate mihi longa iocundior unice vita,
gnate, ego quem in dubios cogor dimittere casus,

οὐδέ τις ἔξοδός ἐστιν ἁλιζώνου ἀπὸ γαίης.
ἐκφυγὴ οὐ δέδοται οὐδ' ἐλπίς· πάντοθι σιγή.
πάντα κένανδρα πέλει, θάνατος δ' ἐπιφαίνεθ' ἁπάντη·
ἔμπης δ' οὔ μοι πρὶν σβεσθήσεται ὄμματα πότμῳ,
οὐδὲ πάροιθε νόος κεκμηκότα γυῖα προλείψει,
πρίν με θεοῖς εὔξασθαι ἐμὴν τίσασθ' ἀπόλειψιν,
καὶ τ' αἰτήσασθαι πυμάτῃ σφέας πίστιν ἐν ὥρῃ.
τῷ ῥ' ὔμμες, μερόπων αἳ τίνυσθ' ἔργματ' ἀλιτρῶν,
Εὐμενίδες, κομόωσαι ἑλισσομένοις ὀφίεσσι,
δεινόν τ' ἐκ μυχίων στέρνων χόλον ἐξανιεῖσαι,
δεῦτε δὴ ἔνθα πάρεστ' ἴδ' ἐμῶν ἐπακούσατ' ὀδυρμῶν,
τοὺς ἐγὼ ἐκ μυχάτων δειλὴ στέρνων προϊάλλω,
φλεγμαίνουσα κέαρ, δεινῷ τετυφλωμένη οἴστρῳ.
οἳ δ' ἐπεὶ ἐκ στήθευς ἐτεὸν μυχάτοιο χέονται,
μὴ θρῆνόν μοι τόνδ' ἅλιον δοίητε γενέσθαι,
ἀλλ' οἵῳ Θησεὺς νόῳ ἔνθα με κάλλιπε μούνην,
τοίῳ ἕ τ' αὐτὸν ἑόν τε, θεαί, γένος ἐξολέσειε!
Τὴν δ' ἐπεὶ ἐκ στέρνου βαρυαλγέος ὄσσαν ἧκε,
δεινὰ θεοὺς τίσασθ' αἰτουμένη ἔκνοος ἔργα,
κρατὶ ἄναξ κατένευσεν ὑπερμενεῖ οὐρανιώνων,
τῷ ῥα τότε χθὼν φρικαλέου πόντου τ' ἐλελίχθη
ὕδατα, σὺν δὲ πόλου τηλαυγέα τείρε' ἐσείσθη.
αὐτὸς δ' αὖτε φρένας πεπυκασμένος ἀχλύϊ Θησεὺς
τυφλῇ, συμπάσας ληθήμονος ἔκβαλε θυμοῦ
πατρὸς ἐφημοσύνας τὰς φρεσσὶ πρὶν ἔμπεδον ἴσχεν,
οὐδ' ἄρ' ἀκηχεμένῳ πατρὶ σήματα ἠδέ' ἐπαίρων,
ἀσκηθὴς σήμαινεν Ἐρεχθέος ὅρμον ἱκάνειν.
Φασὶ γάρ, εὖτε πάρος νηῒ πτολίεθρον Ἀθήνης
υἷα φίλον λείποντ' ἀνέμοισιν ἐπέτρεπεν Αἰγεύς,
τοῖα νεηνίσκῳ περιφύντα τοκῆ' ἐπιτεῖλαι·
Τέκνον μουνογενές, βιότου πολὺ φίλτερ' ἔμοιγε·
τέκνον, ὃς ὑστατίῳ ἐνὶ γήραϊ νῦν δέδοσαί μοι,

reddite in extrema nuper mihi fine senectae,
quandoquidem fortuna mea ac tua fervida virtus
eripit invito mihi te, cui languida nondum
lumina sunt gnati cara saturata figura,
non ego te gaudens laetanti pectore mittam,
nec te ferre sinam fortunae signa secundae,
sed primum multas expromam mente querelas,
canitiem terra atque infuso pulvere fœdans,
inde infecta vago suspendam lintea malo,
nostros ut luctus nostraeque incendia mentis
carbasus obscura dicat ferrugine Hibera.
quod tibi si sancti concesserit incola Itoni,
quae nostrum genus ac sedes defendere Erechthei
annuit, ut tauri respergas sanguine dextram,
tum vero facito ut memori tibi condita corde
haec vigeant mandata, nec ulla obliteret aetas,
ut simul ac nostros invisent lumina collis,
funestam antennae deponant undique vestem,
candidaque intorti sustollant vela rudentes,
lucida qua splendent summi carchesia mali:
quamprimum cernens ut laeta gaudia mente
agnoscam, cum te reducem aetas prospera sistet.
Haec mandata prius constanti mente tenentem
Thesea ceu pulsae ventorum flamine nubes
aërium nivei montis liquere cacumen.
at pater, ut summa prospectum ex arce petebat,
anxia in assiduos absumens lumina fletus,
cum primum inflati conspexit lintea veli,
praecipitem sese scopulorum e vertice iecit,
amissum credens immiti Thesea fato.
sic funesta domus ingressus tecta paterna
morte ferox Theseus qualem Minoidi luctum

ἠδ' ὃν κινδύνοις ὑπ' ἀναγκαίῃ παραβάλλω·
τέκνον, ἐπεὶ σ' ἐμὴ αἶσα τεή τ' ἀρετὴ πυρόεσσα
πατρὸς νῦν ἀποαίνυθ' οὗ ὄμματα γήραϊ βληχρὰ
οὔπω τηλυγέτου κεκόρηται παιδὸς ὀπωπῆς,
οὔ σ' ἐγὼ ἐκπέμψω φαιδρὸς κεχαρηότι θυμῷ,
οὔτ' ἄρα σ' εὐποτμίης φορέειν τεκμήρι' ἐάσω·
ἀλλὰ φρενὸς πρῶτον πολλοὺς ἐξοίσω ὀδυρμούς,
κρᾶτα κόνι πολιὸν γαίῃ φύρων τ' ἐπιπάστῳ.
εἶτα λίν' ἐξάψω μελανόχροα πλαγκτοῦ ἀφ' ἱστοῦ,
πένθος ὄφρ' ἡμέτερον θυμοῦ τε φλόγ' ἡμετέροιο
ὀρφνῇ μηνύῃσιν ἰβηρικὰ κάρβασα χροιῇ·
ἣν δ' ἄρα σοι δώῃ ζαθέης πολιοῦχος Ἴτωνος,
ἣ γένος ἡμέτερον καὶ Ἐρεχθέος ἄστυ ῥύεσθαι
νεῦσεν, δεξιτερὴν ἐρυθῆναι αἵματι ταύρου,
δὴ τότ' ἐφετμάων, ἃς μνήμοσιν ἐν φρεσὶ σῇσι
νῦν βάλλω, μνῆσαι, μηδ' αἰὼν τὰς δ' ἀπαλείψαι.
αὐτίκ' ἐπὴν ἀμοὺς ὄσσοισι πάγους ἐσίδηαι,
πενθηρὸν φᾶρος κεχαλάσθω ῥίμφα κεραίας,
αἶψα δ' ἀερθήτω στρεπτοῖς λίνα λευκὰ κάλωσιν
ὑψοῦ, ὅθι στίλβει πρὸς ἄκρῳ καρχήσια ἱστῷ,
ὄφρα τάχιστ' ἐσιδὼν γνώω ἐμὸν ἐν φρεσὶ χάρμα,
ὡς ἄψορρον ἄγει σε φίλῳ πατρὶ αἴσιον ἦμαρ.
Αἶδε τόθ', ἅς τε πάρος φρεσὶν ἔμπεδον ἴσχεν, ἐφετμαὶ
ἐξέφυγον Θησῆ, νιφοβλῆθ' ὡς οὔρεος ἄκρην
λείπει ἐπειγόμενα πνοιῆς νέφε' αἶψ' ἀνέμοιο.
Εὖτ' οὖν ἐς σκοπιὴν ἄκρην ἀνέβαινε πόληα,
ὄμματ' ἐπασσυτέροις κατατήκων δάκρυσιν Αἰγεύς,
ὡς λαίφη κολπούμεν' ἐσέδρακε νηὸς ἀήταις,
ῥίψεν ἑ αὐτὸν ἄκροιο κυβιστήσας ἀπὸ πρῶνος,
Θησέ' ὀϊσάμενος νηλειέϊ μοίρῃ ὀλέσθαι·
τὼς οἴτῳ πατρὸς πενθήρεα δώματ' ἐσελθὼν
Θησεὺς καρτερόφρων, οἷον Μινωΐδι κῆδος

obtulerat mente immemori, talem ipse recepit.
quae tum prospectans cedentem maesta carinam
multiplices animo volvebat saucia curas.
At parte ex alia florens volitabat Iacchus
cum thiaso Satyrorum et Nysigenis Silenis,
te quaerens, Ariadna, tuoque incensus amore.
Qui tum alacres passim lymphata mente furebant
euhœ bacchantcs, euhœ capita inflectentes.
horum pars tecta quatiebant cuspide thyrsos,
pars e divulso iactabant membra iuvenco,
pars sese tortis serpentibus incingebant,
pars obscura cavis celebrabant orgia cistis,
orgia, quae frusta cupiunt audire profani.
plangebant alii proceris tympana palmis
aut tereti tenuis tinnitus aere ciebant.
multis raucisonos efflabant cornua bombos
barbaraque horribili stridebat tibia cantu.
talibus amplifice vestis decorata figuris
pulvinar complexa suo velabat amictu.
quae postquam cupide spectando Thessala pubes
expleta est, sanctis cœpit decedere divis.
hic, qualis flatu placidum mare matutino
horrificans Zephyrus proclivas incitat undas
aurora exoriente vagi sub limina Solis,
quae tarde primum clementi flamine pulsae
procedunt (leni resonant plangore cachinni)
post vento crescente magis magis increbrescunt
purpureaque procul nantes a luce refulgent :
sic tum ibi vestibuli linquentes regia tecta
ad se quisque vago passim pede discedebant.
quorum post abitum princeps e vertice Pelii
advenit Chiron portans silvestria dona.

ὤπασεν ἀμνήμων, τοῖον πάλιν ἔλλαχεν αὐτός.
κείνη γὰρ στυγνὴ τρόπιν οἰχομένην ὁρόωσα,
πόλλ' ἀνιαζομένη μερμήριξ' ὃν κατὰ θυμόν.
'Ανθηρὸς δ' ἑτέρωθι καλὸς ἤλασκεν Ἴακχος
σὺν θιάσῳ Σατύρων καὶ Σειληνοῖσι Νυσαίοις,
σὲ ζητῶν καὶ ἔρωτι σῷ αἰθόμενος, 'Αριάδνη.
κεῖνοι δὲ σποράδην θῦον φρεσὶν ἐμμανέεσσιν,
εὐοῖ ἀϋτεῦντες, περιδοχμοῦντές τε τραχήλους.
οἱ μὲν γὰρ θύρσους, φυλλόσκεπα δούρατ' ἔσειον,
οἱ δὲ διασπῶντες μόσχου μέλε' ἐῤῥίπταζον·
οἱ δ' αὖ ἑλικτοῖσιν περιεζώννυντο δράκουσιν,
οἱ δ' ἀθέητ' ἐτέλευν ἐνὶ κοίλης ὄργια κίστης,
ὄργι', ἅτ' εἰσιδέειν εἰκῇ ποθέουσι βέβηλοι.
ἄλλοι δ' αὖ δολιχῇσιν ἔκρουον τύμπανα χερσίν,
ἠὲ λιγὺν ἦχον περιηγέϊ χαλκῷ ὄρινον.
κερχναλέην δ' ἵεσαν πολλοὶ καναχὴν κεράεσσι
βαρβαρικὸς δ' αὐλὸς σμερδνὸν σύριζε μέλισμα·
τοίης ἐντέχνως ἠσκημένος εἰκόσι πέπλος,
εὐνὴν νυμφιδίην πεπετασμένος ἀμφεκάλυπτε.
Τὴν δ' ἐπεὶ ἐνδυκέως θηευμένη αἱμονὶς ἥβη
εἶχεν ἅλις, προσιοῦσι θεοῖσι τότ' ἤρξατο εἴκειν.
ὡς δὲ γαληναίῃ ἐπιχεύων φρῖκα θαλάσσῃ
ὀρθρινῇ ζέφυρος πνοιῇ θοὰ κύματ' ἐγείρει
ἠοῖ φαινομένηφιν ὑπ' ἠελίοιο θύρῃσι,
τὰ πνοιῇ πρῶτον λιαρῇ προκυλίνδεται ἦκα
πρός τ' ἀκτῇ μαλακῷ καχλάζει ἠρέμα φλοίσβῳ,
εἶτα δὲ πυκνοῦται σφοδρυνομένου ἀνέμοιο,
τῆλέ τε πορφυρέῃ ἀντήυγασεν ἠλίου αἴγλῃ,
τὼς πρόδομον λείποντες ἀνακτορέοιο τότ' οἴκου
σκίδναντο, σποράδην δ' ἐς δῶμ' ἑὸν ἦεν ἕκαστος.
Οἳ δ' ἐπεὶ ἔνθεν ἔβαν, Χείρων πρώτιστος ἀπ' ἄκρου
Πηλίου ἦκε φέρων νεονύμφοις ἄγρια δῶρα.

Nam quotcunqne ferunt campi, quot Thessala magnis
montibus ora creat, quot propter fluminis undas
aura parit flores tepidi fecunda Favonî,
hos indistinctis plexos tulit ipse corollis,
queîs permulsa domus iucundo risit odore.
confestim Peneos adest, viridantia Tempe,
Tempe, quae silvae cingunt superimpendentes,
mnemonidum linquens doctis celebranda choreis,
non vacuus: namque ille tulit radicitus altas
fagos ac recto proceras stipite laurus,
non sine nutanti platano lentaque sorore
flammati Phaëthontis et aëria cupressu.
haec circum sedes late contexta locavit,
vestibulum ut molli velatum fronde vireret.
post hunc consequitur sollerti corde Prometheus,
extenuata gerens veteris vestigia pœnae,
quâm quondam scilici restrictus membra catena
persolvit pendens e verticibus praeruptis.
inde pater divum sancta cum coniuge natisque
advenit caelo, te solum, Phœbe, relinquens
unigenamque simul cultricem montibus Idri:
Pelea nam tecum pariter soror aspernata est,
nec Thetidis taedas voluit celebrare iugalis.
qui postquam niveis flexerunt sedibus artus,
largæ multiplici constructae sunt dape mensae,
cum interea infirmo quatientes corpora motu
veridicos Parcae coeperunt edere cautus.
his corpus tremulum complectens undique vestis
candida purpurea talos incinxerat ora·
at roseo niveae residebant vertice vittae,
aeternumque manus carpebant rite laborem.
laeva colum molli lana retinebat amictum,

ὅσσα γὰρ ἀντέλλει πεδιάς, ὅσα θεσσαλὶς αἶα
τίκτει ἐπ' οὔρεσιν αἰπεινοῖς, ὅσα πὰρ ῥεέθροισιν
εὔφορος αὖρα τρέφει λιαροῦ ἄνθη ζεφύροιο,
συμπλέξας μικτοῖσιν ἐνὶ στεφάνοισιν ἔνεικε,
τῶν ἡδεῖα χυθεῖσ' οἶκον φαίδρυνεν ἀϋτμή.
Πηνειὸς δ' αὖ ἔπειτα προσήλυθεν, εὔχλοα Τέμπη
ἐκπρολιπών· Τέμπη, τά τ' ἐπηρεφέες στεφανοῦσιν
ὗλαι, Μουσάων τε σοφαὶ μέλπουσι χορεῖαι.
οὐ κενεός· μακρὰς γὰρ ἔνεικεν ὅ γ' αὐτοπρέμνους
φηγούς, ὀρθοφυεῖς θ' ἅμα δάφνας ὑψικαρήνους.
Πρὸς δ' ἄρα καὶ πλάτανον νευστάζουσαν, καὶ ἀδελφὴν
εὐκαμπῆ Φαέθοντος ἰδ' ὑψίκομον κυπάρισσον.
ταῦτα πέριξ οἴκων μάλ' ἐπιπρὸ φύτευσε συνέρσας,
ὡς μαλακοῖς θάλλοι φύλλοις πεπυκασμένη αὐλή.
τῷ δ' αὖ μητιόων πόλλ' ἕσπετο φρεσσὶ Προμηθεύς,
βαιὰ φέρων προτέρης στενοέσσης ἴχνια θωῆς,
ἣν γυῖα ψαλίοισι πεδηθεὶς πρὶν ποτὶ πέτρῃ
τῖσεν, ἀπ' ἀκροτόμοιο βίηφι πάγοιο κρεμασθείς.
εἶτα πατὴρ μακάρων σὺν ὁμευνίδι καὶ τεκέεσσιν
ἤλυθεν οὐρανόθεν, σὲ λιπὼν μόνον, ἀγλαὲ Φοῖβε,
καὶ κάσιν, ἥτ' Ἴδρου μεγάλ' οὔρεα ἀμφιπολεύει.
Πηλέα γὰρ σὺν σοίγ' ἀπετίμησ' ἡ σὴ ὅμαιμος,
οὐδ' ἔθελεν Θέτιδος γαμικῆς δαΐδεσσι παρεῖναι.
οἳ δ' ἐπεὶ ἐν θώκοις γνάμψαντες γυῖα κάθισσαν,
πολλαὶ δαψιλέως ἐπὶ δαῖτα τράπεζαι ὅπλισθεν.
Τῆμος δ' ἠπεδανὰ τρομέουσαι σώματα Μοῖραι
ἐκ στομάτων ἤρξαντ' ἐτυμήθροον ὄσσαν ἰάλλειν·
καὶ τρομερόν μὲν τῇσι χλανὶς δέμας ἀμπίσχουσα
λευκὴ πορφυρέῃ σφυρὰ νέρθε ζώννυε πέζῃ.
κρατὶ δ' ἐπ' ἀργυφέῳ σφι ῥοδόχροος ἔπρεπε μίτρη,
αὐταὶ δ' ἀέναον πόνον ἤθασι χερσὶν ἔτιλλον.
Ἠλακάτην λαιὴ στεπτὴν ἐρίοισιν ἔχεσκε,

dextera tum leviter deducens fila supinis
formabat digitis, tum prono in pollice torquens
libratum tereti versabat turbine fusum:
atque ita decerpens aequabat semper opus dens,
laneaque aridulis haerebant morsa labellis,
quae prius in levi fuerant extantia filo.
ante pedes autem candentis mollia lanae
vellera virgati custodibant calathisci.
hae tum clarisona vellentes vellera voce
talia divino fuderunt carmine fata,
carmine, perfidiae quod post nulla arguet aetas·
  O decus eximium magnis virtutibus augens,
Emathiae tutamen opis, clarissime nato,
accipe, quod laeta tibi pandunt luce sorores,
veridicum oraclum, sed vos, quae fata sequuntur,
Currite ducentes subtegmina, currite, fusi.
  Adveniet tibi iam portans optata maritis
Hesperus, adveniet fausto cum sidere coniux,
quae tibi flexanimo mentem perfundat amore
languidulosque paret tecum coniungere somnos
levia substernens robusto brachia collo.
Currite ducentes subtegmina, currite, fusi.
  Nulla domus tales unquam contexit amores,
Nullus amor tali coniunxit fœdere amantes,
Qualis adest Thetidi, qualis concordia Peleo.
Currite ducentes subtegmina, currite, fusi.
  Nascetur vobis expers terroris Achilles,
  hostibus haud tergo, sed forti pectore notus,
qui persaepe vago victor certamine cursus
flammea praevertet celeris vestigia cervae.
Currite ducentes subtegmina, currite, fusi.
  Non illi quisquam bello se conferet heros,
cum Phrygii Teucro manabunt sanguine campi.

δεξιτερῇ δ' ἕλκουσα μάλ' ἦκα σκυταλίδεσσιν
εἶρος ἐλεπτούργει, περὶ δ' ἀντίχερι στροβέουσα
τορνευτὴν ἄτρακτον ἀπήορον ἐστροφάλιζεν·
αὐτὰρ ὀδοὺς αἰὲν παρατίλλων νῆμ' ὁμάλιζεν.
ἐκ δ' αὔων ἐκρέμαντ' ἐρεᾶ ἀποδήγματα χειλῶν,
τὰ πρότερον προέχοντ' ᾔσχυνον κλώσματος ὄψιν.
'Αργυφέου δὲ ποδῶν προπάροιθε πόκους ἐρίοιο
λεπτῶν ἐξ ὄζων πλεκτοὶ ταλαρίσκοι ἔχεσκον.
Κεῖναι δ' αὖ ὅσσῃ λιγυηχέϊ εἰροπονεῦσαι,
τοίην αἶσαν ἔφαινον ἀοιδῇ θεσπεσίηφι,
τὴν οὐδεὶς αἰὼν ποτ' ἄπιστον ἐλέγξει ὀπίσσω.
Ὦ σέμνωμα μέγα, βρίθων μεγάλῃς ἀρετῇσιν,
'Ημαθίης ἔρυμα, κλέος ἐκ γόνου ἄφθιτον ἕξων.
δέχνυσο τὴν προφέρουσι φόωςδ' εὔφημον ἀδελφαὶ
ὀμφὴν νημερτῆ. Ὕμμες δ', οἷς μόρσιμ' ὀπηδεῖ,
θείετε λεπτὴν ἕλκοντα κρόκα, θείετε, νῆτρα.
Ἕσπερος ἥξει σοι καταθύμι' ἄγων γαμέτῃσιν
αἰέν, σὺν δ' ἥξει εὐαγγέλῳ ἀστέρι σύζυξ,
ἣ σὸν θελξινόου ἐνιπλήσει θυμὸν ἔρωτος,
καὶ μαλακοὺς ἐφ' ὁμοῦ μίξει σοι δεμνίου ὕπνους,
πήχε' ὑποστορνῦσα περισθενεῖ αὐχένι λείῳ.
θείετε λεπτὴν ἕλκοντα κρόκα, θείετε, νῆτρα.
Οὔτίς πω οἶκος τοίους συνύφηνεν ἔρωτας,
οὔτ' ἄρ' ἔρως τοίους δεσμοῖς πω ζεῦξεν ἐρῶντας,
οἵῃ ὁμοφροσύνῃ Πηλῆα Θέτιν τε συνάπτει.
θείετε λεπτὴν ἕλκοντα κρόκα, θείετε, νῆτρα.
Φύσεται ὔμμι κλυτὸς καὶ θυμὸν ἄτρεστος 'Αχιλλεύς,
οὐ νώτῳ δηΐοις, κρατερῷ στέρνῳ δ' ἀρίδηλος,
ὃς πλαγκτοῖο δρόμου θάμ' ἀριστεύσας ἐν ἀέθλῳ
λαιψηρῆς ἐλάφοιο παραφθάσει ἰσάνεμ' ἴχνη.
θειετε λεπτὴν ἕλκοντα κρόκα, θείετε, νῆτρα.
Οὔτις οἱ ἐν πολέμῳ ἡρώων στήσεται ἶσος,
εὖτε Φρυγῶν δὴ γαῖα πεφύρσεται αἵματι Τεύκρων,

Troicaque obsidens longinquo mœnia bello
periuri Pelopis vastabit tertius heres.
Currite ducentes subtegmina, currite, fusi.
Illius egregias virtutes claraque facta
saepe fatebuntur gnatorum in funere matres,
cum in cinerem canos solvent a vertice crines
putridaque infirmis variabunt pectora palmis.
Currite ducentes subtegmina, currite, fusi.
Namque, velut densas prosternens cultor aristas
sole sub ardenti flaventia demetit arva,
Troiugenum infesto prosternet corpora ferro.
Currite ducentes subtegmina, currite, fusi·
Testis erit magnis virtutibus unda Scamandri,
quae passim rapido diffunditur Helesponto,
cuius iter caesis angustans corporum acervis
alta tepefaciet permixta flumina caede.
Currite ducentes subtegmina, eurrite, fusi·
Denique testis erit morti quoque reddita praeda
cum terræ excelso coacervatum aggere bustum
excipiet niveos perculsae virginis artus.
Currite ducentes subtegmina, currite, fusi.
Nam simul ac fessis dederit fors copiam Achivis
urbis Dardaniae Neptunia solvere vincla.
alta Polyxenia madefient caede sepulcra;
quae, velut ancipiti succumbens victima ferro,
proiiciet truncum summisso poplite corpus.
Currite ducentes subtegmina, currite, fusi.
Quare agite, optatos animi coniungite amores;
accipiat coniux felici fœdere divam,
dedatur cupido iam dudum nupta marito.
Currite ducentes subtegmina, currite, fusi.
Non illam nutrix orienti luce revisens
hesterno collum poterit circumdare filo.

καὶ δολιχῷ πολέμῳ περιείρξας τρώϊα τείχη.
κληρονόμος τρίτατος Πέλοπος ψευδόρκου ὀλέσσει.
θείετε λεπτὴν ἕλκοντα κρόκα, θείετε, νῆτρα.
Κείνου ὑπερφυέας τ' ἀρετὰς καὶ ἐρίκλυτα ἔργα
πολλάκι φημίξουσ' ἐνὶ τάρχεσι μητέρες υἱῶν,
χερσὶ κόμην τε λύουσαι ἐπὶ σποδιήν τε χέουσαι
καὶ στέρν' ἠπεδανῆς θείνουσαι χείρεσι σαθρά.
θείετε λεπτὴν ἕλκοντα κρόκα, θείετε, νῆτρα.
Ὡς γὰρ τ' ἀμητὴρ στάχυας ταρφεῖς καταβάλλων
θαλπνῷ ὑπ' ἠελίῳ ξανθὰς ἀπέκειρεν ἀρούρας,
τὼς προτενεῖ Τρώων ὅγ' ἀμήσει σώματα χαλκῷ.
θείετε λεπτὴν ἕλκοντα κρόκα, θείετε, νῆτρα.
Μάρτυς ἀριπρεπέων ἀρετῶν ἔσετ' εὐρὺ Σκαμάνδρου
ῥεῖθρον ἐρευγόμενον ἐς ἀγάῤῥοον Ἑλλήσποντον,
τοῦτε πόρος πυκινῆς συστεινόμενος νεκάδεσσιν
αἵματι χλιανέει μίξας βαθὺ ῥεῦμα θαλάσσης.
θείετε λεπτὴν ἕλκοντα κρόκα, θείετε, νῆτρα.
Καὶ ληῒς δ' ἔσεται μάρτυς μόρῳ ἀντιάσουσα,
εὖτ' αἰπεῖα πυρή, νητὴ ἐπὶ χώματι γαιης,
λευκὰ μέλη κούρης ὑποδέξεται ἀρτιδαΐκτου.
θείετε λεπτὴν ἕλκοντα κρόκα, θείετε, νῆτρα.
Αὐτίκ' ἐπὴν γὰρ μοῖρα κεκμηκόσι δώῃ Ἀχαιοῖς
λῦσαι δαρδανικῆς ἱερὰ κρήδεμνα πόληος,
χῶμα φόνῳ δεύσουσι Πολυξείνης ἐρίσημον,
ἥ ῥα δαΐζομένη, θῦμ' ὥς, ἀμφήκεϊ χαλκῷ,
γνάμψασ' ἰγνύην καλοδὸν χθονὶ σῶμα τανύσει.
θείετε λεπτὴν ἕλκοντα κρόκα, θείετε, νῆτρα.
Τῷ ῥ' ἄγετ' ἀρητοὺς ὔμμες συμμίγνυτ' ἔρωτας.
δεχνύσθω γαμέτης Θέτιν ἐν γάμῳ ὀλβιομοίρῳ.
νύμφη δ' αὖτε πάλαι ποθέοντι δεδόσθω ὁμεύνῳ.
θείετε λεπτὴν ἕλκοντα κρόκα, θείετε, νῆτρα.
Τὴν δ' αὖ ὑπηοίη μετὰ κοῖτον ἰδοῦσα τιθήνη
οὐκ ἀνύσει χθιζῷ μίτῳ αὐχένα εἷο περισχεῖν.

anxia nec mater discordis maesta puellae
secubitu, caros mittet sperare nepotes.
Currite, ducentes subtegmina, currite, fusi.
Talia praefantes quondam felicia Pelei
carmina divino cecinerunt pectore Parcae,
presentes namque ante domos invisere castas
saepius et sese mortali ostendere cœtu
caelicolae nondum spreta pietate solebant.
Saepe pater divum templo in fulgente revisens,
annua dum festis venissent sacra diebus,
conspexit terra centum procumbere tauros.
Saepe vagus Liber Parnassi vertice summo
Thyiadas effusis euantes crinibus egit,
cum Delphi tota certatim ex urbe ruentes
acciperent laeti divum fumantibus aris.
Saepe in letifero belli certamine Mavors,
aut rapidi Tritonis hera aut Rhamnusia virgo
armatas hominum est praesens hortata catervas.
Sed postquam tellus scelere est imbuta nefando,
iustitiamque omnes cupida de mente fugarunt,
perfudere manus fraterno sanguine fratres,
destitit extinctos natus lugere parentes,
optavit genitor primaevi funera nati,
liber ut innuptae poteretur flore noveresae,
ignaro mater substernens se impia nato
impia non verita est divos scelerare penates:
omnia fanda nefanda malo permixta furore
iustificam nobis mentem avertere deorum.
Quare nec tales dignantur visere cœtus,
nec se contingi patiuntur lumine claro.

οὔτε διχοφροσύνῃ ἀποκοιτεύσης ποτὲ κούρης
ἀχνυμένη μήτηρ γένος φίλου ἐλπίδ' ὀλέσσει.
θείετε λεπτὴν ἕλκοντα κρόκα, θείετε, νῆτρα.

Τοῖα ποτ' αὐδῶσαι, εὐφήμους Πηλεῖ ἀοιδὰς
μοῖραι ἀπὸ στέρνου θεοφράδμονος ἁγναὶ ἄεισαν·
οἴκους γὰρ τὸ πάροιθεν ἐς εὐαγέας θαμὰ φοιτᾶν
θνητῶν τ' ἐν συνόδοις ἐπιφαίνεσθ' οὐρανίωνες
εἰώθεισαν, ὄφρ' εὐσεβίης βροτοὶ εἶχον ἔτ' ὤρην.
πολλάκις ἐν νηῷ σελαγεῦντι θεῶν ὕπατος Ζεύς,
ἡνίχ' ἑορταίοισιν ἐτήσι' ἐν ἤμασιν ἱρὰ
γίγνετο, βαλλομένους ἑκατὸν χαμαὶ ἔδρακε ταύρους·
Πολλάκι Παρνησοῦ κορυφῇσι Λυαῖος ἀλήμων
λυσικόμους θυάδας περιήλασεν εὐαζούσας.
παντὸς δὲ προφρόνως ἐξεσσύμενοι πτολιέθρου
Δελφοί, γηθόσυνοι δέχνυντό μιν ἐν θυσίῃσι.
πολλάκις ἐν πολέμῳ βροτολοιγῷ χάλκεος Ἄρης,
ἢ Τρίτωνος ἄνασσα, ῥαμνουσίη ἠὲ νεῆνις,
ἀμφάδιοι ἐνόπλους ἀνδρῶν εἴλας ὀρόθυναν.
αὐτὰρ ἐπεὶ στυγεροῖς ἀνομήμασι γαῖα μιάνθη,
ἐκ δὲ δίκην πάντες θυμοῦ βάλον, αἰσχρὰ φιλεῦντες,
ἔχρηναν μὲν ἀδελφοὶ ἀδελφικῷ αἵματι χεῖρας,
υἱὸς δ' αὖ τοκέων ὧν πότμον ἀπέσχετο πενθεῖν,
γεννήτωρ δὲ νέου μόρον υἱέος εὔξατο φρεσσίν,
ὄφρα δρέπητ' ἀνέδην μητρυιῆς ἄνθος ἀνύμφου,
νήϊδι δ' εὐνηθῆναι ἀλιτρὴ υἱέϊ μήτηρ
ἔτλη, πατρῴους τε θεοὺς κατὰ δῶμα μιῆναι,
πάντ' ἀθέμιστα θεμιστά τ' ἀτασθαλίῃσι μιγέντα
ἀθανάτων ἡμῖν ὅσιον νόον ἠλλοτρίωσαν.
τῷ ῥ, οὔτ' εἰς ἀγύρεις μερόπων τοίας ἐθέλουσι
φοιτᾶν, οὔτ' ἄρ' ἐπὶ χθονὶ νῦν ὁράασθαι ἐναργεῖς.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΟ

ΟΥΑΛΕΡΙΟΥ ΚΑΤΟΥΛΛΟΥ ΞΔ΄. ᾼΣΜΑ

---

[1]). *Δοῦρα.* Τὸ ῥωμαϊκὸν *pinus* (πεύκη) γενικωτέρῳ ὀνόματι μεθηρμήνευται. Καὶ Ἀπολλώνιος δὲ ὁ Ῥόδιος (Ἀργον. Β΄. 1191) ἐχρήσατο τῇ λέξει *δούρατα* ἐπὶ τῆς αὐτῆς σημασίας, εἰπών·

» Τὴν γὰρ Ἀθηναίη τεχνήσατο καὶ τάμε χαλκῷ
» Δούρατα Πηλιάδος κορυφῆς πάρα.

Σημειώσεως δ' ἄξιον, ὅτι καὶ ὁ Ῥωμαῖος Κάτουλλος καὶ πολλῷ πρότερος αὐτοῦ ὁ Ἕλλην Εὐριπίδης ἐν τῇ Μηδείᾳ (στ. 1—4) ἐκ πευκῶν τοῦ Πηλίου ὄρους ἔφασαν τὴν Ἀργὼ πάλαι ναυπηγηθῆναι· νῦν δ' οὐδεμία ἐπὶ τοῦ ὄρους ἐκείνου ὁρᾶται πεύκη, καίπερ ἱκανῶς ἔτι καὶ νῦν συνδένδρου ὄντος καὶ ὕλαις κατεχομένου ὀξυῶν μὲν ἐν ταῖς ὑψηλοτέραις χώραις, καστανεῶν δὲ καὶ μελιῶν καὶ κληθρῶν καὶ ἔτι ἐλαιοφύτοις ἐν ταῖς ταπεινοτέραις. Τί οὖν φῶμεν περὶ τοῦ πράγματος; ἆρα τῇ τῶν αἰώνων διαδοχῇ τὴν φύσιν παρηλλάχθαι τῆς χώρας; ἢ τοὺς ποιητὰς ἀδείᾳ ποιητικῇ χρησαμένους πλάσασθαι μᾶλλον ἐν τοῖς ποιήμασιν ἢ πιστῶς τὰ ὄντα ἐξενεγκεῖν; Τοῦτο πιθανώτερον ἂν ἐκρίθη, εἰμὴ κἂν τῇ τοῦ Πηλίου ὄρους ἀναγραφῇ, ἣν τῷ Δικαιάρχῳ τινὲς ἀναγράφουσι, πευκῶν μὲν οὔ, ἐλατῶν δ' ὅμως μνεία ἐγίγνετο, ὧν ὡσαύτως οὐδεμίαν νῦν ἐν τῷ ὄρει ἔστιν εὑρεῖν.

[3]). *Φάσιδος ἷξε ῥόον* κτλ. Περιφραστικῶς τὴν Κολχίδα δηλοῖ, ἐν ᾗ ὁ Φάσις ῥεῖ ποταμὸς καὶ ὁ Αἰήτης ἐβασίλευσε πάλαι. Ἐνταῦθα γὰρ τὸ χρυσοῦν ἐτηρεῖτο δέρας, ἐφ' ὃ Ἰάσων σὺν τοῖς ἄλλοις Ἀργοναύταις κελεύσει Πελίου ἐξέπλευσε. Γνωστὰ δὲ τὰ τοῦ πλοῦ τῶν Ἀργοναυτῶν ἔκ τε τῶν Ἀπολλωνίου τοῦ Ῥοδίου καὶ τῶν τοῦ Ὀρφέως Ἀργοναυτικῶν.

[4]). *Ἀργείοις ἔκκριτοι ἥβης.* Ἀργεία ἥβη συνεκδοχικῶς λέγεται ἡ ἑλληνικὴ νεότης· οἱ γὰρ εἰς Κολχίδα πλεύσαντες Ἀργοναῦται ἐκλεκτοὶ ἦσαν ἥρωες ἐκ πάσης τῆς Ἑλλάδος συνειλεγμένοι, ὥς φησι καὶ Θεόκριτος (εἰδύλλ. ιγ΄. 16—18).

» Ἀλλ' ὅτε τὸ χρύσειον ἔπλει μετὰ κῶας Ἰήσων
» Αἰσονίδας, οἱ δ' αὐτῷ ἀριστῆες συνέποντο
» Πασᾶν ἐκ πολίων προλελεγμένοι, ὧν ὄφελός τι.

7). *Οἶδμα πλάτης σαίροντες.* Ἡ φράσις *σαίρειν οἶδμα πλάτης* (verrere æquorpalmis) καλλίστην, ἐμοὶ δοκεῖν, εἰκόνα τῆς εἰρεσίας παρέχει· ὁ γὰρ ἐρέσσων ἐν τῷ τὴν κώπην ἐλαύνειν σαίροντί πως τὴν θάλασσαν ἔοικε.

8). *Τοῖσι θεὰ ὀβρίμη* κτλ. Τὴν ἐν πολλαῖς πόλεσι τιμωμένην πολιοῦχον Ἀθηνᾶν βούλεται λέγειν ὁ ποιητής.

9). *Αὐτὴ τεῦξεν ὄχημα* κτλ. Συνῳδὸν τούτοις καὶ τὸ Μανέθωνος Β. 104.

»...................... ἀκροτάτοισι τεμοῦσα
» Πηλίου ἐκ κορυφῆς Παλλὰς θέτ' ἐν ἀστράσιν Ἀργώ.

Ἀπολλώνιος δὲ ὁ Ῥόδιος ἐν τῷ α'. τῶν Ἀργοναυτικῶν ἐν μὲν στίχῳ 19 τὸν Ἄργον φησὶν εἰσηγήσει τῆς Ἀθηνᾶς τὴν ναῦν ἐκείνην τεκτήνασθαι. Παρακατιὼν δ' ἐν στίχοις 111—112 λέγει·

» Αὐτὴ (ἡ Ἀθηνᾶ) γὰρ καὶ νῆα θοὴν κάμε· σὺν δὲ οἱ Ἄργος
» Τεῦξεν Ἀρεστορίδης κείνης ὑποθημοσύνῃσι.

Τί δ' ἀπεικὸς τὴν εἰσηγησαμένην τὸ ἔργον θεὰν αὐτὴν τοῦτο ποιῆσαι λέγειν; *Ὄχημα* δὲ *currus* τροπικῶς ἐνταῦθα καλεῖται ἡ ναῦς, ὡς καὶ παρὰ Σοφοκλεῖ (Τραχιν. 656) *πολύκωπον ὄχημα ναός.* Καὶ Αἰσχύλος δὲ (Προμηθ. 471) *λινόπτερα ναυτίλων ὀχήματα* τὰς ναῦς καλλιεπέστερον ὀνομάζει.

11). *Πρώτη ναῦς* κτλ. Πρώτην φησὶν ὁ Κάτουλλος τὴν Ἀργὼ διαπλεῦσαι καί, ὡς εἰπεῖν, ἐγκαινίσαι τὴν πρὶν ἀδιάπλευστον θάλασσαν. εἰ γὰρ καὶ οἱ τοῦ τῶν Ἀργοναυτῶν πλοῦ ἀρχαιότεροι σκαφιδίοις καὶ ἀκατίοις πολλάκις τῆς θαλάσσης ἀπεπειρῶντο, οὐ μέντοι πόρρω τῆς ἀκτῆς πλεῖν ἐθάῤῥουν. Ἔστι δὲ τὸν τοῦ 11 στίχου νοῦν ἀκριβέστερον ἴσως οὕτως ἐξενεγκεῖν,

» Πρώτη ναῦς ἄπλοον κείνη ἔτι καίνισεν οἶδμα.

14). *Λευκῆς ἐξανέδυσαν ἁλὸς βλοσυρῆσιν ὀπωπῆς.* Οὕτω μεθηρμήνευσα τὸν 14 στίχον, ἑπόμενος Δοιριγγίῳ καὶ ἄλλοις, οἳ τὰς λέξεις *feri vultus* κατὰ γενικὴν πτῶσιν ἐκδέχονται ἀπὸ τοῦ ἐν τῷ ἑπομένῳ στίχῳ οὐσιαστικοῦ *Nereides* ἐξηρτημένην. Οὐδὲν δ', οἶμαι, τὸ κωλύον τὰς εἰρημένας λέξεις καὶ κατὰ πληθ. ὀνομαστικὴν ἐκδέξασθαι, τὸ δ' ἑπόμενον *Nereides* ἐπεξήγησιν εἶναι ἐκείνων. Μεθηρμηνεύσθω δὲ τότε ὁ στίχος 14 οὕτω

» Λευκῆς ἐξανέδυ βλοσυρωπὰ πρόσωπα θαλάσσης.

Ὁ δὲ Λέντιος τὸν εἰρημενον τοῦ Κατούλλου στίχον ἐξ εἰκασίας οὑτωσὶ γράφει.

Emersere feris candenti e gurgite fultæ.

ὃν ἔστιν ὧδε μεθερμηνεῦσαι·

» Λευκοῦ ὑπ' ἐκ βυσσοῦ κητῶν ἔποχοι ἀνέδυσαν.

Συνηγορεῖ δὲ τῇ τοῦ Λεντίου εἰκασίᾳ τὸ τοῦ Μόσχου (Εἰδύλλ. γ′. 114—115.)

»Νηρεΐδες δ' ἀνέδυσαν ὑπὲξ ἁλός· αἳ δ' ἄρα πᾶσαι
»Κητείοις νώτοισιν ἐφήμεναι ἐστιχόωντο.

Ἀλλ' ἐπειδὴ ἡ ἐν τοῖς χειρογράφοις ἔῤῥωται γραφή, ἐατέα ἔμοιγε δοκεῖ κατὰ χώραν. Οὐ γὰρ εὖ ἔχει ἄνευ ἀνάγκης τὰς ἐν τοῖς χειρογράφοις μεταβάλλειν γραφάς.

16). *Εἰ κἄλλοτε*, *siqua alia*. Συντίθεμαι ταύτῃ τοῦ Λαχμάννου τῇ διορθώσει, οὐκ ὀρθῶς ἔχειν πιστεύων τὴν κοινοτέραν γραφὴν *haudque alia*. πῶς γὰρ οὐκ ἄλλοτε;

20). Παρ' ἄλλοις τῶν ἀρχαίων ἄλλως φέρεται ὁ περὶ τοῦ γάμου τῆς Θέτιδος μῦθος. Ὅμηρος μὲν γὰρ (Ἰλ. σ. 434) *πολλὰ μάλ' οὐκ ἐθέλουσαν* τὴν Θέτιν φησὶ γήμασθαι τῷ Πηλεῖ. Κατὰ δὲ τὸν Ὀβίδιον (Μεταμορφ· ια. 235 κ. ἑξ.) ἀπροσδοκήτως αὐτῇ Πηλεὺς ἔν τινι τῆς θετταλικῆς ἀκτῆς ἄντρῳ καθευδούσῃ ἐπιπεσὼν ἐβιάσατο. Κατὰ δὲ τὸν Οὐαλέριον Φλάκκον ά. 130 ἑκοῦσα ἡ Νηρεῒς ἄγεται πρὸς Πηλέα δελφῖνι ἐποχουμένη.

21). *Γενέτης*. Ὁ Νηρεὺς νοείσθω, οὐχ ὁ Ζεύς, ὡς ἄλλοι τε καὶ ὁ Μισχερλίχιος ὑπειλήφασιν. Ἀντὶ τοῦ *sensit*, ἔγραψε *sanxit* Ποντάνιος.

23). *O bona mater!* Τὸ ἐπιφώνημα τοῦτο οὐκ εὐαρμόστως ἔχει πρὸς τὰ ἡγούμενα ἢ τὰ ἑπόμενα. Διὸ ὁ μὲν Δοιρίγγιος θαυμαστικὸν αὐτὸ ὑπολαμβάνει κατ' ἔλλειψιν τεθειμένον. Εἴη γὰρ ἂν κατ' αὐτὸν τὸ πλῆρες· *o bona mater, quae vos tales peperit!* (ὢ τῆς ὀλβίας μητρός, ἣ τηλικούτους ὑμᾶς ἔτεκεν!) Ἕτεροι δὲ νοσεῖν πιστεύοντες τὸ χωρίον ἰᾶσθαι πειρῶνται, γράφοντες ὧδε·

»Heroes, salvete, Deum genus! o bona matrum
»Progenies.................

ὅλον δηλονότι στίχον μεταξὺ τοῦ 23 καὶ 24 πρότερον ὑπάρξαι ὑποτιθέμενοι, ὃν ἔπειτα ἀβλεψίᾳ τῶν ἀντιγραφέων ἐκπεσεῖν, ἢ τῷ χρόνῳ ἀποῤῥυῆναι. Ἐμοὶ δὲ μεθερμηνεύοντι τὸ χωρίον ἱκανῶς ἔχειν ἔδοξε τῷ οὐσιαστικῷ *φύτλη* τὸ ἐπίθετον *ὀλβιομῆτορ* προσθεῖναι, ὃ ἴσον δύναται τῶν γραφῶν ἑκατέρᾳ.

24). Ἀντὶ τοῦ *vos* πρὸ τοῦ *carmine*, ἔγραψεν ἐξ εἰκασίας ὁ Βέρκιος *post*. Ταύτῃ δὲ τῇ γραφῇ ἑπομένοις μεταποιητέον ἡμῖν τὸν στίχον ὧδε·

Πολλάκι καὶ ἐσέπειθ' ὑμέας προσφθέγξομ' ἀοιδῇς.

26). *Ἑῶν ἐρώτων*, δηλονότι τῆς ἐρωμένης αὐτῷ Θέτιδος, ἧς ἑκὼν τῷ Πηλεῖ ὁ Ζεὺς παρεχώρησε, πυθόμενος παρὰ Θέμιδος, ἢ

παρὰ Προμηθέως, ὡς ὁ ἐξ ἐκείνης τεχθησόμενος κρείττων ἔσεται τοῦ πατρός.

28). *Εἰναλίη*. Ὁ ποιητὴς χρῆται ἐνταῦθα τῷ ἐπιθέτῳ *Neptunine*, ὃ ταὐτόσημόν ἐστι τῷ *Ποσειδωνίς*· οὐ μέντοι βούλεται λέγειν, ὅτι θυγάτηρ Ποσειδῶνος ἡ Θέτις, ἀλλ' ὅτι ὑπόκειται αὐτῷ ἐν τῇ θαλάσσῃ οἰκοῦσα. Τοῦτ' αὐτὸ δὲ καὶ τὸ ἐπίθετον *εἰναλίη* δύναται.

29). *Τηθύς*. Οὐρανοῦ αὕτη καὶ Γῆς θυγάτηρ μυθολογεῖται, ἣ τῷ Ὠκεανῷ γαμηθεῖσα τρισχιλίας κόρας ἔτεκε τὰς καλουμένας Ὠκεανίδας. Μία δὲ τούτων ἡ Δωρὶς τῷ Νηρεῖ συνοικήσασα πεντήκοντα ἀπεκύησε Νηρεΐδας, ἐν αἷς καὶ τὴν Θέτιν. (ἴδε Ἡσιόδ. Θεογ. 241—244)· Θυγατριδῆ ἄρα τῆς Τηθύος ἡ Θέτις.

35). *Σκῦρος ἐχηρώθη*. Οὐ μικρὸν τῆς Θετταλίας ἡ νῆσος Σκῦρος ἀφέστηκεν. Ἐπειδὴ ὅμως πάλαι ὑπὸ γένους θετταλικοῦ τῶν Δολόπων ᾠκεῖτο, καὶ ὕστερον ταῖς τῆς Μαγνησίας προκειμέναις νήσοις ἐγκαταλέγετο, εἰκότως καὶ ταύτης τοὺς κατοίκους ὁ ποιητὴς ἀθρόους εἰς τοὺς τοῦ Πηλέως καὶ τῆς Θέτιδος γάμους φησὶ συνδραμεῖν.

Φθιωτικὰ Τέμπη (Phthiotica Tempe). Πολλοὶ τῶν ἑρμηνευτῶν τῷ ἐπιθέτῳ *Phthiotica* προσέκοψαν, εἰδότες ὅτι τὰ Τέμπη οὐκ ἐν τῇ Φθιώτιδι, ἀλλ' ἐν τῇ Πελασγιώτιδι χώρᾳ μεταξὺ Ὀλύμπου καὶ Ὄσσης κεῖται. Ἀλλ' οὐδέν, οἶμαι, ἄτοπον ὑποθέσθαι, ὅτι *φθιωτικὰ* κατὰ συνεκδοχὴν τὰ *θεσσαλικὰ* ὁ Κάτουλλος εἶπεν, ἀπὸ τοῦ ἐπικρατεστέρου δηλονότι μέρους τὸ ὅλον, ὥσπερ καὶ Ὅμηρος Ἀργείους καὶ Δαναοὺς τοὺς Ἕλληνας ὀνομάζει, καὶ Αἰσχύλος (Ἱκέτιδ. 235) ἀργείαν χθόνα τὴν Πελοπόννησον. Οὕτω καὶ Καλλίμαχος, (Ὕμν. εἰς Δῆλον 112) φθιώτην καλεῖ τὸν Πηνειὸν καίπερ οὐδαμοῦ ἁπτόμενον τῆς Φθιώτιδος, ἀλλὰ διὰ τῆς Ἑστιαιώτιδος καὶ Πελασγιώτιδος ῥέοντα. Ὁ δὲ Λάχμαννος τοῖς παραδείγμασι τούτοις τὸν νοῦν οὐ προσχὼν παρεφθάρθαι τὸ χωρίον ὑπέλαβε καὶ ἀντὶ τοῦ ἐπιθέτου *Phthiotica, Phthiotida* (Φθιώτιδα) ἔγραψε, διαστίξας τὴν λέξιν ταύτην τῆς ἀμέσως ἑπομένης *Tempe* (Τέμπη). Ἔστι γεμὴν τῷ τὴν γραφὴν ταύτην προσιεμένῳ τὴν μετάφρασιν ὧδε μεταβαλεῖν.

Σκῦρος ἐχηρώθη, ἔλιπον Φθιώτιδα, Τέμπη,
Κρανῶνός τε δόμους καὶ τείχεα Λαρισσαῖα.

36). *Κρανὼν* καὶ *Κραννών*, πόλις Θεσσαλίας κατὰ τὸν Στράβωνα (442), Ἔφυρα πρότερον καλουμένη, ἔνθα ᾤκουν οἱ Σκοπάδαι, πολύῤῥηνοι καὶ πολυβοῦται τῆς χώρας δυνάσται. Ἔκειτο δ' οὐ πόῤῥω Λαρίσσης πρὸς λίβα ἄνεμον νεύουσα· ὁ δ' ἄγγλος Λῆκος

ἐξ ἐπιγραφῆς τινος εἰκάζει, ὅτι ἡ Κρανὼν ἔκειτο ἔνθα νῦν ὁρᾶται τὰ τῆς καλουμένης παλαιᾶς Λαρίσσης ἐρείπια, ἐγγὺς τουρκικοῦ τινος χωρίου ὀνόματι *Χαζιλάρ*.

[37]). *Φάρσαλος* καὶ Φάρσηλος καὶ ἔτι Φαρσαλία, πόλις καὶ αὕτη τῆς Θετταλίας ἐν τῇ Θεσσαλιώτιδι χώρᾳ παρὰ τὸν Ἐνιπέα ποταμὸν ἐπὶ τῆς βορείου κλιτύος τοῦ Ναρθακίου ὄρους κειμένη. Ἐνταῦθα κατὰ τὸν μῦθον τῷ Πηλεῖ συνῴκει ἡ Θέτις· πέραν δὲ τοῦ Ἐνιπέως περίφημον Θέτιδος ἦν ἱερὸν Θετίδειον καλούμενον (ἴδε Εὐριπ. Ἀνδρομ. 16—20). Ἐν τῷ πεδίῳ τῆς Φαρσάλου ἔτει 43 π. Χ. ἡ τῆς κοσμοκράτορος Ῥώμης τύχη διεπεττεύθη· ὁ δὲ Καῖσαρ μεγάλῃ μάχῃ τὸν Πομπήϊον νικήσας τὴν τέως δημοκρατικὴν τῆς Ῥώμης πολιτείαν πράγματι εἰς μοναρχίαν μετέστησε, τηρήσας τὸ ὄνομα.

[38]). *Οὔτις ἄρουραν ἔτεμνε* κτλ. Ἐν τούτῳ τε καὶ τοῖς ἑπομένοις τέτταρσι στίχοις ἐμμελῶς ὑποτετύπωται ἡ σχολή, ἣν οἱ ἐν Θετταλίᾳ γεωπόνοι, τελουμένων τῶν γάμων τοῦ Πηλέως καὶ τῆς Θέτιδος, ἦγον· *Βοῶν μαλάσσετο δειρή*. Μεταληπτικῶς δηλοῦται τῷ ἑπομένῳ τὸ ἡγούμενον, τῇ τοῦ αὐχένος δηλαδὴ μαλακύνσει ἡ κατὰ τὰς ἑορτὰς τῶν γάμων ἀργία τῶν ἀροτήρων βοῶν· τούτων γὰρ ὁ αὐχὴν ἐργαζομένων μὲν τραχύνεται καὶ τυλοῦται προστριβόμενος τῷ ζυγῷ, τοὐναντίον δ' ἀργούντων μαλακώτερος γίγνεται. Ὁμοίᾳ μεταλήψει κἀν τοῖς ἑξῆς ὁ ποιητὴς κέχρηται.

[50]). *Πέπλος ὅδε* κτλ. «Ὅτι τὸ ἐν τῷ ποιήματι τῷδε ῥωμαϊστὶ καλούμενον *vestis* ὕφασμα ἦν τῇ κλίνῃ ἐφαπλούμενον, δῆλον· εἰ δ' ὁ Κάτουλλος τὸ παρ' Ὁμήρῳ *ῥῆγος*, ἢ μᾶλλον *τάπητα*, ἢ *πέπλον* σημαίνειν βούλεται τῷ ὀνόματι, οὐχ ὁμοίως φανερόν· πάντα γὰρ ταῦτα εὕρηται παρ' Ὁμήρῳ κλίναις ἢ θρόνοις ἐπιστρωννύμενα. Καὶ τὸ μὲν *ῥῆγος* ἐρεοῦν ἦν ἐπίστρωμα, ᾧ πολλάκις καὶ λίνον ἐπεπετάννυτο (ἴδε Ὀδυσ. Ν. 73), ἐφ' οὗ τε κατεκλίνοντο οἱ καθεύδοντες· ταὐτὸ ῥητέον καὶ περὶ τοῦ *τάπητος*, ὃς πορφυροῦς πολλάκις ὢν τὴν χροιὰν ἐπεστρώννυτο κλίναις καὶ θρόνοις (ἴδε Ὀδυσ. Κ. 12, Υ. 150). Ὁ δὲ *πέπλος* οὐ μόνον γυναικεῖον ἦν περιβόλαιον, ἀλλὰ καὶ ὕφασμα κατ' Εὐστάθιον λαμπρὸν καὶ ἐπιπρέπον, ὃ δίφροις ἐφαπλοῦν καὶ θρόνοις ἐπιστρωννύναι εἰώθεσαν οἱ ἀρχαῖοι (ἴδε Ἰλ. Ε. 194, Ὀδυσ. Η. 96). Περὶ δὲ τοῦ ἔθους τοῦ εἰκόνας ἐνυφαίνειν τοῖς πέπλοις καὶ ταῖς δίπλαξιν ἴδε Ὅμηρον Ἰλ. γ. 125 κ. ε. Μνημονεύει δ' Ὅμηρος πολλαχοῦ ἐν τοῖς ἐνευναίοις καὶ *χλαίνης*, ἣν Πολυδεύκης περιβόλαιον ἢ ἱμάτιον οἴεται εἶναι (ἴδε Ὀνομαστ. Βιβλ. Ζ. 13 καὶ Ι. 27)· εἰς περιβολὴν τοῖς καθεύδουσι χρήσιμον· τοῦτο γὰρ τὸ *ἕσασθαι* δηλοῦν, ᾧ Ὅμηρος ἐχρήσατο (Ἰλ. Ω. 646. Ὀδυσ. Δ. 296), λέγων·

» Χλαίνας τ' ἐνθέμεναι οὔλας καθύπερθεν *ἕσασθαι*.

Ἀλλ' ἱμάτιον μὲν ἢ ὅλως ἐνδυτὸν ὕφασμα οὐκ ἂν αὐτὸς φαίην τὴν *χλαῖναν* δηλοῦν ἐν τοῖς ῥηθεῖσι τοῦ Ὁμήρου χωρίοις, οὔτε τὸ *ἕσασθαι* σημαίνειν *ἐνδύσασθαι*, ἀλλ' *ἐπιβαλέσθαι*. Προδηλότερον δ' ἡμῖν τοῦτο γίγνεται ἐκ τῶν ἑξῆς ἐπῶν (Ὀδυσ. Υ. 141—144.

» Οὐκ ἤθελ' ἐν λέκτροισι καὶ ἐν ῥήγεσσι καθεύδειν,
» Ἀλλ' ἐν ἀδεψήτῳ βοέῃ καὶ κώεσιν οἰῶν
» Ἔδραθεν ἐν προδόμῳ· χλαῖναν δ' *ἐπιέσσαμεν* ἡμεῖς.

Οὐ γὰρ ἂν εἴποιμεν πιθανῶς, ὅτι τὸν Ὀδυσσέα καθευδήσειν μέλλοντα τὴν χλαῖναν ἐνέδυσαν αἱ θεράπαιναι, ἀλλ' ἐπέβαλον κατακλιθέντι αὐτῷ ἢ ἐφήπλωσαν. Ἴδε καὶ Ὅμ. Ὀδ. τ. ς. 4. ἔνθα ἀναγιγνώσκεται ὁ στίχος·

Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν βάλε κοιμηθέντι.

καίτοι οὐκ ἀπρεπὲς ἐδόκει τοῖς παλαιοῖς τὸ τὰς γυναῖκας γυμνοὺς τοὺς ἄνδρας ὁρᾶν· λουομένοις τε γὰρ τούτοις παρίσταντο καὶ ἐλαίῳ τοὺς λελουμένους ἤλειφον. Ἴδε Ὀδ. δʹ. 252. Σκοπουμένῳ μοι οὖν, πῶς, ἂν τὸ ῥωμαϊκὸν *vestis*, ᾧ Κάτουλλος ἐνταῦθα κέχρηται, ὀρθότερον ἐξελληνισθείη, ἔδοξε *πέπλον* αὐτὸ ἑλληνιστὶ ὀνομάσαι. Γενικωτέραν γὰρ τοὔνομα ἔχει τὴν σημασίαν, κλίνης τε ἐπιστρώματι συνωνυμοῦν καὶ ὅλως ἐπικαλύμματι. Εἰ δέ τις προαιροῖτο τὴν λέξιν *τάπης*, ᾗ Θεόκριτος (Εἰδύλ. ΙΕ. 125) ἐπὶ τῆς σημασίας τοῦ ἐπιστρώματος κέχρηται, ἔστι τὸν μὲν 50 στίχον ὧδε μεταποιῆσαι

» Ἀρχαίων ὁ τάπης ἠνθισμένος εἰκόσιν ἀνδρῶν·

τοὺς δὲ στίχους 266 καὶ 267 ὧδε·

» Τοίοις ἐντέχνως ἠσκημένος εἰκόσι κεῖνος
» Νυμφιδίην ἐκάλυπτε τάπης πεπετασμένος εὐνήν·

53). *Δία* νῆσος ἡ νῦν Νάξος, ἔνθα ὁ Θησεὺς ἐκ Κρήτης ἐπανιὼν ἐφωρμίσατο καὶ τὴν ἑαυτοῦ σώτειραν Ἀριάδνην ἐπὶ τῆς ἀκτῆς κοιμωμένην καταλιπὼν λάθρα σὺν τοῖς ἑταίροις ἀπέπλευσε, τῆς εὐεργεσίας ἐπιλαθόμενος. Ὁ δ' Οὐόσσιος ἀντιδοξῶν τοῖς πολλοῖς οὐ Νάξον οἴεται εἶναι τὴν νῆσον Δίαν ᾗ Θησεὺς προσχεῖν λέγεται κατὰ τὸν ἐκ Κρήτης ἀνάπλουν, ἀλλὰ μικράν τινα νῆσον ἐγγὺς τῆς Κρήτης κειμένην καὶ αὐτὴν Δίαν τὸ πάλαι, νῦν δὲ Στανδίαν χυδαϊστὶ καλουμένην. Τὴν δ' ἑαυτοῦ δόξαν δυσὶ μάλιστα ὑπερείδειν ἐκεῖνος πειρᾶται λόγοις, τοῖς δε· αʹ. ὅτι ἡ Νάξος πολὺ τῆς τοῦ Θησέως ἀπέχει ὁδοῦ ἀπὸ Κρήτης οἴκαδε ὑποστρέφοντος· βʹ. ὅτι ὁ ἐν στίχῳ 184 τῆς Ἀριάδνης ἐκεῖνος ὀδυρμός·

» Πάρ' δ' ἄρα θίς τέταται νήσῳ ἐπ' ἐρήμῃ ἄοικος.

οὐδαμῶς τῇ νήσῳ Νάξῳ ἁρμόζει· οὐ γὰρ αὕτη ἐρήμη ἦν, ἀλλὰ καλῶς ᾠκεῖτο ἀεί, ἐφ' ὅσον ἡ τῶν ἀνθρώπων ἐφικνεῖται μνήμη. Πρὸς ταῦθ' ὅμως ἀντιῤῥητέον α'. ὅτι οὐκ ἀπίθανόν ἐστι τὸν Θησέα ἀναπλέοντα ἀπὸ Κρήτης ἐπίτηδες τῆς εὐθείας ἐκκλῖναι, τοὺς διώξοντας δεδιότα. Ὑποθείη δ' ἄν τις αὐτὸν καὶ ἄκοντα ἀποκεῖλαι ἐς Νάξον, πνεύμασιν ἐναντίοις παρενεχθέντα, ἢ ἑκόντα, ὥσπερ ἔθος ἐστὶ τοῖς πλωϊζομένοις, τὴν ἀπὸ τῆς ἐπιτόμου μεθοδεῦσαι ἀπόκλισιν, ἵν' ἐκεῖθεν φορωτέρῳ χρήσαιτο τῷ ἀνέμῳ. Ἀναγκαῖον δὲ μάλιστα τὸ μεθόδευμα τοῦτο τοῖς ἐκ Κρήτης εἰς τὴν Ἀττικὴν ἀναπλέουσι θέρους ὥρᾳ, ὅτε αὐτοῖς διηνεκῶς σφοδροὶ οἱ ἀπ' Ἄρκτου ἀντιπνέουσιν ἐτησίαι· β'. ὅτι ἐννοητέον τὴν Ἀριάδνην ἐν ἀνακεχωρηκυίᾳ τινὶ καὶ ἐρήμῳ τῆς καλῶς οἰκουμένης Νάξου ἀκτῇ ὑπὸ Θησέως καταλειφθῆναι. Ἀλλ' οὐδὲ χρὴ τοὺς τῆς Ἀριάδνης ὀδυρμοὺς ὑπὲρ τὸ μέτρον διακριβοῦν καὶ λεπτοτομεῖν, ἐνθυμουμένους, ὅτι σύνηθες τοῖς ὑπὸ πάθους σφοδροῦ, ὡς ἐκείνη, κατεχομένοις τὸ καὶ ὑπερβολαῖς χρῆσθαι ὀδυρομένους. Τέλος δ' ἡ ἐν τῇ νήσῳ ἐκείνῃ τοῦ Βάκχου τῇ Ἀριάδνῃ συνάντησις τῇ κοινῇ δόξῃ συνηγορεῖ, ἣ Νάξον εἶναι τὴν Δίαν βούλεται· ἴσμεν γάρ, ὅτι ἡ Νάξος ἱερὰ ἦν τῷ Βάκχῳ καὶ ἴδιον αὐτῷ οἰκητήριον. Τὸ δ' αὖ ὑποθέσθαι συνῳδὰ τῷ Οὐοσσίῳ, ὅτι ἐκεῖνος ἐπίτηδες τὴν Ἀριάδνην περιζητῶν εἰς τὴν παρὰ τὴν Κρήτην προσωρμίσατο Δίαν, μὴ καὶ γελοῖον ᾖ.

55). *Οὐδ' ἐτεῇ ὁράαν* κτλ. Καί περ τὸν Θησέα ἐπὶ τῆς νεὼς φεύγοντα ὁρῶσα ἡ Ἀριάδνη, τοῖς ἑαυτοῖς ὅμως ἀπιστεῖ ὀφθαλμοῖς καὶ ὄνειρον ὑπολαμβάνει τὸ ὁρώμενον.

58). *Ἀμνήμων* τῶν τῆς Ἀριάδνης δηλαδὴ εὐεργετημάτων καὶ τῶν ἑαυτοῦ ὑποσχέσεων, ἀγνώμων.

60). *Ἀπ' ἠϊόνος*, Ἐν τῷ κειμένῳ κεῖται *ex alga*=ἀπὸ τοῦ φύκους δηλονότι τοῦ ἐπὶ τοῦ αἰγιαλοῦ. Πρβλ. Θίν' ἐπὶ φυκιόεντι (Ἰλ. Ψ. 693).

61). *Ὥστε τις Εὐϊάδος* κτλ. Τὴν Ἀριάδνην πόῤῥωθεν τὴν ὄψιν τῷ Θησεῖ φεύγοντι ἀπερείδουσαν καὶ οἱονεὶ τοῖς ὀφθαλμοῖς τοῦτον μεθέπουσαν οἰστρομανοῦς Βάκχης ἀγάλματι ἄριστα παρεικάζει ὁ ποιητής, οὕτω τὰ χείλη διανοιγούσης, ὥστε εὐάζειν δοκεῖν, βλοσυρὸν δὲ καὶ παράφορον δεδορκυίας. Τοιαύτη δ' ἡ τῆς ὁμοιώσεως ταύτης δύναμις, οἵα πολλῷ πλείω τοῖς ἀναγνώσταις ἐννοεῖν παρέχειν ἢ τὰ ῥήματα καθ' ἑαυτὰ δηλοῖ.

70). *Ἀνηρτῆσθαι εἴς τινα ὅλῃ καρδίᾳ* σημαίνει οὕτω προσέχειν τινί, ὥστε εἰς ἐκεῖνον μόνον ἐν τῷ βίῳ ὁρᾶν καὶ τῆς ἐκείνου θελήσεως τὰ ἑαυτοῦ ἀπαρτᾶν πάντα. Σημειωτέον δέ, ὅτι τὴν αὐτὴν ἔννοιαν διαφόροις λέξεσιν *ὅλῃ καρδίᾳ, ὅλῳ θυμῷ,*

ὅλαις φρεσὶ τρὶς ἐπαναλαμβάνων ὁ ποιητὴς τὴν τοῦ ἔρωτος τῆς Ἀριάδνης ἐκδηλοῦν βούλεται δύναμιν.

72). *Ἐρυκίνη.* Ἐπίθετον τοῦτο τῆς Ἀφροδίτης ἀπὸ Ἔρυκος πόλεως ἐν Σικελίᾳ, ἐπὶ τῆς δυτικῆς κλιτύος τοῦ ὁμωνύμου ὄρους κειμένης, ὅπου λαμπρὸς καὶ περιώνυμος ἵστατο τῇ θεᾷ ναός. Ὁμοίως ἐκαλεῖτο ἡ αὐτὴ καὶ Παφία ἀπὸ τῆς ἐν Κύπρῳ πόλεως Πάφου, καὶ Ἀμαθουσία ἀπὸ Ἀμαθοῦντος, καὶ Κνιδία ἀπὸ Κνίδου, καὶ Κυθέρεια ἀπὸ τῆς νήσου Κυθήρων.

75). *Ἵκετο τῆλ' ἀδίκου* κτλ. Γορτύνια δώματα τὰ ἐν Γόρτυνι ἢ Γορτύνῃ, πόλει τῆς Κρήτης παρὰ τὸν Ληθαῖον ποταμόν, ἐγγὺς τοῦ νῦν ἁγίου Δέκα. Διατί δὲ ὁ Μίνως, ὃς τοσοῦτον ἐπὶ δικαιοσύνῃ παρὰ τοῖς ἀρχαίοις κλέος ἐκτήσατο, ὥστε καὶ τελευτήσας ταχθῆναι ὑπὸ τοῦ Διὸς τοῖς ἐν ᾅδου δικάζειν, *ἄθεσμος* (iniustus) ἐνταῦθα καλεῖται; ἢ ὅτι τοιοῦτος ἔδοξε πρὸς τοὺς Ἀθηναίους γενέσθαι, οὕτω βαρεῖαν αὐτοῖς καὶ ἀπάνθρωπον ἐπιθεὶς ζημίαν τῆς τοῦ Ἀνδρόγεω ἀναιρέσεως. Εἰσὶ δ' οἳ τὸν τῆς Ἀριάδνης πατέρα οὐ Μίνωα τὸν πρῶτον τὸν υἱὸν καὶ ὀαριστὴν τοῦ μεγάλου Διός, τὸν ἐπὶ δικαιοσύνῃ κλεϊζόμενον, εἶναι φάσκουσιν, ἀλλὰ τὸν ἐκείνου ἔγγονον Μίνωα τὸν δεύτερον, ὃν καὶ Ὅμηρος (Ὀδυσ. Λ. 322) *ὀλοόφρονα* ἀπεκάλεσε.

77). *Κεκροπίη* ἡ ἀρχαιοτέρα τῶν Ἀθηνῶν πόλις, ἀπὸ Κέκροπος τοῦ κτίσαντος αὐτὴν οὕτως ὀνομασθεῖσα. *Ἀνδρόγεω φόνον τῖσαι πολύδακρυν.* Τὰ περὶ τοῦ φόνου Ἀνδρόγεω καὶ τῆς ὑπὸ τοῦ Μίνω ταχθείσης τῆς Ἀθηναίοις τιμωρίας διὰ βραχέων διέξεισιν ἐνταῦθα ὁ Κάτουλλος, τὴν αἰτίαν ἡμῖν δηλῶν, δι' ἣν ὁ Θησεὺς εἰς Κρήτην ἀπέπλευσεν. Ἔχει δ' ὁ μῦθος ὧδε. Ἀνδρόγεως υἱὸς Μίνω καὶ Πασιφάης, ἢ κατ' ἄλλους Κρήτης, παραγενόμενος ἐς Ἀθήνας ἐπὶ τὴν ἀρτίως ἱδρυμένην τῶν Παναθηναίων ἑορτήν, καὶ λαμπρῶς ἐν αὐτοῖς ἀγωνισάμενος, τῶν ἀριστείων ἔτυχε καὶ φιλίαν τοῖς τοῦ Πάλλαντος υἱέσι συνέθετο, οἳ τότε τῆς ἀρχῆς ἐν Ἀττικῇ τῷ Αἰγεῖ συμμετεῖχον. Ὁ δ' Αἰγεὺς δεδιὼς μὴ οἱ Παλλαντίδαι τοιοῦτον ἑαυτοῖς προσκτησάμενοι ἀρωγὸν ἐξελάσωσιν αὐτὸν τῆς ἀρχῆς, δόλῳ τὸν Ἀνδρόγεων διειργάσατο. Ἄλλοι δ' αὐτὸν ὑπ' Ἀθηναίων φασὶ φθόνῳ ἀναιρεθῆναι. Λοιμοῦ δ' ἔπειτα τοῖς Ἀθηναίοις ἐνσκήψαντος καὶ πόλεμον τοῦ Μίνω ἐπαγαγόντος, ἔχρησεν ὁ Θεὸς μὴ ἂν πρότερον αὐτοὺς ἀπαλλαγήσεσθαι τῶν κακῶν, πρίν γε δίκην ὑποσχεῖν τῷ Μίνωϊ τῆς τοῦ παιδὸς ἀναιρέσεως. Ὁ δ' ἔταξεν αὐτοῖς κατὰ πᾶν ἔννατον ἔτος νεανίσκους ἑπτὰ καὶ ἰσαρίθμους νεάνιδας ἀποκληρουμένους φόρον τελεῖν, οἳ ἐς Κρήτην ἀπαγόμενοι τῷ Μινωταύρῳ εἰς βρῶσιν προὐτίθεντο. Ἦν δ' ὁ Μινώταυρος τέρας ταυροφυὲς ἐκ Πα-

σιφάης γυναικὸς τοῦ Μίνω ταύρῳ τινὶ πλησιασάσης τεχθέν. Ὁ γὰρ Ποσειδῶν χαλεπήνας τῷ Μίνωϊ, ὅτι οἱ τὸν ἐκ θαλάσσης ἀναδοθέντα ταῦρον θῦσαι εὐξάμενος οὐκ ἐπετέλεσε τὴν εὐχήν, ἐπιμανῆναι τούτῳ τὴν Πασιφάην ἐποίησε, τοῦ δὲ παρὰ φύσιν ἔρωτος σύμμικτον καρπὸν τὸν Μινώταυρον φῦναι, ὃς ἐν τῷ Λαβυρίνθῳ ἐτρέφετο. Ὁ δὲ Θησεύς, ἐπειδὴ ὁ χρόνος τοῦ τρίτου δασμοῦ καθῆκεν, ἄνευ κλήρου γενναιοφρόνως προσελθὼν τοῖς λαχοῦσιν ἠϊθέοις ἐς Κρήτην συνέπλευσε, πεποιθὼς τῇ τε ἑαυτοῦ ῥώμῃ καὶ τῇ τῶν θεῶν ἀντιλήψει χειρώσεσθαι τὸν Μινώταυρον. Ἐκεῖσε δ' ἀφικόμενον μία τῶν τοῦ Μίνω θυγατέρων ἡ Ἀριάδνη ἰδοῦσα καὶ ἔρωτι ἁλοῦσα δεινῷ τὰ τῆς σωτηρίας αὐτῷ λάθρα συνέπραξε· μίτον γὰρ τῷ Θησεῖ παρασχοῦσα ἐδίδαξε, πῶς ἐκείνῳ χρώμενος ἡγεμόνι τοὺς ἐλιγμοὺς τοῦ Λαβυρίνθου ἔχοι διεξοδεῦσαι. Ἐξ ὑποβολῆς οὖν τῆς Ἀριάδνης τὸν Μινώταυρον ὁ Θησεὺς ἀνελὼν καὶ τοῦ Λαβυρίνθου ἐξαγαγὼν ἑαυτόν, αὐτήν τε καὶ τοὺς συμπλωτῆρας ἀναλαβὼν τῆς Κρήτης πάλιν ἐξέπλευσεν. Εἰς δὲ Νάξον κατασχὼν καὶ τὴν Ἀριάδνην ἐκβιβάσας κατέλιπε μόνην καθεύδουσαν ἐπὶ τῆς ἀκτῆς, ἔρωτι Αἴγλης τῆς Πανοπέως ἀγνώμων δειχθεὶς πρὸς τὴν σώτειραν. Ἄλλοι δ' ἄλλως τὸν μῦθον τοῦ Θησέως καὶ τῆς Ἀριάδνης ποικίλλουσι. Σημειωτέον δ' ἔτι, ὅτι ὀρθῶς ὁ τοῦ Ἀνδρόγεω φόνος καλεῖται *πολύδακρυς*, ἅτε πολλῶν δακρύων τοῖς Ἀθηναίοις γενόμενος αἴτιος.

79). *Μινωταύρῳ δαῖτα πικρήν.* Οὐκ ἀπροσφυῶς, οἶμαι, τὸ ἐπίθετον τοῦτο προστέθειταί μοι. Πικρὰ γὰρ ἡ ἀνθρωποφαγία τοῖς τε τὴν βρῶσιν παρέχουσιν Ἀθηναίοις καὶ αὐτῷ τῷ Μινωταύρῳ ἀπέβη.

83). *Νεκροὺς ἀνέκρους.* Οὕτω μεθηρμήνευταί μοι λέξει ἀήθει τὸ τοῦ Κατούλλου ἄηθες ὡσαύτως καὶ δυσμεθερμήνευτον *funera nec-funera*, ὅπερ κατὰ τὸ ὁμηρικὸν *Ἶρος Ἄϊρος* (Ὀδυσ. Σ. 73) καὶ τὸ Σοφόκλειον *ὕπνος ἄϋπνος* (Φιλοκτ. 848) καὶ τὸ *γάμος ἄγαμος* ἐσχημάτισται. Ὥσπερ οὖν τὸ *Ἶρος Ἄϊρος* σημαίνει Ἶρον μὴ ὄντως Ἶρον, ἅτε αὐτίκα ἐκποδὼν γενησόμενον, τὸ δὲ *ὕπνος ἄϋπνος*, ὕπνον μὴ ὄντως ὕπνον, οὕτω καὶ τὸ *νεκρὸς ἄνεκρος* δηλοῖ νεκρὸν οὔπω ὄντα νεκρόν, ἀλλ' αὐτίκα ἐσόμενον.

95). *Μελεδῶσί τε γήθεα μίσγεις.* Παράβαλε τὰ τοῦ Ἀνακρέοντος·

> Ἀκίδας δ' ἔβαπτε Κύπρις,
> μέλι τὸ γλυκὺ λαβοῦσα·
> ὁ δ' ἔρως χολὴν ἔμισγεν (Ὠδάρ. μέ. 5—7).

96). *Γόλγων μέδουσα καὶ ἰδαλίοιο.* Γόλγοι, πόλις ἐπὶ

τῆς νήσου Κύπρου, κτισθεῖσα ὑπὸ Γόλγου Σικυωνίου, ἔνθα ναὸς ἦν Ἀφροδίτης. Ἰδάλιον δὲ ὄρος ἐστὶ τῆς αὐτῆς νήσου, ἐφ' οὗ ὁμοίως ἔκειτο ναὸς τῆς θεᾶς, καὶ ἐξ οὗ αὕτη Ἰδαλία ἐπεκαλεῖτο. Πρβ. Θεοκρ. Εἰδύλλ. ΙΕ'. 100.

103). *Ὅμως γε μάτην* κτλ. Ἐνδομυχὶ ἡ Ἀριάδνη θανεῖν τὸν Μινώταυρον εὐχομένη, τὸν δὲ Θησέα σωθῆναι, τοῖς μὲν Θεοῖς κεχαρισμένα ὑπισχνεῖτο δῶρα, ἀλλ' ἑαυτῇ μάταια· ταῦτα γὰρ οὐχ ὅπως ὤνησαν αὐτὴν, ἀλλὰ καὶ κακοδαιμονεστάτην κατέστησαν.

104). Τὸ ἐπὶ χείλεσι τὴν εὐχὴν ἐρύξαι οὐ τὸ μεταγνῶναι αὐτὴν ἐν τῷ εὔχεσθαι σημαίνει, ἀλλὰ τὸ καθ' ἑαυτὴν σιγῇ εὔξασθαι. Εἰσὶ δ' οἳ ἀντὶ τοῦ *suspendit* ἀναγνωστέον ἡγοῦνται *succendit*.

105). *Ταῦρος,* ὄρος μέγα μέσην τὴν Ἀσίαν πᾶσαν σχεδὸν διέχον. Τὸν Μινώταυρον ὑπὸ Θησέως κτεινόμενον καὶ πίπτοντα προσφυῶς ὁ Κάτουλλος ὑψικόμῳ τοῦ ὄρους Ταύρου παραβάλλει δρυῒ ὑπὸ βιαίας ἐκπρεμνιζομένῃ θυέλλης. Ἐμιμήσατο δὲ τὸν Ὅμηρον, ὁμοίᾳ παραβολῇ πολλαχοῦ τῆς Ἰλιάδος χρησάμενον (ἴδε Ἰλ. Δ. 482, Ν. 389, Π. 482) πρβλ. καὶ Κόϊντ. Σμυρν. ά. 488 κ. ἐξ. Ἡδ' αἰτιατ. *δρύα* εὕρηται παρὰ Κοΐντῳ γ'. στ. 280 καὶ ἀλλαχοῦ

Ἀντὶ τοῦ ἀρσενικοῦ *indomitus turbo, indomitum turben* οὐδετέρως ἔγραψεν ὁ Φροιλίχιος Σερουΐῳ πειθόμενος, ὃς ἐν ταῖς εἰς τὸν στίχον 278 τοῦ 3ου βιβλίου τῆς Αἰνειάδος σημειώσεσι τάδε ἡμῖν παρέδωκεν. *Catullus hoc turben dicit ut hoc carmen.*

109). *Ὅσον περ' ἵκοιτο πρόσω.* Τῆς παρὰ Δοιριγγίῳ γραφῆς *lateque et cominus obvia* προειλόμην τὴν ἐξ εἰκασίας τοῦ Λαχμάννου διόρθωσιν τοῦ κειμένου ἔχουσαν ὧδε· *late qua est impetus*· Εἴ τις δ' ἐκείνην μᾶλλον ἀσπάζεται, μεταγραφέτω τὴν ἑλληνικὴν τοῦ στίχου μετάφρασιν οὑτωσί·

»Ἤριπε· πᾶν δ' ἔμπλην' ἰδ' ἑκὰς κυρέον συνέθραυσε

110). Λείπει ἐν τῷ κειμένῳ τὸ οὐσιαστικόν, εἰς ὃ τὸ ἐπίθετον *saevum* καὶ τὴν μετοχὴν *iactantem* ἀνενεκτέον· ἔοικεν οὖν στίχος τις ἐκρυῆναι ἐνταῦθα.

116 117). *Ἀλλὰ τίη πόλλ' ἐνέπω;* Αὐτὸς ὁ ποιητὴς ἑαυτὸν ἀπὸ τῆς παρεκβάσεως ἀνακαλεῖ· ἀλλὰ μάτην πειρᾶται τὴν τῆς ψυχῆς φορὰν ἐπισχεῖν, ἣ ὑπὸ τῆς ὑποθέσεως κάτοχος γενομένη αὐτομάτως φέρεται προσωτέρω.

118). *Προσπτύγματ' ἀδελφῆς*· τῆς Φαίδρας δηλονότι, θυγατρὸς καὶ ταύτης τοῦ Μίνω.

119). *Ἡθ' ἐῇ αἰνοτόκεια* κτλ. Κἀνταῦθα κατηκολούθηκα τῷ Λαχμάννῳ ἐξ εἰκασίας τὸν στίχον γράφοντι ὡς ἐν τῷ παρ' ἐμοὶ κειμένῳ. Ὁ δὲ Ῥοσβάχιος ἀντὶ τοῦ ῥήματος *laeclabatur* γραπτέον

εἶναι εἰκάζει *luctabatur*· ὥστε μεταποιητέον τὸν στίχον οὕτω·

ἥ θ' ἐῇ οἰχομένῃ μελέῃ ἐπεκόπτετο παιδί.

Εἰ δέ τις τὴν παρὰ Δοιριγγίῳ γραφὴν μᾶλλον προσίεται ἔχουσαν ὧδε·

Quæ misera in gnata flevit deperdita, læta κτλ.

μεταβαλέτω καὶ τὴν ἑλληνικὴν μετάφρασιν οὑτωσί·

Ἡ πόλλ' αἰνοτόκεια θύγατρ' ὀλοφύρατο, πρόφρων

129). Περίβλημα μαλακὸν τῆς γυμνῆς κνήμης νοείσθω τοῦ χιτῶνος τὰ περιπέζια, οἷς αἱ κνῆμαι καλύπτονται. Πρβλ. τὸ τοῦ Μόσχου (Εἰδύλλ. β'. 122—124).

» . . . . ἐν χερὶ δ' ἄλλῃ
» Εἴρυε πορφυρέας κόλπου πτύχας, ὄφρα μὴ ὤην
» Δεύοι ἐφελκομένην πολιῆς ἁλὸς ἄσπετον ὕδωρ.

142). *Τὰ σκέδασαν κοῦφοι νῦν ἀνεμώλι' ἀῆται*· δηλονότι ἐματαίωσαν, διέλυσαν. Παράβαλε τὸ τοῦ Ὁμήρου (Ὀδυσ. Θ. 408—409).

» . . . . ἔπος δ' εἴπερ τι βέβακται
» Δεινόν, ἄφαρ τὸ φέροιεν ἀναρπάξασαι ἄελλαι.

καὶ τὸ τοῦ Θεοκρίτου (Εἰδύλλ. κβ'. 167—168).

» . . . . Τὰ δ' εἰς ὑγρὸν ᾤχετο κῦμα
» Πνοιὴ ἔχοισ' ἀνέμοιο.

150). *Ὅμαιμον*· τὸν Μινώταυρον λέγει, ὁμομήτριον αὐτῇ γεγονότα· ἐκ Πασιφάης γὰρ (ὡς εἴρηται σημ. 31) ἐγεγέννητο ὁμιλησάσης τῷ ταύρῳ.

153). *Οὐδ' ἄρα με φθιμένην κονίῃ* κτλ. Μεγίστην συμφορὰν ποιεῖται ἡ Ἀριάδνη τὴν μετὰ θάνατον ἀταφίαν. Κατὰ γὰρ τὴν δεισιδαίμονα τῶν παλαιῶν δόξαν αἱ τῶν ἀτάφων ψυχαὶ οὐκ ἐτύγχανον ἀναπαύσεως, ἀλλ' ἔτη ἑκατὸν περὶ τὸ ἑαυτῶν σῶμα ἢ περὶ τὴν Στύγα πλανᾶσθαι ἐνομίζοντο, εἰργόμεναι τῆς εἰς ᾅδου καθόδου· (ἴδε Ὅμ. Ἰλ. Ψ. 71 κ. ἑξ.) Ἵνα δέ τις τὰ πρὸς τὸν νεκρὸν ἀφοσιώσηται καὶ αὐτὸν τῆς πλάνης ἀπαλλάξῃ, ἀπέχρη καὶ ἐλάχιστον γῆς ἢ κόνεως τῷ σώματι ἐπιχέαι. (ἴδ. Σοφ. Ἀντιγ. 246 καὶ 429).

155). *Τίς σ' ἐκύησε θάλασσα;* Παράβαλε τὸ ὁμηρικὸν (Ἰλ. Π. 34).

» . . . . . . γλαυκὴ δέ σε τίκτε θάλασσα.

157). *Ὅττι βίου τοῖα* κτλ. Ὁ νοῦς· ὅτι τοιαύτας μοι ἀμοιβὰς παρέχεις τῆς τοῦ βίου σου ἀπὸ τῶν κινδύνων ἐκσώσεως.

168). *Φύκευς ἐπ' ἐρήμου*, ἐπὶ τῆς φυκώδους ἐρήμου παραλίας.

169). *Ἦ ῥα λίην δαίμων* κτλ. Βαρυτέρα ἡ συμφορά, εἴ τις μηδένα ἔχοι, ὅτῳ τὴν τῆς ψυχῆς ὀδύνην ἀνακοινώσαιτο· μόνον γὰρ

τῆς λύπης τῷ δυστυχοῦντι γίγνεται ἀνακούφισμα ἡ λόγῳ αὐτῆς πρὸς τοὺς ἄλλους ἐκδήλωσις.

174). *Ἐν Κρήτῃ δολόεις δῆσε* κτλ. Δολόεις, ἤτοι ἄπιστος ναύτης, λέγεται ἐνταῦθα ὁ Θησεύς, ἢ συνεκδοχικώτερον πάντες οἱ συμπλωτῆρες αὐτοῦ. Πάντας γὰρ συνεργοὺς αὐτῷ τῆς ἀπάτης ἡγεῖται ἡ Ἀριάδνη. Παράβαλε τὸ τοῦ Οὐϊργιλίου (Αἰν. δ. 657—658).

» Felix, heu, nimium felix, si littora tantum
» Nunquam Dardaniæ tetigissent nostra carinæ!

καὶ τὸ τοῦ Εὐριπίδου (Μήδ. 1—2).

» Αἴθ' ὤφελ' Ἀργοῦς μὴ διαπτάσθαι σκάφος
» Κόλχων ἐς αἶαν, κυανέας Συμπληγάδας!

178). *Ἰδομεναῖα νέωμαι ἐς οὔρεα;* Ἰδομεναῖα ὄρη ἀπὸ πολίχνης Ἰδομένης ὑπὸ τοῦ ποιητοῦ κεκλῆσθαί φησιν ὁ Οὐόσσιος, ὁ τὸ χωρίον τοῦτο φαύλως πρὶν ἔχον ἄριστα ἰασάμενος. Δύο δ' ἦσαν Ἰδομέναι· ἡ μὲν ἐγγὺς Ἀμβρακίας ἐπὶ δύο ὑψηλῶν λόφων κειμένη, ἑτέρα δ' ἐγγὺς τῶν τῆς Θράκης ὁρίων ἐπὶ τῶν Βοττιαίων ὀρῶν, ὑπὸ Ἰδομενέως τοῦ τῶν Κρητῶν ἡγεμόνος κτισθεῖσα, ὅτε στόλῳ ἐπὶ Μακεδονίαν ἦλθε. Σημειωτέον δὲ κατὰ τὸν αὐτὸν Οὐόσσιον, ὅτι οὐκ αὐτὰ ὁ ποιητὴς βούλεται σημαίνειν τὰ ὄρη, ἐφ' ὧν ἔκειτο ἡ εἰρημένη πολίχνη· ἀλλ' ἐπειδὴ ὑπ' Ἰδομενεῖ καὶ τοῖς Κρησὶ πᾶσα ἦν ἡ τῆς Μακεδονίας καὶ δὴ καὶ ἡ τῆς Χαλκιδικῆς παραλία, οὐδὲν κωλύει ἡμᾶς μὴ οὐ συνεκδοχικῶς πᾶσαν ταύτην καὶ μάλιστα τὸν πόῤῥωθεν ὁρώμενον Ἄθω ἐνταῦθα νοεῖν.

184). Ἐν τῷ κειμένῳ ἀναγιγνώσκεται *sola insula* κατ' ὀνομαστικήν· διὸ ἔχοι τις ἂν τὸ χωρίον ἀκριβέστερον μεθερμηνεῦσαι ὧδε· *Πλὴν δὲ τούτων αἰγιαλὸς ἄνευ στέγης, νῆσος ἐρήμη*· ἀλλ' ἡ πεζὴ αὕτη μετάφρασις τῆς ἐμῆς ἐμμέτρου οὐ διαφέρει τὸν νοῦν.

210). *Φίλα σήματα*· τὰ λευκὰ βούλεται λέγειν ἱστία, ἃ τὸν Θησέα σῶον ἐκ Κρήτης ἐπαναπλέοντα ἔδει κατὰ τὴν τοῦ πατρὸς ἐντολὴν πόῤῥωθεν τούτῳ ἐπᾶραι τῆς ἑαυτοῦ σωτηρίας τεκμήρια.

215). *Τέκνον μουνογενές.* Πῶς μονογενές; οὐ γὰρ τὸν Θησέα μόνον ἐξ Αἴθρας τῆς Πιτθέως ἐτέκνωσεν ὁ Αἰγεύς, ἀλλὰ καὶ Μῆδον ἐκ Μηδείας τῆς Αἰήτου (ἴδε Ἀπολλόδ. ά. 9. 28). Κατὰ μετάληψιν ἄρα ἐκδεκτέον τὸ *μουνογενὲς* ἀντὶ τοῦ φίλτατον.

216). *Ὃς ὑστατίῳ ἐνὶ γήραϊ νῦν δέδοσαί μοι.* Εἰσὶν οἳ ταῦτα τὸν καθ' Ὅμηρον τηλύγετον δηλοῦν ἡγοῦνται, ὃν δηλονότι ὀψὲ τῆς ἡλικίας ἐγέννησεν ὁ Αἰγεύς. Ἀλλ' ἔμοι γε ὀρθότερα

δοκεῖ ὁ Δοιρίγγιος ἀποφαίνεσθαι, φάσκων τὸν ποιητὴν δηλοῦν βούλεσθαι τούτοις, ὅτι ὁ Θησεὺς παρὰ Πιτθεῖ τῷ πρὸς μητρὸς πάππῳ ἐν Τροιζῆνι ἀνατραφείς, ἔναγχος τῷ πατρί, πόῤῥω ἤδη τῆς ἡλικίας ἐληλακότι, ἐς Ἀθήνας ἐπέμφθη. Ταύτην τὴν ἑρμηνείαν ἐπικυροῖ τὰ κατωτέρω (στίχ. 219—220) λεγόμενα ὑπὸ τοῦ Αἰγέως·

» . . . . οὗ ὄμματα γήραϊ βληχρά,
» Οὔπω τηλυγέτου κεκόρηται υἷος ὀπωπῆς.

Ἐμφαίνεται γὰρ τούτοις μὴ πολὺν διαγεγονέναι χρόνον, ἐξ οὗ πρῶτον ὁ Αἰγεὺς τὸν υἱὸν ἐν Ἀθήναις εἶδε.

224). *Κρᾶτα κόνει πολιὸν* κτλ. Εἴθιστο πάλαι τοῖς πενθοῦσι κόνιν ἢ τέφραν τῆς κεφαλῆς καταχεῖν, καὶ τὰ ἱμάτια τούτοις ῥυπαίνειν· (ἴδε Ἰλι Σ. 23 κ. ἑξ. Ὀδυσ. Ω. 315 κ. ἑξ.)

225). *Πλαγκτοῦ ἀφ' ἱστοῦ* (vago malo). Πλαγκτὸς λέγεται ὁ ἱστὸς ὡς ὑπ' ἀνέμων περιδονούμενος ἢ μετὰ τῆς νεὼς ἐπὶ τῶν κυμάτων πλανώμενος.

227). *Κάρβασα ἰβηρικά*· δηλονότι ἱστία ἐξ Ἰβηρίας κομιζόμενα, ὅπου πάλαι ἄριστον εἰς ἱστοποιΐαν ἐφύετο λίνον· ἴδε Plin. Hist. Nat. XIX, 2. 6.

228). *Ζαθέης πολιοῦχος Ἴτωνος*· ἡ Ἀθηνᾶ, ἣ ναὸν ἐν Ἴτωνι ἢ Ἰτώνῃ πολίχνῃ τῆς Θεσσαλίας εἶχεν, ὅθεν τὴν τῆς θεᾶς λατρείαν ἐς Ἀθήνας ἔπειτα μετενεχθῆναί φασι.

230). *Δεξιτερὴν ἐρυθῆναι αἵματι ταύρου*· τὸν Μινώταυρον δηλονότι κτεῖναι.

236). *Ὑψοῦ, ὅθι στίλβει* κτλ. Στίλβειν φησὶν ὁ ποιητὴς τὰ καρχήσια, ἤτοι τὰ τῶν ἱστῶν ἄκρα· διότι μετάλλῳ, ὡς ἔοικεν, εἰς μείζω στερεότητα τὸ πάλαι περιεβάλλετο. Σημειωτέον δ' ὅτι ὁ τοῦ κειμένου στίχος. *Lucida qua splendent summi carchesia mali*, ἐν πολλοῖς χειρογράφοις λείπει.

242). *Ἄκρην ἀνέβαινε πόληα*· τὴν τῶν Ἀθηνῶν δηλονότι ἀκρόπολιν, ἀφ' ἧς ὁ Αἰγεὺς ἀπεσκόπει τὴν θάλασσαν, εἴπου τὸ πλοῖον ἴδοι ἐπανιόν, ἐφ' οὗ ὁ Θησεὺς εἰς Κρήτην ἐξεπεπλεύκει.

248). *Μινωΐδι*, τῇ Ἀριάδνῃ.

252). *Ἀνθηρὸς ἑτέρωθι* κτλ. ἐν τῷ ἑτέρῳ δηλονότι τοῦ πέπλου μέρει ἀπεικόνιστο ὁ Διόνυσος σὺν τοῖς Σειληνοῖς καὶ ταῖς Μαινάσιν ἐπὶ τῆς Νάξου πλανώμενος. Καλεῖται δ' ἀνθηρὸς ἕνεκα τῆς ἀϊδίου αὐτοῦ νεότητος. Δυνατὸν δὲ τὸν Διόνυσον *florentem* κληθῆναι ὑπὸ τοῦ ποιητοῦ καὶ διὰ τὸ κισσῷ καὶ οἰνάροις ἀεὶ ἐστεμμένον ὁρᾶσθαι. Κατὰ ταύτην δὲ τὴν σημασίαν τῆς λέξεως μεταβλητέον τὸ ἐν τῇ μεταφράσει ἐπίθετον *ἀνθηρὸς* εἰς τὸ *ἀνθοφόρος*.

253). *Σειληνοῖσι Νυσαίοις*. Ὁ *Σειληνὸς* Ἑρμοῦ, ἢ κατ' ἄλλου Πανὸς καὶ νύμφης τινὸς ἦν υἱός, τροφεὺς τοῦ Βάκχου καὶ ἀκόλουθος. Ἐξ αὐτοῦ δὲ καὶ ἄλλοι τοῦ Θεοῦ ἀκόλουθοι Σειληνοὶ ἀπεκλήθησαν· *Νυσαῖοι* δὲ ἀπὸ πόλεως Νύσης, ἐν ᾗ φασι τὸν Σειληνὸν γεννηθῆναι καὶ τὸν Διόνυσον ἀναθρέψαι. Οὐ ταὐτὰ δὲ περὶ τῆς πόλεως, ἐν ᾗ ὁ Διόνυσος ἀνετράφη, πάντες οἱ ἀρχαιολογοῦντες λέγουσι.

256). *Περιδοχμοῦντές τε τραχήλους*· κάμπτοντες πέριξ τοὺς τραχήλους, ὥσπερ οἱ πολὺν ἐμπεπωκότες ποιοῦσι, μεθυσφαλοῦντές τε καὶ ὀρθίαν τὴν κεφαλὴν βαστάζειν μὴ ἔχοντες.

258). *Οἱ δὲ διασπῶντες μόσχου μέλη* κτλ. Ὁ τῷ Βάκχῳ ἑπόμενος θίασος ἀνὰ τὰ ὄρη καὶ τοὺς ἀγροὺς πλανᾶσθαι ὀργιάζων εἰώθει· μανίᾳ δὲ κάτοχος θηρία τε ἄγρια καὶ τῶν ἡμέρων μόσχους μάλιστα καὶ δαμάλεις ἐπερχόμενος ἐζώγρει καὶ διεσπάρασσεν. Ἴδε Εὐριπ. Βάκχ. 735 κ. ἑξ. ἔτι δὲ 1119 κ. ἑξ. ὅπου ὁ ἄγγελος εἰσάγεται τὸ τοῦ Πενθέως διηγούμενος πάθος.

259. *Οἱ δ' αὖ ἑλικτοῖσι* κτλ. Καὶ τοῦτο τοῖς ὀργιάζουσιν εἴθιστο, ὄφεσι περιζώννυσθαι ἢ περιελίσσειν τὴν κεφαλήν.

260). *Οἱ δ' ἀθέητ' ἐτέλουν* κτλ. Ἄλλοι τῶν τοῦ Βάκχου θιασωτῶν, προσαγορευόμενοι κιστοφόροι, κίστην ἔφερον μυστικήν, ἐν ᾗ μυστηριώδη τινὰ ἐκρύπτετο τοῖς ἀτελέστοις ἀόρατα, καὶ σὺν αὐτοῖς ὁ φαλλός, εἰς ὃν ὀργιάζοντες τὸ καλούμενον φαλλικὸν ᾄδειν εἰώθεσαν (ἴδε καὶ Κλήμ. Ἀλεξ. Προτρεπτ. σελ. 13—30).

262). *Χερσὶ δολιχῇσι* (proceris)· ἤτοι τεταμέναις ὡς ὀρθῶς τὸ ῥῆμα ἡρμήνευσεν ὁ Οὐόσσιος.

263) *Χαλκῷ*. Χαλκὸς νοείσθω ἐνταῦθα κατὰ μετωνυμίαν τὰ κύμβαλα, οἷς μετὰ τυμπάνων ἐχρῶντο ἐν τοῖς Διονύσου ὀργίοις. Ἦν δὲ τὰ κύμβαλα χαλκοῦ πεποιημένα, κοῖλα καὶ περιφερῆ· ἀλλήλοις δὲ συγκρουόμενα ὀξὺν ἦχον παρεῖχε.

265). *Βαρβαρικὸς αὐλός*· ἤτοι φρύγιος.

268). *Αἱμονὶς ἥβη*· ἡ τῆς Θεσσαλίας νεότης.

272). *Ὑπ' ἠελίοιο θύρῃσιν*. Οὕτως ἐξηλλήνισα τὸ χωρίον γράψας κατὰ τὴν τοῦ Λαχμάννου διόρθωσιν *sub limina solis*, ἀντὶ τῆς συνήθους γραφῆς *sub lumina solis* = ὑπ' αὐγὰς ἠελίοιο. Παλιλλογία γὰρ ἂν εἴη τοῦτο κενὴ μετὰ τὸ προηγούμενον *aurora exoriente*=ἠοῖ φαινομένηφι.

278). *Σποράδην δ' ἐς δῶμ' ἑὸν ἤεν ἕκαστος*. Τὴν ἐκ τῶν γάμων ἀποχωροῦσαν τῶν τῆς Θεσσαλίας κατοίκων πληθὺν πυκνοῖς τῆς θαλάσσης κύμασι παρεικάζει ὁ Κάτουλλος, ἄλλων δι' ἄλλων ὁδῶν καθ' ὁμίλους οἴκαδε ἀπιόντων καὶ πόρρωθεν ἐν τῷ

πορεύεσθαι ἐρωμένων. Ὁμοίᾳ δ' εἰκόνι πρὸ τοῦ Ῥωμαίου ποιητοῦ ἐχρήσατο Ὅμηρος. (Ἰλ. Β. 144 κ. ἑξ.)

279). *Οἱ δ' ἐπεὶ ἔνθεν ἔβαν* κτλ. Πρῶτοι μὲν εἰς τοὺς τοῦ Πηλέως καὶ τῆς Θέτιδος γάμους πανταχόθεν τῆς Θεσσαλίας παρεγένοντο οἱ θνητοί· τούτων δ' οἴκαδε ἀποχωρησάντων, ἥκουσι νῦν δῶρα κομίζοντες οἱ ἐλάττους θεοὶ ἢ ἡμίθεοι, Χείρωνος ἡγουμένου, ὃς ἐν γειτόνων μὲν τῷ Πηλεῖ ᾤκει, πατρὸς δὲ φὺς Ποσειδῶνος θείας φύσεως μετειλήχει. Μετὰ δὲ τούτους οἱ μεγάλοι θεοὶ οὐρανόθεν ἐλεύσονται τοὺς γάμους τιμήσοντες. (Ἴδε στ. 299 κ. ἑξ.)

288). *Μουσάων τε σοφαὶ* κτλ. Οὕτω μεθηρμήνευσα τὸ χωρίον, τηρήσας τὴν παρὰ Δοιριγγίῳ γραφὴν τῶν στίχων 288 καὶ 289. Εὕρηται δὲ τὸ μητρωνυμικὸν *Mnemonides* καὶ παρ' Ὀβιδίῳ (Μεταμορφ. έ. 268) σημαῖνον τὰς τῆς Μνημοσύνης θυγατέρας, ἤτοι τὰς Μούσας. Ἀλλ' ἡ γραφὴ αὕτη διόρθωσίς ἐστι Δοιριγγίου ἐξ εἰκασίας· ἐν γὰρ τοῖς χειρογράφοις ποικίλαι τῶν εἰρημένων στίχων φέρονται γραφαί, πᾶσαι ἐκ παραφθορᾶς προελθοῦσαι, αἱ ἑξῆς·

» Minosin (ἢ Minosim, ἢ Minoisum, ἢ Minosinque,
ἢ Inosinque), linquens Doris celebranta choreis.
» Notatius namque κτλ.

Ὁ δὲ Λάχμαννος τὰ μὲν ἄλλα τῆς παρὰ Δοιριγγίῳ γραφῆς ἐτήρησεν, ἀντὶ δὲ τοῦ *Mnemonidum* προείλετο γράφειν *Najasin* (ἤτοι Νηϊάσιν) ὃ ταῖς ἐν τοῖς χειρογράφοις γραφαῖς συμφωνότερον. Κατὰ δὲ ταύτην τὴν γραφὴν ἐξελληνιστέον ἂν εἴη τὸ χωρίον ὧδε·

» Τέμπη ἐπηρεφέσι στεφανούμενα πάντοθεν ὕλης
» Νηϊάδεσσι λιπών, τὰ σοφῶν κλῄζετ' ἀοιδῆς.

289). *Αὐτοπρέμνους γὰρ ἔνεικε* κτλ. Παράβαλε Μόσχου Εἰδύλλ. ζ' 1—3.

292). *Καὶ ἀδελφὴν εὐκαμπῆ Φαέθοντος.* Αἴγειρον ἢ κλήθραν νόει. Αἱ γὰρ Ἡλιάδες αἱ τοῦ Φαέθοντος ἀδελφαὶ κατά τινας μὲν εἰς αἰγείρους (Ἀπολλ. Δ. 604. Οὐϊργ. Aen. X. 190) κατ' ἄλλους δὲ (Οὐϊργ. Eclog. VI. 62) εἰς κλήθρας τὸ εἶδος *μεταβαλεῖν* λέγονται, τὸν ἀδελφὸν κλαίουσαι κεραυνωθέντα ὑπὸ Διός. Εἰσὶ δ' οἳ εἰς ἐλάτας αὐτὰς μεταμορφωθῆναί φασι.

294). Πλὴν τῆς γραφῆς *indistinctis* εὕρηται καὶ ἑτέρα *distinctis*, καθ' ἣν μεταποιητέον τὸν στίχον ὧδε·

Συμπλέξας στεφάνοις ἐν κεκριμένοισιν ἔνεικε.

296). *Βαιὰ φέρων προτέρης* κτλ. Γνωστὸς ὁ περὶ Προμηθέως μῦθος, ὃς ἐξ οὐρανοῦ κλέψας τὸ πῦρ καὶ τοῖς ἀνθρώποις εἰς γῆν κομίσας, βαρυτάτην ἔτισε ποινήν, κελεύσει Διὸς ὑψηλῇ τινι καὶ ἀποτόμῳ τοῦ Καυκάσου πέτρᾳ προσπατταλευθείς, ἔνθα ἀετὸς

καθιπτάμενος ὁσημέραι τὸ ἧπαρ αὐτοῦ κατήσθιεν. (ἴδε Αἰσχυλ. Προμηθ. δεσμ. 1 κ. ἑξ. ἔτι Ἀπολλων. Ἀργον. Β'. 1247 κ. ἑξ).

299). *Εἶτα πατὴρ μακάρων* κτλ. Μετὰ τοὺς ἡμιθέους αὐτὸς νῦν ὁ Ζεὺς σὺν τῇ Ἥρᾳ καὶ τοῖς μεγάλοις θεοῖς παραγίγνεται εἰς τοὺς τοῦ Πηλέως καὶ τοὺς Θέτιδος γάμους τιμῶντες αὐτοὺς (Πρβλ. Ἀπολλων. Ἀργον. Δ. 807—8). Μόνοι δ' ἀπῆσαν ὁ Φοῖβος καὶ ἡ Ἄρτεμις· ὁ μὲν ὡς μέλλων ποτὲ τὸν ἐκ τούτων τῶν γάμων τεχθησόμενον Ἀχιλλέα αὐτὸς ἢ διὰ Διϊφόβου ἢ Πάριδος ἐν Τροίᾳ κτανεῖν (ἴδε Κόϊντ. Σμυρν. Γ. 60—82 Πρβλ. Δίκτυν. Δ. 2. Hygin. fabul 107), ἡ δ' ἅτε παρθενίαν ἀσκοῦσα ἀεὶ καὶ γάμοις οὐ χαίρουσα. Σημειωτέον δ' ὅτι κατὰ τὸν Ὅμηρον (Ἰλ. Ω. 62—63) καὶ κατ' ἄλλους ὁ Ἀπόλλων τοῖς γάμοις παρῆν, κιθαρίζων τε καὶ ἀγαθὰ τοῖς νεονύμφοις φοιβάζων.

301). *Ἴδρος*· ὄρος Καρίας, ἐν ᾧ πολλαὶ πόλεις καὶ χωρία ἦν Ἀπόλλωνι καὶ Ἀρτέμιδι ἱερά.

306). *Τῆμος δ' ἠπεδανὰ τρομέουσαι σώματα Μοῖραι* κτλ. Εἰκότως ὁ Δοιρίγγιος ἐν τοῖς ἀρίστοις τῆς ἀρχαίας ποιήσεως τὸ χωρίον τίθεται τοῦτο, ἐν ᾧ καλλίστην ἡμῖν ὁ Κάτουλλος καὶ οἱονεὶ ζῶσαν παρέχει τῶν Μοιρῶν εἰκόνα, νηθουσῶν καὶ ᾄσματι ἀμοιβαίῳ ἀποθεσπιζουσῶν τοῖς νεονύμφοις τὸ πεπρωμένον. Τοὺς στίχους μάλιστα 311—321 ἀναγινώσκοντες, αὐτὰς δοκοῦμεν τὰς τριαδέλφας νηθούσας ὁρᾶν· οὕτω καλῶς τό, τε ὅλον σχῆμα καὶ αἱ ἐλάχισται αὐτῶν ἐν τῷ νήθειν κινήσεις ὑποτετύπωνται. Ἀξιόλογον δὲ περὶ Μοιρῶν χωρίον εὕρηται καὶ παρ' Ὁμήρῳ (Ὕμν. εἰς Ἑρμ. 549. κ. ἑξ.), καθ' ὃ αὗται·

» Οἰκία ναιετάουσιν ὑπὸ πτυχὶ Παρνησοῖο.

Ἐν γειτόνων οὖν τῷ Πηλεῖ οἰκοῦσαι παρεγένοντο εἰς τοὺς γάμους τὸ ἐπιθαλάμιον ᾄσουσαι.

308). *Καὶ τρομερὸν μὲν τῆσι* κτλ. Προειλόμην τὴν ὑπὸ Λαχμάννου γενομένην διόρθωσιν τῶν στίχων 308—309 τοῦ κειμένου. Ἡ δὲ παρὰ Δοιριγγίῳ γραφὴ ἔχουσα οὕτω·

» His corpus tremulum complectens undique quercus
» Candida purpurea quam Tyro incinxerat ora.

οὐδένα παρέχει νοῦν, πλὴν εἰμή τις τὰς λέξεις βιάζοιτο, τῇ μὲν μετοχῇ *complectens* τὸ ῥῆμα *erat* προστιθείς, τὴν δὲ φράσιν *complectens erat* ἀντὶ τοῦ παθητικοῦ ῥήματος *complectebatur* τεθεῖσθαι φάσκων, καὶ τὸ ὄνομα *quercus* ποικίλον ἱμάτιον σημαίνειν ὑπολαμβάνων, ᾧ δρυὸς ὁρῷτο ἐνυφασμένη εἰκών. Εἰ δέ τις ὅμως τὴν γραφὴν ταύτην ἀσπάζεται, ἐχέτω παρ' ἡμῶν καὶ τὴν τοῦ χωρίου μεθερμηνείαν μεταβεβλημένην ὧδε·

» Καὶ τρομερὸν μὲν τῶν δε χλανὶς δέμας ἄμπεχ' ἁπάντη,
» Τὴν Τυρὼ κόσμησεν ἁλουργέϊ κάλλιμος ὤῃ,

Ἦν δὲ ἡ Τυρὼ Σαλμωνέως θυγάτηρ (ἴδε Ὅμηρ. Ὀδυσ. Λ 235 κ. ἑξ)·

310). *Κρατὶ δ' ἐπ' ἀργυφέῳ* κτλ. Οὐ πάνυ συμφώνως τῇ τῶν λέξεων ἐν τῷ κειμένῳ συμπλοκῇ ἐξηλλήνισταί μοι ὁ 310 στίχος. Ἔδει γὰρ μᾶλλον λέγειν.

» Κρατὶ δ' ἐπὶ ῥοδέῳ λευκή σφιν ἐπέπρεπε μίτρη·

Ἀλλὰ φανερόν, ὅτι τῇ τῶν Μοιρῶν κεφαλῇ ἅτε γραῶν οὐ τὸ ἐπίθετον *ῥοδέη* ἢ *ῥοδόχρους*, ἀλλὰ τὸ *λευκὴ* προσήκει, ὡς καὶ Ὅμηρος (ἐν Ὕμνῳ εἰς Ἑρμ. 551) ἐποίησεν αὐτὰς *κατὰ κρατὸς πεπαλαγμένας ἄλφιτα λευκά*. Διὸ τῷ Δοιριγγίῳ συντίθεμαι, τὰ ἐπίθετα *roseus* καὶ *niveus* ἐνηλλάχθαι ἐνταῦθα φάσκοντι καὶ συχνὴν παρὰ ποιηταῖς τὴν τοιαύτην τῶν ἐπιθέτων ἐναλλαγὴν εἶναι διδάσκοντι. Αὐτίκα, φησί, παρ' Ὀβιδίῳ (Heroid. XVIII. 144) ἀναγινώσκομεν *Aurea lanigero vellere vexit ovis*· ἔδει γὰρ ἐν λόγῳ μὴ ἐσχηματισμένῳ *Ovis lanigera* καὶ *vellus aureum* λέγειν. Ὁ δ' Ὁράτιος (Od. I. 28. 18) *Exitio est avidum mare nautis* εἶπε, δέον *avidis nautis* εἰπεῖν.

315). *Τορνευτὴν ἄτρακτον* κτλ. Κἀνταῦθα σημειωτέον, ὅτι ὁ ποιητὴς τὸ ἐν τῷ κειμένῳ ἐπίθετον *tereti* εἰς τὸ οὐσιαστικὸν *turbina* ἀνήνεγκε καὶ τούτῳ ὁμοιογενῶς καὶ ὁμοιοπτώτως συνέταξε, δέον εἰς τὸ *fusum* ἀνενεγκεῖν· οὐ γὰρ ἂν τὴν περιστροφήν, ἀλλὰ τὴν περιστρεφομένην ἄτρακτον *τορνευτὴν* ὀρθῶς λέγοιμεν.

317). *Ἐρεᾶ ἀποδήγματα*· τὰ ἀποδήγματα τοῦ ἐρίου, ἤτοι τὰς ὀδὰξ ἀποσπωμένας ἐξοχὰς τοῦ νήματος ἢ τραχύτητας. Ἐσχημάτισται δέ μοι ἡ λέξις *ἀπόδηγμα* κατὰ τὸ *ἀπότιλμα*.

323). *Ἄπιστον*, πίστεως ἀναξίαν, ψευδῆ.

325). *Ἠμαθίης ἔρυμα* κτλ. Τὸν Πηλέα προσφωνοῦσιν αἱ Μοῖραι, ὃς τῆς Ἠμαθίας ἦν σκέπη, ἕνεκα δὲ τοῦ υἱοῦ δόξαν ἀθάνατον ἔμελλε κτήσεσθαι. Ἠμαθία δὲ μέρος ἦν τῆς Μακεδονίας, μεταξὺ τῶν ποταμῶν Ἁλιάκμονος καὶ Ἀξιοῦ κείμενον καὶ τῇ Θετταλίᾳ ὁμοροῦν. Ἀλλ' ἐνταῦθα τὴν Θεσσαλίαν ὁ ποιητὴς δηλοῖ τῷ ὀνόματι, ἴσως διὰ τὸ ταύτην τῇ Μακεδονίᾳ ὑπὸ Ῥωμαίων ἐν ἐκείνῳ τῷ χρόνῳ εἰς μίαν ἐπαρχίαν συνῆφθαι.

327). *Ὕμμες δ', οἷς μόρσιμ' ὀπηδεῖ, Θείετε* κτλ. Τὸ ἐν στίχῳ 327 ἀναφορικὸν *quae* εἰς τὸ ἐν τῷ ἑπομένῳ στίχῳ *subtegmina* (κρόκας) ἀναφέρεται· διὸ ἔδει τὸ χωρίον κατὰ γραμματικὴν ἀκρίβειαν ὧδέ πως ἐξελληνισθῆναι· ᾗ (κρόκῃ δηλονότι) *μόρσιμ' ὀπηδεῖ*· ἀλλὰ τὸν νοῦν οὐδὲν διαφέρει λέγειν τῇ *νηθομένῃ κρόκῃ*, ἢ *τῷ νήθοντι νήτρῳ* τὸ μόρσιμον ἕπεσθαι. Ση-

μειωτέον δ' ὅτι τὸν ἐπιφθεγματικὸν στίχον 328 καὶ Οὐϊργίλιος ἐμιμήσατο Bucol. Ecl. VIII.

329). *Ἕσπερος ἥξει σοι* κτλ. Πρβλ. καὶ Καλλίμαχον (Ἀποσπ. συλλεχθ. ὑπὸ Βεντλεΐου Βιβλ. Β' σελ. 434 Ἔκδοσ. Ἐρνεστ.) λέγοντα περὶ τῶν νυμφίων, ὅτι τὸν τῆς Ἀφροδίτης ἀστέρα

» Ἑσπέριον φιλέουσιν, ἀτὰρ στυγέουσιν ἑῷον·

333). Ὡς γραφικῶς ἡμῖν ὁ ποιητὴς καὶ ἐπιχαρίτως τὰ τῆς νύμφης παρίστησιν ἀσπάσματα! Πρβλ. καὶ τὸ Ἀπολλωνίου (Ἀργον. Α. 1236—8).

» . . . . αὐτίκα δ' ἦγε
» Λαιὸν μὲν καθύπερθεν ἐπ' αὐχένος ἄνθετο πῆχυν,
Κῦσσαι ἐπιθύουσα τέρεν στόμα.

342). *Λαιψηρῆς ἐλάφοιο παραφθάσει* κτλ. Γνωστὸν ἐξ Ὁμήρου, ὅτι ὁ Ἀχιλλεὺς ἦν *πόδας ὠκύς*. Εἰκὸς ἄρα πολλάκις αὐτὸν ἀγωνισάμενον δρόμῳ νικῆσαι. Ὁ δ' Εὐριπίδης (Ἰφιγ. ἐν Αὐλ. 206 κ. ἑξ.) οὕτω ταχὺν ἡμῖν τὸν τοῦ Πηλέως γόνον εἰσάγει, ὥστε καὶ πρὸς τέθριππον ἅρμα πεζὸν αὐτὸν καὶ ὅπλοις βαρυνόμενον περὶ ποδωκείας ἐν Αὐλίδι ἁμιλληθῆναι. Λέγει γὰρ ὁ χορός.

Τὸν ἰσάνεμόν τε ποδοῖν
λαιψηροδρόμον Ἀχιλῆα,
τὸν ἁ Θέτις τέκε, καὶ
Χείρων ἐξεπόνασεν,
εἶδον αἰγιαλοῖσι
παρά τε κροκάλαις
δρόμον ἔχοντα σὺν ὅπλοις
Ἅμιλλαν δ' ἐπόνει ποδοῖν
πρός ἅρμα τέτρωρον
ἑλίσσων περὶ νίκας.

345). *Γαῖα.* (campi). Τὴν γραφὴν *campi* ἀντὶ τῆς *rivi* προειλόμην ἐν τῷ κειμένῳ κατὰ τὴν δόκιμον τοῦ Λαχμάννου διόρθωσιν.

349). *Κληρονόμος τρίτατος* κτλ. Τρίτος τοῦ Πέλοπος κληρονόμος λέγεται ὁ Ἀγαμέμνων· διότι ὁ μὲν Πέλοψ τῷ Ἀτρεῖ, Ἀτρεὺς δὲ τῷ Θυέστῃ, Θυέστης δὲ τῷ Ἀγαμέμνονι τὸ βασιλικὸν σκῆπτον κατέλιπεν (ἴδε Ὁμ. Ἰλ. Β. 102 κ. ἑξ.). Διατί δὲ ψεύδορκος ὁ Πέλοψ ἴδε Hygin. fab. 84.

350). *Πολλάκι φημίξουσι* κτλ. Καὶ αὐταὶ αἱ τῶν ὑπ' Ἀχιλλέως ἀναιρεθησομένων μητέρες ἐν τοῖς ἑαυτῶν θρήνοις τὴν ἀνδρείαν τούτου καὶ τὰ ἔνδοξα εὐκλεΐσουσιν ἔργα.

354). *Ὡς γάρ τ' ἀμητὴρ* κτλ. Ἡ παραβολὴ αὕτη μίμησίς ἐστι τῆς παρ' Ὁμήρῳ Ἰλ. Λ. 67 κ. ἑξ.

363). *Καὶ Ληῒς δ' ἔσεται μάρτυς* κτλ. Τὴν Πολυξένην καλεῖ *Ληΐδα*, ἣν ἐπὶ τοῦ ἀχιλλείου τάφου οἱ Ἕλληνες ἔθυσαν. Τὰ

δὲ τῆς θυσίας ταύτης κυρίαν ὁ Εὐριπίδης ὑπόθεσιν τῆς ἑαυτοῦ ἐποιήσατο τραγῳδίας, ἣ *Ἑκάβη* ἐπιγέγραπται.

369). Παραδεξάμενος τὴν ἐν τῷ κειμένῳ γραφὴν *madefient* ἐξηλλήνισα τὸν στίχον κατ' αὐτήν. Ἀλλ' ὁ Ῥοσβάχιος ἔγραψεν ἔπειτα ἐξ εἰκασίας *mutescent*, μύθου τινὸς μνησθεὶς ἐκ τῶν τρωϊκῶν. Μυθεύεται γὰρ μετὰ τὴν ἅλωσιν τῆς Τροίας φωνὴν πολλάκις ἀκουσθῆναι ἐκ τοῦ τάφου τοῦ Ἀχιλλέως τὸ προσῆκον αὐτῷ γέρας αἰτοῦντος, τὸν δὲ Κάλχαντα κελεῦσαι θῦσαι αὐτῷ τὴν Πολυξένην ἐπὶ τοῦ τάφου, τελεσθείσης δὲ τῆς θυσίας σιγῆσαι τὸν τάφον καὶ φωνὴν οὐδεμίαν ἔτι ἐξενεγκεῖν. Ἔστιν οὖν κατὰ ταύτην τὴν γραφὴν τὸν στίχον ὧδε μεταβαλεῖν·

Πολυξένης σιγήσει φόνῳ ἠρίον αἰπύ.

375). *Δεδόσθω*· παραδότω ἑαυτὴν τῷ ἐκ πολλοῦ χρόνου ποθοῦντι νυμφίῳ.

377). *Τὴν δ' αὖ ὑπηοίη* κτλ. Εἴθιστο, ὡς ἔοικε, τοῖς ἀρχαίοις εὐθὺς μετὰ τὴν πρώτην νύκτα, ᾗ ἡ νεόνυμφος συγγένοιτο τῷ ἀνδρί, τὸν ταύτης αὐχένα μίτῳ περιμετρεῖν τὴν τροφόν. Τὸ δὲ τὸν αὐχένα τῆς νεονύμφου παχύτερον νῦν εὑρεθῆναι τῆς προτεραίας διακορεύσεως καὶ σπέρματος γενναίου ἐμπλήσεως τεκμήριον ἐποιοῦντο.

379). *Οὔτε διχοφροσύνῃ ἀποκοιτεύσης* κτλ. Ὁ νοῦς· οὔτε ἡ μήτηρ τὴν ἐλπίδα τοῦ κτήσεσθαι ἀπογόνους ἀποβαλεῖ, ἀχθομένη ἐπὶ τῷ τὴν ἑαυτῆς θυγατέρα πρὸς τὸν ἄνδρα διχονοοῦσαν μὴ ἐθέλειν αὐτῷ συγκαθεύδειν.

384). *Οἴκους γὰρ τὸ πάροιθεν* κτλ. Τὸ τοῖς γάμοις τοῦ Πηλέως καὶ τῆς Θέτιδος τὰς Μοίρας παραγενέσθαι καὶ τὰ μέλλοντα τοῖς νεονύμφοις θεσπιῳδῆσαι ἀφορμὴν παρέσχε τῷ ποιητῇ εἰς τὸ ἐν τέλει τοῦ ποιήματος παρεκβῆναι τῆς ὑποθέσεως καὶ τὸν χρυσοῦν αἰῶνα ἡμῖν ὑποτυπῶσαι διὰ βραχέων.

387). *Πολλάκις ἐν νηῷ* κτλ. Περὶ τῶν θεῶν καθόλου εἰπὼν πρῶτον ὁ Κάτουλλος, ὅτι τὸ πάλαι θαμὰ τοῖς θνητοῖς ἐπεφαίνοντο, ἐπάγει νῦν παραδείγματα. Φησὶ δὲ τὸν Δία ταῖς ἐτησίαις αὐτοῦ ἑορταῖς παρόντα τὰς θυομένας οἱ ἐφορᾶν ἑκατόμβας. Ἐτησίας δ' ἑορτὰς ὀνομάζει ἐνταῦθα ὁ ποιητὴς τοὺς τῷ Διῒ τὸ παλαίτατον τεθέντας ἀγῶνας, ἐν οἷς αὐτὸς ὁ Ζεὺς πάλῃ πρὸς τὸν Κρόνον διηγωνίσατο. Ἔοικε δ' ἐν ἀρχῇ ἐτησίους τοὺς ἀγῶνας γενέσθαι παρὰ Κρησὶ τοῖς αὐτῶν εὑρέταις, εἶτα δ' ὑφ' Ἡρακλέους μετενεχθέντας εἰς Ἦλιδα πρῶτον μὲν κατὰ τριετίαν τελεῖσθαι, τέλος δὲ πενταετηρικοὺς καταστῆναι.

395). *Τρίτωνος ἄνασσα*· ἡ Ἀθηνᾶ, ἣ πάλαι ἐν Βοιωτίᾳ, παρὰ τῇ Κωπαΐδι λίμνῃ λατρευομένη, ἔνθα ὁ ποταμὸς Τρίτων εἰσ-

ρεῖ, Τριτὼ διὰ τοῦτο καὶ Τριτωνὶς καὶ Τριτογένεια ἐπεκλήθη. Καὶ πόλις δ' ἐκεῖ λέγεται οἰκισθῆναι ἀρχαιοτάτη Ἀθῆναι τοὔνομα, ὕστερον ὑπὸ τῆς λίμνης κατακλυθεῖσα. Ἔσχε μὲν καὶ ἐν Λιβύᾳ ἡ Ἀθηνᾶ ἱερὸν παρὰ λίμνῃ Τριτωνίδι· ἀλλ' ἁμαρτάνουσιν οἱ δοξάζοντες ἐκ ταύτης τὴν θεὰν ἐπονομασθῆναι Τριτὼ κτλ. *Ῥαμνουσίη ἠὲ νεῆνις.* Ἡ Νέμεσις ἢ Ἀδράστεια, ῥαμνουσία ἐπικληθεῖσα, ἀπὸ τοῦ ἐν Ῥαμνοῦντι κατὰ τὴν Ἀττικὴν ἱεροῦ.

403). *Ὄφρα δρέπητ' ἀνέδην* κτλ. Ἵνα ἀκωλύτως καὶ ἀδεῶς ἀνθηρὰν παρθένον εἰς γάμον ἀγάγηται, μητρυιὰν τῷ υἱῷ ἐσομένην, καὶ ταύτῃ συνοικῇ. Ἐπίτηδες δ' ἐχρήσατο ὁ ποιητὴς τῷ ὀνόματι *μητρυιά*, ἅτε μισητῷ τοῖς προτέροις τοῦ δευτερογάμου παισί.

Κ. ΟΥΑΛΕΡΙΟΥ ΚΑΤΟΥΛΛΟΥ

ᾈΣΜΑ ΞϚʹ.

ΠΕΡΙ ΤΗΣ ΚΟΜΗΣ ΤΗΣ ΒΕΡΕΝΙΚΗΣ.

ΥΠΟΘΕΣΙΣ.

Βερενικη Πτολεμαίου ἦν τοῦ Φιλαδέλφου καὶ Ἀρσινόης τῆς τοῦ Λάγου θυγάτηρ, τῷ ἰδίῳ ἀδελφῷ Πτολεμαίῳ τῷ Εὐεργέτῃ κατ' ἔθος αἰγύπτιον (ἴδε Διόδ. Σικελ. Α. 27.) συνοικήσασα. Ἐπεὶ δ' οὗτος μικρὸν μετὰ τοὺς γάμους ἐπ' Ἀσσυρίους ἐστράτευσε, πολλὰ μέν, ὡς εἰκός, ἡ νεόγαμος κόρη ἐπὶ τῇ τοῦ φιλτάτου συνεύνου ἀποδημίᾳ ἔχεε δάκρυα, καλὴν δ' ηὔξατο τῇ Ἀφροδίτῃ εὐχήν, εἰ σῶος ἐκεῖνος καὶ νικητὴς ἐπανέλθοι, κειραμένη τὴν κόμην τῇ θεᾷ ἀναθεῖναι. Τοῦ δὲ λαμπρὰ διαπραξαμένου ἔργα καὶ πᾶσαν ὑπαγαγομένου τὴν Ἀσσυρίαν, ἡ Βερενίκη τὴν εὐχὴν ἐπετέλεσε, τὴν ἑαυτῆς κόμην ἀποψαλίσασα κἀν τῷ ναῷ Ἀφροδίτης τῆς Ζεφυρίτιδος ἀναρτήσασα. Ἀλλὰ τῇ ὑστεραίᾳ οὐκ ἔτι ἦν ἐν τῷ ναῷ τὴν κόμην ἰδεῖν, παραδόξως ἀφανῆ γενομένην. Ἐπειδὴ δὲ τὸ γεγονὸς τόν τε βασιλέα καὶ τὴν βασίλισσαν οὐ μετρίως ἠνίασε, Κόνων ὁ πάντων τῶν τότε ἀστρονόμων ὑπερφέρων σοφίᾳ, τὴν παρὰ τοῦ βασιλέως καὶ τῆς βασιλίσσης ἐξωνούμενος εὔνοιαν, θεῶν βουλῇ τὴν κόμην ἀποθεωθῆναι καὶ

καταστερισῆναι ἐδίδασκεν, ἐπιδεικνὺς ἐν οὐρανῷ μεταξὺ Λέοντος καὶ Ἀρκτούρου τὴν χώραν, ἔνθα τὸ νέον ἄστρον ἐτέτακτο. (ἴδε περὶ τούτων Hygin. poet. astron. II. 24). Ταῦτ' οὖν ὁ Καλλίμαχος ἡδίστην ᾄσματος ὑπόθεσιν ἐποιήσατο, ἐν ᾧ τόν τε Πτολεμαῖον ἐξύμνει, τὸν διὰ τὴν ἐξαίρετον περὶ τὰ γράμματα καὶ τὰς καλὰς τέχνας σπουδὴν ὡς θεὸν θεραπευόμενον ὑπ' αὐτοῦ, καὶ τὴν τοῦ Κόνωνος ἐν τοῖς ἀστρονομικοῖς διαφέρουσαν ἐπιστήμην καὶ πεῖραν ἐπῄνει. Ἔπαιξε δ' ὁ ποιητὴς ἐν τῷ ᾄσματι οἷα ποιητὴς Ἀλεξανδρινός, εὐμάρειαν εἰς παιδιὰν παρέχοντος αὐτῷ τοῦ προσώπου, ὃ ὑποδύεται· τὴν γὰρ βασιλίδα κόμην προσωποποιήσας καὶ ὡς ἐκ ταύτης φθεγγόμενος ἐν τῷ ᾄσματι, μετὰ πλείονος χαριεντίζεται παῤῥησίας.

Τὸ ἑλληνιστὶ συντεταγμένον τοῦ Καλλιμάχου ᾆσμα ὑφ' Ὁρτάλου παρακληθεὶς εἰς τὴν Ῥωμαίων φωνὴν ἐμμέτρως μετενεγκεῖν προὐθυμήθη ὁ Κάτουλλος. Κρείττονι δὲ τοῦ ἑλληνικοῦ πρωτοτύπου τύχῃ ἐχρήσατο ἡ ῥωμαϊκὴ αὕτη μεθερμηνεία, ἣν δὴ ἀναγινώσκοντες οὐ μετρίως ἐπὶ τῇ ἐκείνου ἀπωλείᾳ ἀχθόμεθα, καὶ εἰκότως· ἦν γὰρ ἂν ἡμῖν τήν τε τῆς ποιήσεως χάριν καὶ γλαφυρότητα καθαρωτέραν ἐν τῷ πρωτοτύπῳ γνῶναι καὶ τὰ ἐν τῇ ῥωμαϊκῇ μεθερμηνείᾳ ἐφθαρμένα χωρία ἐπιτυχέστερον ἐξ ἐκείνου ἰάσασθαι· νῦν δ' ἀνάγκη στέργειν ἡμᾶς τοῖς παροῦσιν. Εἰ μὲν οὖν τὸ τοῦ Κατούλλου τόδε ᾆσμα καὶ ἄλλος τις τῇ ἑλληνικῇ ἀποδοῦναι γλώττῃ πεφιλοτίμηται, οὐκ οἶδα· μιᾷ δ' αὐτὸς μόνῃ τούτου ἐς τόδε ἑλληνικῇ ἐντετύχηκα μεταφράσει, τῇ ὑπὸ Ἀντωνίου Σαλουϊνίου τοῦ Φλωρεντίνου ἐκπονηθείσῃ, ἣν ἐν τῇ τῶν ᾀσμάτων τοῦ Κατούλλου ἐκδόσει προσέθηκεν ὁ Δοιρίγγιος. Ἐπειδὴ δ' ἡ τοῦ Σαλουϊνίου μεθερμήνευσις ἐκείνη οὔτε κατὰ τὰς νεωτέρας τοῦ ῥωμαϊκοῦ κειμένου διορθώσεις ἐγένετο, οὔτε τὴν λέξιν οὕτω καλῶς ἔχειν μοι ἔδοξεν, ὥστε περιττὴν ἀποφαίνειν πᾶσαν νέαν αὐτοῦ ἐξελλήνισιν, ἐτόλμησα καὐτὸς πειραθῆναι

τοῦ ἔργου. Καὶ δὴ μετήνεγκα μὲν πρὸ ἱκανοῦ χρόνου τὸ ᾆσμα εἰς τὴν ἀρχαίαν τῶν Ἑλλήνων φωνὴν καὶ τύποις ἐξέδωκα, φίλου μοι συγκαθηγητοῦ πεισθεὶς προτροπῇ, ὃς πρέπον ἡμῖν ἔφασκε μηδαμοῦ μηδαμῶς τὰ πατρῷα περιορᾶν, ἀλλὰ καὶ τὸ ἀπολεσθὲν ἐκεῖνο καλὸν τοῦ Καλλιμάχου εἰς τὴν κόμην τῆς Βερενίκης ποίημα τῇ γοῦν ἀπὸ τοῦ ῥωμαϊκοῦ μεθερμηνείᾳ ὡς οἷόν τε ἀνασώσασθαι. Ἐπειδὴ δ' ἐν τῇ προτέρᾳ μεθερμηνείᾳ τῷ τοῦ Δοιριγγίου μάλιστα ἐχρησάμην κειμένῳ καὶ ταῖς ὑπ' ἐκείνου δοκιμαζομέναις αὐτοῦ διορθώσεσι, δέδοκταί μοι νῦν ἐπιμελέστερον αὐτὴν κατὰ τὰς παρὰ Λαχμάννῳ τῷ νεωτέρῳ τοῦ Κατούλλου ἐκδότῃ γραφὰς τοῦ κειμένου καὶ διορθώσεις ἐπεξεργάσασθαι. Κανόνι δὲ κέχρημαι καὶ ἐνταῦθα τῷ αὐτῷ, ὃν καὶ ἐν τῇ τοῦ Ἐπιθαλαμίου Πηλέως καὶ Θέτιδος μεταφράσει, πιστῶς μὲν τῷ κειμένῳ ἑπόμενος, ἀλλ' οὔτε δουλικῶς τῇ λέξει αὐτοῦ προσέχων, οὔθ' ὑπὲρ τὸ δέον αὐτῆς ὀλιγωρῶν καὶ μόνον τὸν νοῦν καὶ τὴν ἐν τῇ ἑλληνικῇ γλώσσῃ θηρεύων εὐέπειαν. Ἰστέον δ' ὅτι καὶ τοῦ Σκαλιγήρου εὕρηται μετάφρασις τοῦ ᾄσματος, τούτου ἔμμετρος, ᾗ δὴ μετὰ τὴν πρώτην τῆς ἐμῆς ταύτης μεταφράσεως ἔκδοσιν ἐνέτυχον, τέως ἀγνοουμένῃ μοι.

——⊖——

KEIMENON.

Omnia qui magni dispexit lumina mundi,
qui stellarum ortus comperit atque obitus,
flammeus ut rapidi solis nitor abscuretur,
ut cedant certis sidera temporibus,
ut Triviam furtim sub Latmia saxa relegans
dulcis amor gyro devocet aërio,
idem me ille Conon cælesti limine vidit
e Bereniceo vertice cæsariem
fulgentem clare, quam multis illa dearum
levia protendens drachia pollicita est,
qua rex tempestate novo auctus hymenæo
vastatum finis iverat Assyrios,
dulcia nocturnæ portans vestigia rixæ,
quam de virgineis gesserat exuviis.
Estne novis nuptis odio Venus? anne parentum
frustrantur falsis gaudia lacrimulis,
ubertim thalami quas intra limina fundunt?
non, ita me divi, vera gemunt, iuverint.
Id mea me multis docuit regina querelis
invisente novo prælia torva viro.
At tu non orbum luxti deserta cubile,
sed fratris cari flebile discidium?
Quam penitus maestas exedit cura medullas!
Ut tibi tunc toto pectore sollicitæ
sensibus ereptis mens excidit! at te ego certe
cognoram a parva virgine magnanimam.
Anne bonum oblita es facinus, quo regium adeptæs
coniugium, quo non fortius ausit alis?
sed tum mæsta virum mittens quæ verba locuta es?
Iuppiter, ut tristi lumina sæpe manu!
Quis te mutavit tantus deus? an quod amantes

ΕΛΛΗΝΙΚΗ ΜΕΘΕΡΜΗΝΕΙΑ.

Ος πύρσους μεγάλου πάντας διάθρησε πόλοιο
ἄστρων τ' ἀντολίας ἠδὲ δύσεις ἐδάη,
» ὡς αἴγλη φλογόεσσα θοοῦ φθινύθει φαέθοντος
ἠδὲ χρόνῳ τακτῷ τείρε' ἄπεισι πάλιν,
» ὥς θ' Ἑκάτην λάθρη προϊεὶς ἐς λάτμιον οὖρος
ἡδὺς ἔρως κατάγει κύκλου ἀπ' αἰθερίου·
» κεῖνος κἀμὲ Κόνων εἶν ἠέρι τὴν ἀπόθριστον
ἐκ βερενικείου κρατὸς ἐσεῖδε κόμην
» λαμπρὸν φαίνουσαν· τὴν πολλοῖς εὔχετ' ἐκείνη
ἀντείνουσα θεοῖς πήχεε λειοχρόῳ,
» ὁππότ' ἀεξηθεὶς καινῷ βασιλεὺς ὑμεναίῳ
χώρην πορθήσων ᾤχετο ἀσσυρίην,
» ἱμερόεντα φέρων νυχίου τεκμήρι' ἀέθλου,
τὸν ῥ' ἐπὶ συλήσει παρθενίης ὑπέδυ·
» Ἦ ῥα Κύπριν στυγέουσι νεόζυγοι, ἠὲ τοκήων
δάκρυσι γηθοσύνην ἀλιόωσι νόθοις,
» ἐντὸς ἅπερ θαλάμου μάλα πολλ' εἴβουσιν ἀπ' ὄσσοιν;
Οὔ, μὰ θεούς, κείνας φήμ' ἐτεὸν στενάχειν.
» Τοῦτο γ' ἐμή μ' ἀδινοῖσι γόοις ἐδίδαξεν ἄνασσα,
αἰνὸν ὅτ' ἐς πόλεμον βαῖνε νέος γαμέτης·
» Οὐ σὺ τότ' οἰωθεῖσα λέχος κώκυσας ἐρῆμον,
ἀλλ' ἦ νοσφισμὸν προσφιλέος κάσιος;
» Ὡς στυγνοὺς τῆμος μυελοὺς σέο δάπτεν ἀνίη!
ὡς δ' ἄρ' ἀπὸ κραδίης ἀχθομένη σοι ὅλης
» ἐξέστη νόος! Ἀλλ' αὐτὸς μεγαλήτορ' ἐοῦσαν
τυτθήν περ κούρην ᾔδεά σ' ἀτρεκέως·
» Ἦ ῥ' ἀγαθοῦ ἔργοιο λέλησαι, τῷ βασίλεια
Λέκτρ' ἔλαχες, καὶ τοῦ φέρτερον οὔτις ἔτλη;
» Ἀλλ' ἀπιόντα πόσιν τότ' ἀχεύων οἷα προσηύδας!
Ζεῦ, ὡς ὠμόργνυς χειρὶ θάμ' ὄσσε τεώ!
» Τίς σε μετηλλοίωσε θεὸς τόσος; ἦ δὴ ἐρῶντες

non longe a caro corpore adesse volunt?
Atque ibi me cunctis pro dulci coniuge divis
non sine taurino sanguine pollicita es,
si reditum tetulisset. is haut in tempore longo
captam Asiam Aegypti finibus addiderat.
Quis ego pro factis cælesti reddita cœtu
pristina vota novo munere dissoluo.
Invita, o regina, tuo de vertice cessi,
invita: adiuro teque tuumque caput.
Digna ferat quod siquis inaniter adiurarit:
Sed qui se ferro postulet esse parem?
Ille quoque eversus mons est, quem maximum in oris
progenies Thiæ clara supervehitur,
cum Medi fodere novum mare, cumque iuventus
per medium classi barbara navit Athon.
Quid facient crines, cum ferro talia cedant?
Iuppiter, ut Chalybum omne genus pereat,
et qui principio sub terra quaerere venas
institit ac ferri frangere duritiem!
Abiunctæ paulo ante comæ mea fata sorores
lugebant, cum se Memnonis Aethiopis
unigena impellens nutantibus aëra pennis
obtulit Arsinoes Chloridos ales equus,
isque per ætherias me tollens advolat auras
et Veneris casto collocat in gremio.
Ipsa suum Zephyritis eo famulum legarat,
grata Canopieis incola litoribus,
scilicet in vario ne solum limine cæli
ex Auriadneis aurea temporibus
fixa corona foret, sed nos quoque fulgeremus
devotæ flavi verticis exuviæ.
Uvidulam a fluctu cedentem ad templa deum me

νόσφι φίλου μάλα δὴν οὐκ ἐθέλουσι μένειν;
» Δὴ τόθ' ὑπὲρ γλυκεροῖο συνεύνου ὑπέσχεό μ' οἴσειν
σὺν πολλῷ ταύρων αἵματι πᾶσι θεοῖς,
» εἴ ῥ' ὅγε νοστήσειεν· ὁδ' ὦκα μάλ' Ἀσίδα γαῖαν
Αἰγύπτου ὁρίοις πρόσθετο νειλορύτου.
» Τῶν δ' ἕνεκ' ἔργων αὐτὴ ἀνελθοῦσ' εἰς χορὸν ἄστρων
ἀρχαῖον καινῷ δώρῳ ὄφλημα λύω.
» Ἦ ῥ' ἀέκουσα λέλοιπα τεὴν κορυφήν, βασίλεια·
Ναί! ὄμνυμ' ἱερὸν σὸν βίον ἠδὲ κάρη.
» Ἄξια τίσαι, εἴτις τοῦτ' ἐπίορκον ὀμόσσαι!
Ἀλλὰ τίς ἂν τλαίη χαλκῷ ὑπαντιάσαι;
» Χαλκῷ καὶ ὄρος εἶξε, τὸ ῥ' αἰπύτατον ποτὶ πόντῳ
αἰγλήεις Θείης υἱὸς ὑπερπέτεται,
» εὖτε νέην Μῆδοι ἅλ' ὄρυξαν, νηυσὶ δ' ἄρ' ἤδη
βάρβαρος ἐξ Ἀσίης μέσσον ἔπλευσεν Ἄθω.
» Τί κε κόμη ῥέξειεν, ὅτ' εἴκει τοῖα σιδήρῳ;
Ζεῦ ἄνα, ὡς Χαλύβων πᾶν ἀπόλοιτο γένος,
» ἠδ' ὃς ἀτειρέα πρῶτος ὑπὸ χθονὸς ἶνα σιδήρου
δίζησθαι, σφύρη τ' ἦρξε μυδροκτυπέειν!
» Ἄρτι ἀπὸ σφείων νοσφισθείσης μευ ἀδελφαὶ
κώκυον αἶσαν, ὅτ' ἄρ Μέμνονος αἰθίοπος
» ὤφθη ὁμογνήτης εἰν ἠέρι ταρσῷ ἐρέσσων
ἵππος ἐϋπτέρυγος Χλώριδος Ἀρσινόης·
» ὕψι δ' ἐς αἰθέριόν μ' ἀναείρας χῶρον ἀπέπτη,
ἁγνῷ τ' ἐν κόλπῳ Κυπρογενοῦς ἔθετο.
» Αὐτὴ δὴ Ζεφυρῖτις ἑὸν θεράποντα Κανώβου
ἧκε φίλη ναέτις κεῖσε διηέριον,
» ὄφρα μὴ ὕψι πόλου ἐπὶ βηλῷ μοῦνον ἔησι
στέμμ' ἀριαδνείων χρύσεον ἐκ κροτάφων,
» ἀλλὰ καὶ αὐτὴ ξανθοκόμου κεφαλῆς ἀκρόθινον
ἱερὸν αὐγάζω τηλόσ' ἱεῖσα φάος.
» Τῷ με θέαινα, θεῶν ὑπόδακρυν δώματ' ἰοῦσαν,

sidus in antiquis diva novum posuit:
virginis et saevi contingens namque leonis
lumina, Callisto iuxta Lycaonida,
vertor in occasum, tardum dux ante Booten,
qui vix sero alto mergitur Oceano.
Sed quanquam me nocte premunt vestigie divûm,
luce autem canæ Tethyi restituor.
(Pace tua fari hic liceat Rhamnusia virgo,
namque ego non ullo vera timore tegam,
nec si me infestis discerpent sidera dictis,
condita quin verei pectoris evoluam),
non his tam laetor rebus, quam me afore semper,
afore me a dominae vertice discrucior.
Quicum ego, dum virgo quondam fuit omnibus expers,
unguenti si una millia multa bibi,
nunc, vos, optato quas iunxit lumine taeda,
ne prius nnanimis corpora coniugibus
tradite nudantes reiecta veste papillas
quin iucunda mihi munera libet onyx,
vester onyx, casto petitis quae iura cubili.
Sed quae se impuro dedit adulterio,
Illius ah mala dona levis bibat irrita pulvis:
namque ego ab indignis praemia nulla peto.
Sed magis, o nuptae, semper concordia vostras
semper amor sedes incolat assiduus.
Tu vero, regina, tuens cum sidera divam
placabis festis luminibus Venerem,
unguinis expertem non siris esse tuam me,
sed potius largis affice muneribus.
Sidera corruerint utinam! coma regia fiam·
Proximus Hydrochoi fulgeret Oarion.

ἄστροις ἐν προτέροις ἄστρον ἔθηκε νέον.
» Παρθενικῆς γὰρ ὅμουρος ἰδ' αἰνοῦ εὖσα Λέοντος
τὰ στρέφεται κούρης ἄγχι λυκαονίδος,
» πρὸς δυσμὰς νεύω, πρόδρομος νωθροῖο Βοώτου,
ὃς βαθέ' ὀψὲ ῥέεθρ' Ὠκεανοῖο δύει·
» Καί περ δ' οὖν διὰ νύκτα θεῶν ὑπὸ ποσσὶ πολεύων,
ἤματος αὖ πολιῆς Τηθύος εἶμι δόμον·
(» Φθεγγομένῃ τάδε μοι ῥαμνουσίη ἵλαθι κούρη!
οὐ κεύσω γὰρ ἔγωγ' ἐκ φόβου ἀτρεκίην·
» Οὐδ' ἢν ἄστρα κακοῖς με δαΐζῃ ἔπεσσιν, ἐρύξει
μὴ μ' ἐξαυδῆσαι ὅσσα κέκευθα νόῳ·)
» Τῶν δ' οὔ μοι τόσον ἦδος, ὅσον γ' ἀνιᾷ μ' ἀπεοῦσαν
αἰὲν δεσποίνης κρατὸς ἐϋπλοκάμου·
» σὺν τῇ ἐπεὶ τὸ πάροιθεν, ὄφρ' ἔπλετο παρθένος ἁγνή,
ἄγγεα πλεῖα μύρου μυρί' ἔγωγ' ἔπιον,
» καὶ νῦν ὔμμες, τὰς δαΐδος σέλας ἥρμοσ' ἀκοίτῃ,
μὴ δοίητε φίλοις ὑμετέροις γαμέταις
» σώματα, μηδὲ κάλυμμ' ὑμῶν ἀφέλοισθ' ἀπὸ μαζῶν,
ἱμερτὴν λοιβὴν πρίν μοι ὄνυξ προχέῃ·
» ὑμείων δὴ ὄνυξ, αἵ θ' ἁγνὰ φυλάσσετε κοίτης
θέσμια· ἣ δ' αὖ ἑὸν μοιχὰς ἔχρηνε λέχος,
» τῆς λοιβὰς κούφη πιέτω κόνις οὐκ ἀποδεκτάς·
οὐ γὰρ ἔχειν τι γέρας πρὸς μιαρῶν ἐθέλω.
» Ἀλλά γ' ἐν ὑμετέροις αἰεὶ πλέον, ἔγγαμοι, οἴκοις
ναίοι ὁμοφροσύνη, ναίοι ἄληκτος ἔρως!
» Τύνη δ' ὁππότ' ἄνασσ', ἀνατείνουσ' ἐς πόλον ὄσσε
ἤμασιν ἱλάσκῃ Κύπριν ἑορτασίμοις,
» λοιβῆς μὴ δοίης με κόμην σὴν ἄμμορον ἔμμεν,
ἀλλ' αἰεὶ δώροις τίε με δαψιλέσι·
» Τείρεα πάντ' ἔῤῥοι! βασιλὶς κόμη αὖ πάλιν εἴην·
ἀγχόθι δ' Ὑδροχόου στιλβέτω Ὠαρίων·

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΟ

ΟΥΑΛΕΡΙΟΥ ΚΑΤΟΥΛΛΟΥ ΞϚ.′ ᾈΣΜΑ

Στίχ. 3). *Ὡς αἴγλη φλογόεσσα* κτλ. Ὁ νοῦς· ὃς ἔγνω τὴν αἰτίαν τῆς τοῦ ἡλίου ἐκλείψεως.

4). *Καί τε χρόνῳ τακτῷ τεῖρε' ἄπεισι πάλιν.* Οὐ περὶ τῆς ἡμερησίας τῶν ἄστρων δύσεως ἐνταῦθα ὁ λόγος, ἧς αἰτία ἡ τῆς γῆς περὶ τὸν ἑαυτῆς ἄξονα ἐν ὥραις κδ′ στροφή, ἀλλὰ περὶ τῆς χρονιωτέρας ἐκείνης αὐτῶν ἐν οὐρανῷ ἀφανίσεως, ἣν ἥ τε ἐτησία τῆς γῆς καὶ ἡ μακροτέρα ἢ βραχυτέρα τῶν πλανητῶν περὶ τὸν ἥλιον περιφορὰ παράγειν πέφυκεν.

5). *Ὡς θ' Ἑκάτην λάθρῃ* κτλ. Ὁ νοῦς· καὶ ὃς ἔγνω τὴν αἰτίαν, δι' ἣν ἡ Σελήνη ἐκλείπει. Δῆλον δέ, ὅτι ὁ μὲν Κόνων, ἅτε ἀμφὶ τὴν Ἀστρονομίαν ἔχων, τὴν φυσικὴν τῆς ἐκλείψεως τῆς Σελήνης αἰτίαν ᾔδει· ὁ δὲ Καλλίμαχος, ἅτε δὴ ποιητής, οὐκ ἐν τῇ Φύσει, ἀλλ' ἐν τῇ Μυθολογίᾳ τὴν τοῦ φαινομένου αἰτίαν ἐζήτησε. Μυθολογεῖται γάρ, ὅτι ἡ Ἑκάτη, ἣν ἴσμεν τὴν αὐτὴν τῇ Σελήνῃ οὖσαν, ἐρῶσα τοῦ καλοῦ Ἐνδυμίωνος, νεανίσκου ποιμένος ἢ κυνηγέτου, εἰς Λάτμον ὄρος τῆς Καρίας θαμὰ κατιοῦσα, ἔν τινι σπηλαίῳ καθεύδοντα περιεπτύσσετο τὸν ἐρώμενον. Εὐφυῶς οὖν ὁ ποιητὴς περὶ τῆς ἐκλειπούσης Σελήνης φησίν, ὅτι ἐξ οὐρανοῦ αὐτὴν ὁ ἔρως εἰς τὸ λάτμιον ὄρος κατάγει. Σημειωτέον πρὸς τούτοις, ὅτι ἀντὶ τοῦ κυρίου ὀνόματος *Ἑκάτη* τὸ ἐπωνύμιον *Trivia*, δηλονότι *Τριοδῖτις*, ἐν τῷ κειμένῳ ἀναγιγνώσκεται. Ἐπωνόμασται δ' ἡ Ἑκάτη οὕτω διὰ τὸ ἐν τριόδοις λατρεύεσθαι.

7). *Κεῖνος κἀμὲ Κόνων* κτλ. Ὑπομνηστέον ἐνταῦθα ὅπερ ἐν τῇ τοῦ ποιήματος ὑποθέσει προείρηται, ὅτι ἐξ ἀρχῆς αὐτοῦ μέχρι τέλους ἡ ἀποθεωθεῖσα τῆς Βερενίκης κόμη ὑποτίθεται φθεγγομένη. *Ἐκεῖνος* ὁ Κόνων· ὁ μέγας δηλονότι, ὁ ἐπὶ Μαθηματικῇ καὶ Ἀστρονομίᾳ περίπυστος, ὁ σοφίας ἐν τῷ τότε τὰ πρῶτα φερόμενος. *Ἐν ἠέρι* ἐν τῷ οὐρανῷ δηλονότι· οὕτω μετέφρασα, προελόμενος τὴν γραφὴν *coelesti limine,* ἣν καὶ Δοιρίγγιος προὔτεινε, τῆς παρ' ἄλλοις *coelesti lumine* ἢ *numine* (οὐρανίῳ φωτί, ἢ οὐρανίᾳ βουλῇ). Εἰ δέ τις τὴν τελευταίαν γραφὴν μᾶλλον ἀσπάζεται, ἀντικαταστησάτω τὴν ἑξῆς τοῦ χωρίου μετάφρασιν.

» κεῖνος κἀμὲ Κόνων ἴδ' ἐθειράδα τὴν Βερενίκης
Καρτὴν ἐκ κορυφῆς ὕψ' ἰότητι θεῶν.

9). *Τὴν κείνη ὑπέσχετο* κτλ. Ἔθος ἦν τοῖς ἀρχαίοις παρὰ θεῶν τι αἰτουμένοις τὴν κόμην καθοσιοῦν. Οὕτω Πηλεὺς τὴν τοῦ Ἀχιλλέως κόμην τῷ Σπερχειῷ καθιέρωσεν, εὐξάμενος κερεῖν αὐτὴν τῷ ποταμῷ τὸν υἱόν, εἴ ποτ' ἐκ Τροίας σῶος παλινοστήσειεν. (ἴδε Ὅμ. Ἰλ. Ψ. 141 κ. ἑξ.)

11). *Ὁππότ' ἀεξηθεὶς* κτλ. Ὁ νοῦς· ὅτε κρατυνθεὶς καὶ τὴν ἑαυτοῦ εὐτυχίαν αὐξήσας τῷ νέῳ τῆς Βερενίκης γάμῳ κτλ.

13). *Ἱμερόεντα φέρων τεκμήρια* κτλ. Τὰ ἐκ τῶν ἐρωτικῶν δηγμάτων ἢ πιέσεων πελιώματα λέγει· *νύχιον δὲ ἄεθλον*, τὴν τῆς πρώτης νυκτὸς κλινοπάλην.

14). *Τὸν ῥ' ἐπὶ συλήσει παρθενίης* κτλ. Ὁ στίχος μεθηρμήνευταί μοι κατ' ἔννοιαν. Εἰ δέ τις τὴν κατὰ λέξιν προτιμᾷ μετάφρασιν, χρήσθω τῇδε·

Τὴν ῥ' ἕνεκα σκύλων παρθενικῶν ὑπέδυ.

16). *Ἦρα Κύπριν στυγέουσι νεόζυγοι;* κτλ. Ἡ ἀποθεωθεῖσα τῆς Βερενίκης κόμη, ὥσπερ ἐνδοιάζουσα περὶ τοῦ τῶν νεονύμφων πρὸς τοὺς ἑαυτῶν συζύγους ἔρωτος, ἐρωτᾷ· πότερον; ἆρα μίσει τῶν ἐπιχαρίτων τῆς Ἀφροδίτης δώρων πολλὰ ἐκεῖναι χέουσι δάκρυα, ὅτε τὴν τοῦ πατρὸς οἰκίαν καταλιποῦσαι εἰς τὸν τοῦ συζύγου προσέρχονται θάλαμον, ἢ ψευδῆ ἐστιν ἐκεῖνα τὰ δάκρυα, οἷς τὴν ἐπὶ τῷ σφῶν γάμῳ τῶν γονέων χαρὰν ὑποτέμνονται; Ὅτι δὲ τοῦτό ἐστιν ἀληθέστερον, ἀποδείκνυσιν ἡ ἀποθεωθεῖσα κόμη παραδείγματι χρωμένη τῇ ἑαυτῆς δεσποίνῃ. Σφοδρᾷ γὰρ ταύτην φησὶν ἐπὶ τῇ τοῦ συζύγου εἰς Ἀσσυρίαν ἐξόδῳ συσχεθεῖσαν ὀδύνῃ πᾶσι πεποιηκέναι καταφανές, ὅσον αὐτῇ πρὸς θυμοῦ ἦν ἡ γλυκύδωρος Κύπρις.

21—22). *Οὐ σὺ τότ' οἰωθεῖσα* κτλ. Ἐξηλλήνισταί μοι τὸ χωρίον κατὰ τὴν τοῦ Λαχμάννου διόρθωσιν, μόνον τὸ ἐν ἀρχῇ τοῦ 22 στίχου *et* εἰς *sed* καὶ τὸν ἀποφαντικὸν λόγον εἰς ἐρωτηματικὸν μεταθέντος. Ὁ δὲ νοῦς ὅδε· Ἆρ' οὐκ ἔκλαυσας τότε τὴν σεαυτῆς διὰ τὴν τοῦ συζύγου ἀποδημίαν ἐν τῇ κοίτῃ μόνωσιν, ἀλλ' ἁπλῶς τὸν ἀπ' ἀδελφοῦ χωρισμόν; Ἦν γὰρ Πτολεμαῖος ὁ Εὐεργέτης, ὡς ἐν τῇ προτεταγμένῃ τοῦ ποιήματος ὑποθέσει εἴρηται, ἀδελφὸς ἅμα καὶ ἀνὴρ τῆς Βερενίκης.

23). *Ὡς στυγνοὺς τῆμος* κτλ. Ἀντὶ τοῦ *cum* ἔγραψα *quam* συνῳδὰ τῷ Βεντλείῳ.

25—26). *Ἀλλ' αὐτὸς μεγαλήτορ' ἐοῦσαν* κτλ. Τὰ τῆς Βερενίκης ἐπὶ τῇ τοῦ ἀνδρὸς ἐξόδῳ δάκρυα οὐκ ἐς μικροψυχίαν καὶ

μαλθακίαν αὐτῆς ἀναφέρει ἡ θεὰ κόμη· ᾔδει γάρ, φησίν, αὐτὴν οὖσαν ἐκ παιδὸς μεγάθυμον καὶ ἀνδρώδη.

27—28). *Ἦρ' ἀγαθοῦ ἔργοιο λέλησαι* κτλ. Τίνος ἔργου; Ὁ Ὑγῖνος ἡμῖν (Poet. Astron. II. 24) τὸ πρᾶγμα διασαφεῖ. Φησὶ γὰρ κατὰ μὲν τὸν Καλλίμαχον καὶ ἄλλους τινὰς ἱπποτροφεῖν ἐκ παιδὸς εἰωθέναι τὴν Βερενίκην καὶ ἵππους ἀγωνισομένους εἰς Ὀλύμπια πέμπειν· κατ' ἄλλους δὲ Πτολεμαῖον τὸν Φιλάδελφον τὸν τῆς Βερενίκης πατέρα ἐν μάχῃ ποτὲ πλήθει τῶν πολεμίων καταπλαγέντα ἐς φυγὴν τραπέσθαι, τὴν δὲ θυγατέρα καλῶς ἐνησκημένην τῇ ἱππικῇ, ἐπὶ τὸν ἵππον ἀναθοροῦσαν τήν τε τάξιν ἀποκαταστῆσαι, καὶ τῶν πολεμίων συχνοὺς μὲν κτεῖναι ἐῤῥωμένως εὐθυμαχοῦσαν, τοὺς δὲ λοιποὺς τρέψασθαι· ἐφ' ᾧ δὴ ὁ ἀδελφὸς τῆς εὐτολμίας αὐτὴν ἀγασθεὶς γυναῖκα ἠγάγετο. *Τοῦ τις φέρτερον οὔ ποτ' ἔτλη*; Ὁ νοῦς· οὗ δὴ ἔργου οὐδείς ποτ' ἐτόλμησε γενναιότερον. Καὶ τοῦτο τοῦ κειμένου τὸ χωρίον γέγραπταί μοι κατὰ τὴν τοῦ Λαχμάννου διόρθωσιν.

30). *Ζεῦ!* Οὐ κλητικὴ τοῦτο, ἀλλὰ θαυμαστικὸν ἐνταῦθά ἐστιν ἐπιφώνημα, ὡς τὸ *Ἡράκλεις!*

31). *Θεὸς τόσος*· οὕτως ἰσχυρὸς θεός.

35—36). *Ὁ δ' ὦκα μάλ' Ἀσίδα γαῖαν* κτλ. τῷ Λαχμάννῳ κἀνταῦθα κατηκολούθηκα τὸ κείμενον διορθώσαντι. *Ἀσίδα δὲ γαῖαν* τὴν Ἀσσυρίαν ἐνταῦθα λέγει ὁ ποιητής, ἣν ὁ Πτολεμαῖος καταστρεψάμενος τῇ Αἰγύπτῳ προσέθηκε.

37—38). *Τῶν δ' ἕνεκ' ἔργων* κτλ. Ὁ νοῦς· ἀντὶ τῶν εἰρημένων τοῦ Πτολεμαίου κατορθωμάτων ἐγὼ (ἡ τῆς Βερενίκης κόμη) ἐν τῷ τῶν ἄστρων χορῷ κατατέταγμαι· καινὸν δὲ τοῖς θεοῖς δῶρον προσενεχθεῖσα τὸ ἐκ τῆς ὑποσχέσεως ἐκείνης προελθὸν παλαιὸν ὄφλημα τῆς δεσποίνης ἐκτίννυμι. Βέλτιον δ' ἂν εἴη τὰ ὀνόματα *coelestis coetus*, αἳ κατὰ τὸν Σκαλίγηρον καὶ ἄλλους τὸν τῶν ἄστρων σημαίνουσι σύλλογον ἐπὶ τῆς σημασίας τῆς τῶν θεῶν ὁμηγύρεως ἐκδέξασθαι, ὃ δὴ ὁ ἡμέτερος Χρ. Φιλητᾶς ὀρθῶς συνεῖδεν· ἔοικε γὰρ ὁ ποιητὴς ἐνταῦθα περὶ τῆς τοῦ βοστρύχου τῆς Βερενίκης εἰς τὸ Πάνθεον ἀναθέσεως λόγον ποιεῖσθαι, περὶ δὲ τῆς καταστερίσεως αὐτοῦ κατωτέρω, ἐν στίχῳ 55 κ. ε. Κατὰ ταύτην οὖν τῶν ὀνομάτων τὴν ἐκδοχὴν μεθερμηνευτέος ἂν εἴη ὁ 37 στ. ὧδε·

» Τῶν δ' ἕνεκ' οὖν ἀγύρει προσενεχθεῖσ' οὐρανιώνων,
ἢ » τῶν δ' ἕνεκ' οὖν ἔργων προσενεχθεῖσ' οὐρανίωσι.

40). *Ναί! ὄμνυμ' ἱερόν* κτλ. Ἐν τοῖς διασωθεῖσι τοῦ Καλλιμάχου ἀποσπάσμασιν (ἔκδ. Ἐρνεστ.) παρατέθεικεν ἡμῖν ὁ Βεντλέϊος ἐκ τοῦ μεγάλου Ἐτυμολογικοῦ τὸν ἑξῆς ἐλλιπῆ στίχον.

. . . . . . σήν τε κάρην ὤμοσα σόν τε βίον

ὃς ἐντεῦθεν φαίνεται εἰλημμένος.

41). *Τοῦτο*· τὸ σὸν κάρη δηλονότι.

43—44). *Χαλκῷ καὶ ὄρος εἶξε* κτλ. ὅτι οὐχ ὅπως ἡ κόμη πάνυ λεπτὴ οὖσα καὶ μαλακή, ἀλλ' οὐδὲ τῶν ἄλλων τι σωμάτων οὕτως ἰσχυρόν ἐστι καὶ στερέμνιον, ὥστε τῷ σιδήρῳ ἀντέχειν, τῷ τοῦ ὄρους Ἄθωνος παραδείγματι ὁ ποιητὴς ἀποδείκνυσιν. Ἐκεῖνος γὰρ μέγιστος ὢν καὶ στεῤῥότατος, σιδήρῳ ὅμως ὑπὸ Ξέρξου, ὅτε τοῖς Ἕλλησιν ἐπεστράτευε, διωρύχθη καὶ ναυσὶ διεπλεύσθη. *Αἰγλήεις δὲ Θείας υἱὸς* ὁ ἥλιός ἐστι. Μυθολογεῖται γὰρ Θεία θυγάτηρ μὲν γενέσθαι Οὐρανοῦ καὶ Γῆς, ἐκ δ' Ὑπερίονος τοῦ ἑαυτῆς ἀδελφοῦ τόν τε Ἥλιον καὶ τὴν Ἠὼ καὶ τὴν Σελήνην τεκεῖν.

45). Οὕτω μεθηρμήνευσα τὸν στίχον κατὰ τὴν τῶν Ἰταλῶν ἐξ εἰκασίας γραφὴν *rupere* καὶ τὴν τοῦ Βερκίου *fodere*· ἔστι δὲ καὶ ἄλλη γραφὴ *peperere*, καθ' ἣν γραπτέον *ἔτευξαν* ἀντὶ τοῦ *ὄρυξαν*.

48). *Ζεῦ ἄνα, ὡς Χαλύβων* κτλ. Χάλυβες ἔθνος ἦν βάρβαρον, χώραν τινὰ πρὸς ἀνατολὰς τοῦ Πόντου ἀπὸ τῶν ὀρῶν μέχρι τῆς παραλίας τὸ πάλαι οἰκοῦν, τὸν δὲ βίον ἐξ ἁλιείας τε πποριζόμενον καὶ μεταλλείας σιδήρου. Περισέσωσται δὲ τοῦ Καλλιμάχου ἀπόσπασμα ἔν τινι σχολίῳ τῶν Ἀργοναυτικῶν Ἀπολλοδ. (Β. 375) ἔχον ὧδε·

» . . . . . Χαλύβων ὡς ἀπόλοιτο γένος
» Γειόθεν ἀντέλλοντα, κακὸν φυτόν, οἵ μιν ἔφηναν.

Καταφαίνεται δ' ἐντεῦθεν, ὅτι οὐ κατὰ λέξιν, ἀλλὰ κατ' ἔννοιαν μεθηρμήνευσε τὰ τοῦ Καλλιμάχου ὁ Κάτουλλος.

51). *Ἄρτι ἀπὸ σφείων* κτλ. Ἔκλαιον, φησὶν ἡ κόμη, αἱ λοιπαὶ ἀδελφαὶ τὴν ἐμὴν τύχην ἄρτι ἀπ' αὐτῶν χωρισθείσης. Καλεῖ δ' ἀδελφὰς τοὺς περιλειφθέντας ἐπὶ τῆς κεφαλῆς τῆς Βερενίκης βοστρύχους· οὐ γὰρ πάσας ἡ βασίλισσα τῆς κεφαλῆς τὰς τρίχας ἀπέκειρεν, ἀλλὰ μόνας τὰς κατὰ τὴν κορυφήν, ὧν ἡ ἀποτομὴ οὐ πάνυ τι τὸν τῆς κεφαλῆς ἐλυμαίνετο κόσμον, λίαν ταῖς γυναιξὶ σπουδαζόμενον.

52—54). *Ὅτ' ἄρ' Μέμνονος αἰθίοπος* κτλ. Εὔπτερον ἵππον τῆς Χλώριδος Ἀρσινόης καλεῖ ὁ ποιητὴς τὸν Ζέφυρον ἄνεμον. Πτερωτὸς μὲν γὰρ οὗτος, ἢ ἐπὶ πτερωτοῦ ἵππου ὀχούμενος, ὡς καὶ οἱ ἄλλοι ἄνεμοι, εἰκονίζεται· ἐραστὴς δ' ἦν Χλώριδος τῆς Θεᾶς τῶν ἀνθῶν καὶ τοῦ ἔαρος, ἀδελφὸς δὲ τοῦ τῶν Αἰθιόπων βασιλέως Μέμνονος, ἅτε ἐκ τῆς αὐτῆς τούτῳ φὺς μητρὸς τῆς Ἠοῦς. Εἰσὶ δ' οἳ ὑπτέρυγον τῆς Χλώριδος ἵππον οὐ τὸν Ζέφυρον ἄνεμον, ἀλλὰ τὸν

Πήγασον ἐνταῦθα λέγεσθαι οἴονται. Καλεῖται δ' ἡ Χλῶρις καὶ Ἀρσινόη διὰ τὸ τὴν Ἀρσινόην, ἀδελφὴν μὲν καὶ γαμετὴν Πτολεμαίου τοῦ Φιλαδέλφου, μητέρα δὲ Βερενίκης, οὐ μόνον τῇ τῆς Ἀφροδίτης ἐπωνυμίᾳ, ἀλλὰ καὶ τῇ τῆς Χλώριδος παρ' Αἰγυπτίοις λατρεύεσθαι. Ὁ δὲ νοῦς. Ὅτε ὁ εὔπτερος ἵππος τῆς Χλώριδος, ἤτοι ὁ Ζέφυρος ἄνεμος, ὁ ἐξ Ἠοῦς τῆς αὐτῆς τῷ Μέμνονι μητρὸς γεννηθείς, ἐφάνη.

55). Τὴν ἐν τῷ κειμένῳ ἀναγιγνωσκομένην λέξιν *umbras* ἐξοβελιστέαν ἡγησάμενος εἶναι τὴν γραφὴν *auras* ὡς ὀρθῶς ἔχουσαν ἀποδέδεγμαι.

57—58). *Αὐτὴ δὴ Ζεφυρῖτις ἑὸν θεράποντα Κανώβου ἧκε* κτλ. Ζεφυρῖτις ἡ Ἀρσινόη ἐνταῦθα προσαγορεύεται ἀπὸ τοῦ Ζεφυρίου ἄκρου Αἰγύπτου, ἔνθα ναὸς αὐτῇ ἵδρυτο· (ἴδε Στέφαν. περὶ πόλεων ἐν λέξει *Ζεφύριον*), Θεράπων δ' αὐτῆς καλεῖται ὁ Ζέφυρος, ὁ τὴν κόμην ἀναρπάσας τῆς Βερενίκης Ἰστέον δέ, ὅτι Ἀρσινόη, ἡ Πτολεμαίου μὲν τοῦ Λάγου θυγάτηρ, Πτολεμαίου δὲ τοῦ Φιλαδέλφου γυνή, ἀποθεωθεῖσα παρ' Αἰγυπτίοις, τοῦ τε ὀνόματος καὶ τῆς λατρείας ταῖν θεαῖν Ἀφροδίτῃ καὶ Χλώριδι ἐκοινώνησεν, Ἀφροδίτη Χλῶρις παρ' ἐκείνοις προσαγορευομένη καὶ ὡς τοιαύτη λατρευομένη. Οὔκουν ἀπίθανον Ζεφυρῖτιν καλεῖσθαι ἐνταῦθα τὴν Ἀρσινόην ἀπὸ Ζεφύρου διὰ τὸ τὴν αὐτὴν καὶ Χλώριδα νομίζεσθαι, ταύτην δὲ γαμετὴν τοῦ Ζεφύρου εἶναι. Εἰ γὰρ Ζεφυρῖτις ἡ Χλῶρις ἀπὸ τοῦ ἀνδρός, εἰκότως ἂν καὶ ἡ Ἀρσινόη Ζεφυρῖτις προσαγορεύοιτο, ἅτε ἡ αὐτὴ τῇ Χλώριδι οὖσα. Σημειωτέον δ' ἐπὶ πᾶσιν, ὅτι τοὺς στίχους 57—58 κατὰ τὴν παρὰ Δοιριγγίῳ τοῦ κειμένου γραφὴν μεθηρμήνευσα. Ἀλλ' εὕρηται ἐν τῇ τοῦ Λαχμάννου ἐκδόσει καὶ ἑτέρα τοῦ 58 στίχου γραφὴ ἔχουσα ὧδε·

» Graia Canopeis incola litoribus.

Κατὰ δὲ ταύτην μεθερμηνευτέον ἂν εἴη τὸ ὅλον χωρίον οὕτω·

» Αὐτὴ ἑὸν θεράποντα Ζεφυρῖτις ἧκε, Κανώπου
Ἑλληνὶς ναέτις, γείτονος ἠϊόνος.

Καὶ ταῦτα μὲν εἴρηταί μοι συνῳδὰ τοῖς ἀρχαιοτέροις τῶν ἐκδοτῶν καὶ ἑρμηνευτῶν τοῦ Κατούλλου. Ὁ δὲ ἡμέτερος Χριστοφόρος Φιλητᾶς τῷ Βερκίῳ ἑπόμενος τὴν ἐν στίχῳ 54 λέξιν *Chloridos* ἐκ κακῆς τινος γραφῆς ἢ ἀναγνώσεως τῆς λέξεως *Gypridos* οὐκ ἀπιθάνως οἴεται προελθεῖν. Κύπριν δέ φησιν ἐπικεκλῆσθαι ἐνταῦθα τὴν τῆς Βερενίκης μητέρα Ἀρσινόνην, ὡς δηλοῖ τὸ 45 ἐπίγραμμα (Ἀνθολ. ἐπιγραμ. τόμ. γ'. appendix.).

Κόγχος ἐγώ, Ζεφυρῖτι, παλαίτερος κτλ.

καὶ ἔτι τὸ 67 ἐπίγραμμα (αὐτόθι·)

τοῦτο καὶ ἐν ποταμῷ καὶ ἐπὶ χθονὶ τῆς φιλαδέλφου κτλ.
Ἵππον δὲ τῆς Ἀρσινόης πτερωτὸν οὐ τὸν Ζέφυρον ἐνταῦθα καλεῖσθαι νομίζει, ἀλλὰ τὴν στρουθοκάμηλον, τῷ Ἰταλῷ *Monti* ἑπόμενος, ὃς ἐν τοῖς ἑαυτοῦ *opere inedite e rare* (Vol. 4. Milano 1832) διὰ μακρῶν εἰκοτολογεῖ τὴν Ἀρσινόην ἐπὶ στρουθοκαμήλου εἰωθέναι ὀχεῖσθαι, εἰκάζων τοῦτο ἔκ τινος τοῦ Παυσανίου χωρίου (Βοιωτικὰ Κ. 31) ἔχοντος ὧδε· Καὶ *Ἀρσινόης ἐστὶν ἐν Ἑλικῶνι εἰκών, ἣν Πτολεμαῖος ἔγημεν ἀδελφὸς ὤν· τὴν δὲ Ἀρσινόην στρουθὸς φέρει χαλκῆ τῶν ἀπτήνων.* Εἶναι δέ φησιν ὁ *Monti* τὴν στρουθοκάμηλον *unigenam* τῷ Μέμνονι, ὡς τοῖς ὄρνισιν ὁμογενῆ τοῖς ἐκ τῆς τέφρας τοῦ Μέμνονος φῦσι κατὰ τὸν μῦθον.

60). *Στέμμ' ἀριαδνείων* κτλ. Περὶ τοῦ τῆς Ἀριάδνης στεφάνου οὐ ταὐτὰ τοῖς ἀρχαίοις μεμυθολόγηται. Οἱ μὲν γὰρ Ἥφαιστόν φασι τοῦτον ποιῆσαι καὶ τῇ Ἀφροδίτῃ δωρήσασθαι, εἶτα δὲ ταύτην τῇ Ἀριάδνῃ· οἱ δὲ τῷ Βάκχῳ ἐκεῖνον τὸ στέμμα προσενεγκεῖν· ἄλλοι δὲ τὴν Ἀφροδίτην καὶ τὰς Ὥρας στέψαι αὐτῷ τὴν Ἀριάδνην, ὅτε τῷ Βάκχῳ συνῆλθε. Τελευτησάσης δὲ ταύτης, τὴν ἐρωμένην ὁ Βάκχος τιμῶν κατέταξεν αὐτὸ ἐν τοῖς ἄστροις, ἔνθα νῦν ὁρᾶται ὑπὲρ τῆς τοῦ Ὄφεως κεφαλῆς μεταξὺ Βοώτου καὶ Ἡρακλέους.

63). *Θεῶν ὑπόδακρυν δώματ' ἰοῦσαν.* Θεῶν δώματα (templa Deûm) τὸν οὐρανὸν ὁ ποιητὴς καλεῖ. Ὑπόδακρυς δὲ λέγεται ἡ κόμη εἰς οὐρανὸν ἀνελθεῖν, ὡς τὴν τῆς δεσποίνης κορυφὴν ἀκουσίως καταλιποῦσα.

65 κ. ἑ.). *Παρθενικῆς γὰρ ὅμουρος* κτλ. Βουλόμενος ὁ ποιητὴς ὑποδεῖξαι τὸν τόπον, ὃν ἐν οὐρανῷ ἡ τῆς Βερενίκης κατείληφε κόμη, τὰ παρακείμενα αὐτῇ καταλέγει ἄστρα. Πρὸς μεσημβρίαν μὲν οὖν ἔχει αὐτὴ τὴν Παρθένον παρακειμένην, πρὸς δὲ δυσμὰς τὰ νῶτα τοῦ Λέοντος, πρὸς Βορρᾶν τοὺς ὀπισθίους τῆς Ἄρκτου πόδας, ἣν κόρην τὸ πάλαι τοῦ τῆς Ἀρκαδίας βασιλέως Λυκάονος οὖσαν τοὔνομα Καλλιστώ, καὶ τῷ Διῒ ἐρωμένην, ἡ Ἥρα ζηλοτυπήσασα εἰς Ἄρκτον μετέβαλεν· εἶτα δ' ὁ Ζεὺς οἰκτείρας ἀνάξια πάσχουσαν κατηστέρισε. Πρὸς δ' ἀνατολὰς πρόσχωρος τῇ τῆς Βερενίκης κόμῃ ἐστὶν ὁ Βοώτης, ὃς εἰκότως νωθρὸς λέγεται, ἅτε βραδέως δύων διὰ τὸ ἐγγὺς κεῖσθαι τοῦ πόλου καὶ διὰ τοῦτο τῶν ἀπωτέρων τούτου ἄστρων μικρότερον κύκλον ἐν ἴσῳ περιγράφων χρόνῳ τῇ ἡμερησίᾳ κινήσει.

69). *Καίπερ δ' οὖν διὰ νύκτα* κτλ. Ὁ νοῦς· εἰ καὶ διὰ νυκτὸς ἐν οὐρανῷ φαίνομαι, (τὸ γὰρ ὑπὸ τοὺς πόδας τῶν θεῶν

κινεῖσθαι τὸ ἐν οὐρανῷ εἶναι σημαίνει) τοῦ ἡλίου ὅμως τὴν γῆν καταυγάζοντος, παρὰ τὴν γηραιὰν Τηθὺν εἰς τὸν ὠκεανὸν ἐπανέρχομαι· καταλιμπάνω δηλονότι τὸν οὐρανὸν καὶ γίγνομαι ἀφανής. Ἦν δὲ ἡ Τηθὺς κατὰ τὸν μῦθον ὠκεανοῦ γυνή.

71). *Ῥαμνουσία ἵλαθι κούρη.* Ῥαμνουσίαν κόρην τὴν Νέμεσιν καλεῖ ὁ ποιητής, ἅτε λατρευομένην ἐν Ῥαμνοῦντι τῆς Ἀττικῆς, ἔνθα καὶ ναὸς αὐτῇ ᾠκοδόμητο καὶ ἄγαλμα ἵδρυτο, Φειδίου ἔργον. Ἦν δ' ἡ Νέμεσις θεὰ ἐγκειμένη τοῖς ἀλαζόσι καὶ τὴν ὑπὲρ ἀξίαν εὐτυχίαν κολάζουσα.

75). *Τῶν δ' οὔ μοι τόσον ἦδος* κτλ. Τούτοις, φησὶν ἡ κόμη, τῷ ἐς οὐρανὸν ἀνελθεῖν κἀκεῖ τοῖς τε ἄστροις συνεξετάζεσθαι καὶ τοῖς θεοῖς παροικεῖν, οὐχ οὕτως ἐφήδομαι, ὡς ἄχθομαι τῷ κεχωρίσθαι ἀπὸ τῆς κορυφῆς τῆς ἐμῆς δεσποίνης.

77). *Σὺν τῇ ἐπεὶ τὸ πάροιθεν* κτλ. Τοὺς στίχους 77—82 μεθηρμήνευσα κατὰ τὴν παρὰ Λαχμάννῳ γραφήν, ἣν δοκιμωτέραν ἡγοῦμαι τῆς τοῦ Δοιριγγίου διορθώσεως. Ὁ δὲ νοῦς τοῦ ὅλου χωρίου ἐστὶν ὅδε. Ἐπειδὴ (φησὶν ἡ κόμη) ἐν τῷ προτοῦ χρόνῳ, ὅτε ἡ ἐμὴ δέσποινα παρθένος ἦν ἔτι παντὸς κακοῦ ἄπειρος, μυρία σὺν αὐτῇ μύρου ἀγγεῖα ἔπιον (πολλάκις ἀφθόνῳ ἠλείφθην μύρῳ), καὶ νῦν ὑμεῖς, ὦ νεόνυμφοι, ἃς ἡ τοῦ Ὑμεναίου λαμπὰς ἀνδράσι συνέζευξε, μὴ παραδῶτε τὰ ὑμέτερα σώματα τοῖς συζύγοις καί περ θερμῶς φιλουμένοις, μηδ' ἀποκαλύψησθε αὐτοῖς τὰ στήθη, πρὶν ἢ τὸ τοῦ μύρου δοχεῖον τὸ ἐξ ὄνυχος λίθου πεποιημένον προχέῃ μοι μῦρον εὐάρεστον, (πρὶν ἢ σπείσητέ μοι μῦρον). Ἐντεῦθεν εἰκάζεται, ὅτι μετὰ τὴν τῆς Βερενικείου κόμης ὑπὸ Κόνωνος ἀποθέωσιν ἔθος ἐν Αἰγύπτῳ ταῖς νεονύμφοις κατέστη τὴν νέαν θεὰν ἑαυταῖς σπονδαῖς μύρου ἐξευμενίζειν. Ἐπειδὴ δ' ἐν τῷ στίχῳ 78 ἡ λέξις *millia* ἀσυνήθως κεῖται ἄνευ τοῦ οὐσιαστικοῦ, εἰς ὃ ἀναφέρεται, ἀναγνωστέον ἴσως ἀντ' αὐτῆς *murrhea* ἤτοι μύῤῥινα ἀγγεῖα, οἷς οὐκ ἀπεικὸς τοὺς Αἰγυπτίους ἐν τῷ τότε μύρου δοχείοις χρῆσθαι. Κατὰ δὲ τὴν γραφὴν ταύτην μεταφραστέος ἂν εἴη ὁ στίχος ὧδε·

Πλεῖστα μύροιο πίον μόῤῥινα ληκύθια.

80). Εὔλογον ἡγοῦμαι τὴν τοῦ Δοιριγγίου διόρθωσιν *ne prius* ἀντὶ τῆς γραφῆς *non post*.

82). *Ὄνυξ*, ἀγγεῖον μυροδόχον ὄνυχος πεποιημένον· ἴδε Plin. Hist. nat. libr. XXXVI. 12.

90). *Luminibus*. Ἡ λέξις *lumen* = φάος, φῶς, σημαίνει ἐνταῦθα τὴν ἡμέραν, ὡς καὶ παρὰ Καλλιμάχῳ ἐν ὕμνῳ εἰς Ἄρτεμιν. στ. 182.

» .... ἀλλὰ θεῆται (ὁ ἥλιος)
» δίφρον ἐπιστήσας, τὰ δὲ φάεα μηκύνονται.

91). *Λοιβῆς μὴ δοίης* κτλ. Ὁ νοῦς μὴ μ' ἐάσῃς ἄμοιρον μύρου. Ἀπεδεξάμην τὴν παρὰ Λαχμάννῳ γραφὴν τῶν ςίχων 91—94.

94). *Ἀγχόθι δ' Ὑδροχόου στιλβέτω Ὠαρίων.* Ὁ Ὑδροχόος οὔτε τοῦ Ὠρίωνος οὔτε τῆς κόμης τῆς Βερενίκης κεῖται ἐγγύς. Τί οὖν βούλεται λέγειν ὁ ποιητής; ἢ ὅτι τῇ κόμῃ ἐς τὴν τῆς βασιλίσσης κορυφὴν ποθούσῃ αὖθις ἐπανελθεῖν οὐδὲν ἔτι τῶν ἄστρων οὔτε τῆς τούτων τάξεως μέλλει. Γενοίμην, φησὶν οὖν αὐτή, κόμη πάλιν τῆς βασιλίσσης! τὰ δ' ἄστρα πάντα οὕτω συνταραχθήτω ἐν οὐρανῷ, ὥστε τὸν Ὠρίωνα τοῦ λοιποῦ ἐγγὺς τοῦ Ὑδροχόου φωτοβολεῖν.

ΤΟΥ ΑΥΤΟΥ ΚΑΤΟΥΛΛΟΥ

ΕΠΙΤΥΜΒΙΟΝ

ΕΙΣ ΤΟΝ ΕΑΥΤΟΥ ΑΔΕΛΦΟΝ (carmen C.)

Πολλὰ διϊππεύσας ἔθνε', οἶδμά τε πουλὺ περήσας,
 ἥκω τάσδε χοάς, ὦ φίλ' ὅμαιμε, φέρων,
ὄφρ' ὀπάσω πύματον φθιμένῳ γέρας ἠδ' ἄφθογγον
 προσφθέγξωμ' αὔτως ἐνθάδε σὴν σποδιήν·
Αὐτὸν ἐπεί σε κακὴ νηλής τέ μ' ἀφείλετο δαίμων,
 δύσμορ', ἀεικελίως, φεῦ, ἀνερειψαμένη,
δεῦρ' ἄγ', ἅ τ' ἐκ πατέρων ἔθος ἡμῖν ἐστι παλαιὸν
 σκυθρὰ φέρειν νεκροῖς δῶρ' ἐπιτυμβίδια,
δέξαι, ἀδελφειοῖο διάβροχα δάκρυσι σοῖο·
 χαῖρε δ' ἐσαεί μοι, ὦ κάσι, εἰν ἀΐδῃ.

ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ

ΤΑ ΠΕΝΤΕ ΠΡΩΤΑ ΒΙΒΛΙΑ

ΕΜΜΕΤΡΩΣ

ΕΙΣ ΤΗΝ

ΑΡΧΑΙΑΝ ΕΛΛΗΝΙΚΗΝ ΦΩΝΗΝ ΜΕΤΕΝΗΝΕΓΜΕΝΑ.

» Te veniam pro laude peto; laudatus abunde,
Non fastibitus si tibi, lector, ero.

Ovid. Trist. I. 7.

Πουβλιος Ὀβίδιος ὁ Νάσων ἐν τοῖς πρώτοις τῶν ῥωμαίων κατείλεκται ποιητῶν, ἐκ παιδὸς ὁρμήσας εἰς ποίησιν. Οὗτος ἐκ πατρὸς τῶν πάνυ εὐπόρων καὶ ἐς ἱππάδα τελούντων γεννηθεὶς ἐν Σουλμῶνι τῆς Ἰταλίας, πρῶτον μὲν εἰς τὰ τῆς πατρίδος διδασκαλεῖα παῖς ὢν ἐφοίτησεν, εἶθ' ἱκανῶς ἐν τούτοις δόξας προπεπαιδεῦσθαι, σὺν τῷ πρεσβυτέρῳ ἀδελφῷ παιδεύσεως χάριν τελειοτέρας εἰς Ῥώμην ἤχθη ὑπὸ τοῦ πατρὸς κἀνταῦθα τούτου κελεύσει περὶ τὰ ῥητορικὰ μάλιστα ἐσπούδασε, τῶν κατ' ἐκεῖνο τοῦ χρόνου ἐπὶ ῥητορικῇ δεινότητι κλεϊζομένων, Ἀρελλίου τε Φύσκου καὶ Πορκίου Λάτρωνος διακούσας. Καὶ ἐπεχείρησε μὲν ῥητορείαν ἀσκεῖν, ὥσπερ ἔθος ἦν τοῖς ἐν Ῥώμῃ κρείττονος παιδείας τυχοῦσι καὶ τὰ τῆς πόλεως πράττειν ἐφιεμένοις, οἷς οἱ ῥητορικοὶ ἀγῶνες τὴν ἐπὶ τὰς πολιτικὰς ἀρχὰς ὁδὸν παρεσκεύαζον· οὐ μέν τοι ἐνέμεινεν, ἀλλὰ ταχὺ τῇ ῥητορικῇ χαίρειν φράσας ὅλος περὶ τὴν ποίησιν ἐγένετο, ἣ τὴν ψυχὴν αὐτοῦ ἀμηχάνῳ τινὶ ἐπεσπᾶτο ὁλκῇ. Ποίησιν δὲ προείλετο ὁ Ὀβίδιος οὐ τὴν σοβαρὰν καὶ ἐμβριθῆ καὶ ὑψίλοφον, ἀλλ' ἱλαράν τινα καὶ ἐπαφρό-

διτον, τῆς τῶν ἀστειοτέρων στοχαζομένην ψυχαγωγίας καὶ τέρψεως. Πάνυ δ' εὐφυῶς πρὸς τὸ εἶδος τοῦτο τῆς ποιήσεως εἶχεν, ἀγχινοίᾳ τε διαφέρων καὶ εὐτραπελίᾳ, καὶ ζωηρότητι φαντασίας, καὶ ἐνθυμημάτων, ἀστειότητι, καὶ λέξεως χάριτι. Διὸ ἐν τοῖς πλείστοις τῶν αὐτοῦ ποιημάτων εὕροι τις ἂν πλοῦτον ἀγχινόων ἐνθυμημάτων καὶ παιγνίων τερπνῶν, καὶ λέξεως κομψότητα καὶ ποικίλην χροιάν, καὶ στιχουργίαν εὔρυθμόν τε καὶ ῥέουσαν. Ἀλλ' οὐχ ὁμοίως φαίνεται ἐν αὐτοῖς πρὸς βάθος ἐννοιῶν καὶ λόγου ὕψος εὖ πεφυκώς· κατακέχρηται δὲ πολλαχοῦ τοῖς ἀστείοις ἐνθυμήμασι καὶ τοῖς τοῦ λόγου παιγνίοις, ὥστε παρεκβαίνειν τοῦ πρέποντος, τὴν δὲ φαντατίαν τοῦ ὅλου φθείρειν. Κοϊντιλιανὸς οὖν περὶ αὐτοῦ φησὶν (Instit. X. 1—88) Lascivus quidem in heroicis quoque Ovidius et nimius amator ingenii sui· laudandus tamen partibus. Τῇ δὲ τῆς λέξεως ποικίλῃ χροιᾷ καὶ ταῖς τῶν σχημάτων ἐναλλαγαῖς κατακόρως πολλαχοῦ διανθίζων τὰ ἔπη, ἀπὸ τῆς ὑποθέσεως καὶ τῶν νοημάτων εἰς τὴν ἀνασκόπησιν τῆς τοῦ ποιητοῦ τέχνης τὴν τοῦ ἀναγνώστου παρατρέπει διάνοιαν· καθόλου δὲ τὸ τῆς διανοίας αὐτοῦ εὐπετὲς κριτικῇ τινι δυνάμει οὐχ ἱκανῶς ἡνιοχούμενον φαίνεται. Καὶ ταῦτα μὲν ἱκανὰ περὶ τοῦ χαρακτῆρος τῆς τοῦ Ὀβιδίου ποιήσεως.

Τῶν δὲ ποιημάτων αὐτοῦ ἐν τοῖς καλλίστοις εἰκότως τὸ τῶν Μεταμορφώσεων κρίνεται, ἐν δέκα καὶ πέντε βιβλίοις ἀπαρτιζόμενον, ἐν οἷς πολλοὺς τῆς ἑλληνικῆς ἀρχαιότητος μύθους διασκευάσας ταῖς τῆς ποιήσεως χάρισι κατεκόσμησεν. Οὐδὲν δὲ θαυμαστόν, εἰ ἄνθρωποι οὕτως εὐφαντασίωτοι, οἵους γενέσθαι τοὺς ἀρχαίους Ἕλληνας ὡμολόγηται, μεταμορφώσεων ποικίλων μύθους ἐπλάσαντο καὶ ἐπίστευον· συγγενέστερα γὰρ ἀλλήλοις τὰ ὄντα τοῖς ἀρχαίοις ἐδόκει, καὶ ἡ ἀνθρωπίνη φύσις ἐγγυτέρα μὲν ἄνωθεν τοῖς θεοῖς, ἐγγυτέρα δὲ κάτωθεν οὐ μόνον τοῖς ζώοις τοῖς πολλὰ ἔχουσι τῷ ἀνθρώπῳ

παρεμφερῆ, ἀλλὰ καὶ τοῖς φυτοῖς, οἷς ζωήν τινα ἐνορῶντες καὶ ψυχῆς αὐτὰ μετέχειν ἡγοῦντο. Καὶ τῇ παρ' ἡμῖν δὲ νεκρᾷ νῦν νομιζομένῃ καὶ ἀψύχῳ φύσει ψυχήν τινα οἱ πάλαι ᾤοντο ἐνοικεῖν, αἰτίαν τῆς ἐν αὐτῇ ὁρωμένης κινήσεως. Διὸ δὴ ζωῆς ἐκείνοις, ὥσπερ ὁ τῶν Γερμανων ποιητὴς Σχίλλερος ἐν τῷ περὶ θεῶν Ἑλλάδος ᾄσματι εὐφυῶς ᾄδει, πᾶσα ἡ κτίσις ἐπέπληστο. Πλήρη μὲν ἦν νυμφῶν ὀρειάδων τὰ ὄρη, παντὶ δὲ δένδρῳ δρυάς τις ἐνεβίου, πᾶν δὲ ῥεῖθρον ἐξ ὑδρίας ἔῤῥει ναϊάδος τινός, τὴν δὲ παμφαῆ τοῦ ἡλίου λαμπάδα ἐπὶ χρυσοῦ τεθρίππου ὁ Ἀπόλλων ὀχούμενος καθ' ἡμέραν ἐν οὐρανῷ περιῆγε καὶ τὸν Κόσμον κατηύγαζε, τοὺς δὲ σεισμοὺς ἐποίει ὁ Ποσειδῶν τῇ τριαίνῃ τὴν γῆν πλήττων τε καὶ κραδαίνων, τοὺς δὲ ἀνέμους ἐξ ἀσκοῦ κατὰ προαίρεσιν ἠφίει ὁ Αἴολος, τῆς δ' Αἴτνης τὰς φλόγας αἱ ἐν τοῖς σπλάγχνοις τοῦ ὄρους κάμινοι ἀνεδίδοσαν, ἔνθα οἱ Κύκλωπες τοὺς τοῦ Διὸς κεραυνοὺς ἐσιδήρευον, καὶ τἆλλα ὁμοίως. Ἀκόλουθον ἄρα καὶ συνῳδὸν τοιαύτῃ τῆς φύσεως θεωρίᾳ τό τε τῶν φιλοσόφων ἦν περὶ μετεμψυχώσεως δόγμα καὶ τὸ τῶν ποιητῶν περὶ μεταμορφώσεως πλάσμα.

Πρώτιστος οὖν τῶν ποιητῶν Βοῖός τις ἀρχαῖος, οὗ ἀγνοεῖται ἡ ἡλικία, ποιήματός τινος οὐ περισεσωσμένου ἡμῖν ὑπόθεσιν ἐποιήσατο τὰς μεταμορφώσεις. Ἐκλήθη δὲ τὸ ποίημα Ὀ ρ ν ι θ ο λ ο γ ί α διὰ τὸ μυθολογεῖσθαι ἐν αὐτῷ ἐξ ἀνθρώπων πάλαι ποτὲ μεταμορφωθῆναι τοὺς ὄρνεις. Εἶτα κατὰ τοὺς τῶν Ἀλεξανδρινῶν χρόνους (κατὰ τὴν β'. πρὸ Χριστοῦ ἑκατονταετηρίδα) Νίκανδρος ὁ Κολοφώνιος ἐν βιβλίοις πέντε ἑ τ ε ρ ο ι ο ύ μ ε ν α ἔγραψε. Καὶ ταῦτα μὲν τῷ χρόνῳ ἀπώλετο· τὰ δὲ μυθικὰ διηγήματα, ἃ ἐξ αὐτῶν Ἀντωνῖνος ὁ Λιβεράλις ἠρύσατο, ἱκανῶς διδάσκει ἡμᾶς, ὅτι οὐκ ὀλίγον ἐκείνοις ἐν τῷ ἑαυτοῦ ποιήματι ἐχρήσατο ὁ Ὀβίδιος. Καὶ ἄλλος δὲ ποιητὴς Ἕλλην, Παρθένιος ὁ ἐκ Νικαίας, ὃς ἔτει 73 πρὸ Χριστοῦ τῆς πατρίδος αὐτοῦ ἁλούσης εἰς Ῥώμην ἀπήχθη

κἀκεῖ μέχρι τῆς Τιβερίου αὐτοκρατορίας τὸν βίον διέτεινε, μεταμορφώσεις συνετάξατο. Ἔοικεν οὖν πᾶσι τοῖς εἰρημένοις ποιήμασιν ὁ Ὀβίδιος ἐντυχεῖν καὶ ἀπ' αὐτῶν εἰς τὴν τοῦ ἰδίου ποιήματος σύνταξιν οὐκ ὀλίγον ὠφεληθῆναι. Ἀλλὰ κἀκ τῆς ἐπικῆς καὶ τραγικῆς τῶν Ἑλλήνων ποιήσεως οὐ βραχέα ὁ ἡμέτερος ποιητὴς ἐρανισάμενος φαίνεται, ἃ ἐλευθέρως μεταποιήσας ἴδια κατεστήσατο. Ἄρχεται μὲν οὖν ὁ Ὀβίδιος ἀπὸ τῆς πρώτης τοῦ Κόσμου ἐκ τοῦ χάους γενέσεως καὶ πολλοὺς μεταμορφώσεων μύθους, τοὺς μὲν κατὰ φυσικόν τινα λόγον, τοὺς δὲ κατὰ περίστασιν ἀλλήλοις συνείρων, μακρὰν ἐξ αὐτῶν συμπλέκει σειρὰν εἰς τὴν τοῦ Ἰουλίου Καίσαρος ἀποθέωσιν τελευτῶσαν.

Τὸ ποίημα τοῦτο ψυχαγωγίας χάριν δίς καὶ τρὶς κατὰ σχολὴν ἀναγνοὺς καὶ τέρψιν ἐξ αὐτοῦ ἀρυσάμενος οὐ μικράν, εἰς τὴν ἑλλάδα φωνὴν ἐμμέτρως ὅλον προὐθέμην μετενεγκεῖν· καὶ δὴ πρό ἐτῶν τινων τοῦ ἔργου ἀψάμενος ἱκανῶς προέβην· εἶθ' ὅμως φροντίδων ἄλλων καὶ ἀσχολιῶν πλῆθος παρεμπεσὸν τοῦ πρόσω χωρῆσαί με καὶ μάλ' ἄκοντα διεκώλυσεν. Οὐ μέν τοι τῆς ἐμῆς ὅλως ἀπέστην προθέσεως, ἐν γοῦν τῷ μέλλοντι σχολῆς ἱκανῆς πρὸς τὸ ἔργον οὐκ ἀπορήσειν ἐλπίζων. Νῦν δέ μοι τὴν ἐλπίδα ταύτην ἥ τε ἡλικία καὶ τὰ παρομαρτοῦντα αὐτῇ ἀῤῥωστήματα ὑποτέμνεται, δι' ἃ οὐχ οὕτω πρὸς πνευματικοὺς πόνους αὐτάρκης ἂν εἴην, ὥσπερ δὴ πρότερον. Ἔγνωκα οὖν τὰ μὲν μεθηρμηνευμένα μοι ἤδη τῶν μεταμορφώσεων βιβλία αὐτίκα νῦν τύποις ἐκδοῦναι, περὶ δὲ τῶν λοιπῶν τὴν ἐλπίδα τῷ θεῷ ἀναθέσθαι, εἰ ἄρα ζωὴν καὶ ὑγείαν ἱκανήν μοι βούλεται παρασχεῖν, ὥστε κἀκεῖνά με ὁμοίως μεθερμηνεύσαντα δῶρον ἴσως οὐχ ὅλως ἄχαρι τοῖς φίλοις ὁμογενέσι προσενεγκεῖν. Περί δὲ τῆς γενομένης ἤδη ὑπ' ἐμοῦ μεταφράσεως ταὐτὰ ἂν εἴποιμι τοῖς περὶ τῆς μεθερμηνείας τοῦ ἐπιθαλαμίου τοῦ Πηλέως καὶ τῆς Θέτιδος εἰρημένοις μοι. Ἦν γάρ μοι κἂν ταῖς τοῦ Ὀβι-

δίου Μεταμορφώσεσι τὸν νοῦν μόνον τῶν ἐπῶν θηρωμένῳ τὴν μετάφρασιν γλαφυρωτέραν ποιῆσαι· ἀλλ' οὐ πολύ τι τῆς τοῦ ποιητοῦ λέξεως ἔδοξέ μοι δεῖν ἀποστῆναι· μέσην δέ τινα ὁδὸν προειλόμην βαδίσαι, οὐκ ἐν πᾶσι τῇ τοῦ κειμένου προσισχόμενος λέξει, ἐν δ' ἐκείνοις αὐτῆς ἀφιστάμενος, ἔνθα ἡ κατὰ ῥῆμα μεθερμηνεία τραχεῖα ἂν ἐγένετο ἢ δυσνόητος λίαν.

Ἐπὶ πᾶσι τούτοις δίκαιον ἡγοῦμαι τοῖς ἀναγιγνώσκουσι προσδηλῶσαι, ὅτι τὰ πλεῖστα τῶν σημειώσεων ἐκ τῆς τοῦ Μ. Ἀουπτίου ἐκδόσεως εἴληπταί μοι.

ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ

ΒΙΒΛΙΟΝ Α΄.

ΠΕΡΙΛΗΨΙΣ.

Αρχη τοῦ παντὸς ὕλη τις ἦν ἄμορφος καὶ ἀνείδεος, χάος κληθεῖσα, πάντων τῶν ὄντων ἀνάμικτα ἔτι καὶ ἄκριτα τὰ σπέρματα περιέχουσα. Διεκρίθη δ' ἐκ τοῦ χάους πρώτιστα πάντων τὰ παρὰ τοῖς ἀρχαίοις τέσσαρα τῶν ὄντων στοιχεῖα· τὸ πῦρ, ὁ ἀήρ, τὸ ὕδωρ καὶ ἡ γῆ, ἐξ ὧν ὁ Κόσμος συνέστη. Ἐπειδὴ δ' ἕκαστον τούτων ἰδίους ἔμελλεν ἔχειν κατοίκους, τῆς γῆς κάτοικος ἐκ χοὸς καὶ ὕδατος ἐπλάσθη ὁ ἄνθρωπος. Τέσσαρες δ' ἀνθρώπων γενεαί, ἡ χρυσῆ, ἡ ἀργυρᾶ, ἡ χαλκῆ καὶ ἡ σιδηρᾶ, ἀλλήλας ἐπὶ γῆς διεδέξαντο, ὧν ἐν τῇ τελευταίᾳ ἐκ τοῦ αἵματος τῶν ὑπὸ Διὸς κατακεραυνωθέντων γιγάντων ἄλλοι ἐβλάστησαν ἄνθρωποι χειροδίκαι καὶ ἄγριοι, οἵους εἰκὸς γενέσθαι τοὺς ἐξ αἵματος φύντας. Τούτοις τοιούτοις οὖσιν ὁ Ζεύς, ἐπειδὴ ἤδη τὸν Λυκάονα εἰς λύκον μεταβαλὼν τῆς ἀσεβείας ἐτετιμώρητο, ἀξίαν τῆς πονηρίας δίκην ἐπιθεῖναι βουλόμενος, ἀθρόους ἐξολέσαι διέγνω, πάντα κατακλύσας τοῖς ὕδασι. Μόνοι δ' ἀνθρώπων ἐκ τοῦ κατακλυσμοῦ διεσώθησαν Δευκαλίων καὶ Πύῤῥα, μόνοι ἐξ ἁπάντων γενόμενοι δίκαιοι. Οὗτοι οὖν τῶν ὑδάτων ἀποῤῥευσάντων καὶ τῆς γῆς αὖθις ἀναφανείσης, κελεύσει τῆς θεᾶς Θέμιδος λίθους ὑπὲρ ὤμων ὀπίσω ἔβαλον· ὧν εἰς ἀνθρώπους μεταμορφωθέντων, τὸ ἀνθρώπινον γένος ἀνεκαινίσθη. Τὰ δὲ ἄλλα ζῶα αὐτομάτως ἐκ τῆς ὑγρᾶς ἔτι γῆς ταῖς τοῦ ἡλίου ἀκτῖσι θερμανθεί-

σης ἀνέφυσαν, ἐν οἷς καὶ ὁ Πύθων, δράκων πελώριος, τὴν τοῦ Παρνασσοῦ κατέχων ὑπώρειαν. Τοῦτον ὁ Ἀπόλλων κατατοξεύσας, ἀγῶνας εἰς μνήμην τοῦ ἔργου τὰ Πύθια ἔθετο, ἐν οἷς οἱ νικῶντες στεφάνῳ δρυὸς τὸ κατ' ἀρχὰς ἐκοσμοῦντο· οὐ γὰρ ἦν πω ἡ δάφνη τὸ δένδρον, ἀλλ' ὕστερον εἰς τοῦτο ἡ τοῦ Πηνειοῦ κόρη Δάφνη μετέβαλε, φεύγουσα τὸν Ἀπόλλωνα ἐρασθέντα αὐτῆς καὶ διώκοντα. Τούτου γενομένου, πάντες οἱ ποταμοὶ πρὸς τὸν τῆς κόρης πατέρα Πηνειὸν παρεγένοντο παραμυθησόμενοι αὐτὸν ἢ συνησθησόμενοι· μόνος δ' ἐκ πάντων ἀπελείφθη ὁ Ἴναχος, ἐπὶ τῇ θυγατρὶ Ἰοῖ ὀδυνώμενος, ἣν ὁ Ζεὺς βιασάμενος μετεβεβλήκει εἰς δάμαλιν, τῇ τῆς μορφῆς τροπῇ λαθεῖν τὴν Ἥραν βουλόμενος. Ταύτης δ' ἐκείνην τὸν Δία αἰτησαμένης καὶ τῷ πολυομμάτῳ Ἄργῳ παραδούσης νέμειν τε καὶ φυλάττειν, ὁ Ζεὺς οἰκτείρας τὴν κόρην ἐκλῦσαι προσέταξε τῷ Ἑρμῇ. Ὁ δ' ἐν εἴδει ποιμένος ἑαυτὸν ἐμφανίσας τῷ Ἄργῳ καὶ τὴν τῆς νύμφης Σύριγγος εἰς κάλαμον μεταμόρφωσιν διηγούμενος ἐκοίμισεν αὐτὸν καὶ ἀπέκτεινεν· ἡ δὲ Ἥρα εἰς τὴν τοῦ ταὼ οὐρὰν τὰ τοῦ Ἄργου μετέθηκεν ὄμματα. Τέλος ἡ Ἰὼ ἐν πολλαῖς οἰστρήλατος περιπλανηθεῖσα χώραις εἰς Αἴγυπτον ἀφίκετο, κἀκεῖ τὴν προτέραν ἀναλαβοῦσα μορφὴν Ἔπαφον ἔτεκεν ἐκ Διὸς καὶ θείων σὺν αὐτῷ ἠξιώθη τιμῶν. Φαέθων δὲ Κλυμένης τῆς Μέροπος τοῦ Αἰθιόπων βασιλέως υἱός, ὁμῆλιξ ὢν τῷ Ἐπάφῳ καὶ περὶ γένους ὑπ' αὐτοῦ χλευασθείς, πρὸς τὴν μητέρα ἔρχεται καὶ σαφές τι παρ' αὐτῆς αἰτεῖ τοῦ γένους τεκμήριον. Ἡ δὲ διαβεβαιοῦται καὶ ἐπόμνυσιν ἐκ Φοίβου αὐτὸν τεκεῖν καὶ πρὸς τὸν πατέρα πέμπει πευσόμενον τὴν ἀλήθειαν.

ΕΜΜΕΤΡΟΣ ΜΕΘΕΡΜΗΝΕΙΑ

ΤΟΥ Α′ ΒΙΒΛΙΟΥ ΤΩΝ ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ.

Θεῶν ἐπίκλησις.

Σωματ' ἀμείψαντ' εἶδος ἄνωγέμε θυμὸς ἀεῖσαι.
τῷ δ' οὖν μοι, θεοὶ, οἳ μορφὴν ἐτρέψατ' ἐκείνων,
ἔργῳ ἐπιπνεύσαιτ'· ἐξ οὗ δ' ἄρα Κόσμος ἐτύχθη,
τήνδε διηνεκέα μέχρι τοῦδ' ὀχετεύσατ' ἀοιδήν·

Πρὸ τῆς τοῦ Κόσμου δημιουργίας χάος ἦν καὶ ἡ πρώτη ἀδιάκριτος καὶ ἀνείδεος ὕλη.

Πρὶν πόντον τ' αἶάντε καὶ οὐρανὸν ἔμμεν ὕπερθεν
ἐν κύκλῳ πάντη φύσιος μία ἔπλετ' ὀπωπή,
ἣ χάος ἐκλήθη, ἄπλαστος ἰδ' ἄκριτος ὄγκος.
Μούνη ἔην ἀδρανὴς ὕλη, ἐν ᾗ ἄμμιγα πάντων
σπέρματ' ἀσυμπαγέων ἔτ' ἐόντων δηριόωντο.
οὔ πω Τιτάν τις Κόσμῳ φάος ἀμφὶς ἔχευεν,
οὔτε κέρα Φοίβη νέον ἐπλήρου παλιναυξής,
οὔτ' ἄρ' ἐν ἀμφιχύτῳ χθὼν ἠέρι βριθοσύνῃ ᾗ
ἠωρεῖτ' ἀκλινής. οὔτ' Ἀμφιτρίτη ἑούς πω
πήχεας ὠρέγνυ περὶ μακροὺς τέρμονας αἴης.
Ἦρ' αἰθήρ, τόθι καὶ πόντος καὶ γαῖα καὶ ἀήρ.
Ὧς ἄρ' ἔην ἄβατος μὲν χθών, ἄπλοον δ' ἁλὸς οἶδμα,
ἀὴρ δ' αἴγλης εὔνις, ἐν οὐδενὶ δ' ἔμπεδον εἶδος..
μάρνατο δ' ἄλλ' ἄλλῳ· ἐν ὁμῷ γὰρ σώματι τῆμος
θερμὰ μὲν ἤριζε ψυχροῖς, διεροῖσι δ' ἄρ' αὖα,
τρηχέα δ' αὖ μαλακοῖς καὶ βριθέα νείκεε κούφοις·

Τὸ χάος διακρίνεται εἰς τὰ κατὰ τὸν Ἐμπεδοκλέα τέσσαρα στοιχεῖα.

Τήνδε θεὸς δῆριν φύσιός τ' ἴς παῦσεν ἀμείνων·
γαῖαν γάρ τε πόλου, γαίης τ' ἀπενόσφισεν ὕδωρ

καὶ πυκνοῦ διέκρινεν ἀπ' ἠέρος αἰθέρα λαμπρόν.
Ταῦτ' οὖν ἐπεὶ δνοφεροῦ ἀποκρίνας ἔξελε θωμοῦ,
καίπερ ἀφεσταότα ξυνέδησεν ὁμόφρονι ὁλκῇ.
Καί ῥ' ἶς μὲν πυρόεσσ' ἐπικαμπέος οὐρανοῦ ὕψι
Ἔπτατο κουφοτάτη καὶ ὑπέρτατον εἵλετο χῶρον.
Τῇ δ' ἄγχιστ' ἀὴρ κούφην φύσιν ἔσχε καὶ ἕδρην·
γαῖα δὲ πυκνοτέρη στοιχεῖα προσείλκυσεν ἁδρά,
ᾧ τ' ἐπιέσθη βρίθει· ἀτὰρ νοτὶς ἔσχατα γαίης
ἔλλαχε, καὶ στερεὸν περιέκλυσε κύκλον ἁπάντη·

Κατασκευάζεται ἡ γῆ, διακρίνεται αὐτῆς τὸ ὕδωρ, ὁ ἀὴρ καὶ ὁ αἰθήρ, καὶ κατοικίζονται πάντα.

Ὡς ἄρ' ἐπεὶ διαθεὶς κεῖνος θεός, ὅστις ἔην περ,
μίγμα διεῖλε, πάλιν τε μέλη διαφύντα συνῆψε,
πάμπρωτον μὲν γαῖαν, ὄφρ' εἴη πάντοσ' ἐΐση,
πάμμεγαν ἐς κύκλον τορνώσατο· αὐτὰρ ἔπειτα
ὕδαθ' ἁλὸς διέχευεν, ὑπαὶ λάβροισί τ' ἀήταις
οἰδεῖν ἠνώγει, χθονὸς ἀκτὰς ἀμφὶς ἔχοντα.
Τοῖς δ' ἔπι καὶ πηγὰς λίμνας τ' ἰδὲ τέλματ' ἔτευξε,
καὶ λεχρίῃς ποταμοὺς συνέερξε προπρηνέας ὄχθῃς,
τῶν ἀλλ' ἄλλοθι ῥεῖθρα κατὰ χθονὸς ἔγκατα δύνει,
ἤ ποθι πόντον ἱκάνει ἀπείριτον· εὐρυτέρου δὲ
κεῖθι τυχόντα κύτους ἀντ' ὀχθέων ἐμβρέμετ' ἀκτῇς.
κέκλετο καὶ πεδίοισι ταθήμεναι, ἄγκεσι δ' αὖτε
ἱζῆσαι, ὕλῃς θαλέειν, ἀνὰ δ' οὔρεσιν ἔρθαι·
Ὡς δὲ πόλον δύο δεξιόφιν, λαιῆφι δὲ τόσσαι
τέμνουσι ζῶναι, τῶν θερμοτάτη μέση ἐστί,
τὼς ἐντοσθιδίῃ βουλῆσι θεοῖο μερίσθη
πένταχα γαῖα, τόσαι ζῶναι δ' ἐτάνυσθεν ἐπ' αὐτῇ·
τάων ἡ μεσάτη διὰ θάλπος ἀμήχανος οἰκεῖν,
αἱ δύο δ' εἰσὶ νιφόβλητοι, δύο δ' εἶσε μεταξύ,
ἧς εἵλης ψύχους τε βιοσσόον ὤπασε κρᾶμα.
Τοῖς δ' ἐπινεῖ τόσσῳ πυρὸς ὁλκηέστερος ἀήρ,

ὅσσῳ ῥευστὸν ὕδωρ ἀβαρέστερον ἔπλετο γαίης.
Ἔνθ' ἄρ' ἄνωγε νέφη συναγείρεσθαι καὶ ὀμίχλην,
βροντάςτε, στεροπάςτε, φρένας μερόπων κλονεούσας,
σύν τε κεραυνοῖσι κρυμοὺς τίκτοντας ἀήτας.
Τοῖσι δ' ἄρ' οὐκ ἀκρίτως Κόσμου τέκτων ἐφέηκεν
ἠέρ' ἔχειν· καὶ νῦν γὰρ, ὅτ' ἄλλυδις ἄλλος ἀητῶν
πνοιὴν ἰθύνει, μόγις ἴσχονται μὴ ἐρωῇ
ῥαῖσαι Κόσμον· ἔρις τόση ἐμπεφύτευται ἀδελφοῖς.
Ἠῶ μὲν χώρην τ' Ἀράβων λιαρὸς λάχεν Εὖρος
Περσίδα τ', ὀρθρινῷ θ' ὑποπίπτοντ' οὔρεα φέγγει·
ἀκτῶν δ' ἑσπερίης ὑπὸ δυσσομένῳ Φαέθοντι
θαλπομένων Ζέφυρος πέλας ἵδρυται· αὐτὰρ ὑπ' Ἄρκτῳ
ἔσχε βορῆς Σκυθίην· τὰ δ' ἐναντία πείρατα γαίης
πυκνῶν ἐκ νεφέων ὕεται Νότου ὑγρὸν ἀέντος.
Τῶν δ' ἐφύπερθεν ἔχευεν εὔῤῥοον αἰθέρ' ἀπάντῃ,
κοῦφον καὶ ἰλύος ἄμικτον πάγχυ γεηρῆς.
Ὡς δ' ὁρίοισι θεὸς διέκρινεν πάντα βεβαίοις,
τείρεα δηθὰ πάροιθε λεληθότα πολλῇ ἐν ὕλῃ
οὐρανίης στίλβειν ἐξ ἄντυγος ἤρξατο πάσης.
Ἵνα δὲ μή τις ἔοι ζωῆς ποθι χῶρος ἄμοιρος,
ἄστρα μὲν ἠδ' εἴδωλα θεῶν πέδον οὐρανοῦ ἔσχε,
κύματα δὲ στιλπνοῖς ἐδόθη ναίειν ἐλόπεσσι,
γαῖα δὲ θῆρας ἔδεκτο, πετηνὰ δ' αὖ αἰόλος ἀήρ,

Ὁ ἄνθρωπος τὸ εὐγενέστατον τῶν δημιουργημάτων πλάσσεται τελευταῖος, ὡς παρὰ Μωϋσεῖ·

Τούτων ἁγνότερον πραπίδεσσί τε φέρτερον ἄλλο
ἔμβιον οὔπω ἔην, ζωΐοις ἐπὶ πᾶσιν ἀνάσσον.
Τῷ ῥ' ἄνθρωπος ἔφυ, εἴτ' ἐκ θείου μιν ἔτευξε
σπέρματος ὁ πλάστης, Κόσμου τις ἀμείνονος ἀρχή,
εἴτ' ἄρα καινὴ χθών, ἀποκρινθεῖσ' αἰθέρος ἄρτι,
σπέρμαθ' ὁμογνήτου ἔτ' ἐν ἔγκασιν οὐρανοῦ εἶχε·
τὴν γὰρ ὕδει ποταμοῦ φύρσας παῖς Ἰαπετοῖο,

παμμεδέουσι θεοῖσιν ὁμοίϊον ἔπλασεν εἶδος.
Τῶν δ' ἄλλων ζώων πρηνέων ἐπὶ γαῖαν ὁρώντων,
ὀρθὴν ἀνθρώπῳ πόρεν ὦπα, πόλον τ' ἐκέλευσε
λεύσσειν, ἠδ' ὑψοῦ εἰς ἀστέρας ὄσσ' ἀνατείνειν·
Ὥς ἄρα γαῖ', ἄπλαστος ἐοῦσα πάρος καὶ ἄμορφος,
ἀγνώτους πλασθεῖσα βροτῶν ἐπιέσσατο μορφάς.

Γίγνονται αἱ τέσσαρες τῶν ἀνθρώπων γενεαί,
ὧν πρώτη ἡ χρυσῆ.

Χρυσείη πρώτη γενεὴ ἔφυ, ἣ περ ἄτερθε
θεσμῶν τιμωροῦ τε δίκην πίστιν τ' ἐφύλασσε·
θωὴ ἀπῆν δεῖμός τ'· οὐκ ἐν στήλῃσιν ἀπειλαὶ
χαλκείῃς ἐγράφοντο· δικασπόλου οὐ στόμ' ὅμιλος
τῆμος ἔτρει ἱκέτης· σόοι ἐκδίκου ἦσαν ἄνευθεν·
Οὔπω κύμαθ' ἁλὸς τμηθεῖσ' ἐλάτη ἐπ' ὄρεσφιν
ἶκτο, ἵν' ἀλλοδαπὴν διὰ πόντου γαῖαν ἴδηται,
οὔτε πω ὀθνεῖαι γνωταὶ ἔσαν ἀνθρώποισιν
ἀκταί, οὐδὲ τάφροισι πόλεις εἴργνυντο βαθείῃς·
οὐ χαλκέη σάλπιγξ εὐθύπνοος, οὐ κέρα ἦσαν
καμπύλα καὶ κόρυθες, οὔτε ξίφε'· ἀλλ' ἄτερ ἀνδρῶν
θωρηκτῶν ζώεσκον ἐπὶ χθονὶ λαοὶ ἕκηλοι.
Χθὼν αὐτὴ δ' ἔτ' ἀδούλωτος, σμινύῃ καὶ ἀρότρῳ
ἄτμητος, καρπὸν φέρεν αὐτομάτη μερόπεσσιν.
Οὗτοι δ' αὐτοφυῆ φρεσσὶ στέργοντες ἐδωδήν,
σύλλεγον ἀνδράχνης καρπὸν κομάροιό τ' ὀρείης,
καὶ κράνα, τρηχείης τε βάτοιο μόρ' ἐκκρεμέ' ὄζων,
καὶ δρυπετεῖς βαλάνους. Διὸς ἐκ δρυὸς εὐρυκαρήνου.
Εἶαρ ἔπλ' ἀΐδιον, ζέφυροι δ' αὔρῃς λιαρῇσιν
αὐτοφυῆ ψῆχον χθονὸς ἄνθεα ἠρέμ' ἀέντες.
Αὐτίκα καὶ ὄμπνας φέρ' ἀνήροτος ἀνδράσι γαῖα,
λευκοῖς τε σταχύεσσιν ἔβριθ' ἀνέατος ἄρουρα.
Ῥεῖθρα γλάγευς ἤδη καὶ νέκταρος ἔρρεε ῥεῖθρα.
Στάζε δ' ἀπὸ πρίνου ξανθὸν μέλι τηλεθόωντος.

Δευτέρα γενεὰ ἡ ἀργυρᾶ.

Ζεὺς δ' ἐπεὶ εἰς ἔρεβος ῥίψας πατέρα Κρόνον ἦρξε
Κόσμου, ἀργυρέη γενεὴ γένετ' ἥ τε χερείων
ἔπλετο χρυσείης, χαλκέης δ' ἄρα πολλὸν ἀρείων.
Τῆμος γὰρ προτέρου ἔαρος Ζεὺς μέτρα βραχύνας
χείματί τ' ἠδέ θέρει καὶ πουλυτρέπτῳ ὀπώρῃ
παυροτέρῳ τ' ἔαρι τετράωρον ἔπλησ' ἐνιαυτόν.
Δὴ τότ' ἐφλέχθη πρῶτον ὑπ' ἀκτίνεσσι θερείης
ἀήρ, ἡ δ' ἀνέμοις ᾐωρήθη παγὲν ὕδωρ.
Πρῶτον δ' οἰκί' ἐσῆλθον· ἔσαν σφι σπείεα οἶκοι
καὶ ῥῶπες πυκιναὶ καὶ φλοιῷ σύμπλοκοι ὄζοι.
Δὴ τότε πρῶτον ἄλοξι βαθείης σπέρματα Δηοῦς
ἐκρύφθη, καὶ ταῦροι ὑπὸ ζεύγλῃς στονάχησαν.

Τρίτη γενεὰ ἡ χαλκῆ, μεθ' ἣν τετάρτη ἡ σιδηρᾶ.

Χάλκεον εἶτα γένος τρίτατον χθονὶ ἔσπετο κείνοις,
τρηχύτερον κραδίην καὶ δείν' ἐπὶ τεύχε' ἑτοῖμον,
ἔμπης δ' οὐκ ἀλιτρόν· πύματον δ' ἄρ' ἔγεντο σιδηροῦν.
Αἶψα τότ' ἐπλήσθη γενεὴ χείρων κακότητος
πάσης· ᾤχετο δ' ἀτρεκίη καὶ πίστις ἅμ' αἰδοῖ.
ἀντὶ δὲ τῶν μερόπεσσι δόλοι τ' ἀπάται τ' ἐνέδραι τε
ἤλυθον ἠδὲ βίη, κτεάνων τ' ἀκόρητον ἐέλδωρ.
Λαίφεα τῆμος ἔτεινεν ἀπειρήτοις ἔτ' ἀήταις
ναυσιβάτης· τρόπιδες δ' ἐπ' ὄρεσφιν δηθὰ τραφεῖσαι
κύμασιν ἀγνώτου τότ' ἐπωρχήσαντο θαλάσσης.
Τὴν δὲ πάρος κοινήν, ὥςτ' ἀὴρ καὶ φάος ἄμμι,
γαιοδάτης οὔροις δολιχοῖσι διώρισε γαῖαν.
Οὐκ ᾔτευν ἄνδρες λιπαρὴν χθόνα λήϊα μοῦνα,
ἢ βρωτύν· πόρσω δ' ἔδυσαν χθονὸς ἔγκατα, κεῖθεν
πλοῦτον ὀρύσσοντες γενετῆρα κακῶν πολυκηδῆ,
ὃς πρότερον στυγίης πέλας ὄρφνης κεύθετ' ἀϊδνής.
Ἦλθε χάλυψ ὀλοὸς χρυσός τ' ὀλοώτερος ἤδη
ἐς φάος· ἦλθε δ' ἄρης, ὃς ὁπλίζεται ἀμφοτέροισι,

χείρεσι δ' αἱμοβαφῆ καναχεῦντά τε τεύχεα πάλλει.
Νῦν βίος ἁρπάγιμος, ξείνῳ ξένος οὐκ ἔτι πιστός,
οὐχ ἑκυρῷ γαμβρός· σπανίη δὲ χάρις καὶ ὁμαίμοις.
Ἐντύνει γαμέτης ἀλόχῳ μόρον, ἣ δ' αὖ ἀκοίτῃ·
ὠχρὰ δὲ μητρυιαὶ χαλεπαὶ μίσγουσ' ἀκόνιτα.
Νῦν καὶ ἔτη γενέταο πρὸ ὥρης υἱὸς ἐρευνᾷ.
Δέδμητ' εὐσεβίη, καί ῥ' ὑστάτη οὐρανιώνων
παρθένος Ἀστραίη χθόνα κάλλιπεν αἱμοφόρυκτον.

Μάχη τῶν γιγάντων κατὰ τῶν θεῶν.

Ὄφρα δὲ μὴ γαίης αἰθὴρ ἀδεέστερος εἴη,
ἀρχὴν οὐρανίην ποθέσαι τότε φασὶ γίγαντας,
οὔρεά τ' ἄλλ' ἄλλοις ἐπινῆσαι κλίμακ' ἐπ' ἄστρα.
Τῆμος ὑπερμενέων ῥήξας Ζεὺς σκηπτῷ Ὄλυμπον,
Πηλίου ἐξετίναξ' ὑποκειμένου οὔρεος Ὄσσαν.
Ὣς δ' ἄρ' ὑπό βρίθει τόσῳ ἄγρια γυῖ' ἐκαλύφθη,
αἵματι ὧν τεκέων πεπαλαγμένη, ὡς φάτις, αἶα
θερμάνθη, καὶ λύθρον ἐνεψύχωσε θαλυκρόν.
Ὄφρα δ' ἑῆς φύτλης μνημήϊα μίμνῃ ὀπίσσω,
τρέψεν ἐς ἀνθρώπους. Αὐτὰρ καὶ ἥδε γενέθλη
οὔτε θεῶν ἀλέγιζ', ἀνδροκτασίῃσί τ' ἔχαιρε
καὶ βίῃ· ᾗ κ' ἔγνως τήνδ' αἵματος ἐκπεφυυῖαν.

Ὁ Ζεὺς μεταβάλλει τὸν Λυκάονα εἰς λύκον. Βούλεται δὲ τὸ ἀσεβὲς τῶν ἀνθρώπων γένος ἐξαφανίσαι καὶ ἄλλο νέον παραγαγεῖν.

Ὣς δ' ἴδε ταῦτ' ἀπ' ἄκρης ὑψιδμήτοιο Κρονίων,
δεινὸν ἀνεστονάχησε· νέην δὲ Λυκάονος ᾖσι
δαῖτ' ἐνὶ φρεσσὶν ἔχων, οὔπω διάπυστον ἐοῦσαν,
ἄσπετον ἐν στέρνοισι χόλον Διὸς ἄξιον ἔσχε,
σύν τ' ἐκάλεσσε θεούς· οἱ δ' ἤλυθον ὦκ' ἀγορήνδε.
Ἔσθ' ὁδὸς ὑψίβατος, εἰν εὐδίῃ ἄμμιν ὁρατή,
ἣ γλαγόεσσα κέκλητ', ἀρίδηλος λευκάδι χροιῇ·
ἣδ' ὁδὸς ἀθανάτοις ἐς δώματα ὑψικεραύνου

καὶ βασίλεια πέλει· μεγάλων δὲ θεῶν ἑκάτερθε
δεξιτερῇ λαιῇτ' ἀναπέπταντ' ἀγλαοὶ οἶκοι.
Ὄχλος μὲν σποράδην ναίει, προφανεῖ δ' ἐνὶ χώρῳ
οἰκί' ἔθεντο θεοὶ μεγάλοι ναετῆρες Ὀλύμπου.
Ῥήμασι δ' εἴγε θέμις καταχρήσασθ', ἧκεν ἔγωγε
τὸν χῶρον καλέσαιμι παλάτιον εὐρὺ Ὀλύμπου.
Ὡς οὖν μαρμαρέῳ ἕζοντο θεοὶ ἐνὶ οἴκῳ,
θώκου ἐφ' ὑψιτάτου, σκήπτρῳ τ'ἐλέφαντος ἐκεῖνος
χερσὶν ἐρειδόμενος, τρὶς καὶ τετράκις περὶ κρατὶ
σεῖσε κόμην, τῇ γῆν, πόντον τ' ἠδ' ἄστρ' ἐλελίζει.
εἶτα δ' ἀπὸ στόματος κεχολωμένου ἔκφατο τοῖα·
" Ἀμφ' ἀρχῆς Κόσμου οὐ μᾶλλον ἔδεισα πάροιθεν,
» εὖτε δρακοντόποδες ἑλέειν ἄκρην μεμαῶτες
» οὐρανίην, ἑκατὸν ἐπὶ χεῖρας ἴαλλον ἕκαστος·
» Εἰ γὰρ καὶ δήϊοι ἔσαν ἄγριοι, ἐξ ἑνὸς ἔμπης
» στίφεος, ἐκ δ' ἄρ' ἰῆς φύτλης ἔρις ὤρνυτ' ἐκείνη.
» Νῦν δὲ γένος θνητῶν, ὅσον ὠκεανὸς περικλύζει,
» χρή με πρόπαν ὀλέσαι. Στυγὸς ὄμνυμ' ἄφθιτα ῥεῖθρα,
» τὰ προρέει στυγίοιο δὶ ἄλσεος εἰν ἀΐδαο·
» παντὸς ἐπειρήθην ἄκεος πάρος· ἀλλὰ γ' ἀναλθὲς
» πῆμα τεμεῖν δέον, ὄφρα μὴ ἀρτεμέα προσόληται·
» εἰσί μοι ἡμίθεοι, νύμφαι, θεοὶ ἀγροδίαιτοι,
» Φαῦνοι καὶ Σάτυροι, Συλβανοί τ' οὐρεσίοικοι·
» τοῖς ἐπεὶ οὐ δίδομεν τάδ' ὀλύμπια δώματα ναίειν,
» δῶμεν ἀκινδύνως χθόνα γοῦν, τὴν ἔλλαχον, οἰκεῖν.
» Ἦ που ἐν ἀσφαλίῃ, θεοὶ, ἔμμεν οἴετ' ἐκείνους,
» Ὁππότ' ἔμοιγε κεραυνὸν ἰδ' ὑμέας ἰθύνοντι
» γνωτὸς ἐπ' ἀγριότητι δόλους ὕφηνε Λυκάων; „
Ἐβρύχησ' ἀγορὴ καὶ τίσασθ' ἥτεε κεῖνον,
ὃς τάδ' ἔτλη ῥέξαι. Τὼς φύτλη πᾶσα βροτείη,
ἡνίκα καισαρέῳ ἀσεβὴς λόχος αἵματ' ὄρουσεν
οὔνομα Ῥωμαίων σβέσσαι, θάμβησε κλύουσα

θροῦν ὀλέθροιο τόσου, σύμπασ' ἔφριξε δὲ γαῖα.
Οὐχ ἧσσον τότε σοι πίστις σῶν εὔαδεν ἀνδρῶν,
Αὔγουστ', ἢ κείνη Κρονίδῃ, ὃς ἐπεὶ χερὶ θρύλλον
εὔνασ' ἰδ' αὐδῇ, πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Ὡς δ' ἄρ' ἔληξε βοὴ σεμνοῖο ἄνακτος ἐ φ ε τ μ ῇ,
μύθῳ Ζεὺς τοιῷδε σιωπὴν αὖθις ἔλυσε.
“ Ποινὴν κεῖνος ἔτισε· μέριμναν τήνδ' ἀπόθεσθε.
» Τίς δ' ἔπλετ' ἀμπλακίη τε τίσις θ' ἕο, νῦν ἐρῶ ὔμμιν·
» Ἵκετ' ἐμὰς ἀκοὰς αἰῶνος φῆμις ἀεικής,
» ἣν ἐψεῦσθ' ἐθέλων κατ' Ὀλύμπου ὄρουσα καρήνων,
» καὶ θεὸς εἰσάμενος θνητῷ περινίσσομαι αἶαν.
» Πάντ' ἀπαριθμῆσαι, ὁπόσ' ἔδρακον αἴσυλα πάντη,
» μακρὸν ἔμοιγέ κ' ἔοι. Ἐτύμου φάτις ἔπλεν ἐλάσσων.
» Ῥιγηλὸν θηρῶν κεῦθος διὰ Μαίναλον ἦλθον,
» Κυλλήνην θ', ὕλας τε Λυκαίου κρυμαλέοιο.
» Ἔνθεν ἕδρην τε τυράννου ἰδ' ἄξενον οἶκον ἱκάνω
» ἀρκάδος, εὖτε κνέφας νύκτ' ὄψιμον ἕλκει' ἐπ' αἶαν·
» Φῆνα τέρας θεὸς ἔμμεν· ἀπαυτίκα δ' ἤρξατο λαὸς
» Λίσσεσθαι· πρῶτον δὲ λιτὰς ἔσκωπτε Λυκάων,
» εἶτ' ἔφη· ἀσφαλέως πειρήσομαι, εἰ θεὸς οὗτος,
» ἠὲ βροτὸς πέλεται· τὸ δ' ἐτήτυμον ἐκφανὲς ἔσται.
» Ἔντυεν οὖν νυχίῳ βεβαρηότι μοι φόνον ὕπνῳ
» ἐξαπίνης· ἐτύμου τοίη οἱ εὔαδε πεῖρα·
» ἀλλὰ μεταγνοὺς αἶψα δέρην χαλκῷ διάμησεν
» ἀνέρος, ὃν οἱ ἔπεμψε Μολοσσῶν ἔθνος ὅμηρον·
» ἡμίζωα δ' ἔπειτα μέλη τὰ μὲν ὕδατι θερμῷ
» ἕψησ', ἀλλ' ὤπτησεν ὑπὲρ πυρὸς αἰθομένοιο
» καὶ παρέθηκε τραπέζῃ· ἐγὼ δ' ἤρειψα κεραυνῷ
» οἶκον ἐπ' οἰκοσόοισι θεοῖς ναετῆρι ὁμοίοις.
» Ὤχετο δ' ὃ τρέσσας· ὅτε δ' ἀγρῶν ἵκετο σιγήν,
» ὠρύετο, φθόγγον τε μάτην πειράατ' ἀφεῖναι.
» Αὐτόθε λύσσαινε στόμα καὶ φόνου ἠθάδι ὁρμῇ

» Ἐτράπετ᾽ ἐς ποίμνας, νῦν θ᾽ αὔτως αἵματι χαίρει.
» Εἵματα μὲν μαλλοί, χεῖρες δ᾽ οἱ μηροὶ ἔγεντο,
» αὐτὸς ὅλος δὲ λύκος, εἴδους προτέροιο φυλάσσων
» ἴχνε᾽· ὁμοίη γὰρ πολιήτε βίη τε προσώπου,
» ὄσσε θ᾽ ὁμῶς γλαύσσει καὶ ὁμῶς πέλει ἀγρίη ὄψις.
» Ἤριπε δὴ δόμος· οὐ μὴν εἷς δόμος ἦεν ὀλέσθαι
» ἄξιος· ὅπποι χθὼν τέταται, κακὴ ἄρχει ἐριννύς.
» Φαίης κ᾽ εἰς κακὰ πάντας ὀμόσσαι· τῷ ῥά νυ πάντες
» ἣν ἐπέοικε δίκην δόντων ταχύ· τοῦτο δέδοκται. „
Οἱ μὲν ἐπήνησαν μῦθον Διὸς ἠδ᾽ ἐπόρινον
σφοῖς ἐπέεσσι χόλον· οἱ δ᾽ αὖ πείθοντο σιωπῇ.
Ἀλλὰ γένους μερόπων ἀλγεινὸς πᾶσιν ὄλεθρος
ἔσκεν· ἀνήροντ᾽ οὖν, τίς γαίης ὄψις ἐρήμης
ἔσσεται ἀνθρώπων· τίς δ᾽ ἐς βωμοὺς θύε᾽ αὖθις
οἴσει; ἦ που Ζεὺς χθόν᾽ ἀνήσει θηρσὶν ἐρημοῦν;
Τοιάδ᾽ ἀνειρομένοισι θεῶν ἐκέλευεν ἀνάκτωρ
θαρσεῖν· πάντα γὰρ οἱ ταῦτα φρεσὶ φάσκε μελήσειν,
θαυμασίως τ᾽ ἐγερεῖν γένος ἄλλ᾽ ἀνόμοιον ἐκείνῳ.

Ὁ Ζεὺς ὕδασι πᾶσαν τὴν γῆν κατακλύσας τὸ τῶν ἀνθρώπων γένος ἐξόλλυσιν·

Ἤδη ἐπ᾽ αἶαν ἔμελλε κεραυνοὺς πᾶσαν ἰῆλαι·
Δεῖσε δέ, μὴ αἰθὴρ ἀναφλεχθείη πυρὶ τόσσῳ,
ἐν δ᾽ ἄρα πρησθείη μέγας ἄξων αἶψα πόλοιο.
Μνήσατο δ᾽ αὖτε νόῳ, ὅτι μόρσιμον ἦν ποτε πόντον
καὶ χθόν᾽ ἰδ᾽ οὐράνια φλεχθήσεσθαι βασίλεια,
καὶ Κόσμου πημανθῆναι πυρὶ ἄσπετον ὄγκον·
τοὔνεκ᾽ ἀπ᾽ ἐκ χειρῶν βέλεα θέτο, ἔργα Κυκλώπων,
ἀλλοίην δὲ τίσιν βουλεύσατο· ὕδασι φύτλην
θνητῶν ἐξολέσαι, χεύας πολὺν ὑψόθεν ὄμβρον.
Αἶψα μὲν οὖν βορέην ἐν σπήεσσ᾽ Αἰόλου εἶρξε
πνεύματά θ᾽, ὅσσα νέφη συναγερθέντ᾽ ὦκα κεδάζει·
ἐκ δ᾽ ἀφέηκε Νότον· πτερύγεσσι δ᾽ ὅγ᾽ ἵπταται ὑγρῆς,

δεινὴν πισσώδει κεκαλυμμένος ἀχλύϊ ὦπα.
Πώγων οἱ βέβριθ' ὄμβροις· πολιὴ βλύει ὕδωρ·
συννενέφωνται ὀφρῦς· πτερὰ καὶ κόλπος δεδίανται.
Ὡς δὲ νέφη χείρεσσι μετήορα μακρὰ πίεσσε,
συμπατάγησε· ῥύη δ' ἄρ' ἀπ' αἰθέρος ἄσπετον ὕδωρ·
Ἑσσαμένη δ' ἐσθῆτα πολύχροον ἄγγελος Ἥρης
σύλλεγεν Ἶρις ὕδωρ, νεφέλας τ' ἤρδευε κελαινάς.
Λήϊ' ἐκλίνθη ἔραζε, δακρυτὴ δ' ἐλπὶς ἀγρώτου
ῥεῦσε χαμαί, μακροῦ τ' ἐνιαυτοῦ ὤλετο μόχθος.
Οὐ μοῦνος δ' ὑπέδρησσε Διὸς χόλῳ οὐρανὸς εὐρύς,
ἀλλὰ καὶ οἷς ὑδάτεσσιν ἀδελφὸς γλαυκὸς ἄρηγεν·
οὗτος γὰρ ποταμοὺς συναγείρας, ὡς οἳ ἐσῆλθον
οἶκον ἄνακτος, ἔφη· “ οὐ μακροῦ χρή με κελευσμοῦ
» ὔμμι· μένος δεῦθ' ὑμετέρων ἐκχεύατε ῥείθρων.
» τοίη χρεὼ πέλεται· οἴκους ἄνετ' ἠδ' ἀχάλινα,
» ἕρκεα συσκεδάσαντες, ἐάσατε ῥεῖθρα φέρεσθαι· „
Ὣς ἔφαθ'· οἱ δ' ἄρ' ἴσαν καὶ ἀνεύρυνε στόμ' ἕκαστος
ἧς πηγῆς· ἄφετον δ' ἅλαδε προκυλίνδετο ὕδωρ.
Αὐτὸς δ' αἶαν ἔπληξε τριαίνῃ· ἣδ' ἐκραδάνθη,
σεισμῷ τ' εὐρυχαδεῖς κόλπους ᾤϊξε ῥεέθρων.
Ἀμ πεδίον ποταμοὶ ὑπεράλμενοι ἕρκεα θῦνον·
πὰρ δ' ἔρυον θάμνους καὶ λήϊα, θρέμματ' ἰδ' ἄνδρας,
δώματα καὶ νηῶν ἄδυτα ξὺν ἀγάλμασιν ἱροῖς.
Εἰ δὲ δόμος τις ἔμεινε, τόσῃ τε βίῃ ἐδυνάσθη
ἀντισχεῖν, ἀλλ' οὖν τέγεος καθυπέρτερον ὕδωρ
ἠέρθη, τύρσεις δ' ὑπὸ δινῃς ἤριπον οὔδει.
Οὐδὲν ἔτ' ἀλλήλων χθόνα καὶ πόντον διέκρινε·
πόντος ἁπάντῃ ἔην, οὐδ' ἀκτὰς εἶχ' ἔτι πόντος.
Καὶ ῥ' ὃ μὲν ὄχθον ἔχει, ὃ δὲ γαμψῇ κύμβῃ ἐφίζει,
κεῖθί τ' ἐρέσσει, ὅπου πρώην ἴθυνεν ἄροτρον.
Ἄλλος ὕπερθ' ἀγροῦ ἢ ἐπαύλιος ἐμβυθίοιο
πλώει, ὃ δ' αὖ πτελέης ὑπὲρ ἄκρης ἀσπαλιεύει·

εἰ τύχοι, ἐς λειμῶνα καθιμᾶτ' ἄγκυρα χλωρόν,
ἢ κυρτὴ χραύει νέρθε τρόπις ἀμπελεῶνας·
ᾗ δ' αἶγες λεπταὶ ποίην ἐνέμοντο πάροιθε,
νῦν ἐκεῖ ἀμπαύουσι δυσειδέα σώματα φῶκαι.
Ἄλσεα θαυμαίνουσι, πόλεις τε, δόμους τ' ἐνὶ πόντῳ
Νηρεΐδες· δελφῖνες ἔχουσ' ὕλας, πρὸς ἄκροις δὲ
ὄζοις χριμπτόμενοι φηγοὺς δονέουσι τρεμούσας.
Νεῖ λύκος ἐν μήλοις, πυῤῥοὶ δ' ὑδάτεσσι λέοντες
καὶ τίγρεις ὀχέοντ'· ἴς οὐ κάπρῳ ὀνίνησιν
ἄσπετος, οὐδ' ἐλάφῳ ἀπενεχθείσῃ πόδες ὠκεῖς·
Δὴν ὄρνις χέρσον διζήμενος, ᾗ καθίσειε,
πολλὰ καμὼν πτερύγεσσι δι' ἠέρος ἔμπεσ' ἐς οἶδμα.
Ὁρμὴ ἀπειρεσίη πόντοιο κάλυψε κολώνας,
καὶ κορυφὰς ὀρέων νέα κύματα θεῖνε θαλάσσης.
Ἥρπασε τοὺς πλεῦνας ῥόος· ὧν δ' ἄρ' ἐφείσατο κῦμα,
τοὺς δάμνα λιμὸς δηρὸν χατέοντας ἐδωδῆς.

Δευκαλίων καὶ Πύῤῥα ἐπὶ τὸν Παρνασσὸν καταφυγόντες διασώζονται. Τοῦ δὲ κατακλυσμοῦ παυσαμένου, Θέμιδος κελεύσει ὑπὲρ κεφαλῆς λίθους ὀπίσω βάλλουσιν, οἳ εἰς νέον ἀνθρώπων γένος μεταμορφοῦνται.

Φωκὶς ἀπ' Ἀονίης Οἰταίην, αἶαν ὁρίζει,
χθὼν γόνιμος, ὄφρ' ἔην γε χθών· τότε δ' ἔπλετο πόντου
μοῖρα καὶ ἀπροφάτων ὑδάτων πυθμὴν πολυχανδής.
ἔνθ' εἰς ἄστρα κάρηνα δύ' οὖρος μακρὸν ἀείρει,
οὔνομα Παρνησός, νεφέων κορυφὴν ὑπερίσχων·
ὡς τόθι Δευκαλίων (ἔχε γὰρ τἆλλ' ἄσπετον ὕδωρ·)
βαιοῦ ἐπὶ σκάφεος κέλσεν τότε σὺν παρακοίτι,
Κωρυκίδας νύμφας τε, θεοὺς θ' ἱκέτευσεν ὀρείους,
Μαντιπόλοντε Θέμιν, θνητοῖς τότε χρησμολογεῦσαν.
οὔτις ἀνὴρ κείνου κρείσσων ἔπλετ' ἠὲ δίκαιος
οὕτως, οὐδὲ θεοὺς κείνοιό τις ἅζετο μᾶλλον.
Ζεὺς ἐπεὶ οὖν ἐπίκλυστον ἐσέδρακεν ὕδασι γαῖαν,
καὶ δὴ ἕν' ἄνδρα μόνον βροτέης φύτλης περίλοιπον,

καί τε γυναῖκα μίαν βροτέης φύτλης περίλοιπον,
ἄμφω ἁγνεύοντε, θεῶν ἄμφω θεράποντε,
ῥίμφ' ἐκέδασσε νέφη· βορέῃ δ' ὄμβρους ἀπελάσσας,
πόντῳ γαῖαν ἔδειξε καὶ ἀγλαὸν αἰθέρα γαίῃ.
Οὐδὲ χόλος πόντου μίμνει· τριόδοντα δ' ἐάσας,
ὕδατ' ἐπιψᾷ ἁλὸς μεδέων· ἀνέχοντα δὲ βένθους
προσφυέσιν τ' ὤμους κεκαλυμμένον ἔκτοθι κόχλοις
γλαυκόχροον φωνεῖ Τρίτων', ἐριηχέϊ τ' ὦκα
ἐμπνεῦσαι κέλεται κόγχῃ καὶ σήματι ῥεῖθρα
καὶ ῥόθι' ἄψ καλέσαι· Ὁ δὲ κοίλην λάζετο χερσὶ
σάλπιγγ' ἐκ νεάτης εὐρυνομένην στροφάλιγγος,
σάλπιγγ', ἣ θ' ἁλὶ δεξαμένη πνοιὴν ἐνὶ μέσσῃ
ἠϊόνας πίμπλησιν ὑπ' ἠῶ καὶ ζόφον ἠχῆς.
Ἣ δ' ὡς θεοῦ στόματος διεροῦ ὑφ' ὑγροῖο γενείου
καὶ τότ' ἐφαψαμένη ἀνακλητικὸν ἧκε κέλευσμα,
πᾶσα χθὼν ἐνοπὴν καὶ ὕδατα πάντ' ἐσάκουσεν·
ὕδατα δ' ὅσσ' ἐσάκουσεν, ἐπεσχέθη εἶθαρ ἅπαντα.
Ῥεῖθρ' ἀπεμειώθη, ἀνὰ δ' ἔσχεθον αὖ πάλι πρῶνες·
ἀκταὶ δ' αὖ ἅλ' ἔερξαν, ἀτὰρ ποταμοὺς χάδον ὄχθαι·
ἐκ δ' ἀνέτελλ' ὑδάτων ἤδη πέδον, ηὔξετο χέρσος·
καὶ ὗλαι δὲ κάρηνα μετ' ἦμαρ μακρὸν ἔφαινον
γυμνὰ ὑπὲρ ῥεέθρων, ἰλὺς δ' ἔτ' ἐφῖζε πετήλοις.
Κόσμος ἀνεῤῥύσθη. Τὸν δ' ὡς ἴδε πάντα κένανδρον
καὶ χθόν' ἐρημαίην σιγὴν κατὰ πᾶσαν ἔχουσαν,
Δευκαλίων Πύῤῥην προσφέγξατο τοῖα δακρύων·
« Ὦ κάσις, ὦ δάμαρ, ὦ μούνη περίλοιπε γυναικῶν·
» ἣν γενεὴ ξυνή μοι ἀνεψιότης τε συνῆψε
» πρῶτον, ἔπειτα λέχος, νῦν δ' αὖ ὁμὴ αἶσα συνάπτει.
» Γαῖαν, ὅσην ὁράα φάος ἀντέλλον τε δύον τε,
» ναίομεν ἄμμε δύω· πόντος γὰρ τἆλλα καλύπτει.
» Ἀλλὰ βίος καὶ νῦν οὐ λίην ἔμπεδος ἄμμι·
» καὶ νῦν γαρ νόον ἄμμι πυκναὶ νεφέλαι κλονέουσι.

» Τίς σοι φρὴν κεν ἔην, ὦ δύσμορε, εἴ δίχ' ἐμεῖο
» αἶσα μόνην σ' ἐσάωσε; δέος δ' ἄρα πῶς κεν ἔνεικας
» μούνη; τίς δέ κεν ἔσκε παρήγορος ἀχνυμένῃ σοι;
» ἦ γὰρ ἐγώ, σύλλεκτρε, σάφ' ἴσθ', εἰ ἁλὸς εἶχέ σε κῦμα,
» αἶψά κ' ἐφωμάρτησα, ὁμοῦ θ' ἁλὸς εἶχέ με κῦμα.
» Αἴθ' εἶχον πατρίῃς ἀναπλάσσαι τεχνοσύνῃσι
» λαούς, καὶ ψυχὰς πεπλασμένῃ ἐνθέμεν αἴῃ.
» Νῦν δὲ γένος θνητῶν μούνοις μένει ἐν δυσὶν ἄμμιν·
» ὣς γὰρ ἔδοξε θεοῖσι· βροτῶν δὲ λελείμμεθα δεῖγμα.„
» Ὣς φάτο· σύνδ' ἔκλαιον· ἀτάρ σφι θεὴν λιτανεῦσαι
εὔαδεν οὐρανίην χρησμοῖς τε ματεῦσαι ἀρωγήν·
οὐ γένετ' ἀμβολίη· Κηφισσόνδ' ἤλυθον ἄμφω
οὔπω ἀκραιφνὲ', ὅμως τέμνοντ' ἐθάδ' ὕδασι κοίτην.
Αὐτὰρ ἐπεὶ κεφαλήν τε καὶ εἵματα νάμασι κείνου
ῥᾶναν ἐπαντλήσαντες, ἐς ἱερὸν ἴχνια νηὸν
αἶψα θεῆς ἴθυναν, ὅου βρύα φύντ' ὀρόφωμα
ᾔσχυνον, βωμοὶ δὲ πυρὸς μένον ἄμμοροι ἱροῦ.
Ὡς δ' ἶξον νηοῦ βάθρα, πρηνεῖς προπεσόντες
εἰς οὖδας, κῦσαν ψυχρὸν λίθον ἔμφοβοι ἄμφω,
τοῖά τ' ἐπεφθέγξαντο· “ θεῶν εἰ φρὴν ὁσίῃσιν
» θνητῶν ἱκεσίῃσι μαλάσσεται, εἰ χόλος εἴκει,
» εἰπέ, Θέμι, τίνι μηδοσύνῃ κεν ἀκέσσιμον εἴη
» πῆμα γένους μερόπων· κλυσθεῖσι δ' ἄρηξον ἐνηής·„
τοὺς δ' ᾤκτειρε θεὰ καὶ ἀνεῖλεν· “ ἀπόσσυτε νηοῦ
» κρᾶτα καλυψάμενοι, καί τ' ἀλλύσασθε χιτῶνας.
» εἶτ' ὀστᾶ μεγάλης ὑπὲρ ὤμους βάλλετε μητρός. „
δὴν ἄνεῳ ἔσταν· προτέρη δ' ἄρα Πύῤῥη ἔλυσε
σιγὴν ἠδὲ θεῆς ὑπακοῦσαι ἀναίνετ' ἐφετμῆς.
Σύγγνοιαν δ' ᾐτεῖτο περίτρομος· αἴδετο γάρτοι
ὀστέα ῥιπτάζουσ' ἀσεβῆσαι πρὸς γενέτειραν·
ἔνθ' αὖ ῥήμαθ' ἕκαστα θεοπροπίης ἀνέταζον
ἐν σφίσιν ἀχλυόεντα, νόον τ' ὀμφῆς ἀνεδίφων.

Εἶτα Προμηθείδης Ἐπιμηθέος ᾖκαλε κούρην
αἱμυλίοις μύθοις· " ἡ φρὴν ἀπατήλια φαίνει,
» ἄμμιν, ἔφη, ἢ χρησμὸς ὅδ' οὐκ ἀθέμιστα κελεύει.
» Γῆ τελέθει μεγάλη μήτηρ· τῆς δ' ὀστέ' οἴω
» λᾶας ἔμεν· βάλλειν ὑπὲρ ὤμους λᾶας ἄνωγεν. „
Εἰ καὶ εἰκασίῃ Τιτηνίδ' ἔπειθεν ἀκοίτου,
ἔμπης δ' ἐν δοιῇ νόος ἦν· τόσον ἄμφω ἀπίστουν
ἐννεσίῃσι θεῶν. Τί δ' ὅμως πεῖρα βλάβος οἴσει;
Κάββαν, κρᾶτα κάλυψαν ἰδ' ἀλλύσαντο χιτῶνας·
ὡς δ' ἐτέτακτο, λίθους εἰς ἴχνια βάλλον ὀπίσσω.
Λᾶες (πῶς πιστόν, εἰ μὴ τὸ παλαίφατον ἦεν;)
ἤρξαντο στυφελὴν μεταμείβειν σύστασιν αἴφνης·
καίτε μαλασσόμενοι μορφὴν χρόνῳ ἦκα δέχεσθαι.
Εὖτε δ' ἀέξηθέν τε φύσιν τ' εὔπλαστον ἕλοντο,
μορφή τις βροτέη εἰδάλλετο οὐ σάφ' ἐν αὐτοῖς,
ἀλλ' οἵη γε λίθου λαξευομένης ὑπὸ γλύπτου,
ἥ θ' ἅλις οὐ τετύπωτ', ἀξέστοις εἰκόσ' ὁμοίη.
Τῶν δ' ἄρ' ὅσον χυμῷ διερὸν πέλεν ἠδὲ γεῶδες,
σώματος εἰς πλαδαρὴν ἐτράφθη σάρκα βροτείου·
αὐτὰρ ὅσον περ ἄκαμπτον ἰδὲ στυφλόν, ὀστέ' ἐτύχθη·
εἴτι δ' ἔην φλέψ, μεῖνε καὶ οὔνομα τοῦτο φυλάσσει·
Αἶψα μὲν οὖν λᾶες, τοὺς ἀνδρὸς χεὶρ ἀφέηκε,
ἀθανάτων βουλῇ τύπον ἄρσενα πάντες ἕλοντο.
Θηλυτέρης δὲ βολῆς ἀνέφυ γένος ἔμπαλι θῆλυ.
Τοὔνεκ' ἄρ' ἀστεμφεῖς τε, πόνων τε τλήμονές ἐιμεν
θνητοί, μηνύοντες, ὅθεν πάρος ἐκγενόμεσθα.

Ἐκ τῆς ἰλύος ὑπὸ τῶν ἡλιακῶν διαθερμανθείσης ἀκτίνων ζῶα ποικίλα, τὰ μὲν τοῖς προτέροις ὅμοια, τὰ δὲ καινὰ φύονται, ἐν οἷς καὶ ὁ ὄφις Πύθων.

Τῶν δ' ἄλλων ζώων πολυποίκιλα εἴδεα γαῖα
αὐτομάτη ἀνέφυσεν, ἐπεὶ ῥ' ἰκμὰς πυρὶ θείῳ
θερμάνθη Φαέθοντος, ἕλη δ' ἄρα τέλματά θ' ὑγρά,

σπάργησαν θέρμῃ, ζωθαλπέϊ δ' εὔγον' ἐν αἴῃ,
μητέρος ὥς τ' ἐν γαστρί, τραφέντα σπέρματα πάντων
ηὐξήθη καὶ δὴ χρόνῳ ἔμβιον εἶδος ἔδεκτο.
Τῶς, ὁπόθ' ἑπτάῤῥους γυίας λίποι αὖθις ἐνίκμους
Νεῖλος, καὶ προτέρην ἐς κοίτην ῥεῖθρ' ἐπανέλθοι,
ἐκ δὲ πυρωθείη ἰλὺς νέη αἰθέρος ἄστρῳ,
ζώϊα πόλλ' ἀγρόται βωλοστροφέοντες ἀρούρας
εὑρίσκουσι τὰ μὲν νῦν ἀρχόμενα πλάσσεσθαι,
ἄλλα δ' αὖ ἡμιτέλεστ' ἔσθ' ὧν τ' ἐπιδευέα γυίων,
δέρκονται· θαμὰ δ' αὖτε τὸ μέν τι ζωὸν ὁρᾶται
σώματος, ἄλλο δ' ἔτι ζωῆς ἐστ' ἄμμορος αἶα·
εὖ τ' ἂν γὰρ θέρμη νοτίη τ' εὖ συμμιγέωσι,
γαῖα κύει, δοιοῖν δ' ἐκ τούτοιν πάντα πέφυκεν.
Εἰ γὰρ καὶ μάχεται πυρὶ ὕδωρ, θέρμη ἔνικμος
πάντα φύει· φιλότης δὲ γονῇσιν ἄρηρε διχόφρων.
Ὡς οὖν πλημμυρίδος κείνης ὑπόλοιπος ἐπ' αἴης
αἰθερίῃς ἰλὺς ἐπυρώθη ὑπ' ἀκτίνεσσι,
νήριθμα ζώων τέκεν εἴδεα· καί τιν' ἐν αὐτοῖς
ἀρχαῖ' ἀνεπλάσθη, τὰ δὲ καινὰ κνώδαλ' ἐτύχθη.
Καὶ σὲ δὲ τῆμος ἔφυσ' ἀέκουσά περ αἶα, μέγιστε
Πύθων, ὃς λαοῖς ἄγνωστος ὄφις τὸ πάροιθε
δεῖμ' ἔπλευ· τόσσον Παρνησοῦ χῶρον ἐπεῖχες!
Τόν δε θεὸς κλυτότοξος, ὃς ὅπλοισι προπάροιθεν
εἰς κεμάδας τοίοις δόρκας τ' ἐκέχρητο ταχείας,
ταρφέ' ἐφεὶς βέλε' ἰοδόκην μικροῦ τε κενώσας,
πέφνεν· ἀπ' ὠτειλῶν δ' ἰός οἱ ῥεῦσε κελαινῶν.
Ὄφρα δὲ μὴ κλεῖος τόσσου χρόνος ἔργου ὀλέσσῃ,
πουλυφάτους ἀέθλους ἱεροὺς ἱδρύσατο κεῖθι,
Πύθια, ἐξ ὄφιος δεδμημένου οὔνομ' ἔχοντας·
ἔνθα νέων ὅςτις χερὶ νικήσειεν ἐρίζων,
ἢ ποσίν, ἠὲ τροχῷ, θαλλῷ δρυὸς ἐστεφανοῦτο.
Οὔπω ἔην δάφνη· ταναῇς δὲ πρέποντας ἐθείρῃς

δενδρέου ἐκ παντὸς κροτάφους τότ' ἀνέστεφε Φοῖβος,

Ἡ τοῦ Πηνειοῦ κόρη Δάφνη τὸν τοῦ Ἀπόλλωνος φεύγουσα
ἔρωτα εἰς τὸ ὁμώνυμον φυτὸν μετατρέπεται.

Πηνειΐς Δάφνη Φοίβου πόθος ἔπλετο πρῶτος,
τὸν τύχη οὐκ ὤπασσ', ἀλλ' αἰνὴ μῆνις Ἔρωτος·
τοῦτον γὰρ θηρὸς νίκῃ γαυρούμενος εἶδε
Δήλιος, εὐκαμπεῖ νευρὴν κέρᾳ ἐντανύοντα,
καί οἱ ἔειπε· "Τί σοι τάδ' ἀρήϊα, παῖ ἀεσίφρον,
» τεύχεα; Ἡμετέροισι τάδ' ὅπλ' ὤμοισιν ἄρηρεν·
» θῆρας γὰρ δηΐους τ' ἴδμεν βέλει εὔστοχα βάλλειν·
» καὶ νῦν οὐλομένῃ τόσα γαστέρι πλέθρ' ἐπέχοντα
» Πύθων' οἰδαλέον πολέεσσιν ἐπέφνομεν ἰοῖς.
» Τύνη στέργε πόθους οὐκ οἶδ' οἵους ποτ' ὀρίνειν
» σῇ δαΐδι· κλεινῶν δ' ἄρ' ἐμῶν ἀποΐσχεο ἔργων·,,
Τῷ δὲ πάϊς Κύπριδος· σὸν τόξον βαλλέτω, εἶπε,
» πάντα· σὲ δ' αὖ τόδ' ἐμόν· ὅσσῳ δὲ χερείονα Φοῖβε,
» πάντ' ἔμψυχα σέθεν, τόσσῳ σὸν κλεῖος ἐμοῖο·,,
Ἔννεπε, καὶ πτερύγεσσι πατάξας ἠέρα κούφῃς
ὀξὺς Παρνησσοῖο κατέπτατ' ἐπ' εὔσκιον ἄκρην.
Ἐκ δ' ἄρ' ὀϊστοδόχου βέλε' εἵλετο δοιὰ φαρέτρης,
οὔτι ὁμοῖα· τὸ μὲν σοβέει, τό δ' ἐφέλκετ' ἔρωτα.
Τοῦτο μὲν ἦν ἐπίχρυσον ἀτειρεῖ στίλβον ἀκωκῇ,
κεῖνο δ' ἄρ' ἀμβλὺ μολυβδωτῷ δέ τε δούνακι βριθύ·
ἀμβλέϊ μὲν δὴ ἔτρωσε θεὸς πηνειΐδα νύμφην,
τῷδ' ἑτέρῳ τέτρην' ἐς μυελὸν ὀστέα Φοίβου.
Αὐτίχ' ὁ μὲν ποθέεσχ', ἡδ' οὔνομα φεῦγεν ἐρώσης,
ὑλάων κευθμοῖσιν ἰδὲ σκύλοισιν ἀγρευτῶν
θηρῶν γηθομένη, Φοίβῃ ἐνάμιλλος ἀνύμφῳ·
μίτρη δ' ἀμφὶς ἔχεσκε κόμην οἱ ἀνεύθετον αὔτως.
Πολλοί μιν μνώονθ'· ἣ δὲ στυγέουσα ποθεῦντας,
ἀδμής, ἀνδρὸς ἄπειρος, ἐρήμους πλάζετ' ἀν' ὕλας·
οὐδ' Ὑμὴν ἢ ἔρως οἱ μέμβλετο, οὔτε τι εὐνή.

Εἶπε θάμ' οἱ γενέτωρ· “ γαμβρόν μοι, κούρη, ὀφείλεις. „
Εἶπε θάμ' οἱ γενέτωρ· “ θύγατερ, γενεήν μοι ὀφείλεις „
κείνη δ' ἠΰτ' ἄγος δαΐδας στυγέουσα γάμοιο,
αἰδοῖ καλὰ πρόσωπ' ἐρυθαίνετο· χευαμένη δὲ
πήχεε ἱμερόεντε ἑοῦ πατρὸς ἀμφὶ τράχηλον,
» ἀϊδίην δός μοι, γενέτορ φίλε, εἶπε, φυλάσσειν
» παρθενίην, τὸ καὶ Ἀρτέμιδι Ζεὺς δῶκε πάροιθε. „
Κεῖνος μέν σοι ἔνευσε, τεὸν δέ σε κάλλος ἐρύκει
ἔμμεν ὃ ἱμείρεις· τεῇ εὐχῇ μάρναται εἶδος.
Φοῖβος ἐρᾷ, Δάφνης θ', ἣν ἔδρακεν, ἔλδεται εὐνήν·
ἐλπίζει δ' ὃ ποθεῖ· ἀλλ' ἤπαφε μαντοσύνη μιν.
Ὡς κοῦφαι καλάμαι μέτ' ἄμητον πυρπολέονται,
ὡς φραγμοὶ δαΐδεσσι φλέγονται, τάς που ὁδίτης
ἠὲ λίην ἐπέλασσ', ἢ ὑπ' ἠοῖ ἧκ' ἀπὸ χειρός,
τὼς θεὸς ἐφλέχθη, τὼς οἱ στέρνον πρόπαν ἔνδον
αἴθετο, καὶ ἅλιον πόθον ἐλπίσιν ἔτρεφε κούφης·
χαίτας χευομένας περὶ δειρὴν δέρκετ' ἀκόσμως,
καί, τί δή, εἴγ' ἐκομοῦντο; λέγει· ἐσαθρεῖ πυρὶ ὄσσε
στίλβοντ' ἠΰπερ ἄστρα· ὁρᾷ στόμα, οἷον ὁρᾶσθαι
οὐκ ἀπόχρη· αἰνεῖ δ' ἄρα δάκτυλα, καὶ χέρας αὐτῆς,
καὶ πήχεις, γυμνούς τε βραχίονας ἄχρις ὑπ' ὤμους·
κάλλιον, εἴτι κέκρυπται, οἴεται· ἡδ' ἄρα φεύγει
αὔρης ὠκυτέρη, οὐδ' οἱ κλύει ὧδε καλεῦντι·
» Νύμφη πηνειίς, λίτομαι, μένε· οὐ πέλομ' ἐχθρός·
» μεῖνον νύμφη· ὧδ' ἀμνὶς λύκον, ὧδε λέοντα
» κεμμάδες, ὧδ' ἀετὸν τρομεραὶ φεύγουσι πέλειαι·
» ὧδ' ἑὸν ἐχθρὸν ἕκαστον· ἐγὼ δ' ἐφέπω σ' ὑπ' ἔρωτι·
» ὤμοι, μὴ προπέσῃς· μὴ σοὺς πόδας ἀπαλόχρωτας
» αἱμάξωσι βάτοι καί τοι ἔω αἴτιος ἄλγευς.
» Τρηχὺς ὁχῶρος, ὅπου θείεις· βράδιον, λίτομαί σε,
» βαῖνε, δρόμον τ' ἴσχε· βράδιον δὲ μεθέψομαι αὐτός.
» Τίς σευ ἐρᾷ, μάθε γοῦν· οὐκ εἰμί τις οὐρεσίοικος·

» οὐ τελέθω βούτης· οὐ βουκόλι', οὐδ' ἄρα ποίμνας
» ἄγριος ἔνθα νέμω· οὐκ οἶσθα, θρασεῖα,τίν ὧδε
» φεύγεις· τῷ φεύγεις με ταχεῖ ποδί· Δελφὶς ὑπείκει
» χώρη μοι, Τένεδος, Κλάρος ἠδὲ πόλις Παταραίη·
» Ζεύς μοί ἐστι πατήρ· δι' ἐμ' ἐσσόμενα πρό τ' ἐόντα,
» ὄντα τε μηνύεται, νευραὶ δὲ μελίσμαθ' ἱεῖσι·
» ναί, ἐμὸν εὐστοχέει τόξον· τὸ δὲ κρεῖσσον ἐμοῖο
» ἕν γε τέτυκται, ὅ δὴ κενεόν μευ στέρνον ἔτρωσεν.
» Εὗρον ἀκεστορίην, ἐπικούριος ἐν χθονὶ πάσῃ
» κέκλημαι, πασῶν τέ μοι ἴς βοτανῶν ὑπακούει·
» ὤμοι! οὐ γὰρ τ' ἐκ βοτανῶν ἄκος ἐστὶν ἔρωτος,
» οὔτε τέχνης μοι ὄνησις, ἣ ἄλλοις πόλλ' ὀνίνησιν. „
Ἤθελ' ἔτ' αὐδῆσαι· δειλὴ δ' ἔφυγε προθέουσα
Πηνειΐς, Φοῖβόν τε λιποῦσ' ἀτελῆ τ' ἔπε' αὔτως.
Καὶ τότε καλὴ φαίνετ'· ἄηται γυῖ' ἀνεγύμνουν,
πνεύματά τ' ἀντικέλευθ' ἔσθος κούρης ἀνέσειον·
ἠδ' ὤθιζον ὀπίσσω ἀπέκτους αὖραι ἐθείρας.
Κάλλος ἄεξε δρόμος· νέος ἀλλὰ γὰρ οὐχ ὑπέμεινε
πλείονα κωτίλλειν θεὸς αἱμύλα· ὡς δ' ἄρ' ἔρως μιν
ὤρινε, κραιπνοῖσι κατ' ἴχνια ποσσὶ δίωκεν.
Ὥςτε κύων γάλλος κατ' ἐρῆμον πτῶκα νοήσας
ἀγρόν, ὃ μὲν τ' ἄγρην ποσὶ μαίετ', ὃ δ' αὖ ἀλεωρήν,
καὶ ῥ ὃ μὲν οἱ ἔμπλην ἐγκείμενος αὐτίκ' ὀΐει
μάρψειν μιν, προτενεῖ δ' ἄρα ῥύγχει ἐφάπτεται ἰχνῶν·
πτὼξ δ' ἔστ' ἐν δοιῇ, εἰ δὴ ἔχετ'· ἐκ δ' ἄρ' ὀδόντων
εἰρύεται φεύγων, στόμα τ' ἄρτι χραῦσαν ἀλύσκει,
τὼς θεὸς ἠδὲ κόρη· ὃ μὲν ἐλπίδι, ἣ δὲ φόβῳ θεῖ·
αἰρόμενος μέν τοι πτερύγεσσιν ἔρωτος ὁ σεύων
ὠκύτερος θέεν, οὐδ' ἔπεχε δρόμον, ἀλλ' ἐπὶ νῶτα
εἵπετο, καὶ κατέπνειε χυτὰς περὶ αὐχέν' ἐθείρας.
Ἡ δ' ἄρ' ἀπειπαμένη ὤχρησε, φυγῆς τε δαμεῖσα
ὀξυτάτης καμάτῳ, Πηνειοῦ ῥεῖθρ' ἐσιδοῦσα,

“ νῦν, πάτερ, εἶπεν, ἄμυνον, εἰ ἔστ' ἐνὶ ῥεύμασι δαίμων· „
τοῦδ' ἄρα δυσφορέουσα βράδει φάτο· “ νῦν χάνε μοι, χθών,
» ἢὲ τόδε φθῖσον, τῷ λίην εὔαδον, εἶδος. „
Αὐτίκα παυσαμένης ἕλε νάρκη γυῖα βαρεῖα·
ἔγκατα μὲν μαλακῷ περιβάλλεθ' οἱ ἔκτοθι φλοιῷ·
εἰς φύλλωμα κόμαι αὔξηθεν, χεῖρες ἐς ὄζους·
πούς δὲ πάρος κραιπνὸς ῥίζῃσιν ἐνέσχετο οὔδει·
ὦπα κάλυψε φόβη, στίλβη μούνη ὑπελείφθη.
Καὶ τοίης δ' ἔραται, φιτρῷ τ' ἐπιθεὶς χέρα Φοῖβος
αἰσθάνεται κραδίης ἔτι παλλομένης ὑπὸ φλοιῷ.
Τῷ ῥα περιπτύξας χερσὶ κλάδας ἠύτε γυῖα,
δένδρον πόλλ' ἐφίλει· φεῦγεν δὲ φιλήματα δένδρον.
Τοῖα θεὸς δ' αὔδα. “ Ἐπεὶ οὐ σ' ἐχέμεν μοι ἐφεῖται
» εὐνέτιν, ἀλλὰ φυτόν γ' ἐμὸν ἔσσεαι· αἰὲν ἐθείρας
» Δάφνη, κοσμήσεις, φόρμιγγά τ', ἐμήν τε φαρέτρην.
» Τύνη ἀγοῖς Λατίοιο παρέσσεαι, εὖτε θρίαμβον
» ὄσσα θροεῖ μακράς θ' ὁράᾳ Καπιτώλια πομπάς.
» τύνη καὶ πρὸ θυρῶν Αὐγούστων στήσεαι οὖρος
» πιστότατος, καὶ δρῦν φρουρήσεις μέσσῃ ἐν αὐλῇ.
« Ὡς δὲ κόμῃσιν ἐμὸν κάρη ἀμφιτέθηλεν ἀκάρτοις,
» τὼς σὺ ἀειθαλέων φέρε φύλλων κόσμον ἀγήρω. „
Παύσατο Παιήων· Δάφνη δὲ νέοις κλαδέεσσι,
νεῦσε, καὶ ὡς κάρη ἣν κορυφὴν ἐπέσεισεν ὕπερθεν·

Οἱ Ποταμοὶ εἰς τὰ Τέμπη παραγίγνονται τῷ Πηνειῷ συναλγήσοντες ἢ συνησθησόμενοι. Μόνος δ' ὁ Ἴναχος ἄπεστι, τὴν ἑαυτοῦ κόρην Ἰὼ ἀφανῆ γενομένην καταδυρόμενος, ἣν ὁ Ζεύς, τὴν ζηλότυπον Ἥραν λαθεῖν βουλόμενος, μετεβεβλήκει εἰς δάμαλιν. Ἡ δ' Ἥρα παρὰ Διὸς ταύτην αἰτησαμένη τῷ πολυόμματῳ Ἄργῳ τηρεῖν παραδίδωσιν.

Ἔστιν ἐν Αἱμονίῃ ἀμφικρήμνῳ νέμος ὕλῃ
ἐργμένον, οὔνομα Τέμπη ὅθι προρέων ἀπὸ ῥίζης
Πίνδου Πηνειὸς ὕδατ' ἀφριόεντα κυλίνδει,
καδδὲ βαρὺς πίπτων ῥιπῇ νέφε' εἴκελα καπνῷ

αἴρει, καὶ ῥαθάμιγξι μετήορα δένδρεα ὕλης
τέγγει, δοῦπον ἑῶν ῥεέθρων μάλα τηλόσ' ἰάλλων.
Ἔνθ' οἶκον καὶ ἕδρην ποταμὸς μέγας, ἔνθ' ἔχεν ἱρὴν
ἑστίην· ἔνθα γλαφυρῷ ἐν σπείεϊ ναίων,
ὕδασι καὶ νύμφῃς ἐθεμίστευ' ὑδρομελάθροις.
Ἐνδάπιοι πρῶτον ποταμοὶ τόθι ἠγερέθοντο,
ἐν δοιῇ, εἰ γηθομένῳ πατρὶ συγκεχάροιντο
θυμῷ, ἢ ἀχνύμενον παραμυθήσαιντ' ἐπέεσσι·
Σπερχειὸς λεύκῃς κομόων, ἀκάμαντος Ἐνιπεύς,
Ἀπιδανός τε γέρων, ἀκαλὸς τ' Ἄμφρυσσος ἰδ' Αἴας,
εἶτ' ἄλλοι ποταμοί· τοὶ δή, ὅποι ἰθύσειαν,
ὕδωρ πλαγκτοσύνῃ κεκοπωμένον εἰς ἅλ' ἱεῖσιν.
Ἴναχος οἶος ἄπεστι, μυχῷ δὲ κεκρυμμένος ἄντρου,
δάκρυσιν αὔξει ὕδωρ καὶ δύσμορον ἣν θύγατρ' Ἰὼ
ὥστε νέκυν κλαίει· οὐκ οἶδ' εἰ ἔμπνοός ἐστιν,
ἢ ἐν ἀποφθιμένοις· ἣν δ' οὐδαμοῦ εἶχεν ἀνευρεῖν,
οὐδαμοῦ ἔμμεν ὀίει, ἐνὶ φρεσί τ' ἄλγια ταρβεῖ.
Ἐκ πατρίων ῥεέθρων παλίνορσον ἐσέδρακεν Ἰὼ
Ζεύς· καὶ "ὦ κούρη Διὸς ἀξίη, ἢ τεῇ εὐνῇ
» Ὄλβιον οὐκ οἶδ' ὅντιν', ἔφη, θήσεις· σκιόεντα
» Ἄλσεα κεῖν' ἴθι, (δεῖξε δ' εὔσκιον ἄλσεσι χῶρον),
» ὄφρ' ἐπέχει χθόνα καῦμα, μεσουρανέει δ' ἄρα Φοῖβος·
» εἰ δ' οἴη θηρῶν δειμαίνεις κεύθεα δῦναι,
» Ἡγεσίῃ θεοῦ ἀσφαλέως μυχὸν ἵξεαι ἀλσῶν.
» οὐ δὲ θεοῦ σμικροῦ, ἀλλ' ὅς μέγα χείρεσι νωμᾷ
» οὐράνιον σκῆπτρον κραιπνούς τ' ἀφίησι κεραυνούς.
» μὴ δὴ φεῦγέ με„· καὶ γὰρ ἔφευγε. Νομὰς ἐλελοίπει
» ἤδη λερναίας καὶ Λυρκείην πολύδενδρον,
εὖτε θεὸς μεγάλην χθόν' ὀμίχλῃ κρύψε καλύψας,
παρθενικῆς δ' ἤρυξε φυγὴν ἠδ' ἥρπασεν αἰδῶ·
Τῆμος ἀγρούς μέσσους εἰσέδρακεν ὑψόθεν Ἥρη,
θαύμασέ θ' ὅττι νέφη φαιδρῷ περ ἐν ἤματι κοῦφα

ὄψιν νυκτὸς ἔτευξε· νόησε δ' ὅτ' οὐ ποταμοῖο
κεῖν' ἀνέηκε ῥόος, οὐδὲ χθονὸς οὖδας ἐνίκμου.
Δίζετο δ' ὅπποι ἔοι παρακοίτης· ᾔδεε γάρτε
πολλάκι φωραθέντος ὁμεύνου κλέμματα κοίτης.
Τὸν δ' ἐπεὶ οὐκ ηὑγάσσατ' ἐν οὐρανῷ, " ἤ με πλανᾷ φρήν,
" ἢ ὑβρίζομ' » ἔφη· κατὰ δ' αἰθέρος ἀΐξασα
ἔστη ἐπὶ χθονὶ καὶ νεφέλῃς ἐκέλευσ' ἀποροῦσαι.
Κεῖνος δ' αὖ ἀλόχου προνοήσας φρεσσὶν ἔλευσιν,
Ἰναχίδος λευκὴν ἐς πόρτιν ἄμειψε πρόσωπον·
καὶ βοῦς καλὴ ἔην. Ἥρη δ' οὖν πόρτιος εἶδος
ᾔνεε καὶ ἀέκουσα· ὅτευ δ' εἴη ὁπόθεν τε,
Βουκολίοιο θ' ὅτευ, ὡς ἀγνοέουσ' ἀνερώτα.
Ζεὺς δέ μιν ἐξ αἴης φῦναι λέγει, ὄφρα μὴ Ἥρη
κτήτορ' ἐρευνάᾳ· ἡ δ' αἰτεῖ δῶρον ἐκείνην.
Τί Ζεὺς νῦν ῥέξῃ; χαλεπὸν μὲν ἔρωτα προδοῦναι·
τῇ δ' αὖ ὕποπτον ἀνήνασθαι· τὸ μὲν ἐν φρεσὶν αἰδώς,
Τοῦτο δ' ἔρως κέλεται. Αἰδοῦς κεν ἔρως ἐκράτησεν·
ἀλλ' εἰ συλλέκτρῳ καὶ ὁμαίμονι βαιὸν ὀπάσσαι
δῶρον βοῦν ἀνένευε, δοκήσε κεν ἤδ' ἔμεν οὐ βοῦς·
καὶ πάλληκα λαβοῦσα, θεὰ φόβον οὐ μεθέηκεν
αὐτίκα πάντα· Διὸς φρένα καὶ κλοπίην ἐδεδοίκει,
ἔςτ' Ἄργῳ μιν ἔδωκεν Ἀρέστορος υἷϊ φυλάσσειν.
Ὀφθαλμοῖς ἑκατὸν Ἄργος περὶ κρᾶτ' ἐκέκαστο,
ὧν τε δύ' ἀνδοκάδην εὗδον δεδμημένοι ὕπνῳ,
οἱ δ' ἄλλοι φρούρευν, φυλακήν τ' ἔχον ἐγρήσσοντες.
Ὁππποίην πόθ' ἕδρην ἔχοι Ἄργος, ἐδέρκετο πόρτιν·
καί ὅτ' ἀποστραφθείη, ἐνωπαδὸν εἶχεν αὖ Ἰώ.
Ἤματος εἴα μιν βόσκεσθ'· ὑπὸ δὲ χθόνα Φοίβου
δύντος, ἔεργε καὶ οἱ ἀπεοικότα δεσμὰ καθῆπτε.
Δένδρων κείνη φύλλα πικρήν τ' ἀγροῦ ἤσθιε γράστιν·
πολλάκι δ' ἀντὶ λέχους ψιλῷ εὐνάζετ' ἐπ' οὔδει
Δειλαίη, θολερῶν τ' ἄπο πολλάκι πῖνε ῥεέθρων.

Ἵετο μὲν κείνη χέρας ἱκέτις Ἄργῳ ὀρέξαι·
οὐ μὴν εἶχε χέρας, ὥσθ' ἱκέτις Ἄργῳ ὀρέξαι.
Ἤθελ' ὀδύρασθ' αἶσαν· ὅμως στόματος προέηκε
μυκηθμόν· τῷ ῥ' ἔτρεσ' ἑόν τε φθόγγον ἀτύχθη.
Ἤλυθε καὶ ὄχθας, ἔνθ' εἰώθει θάμ' ἀθύρειν,
ὄχθας Ἰναχίδας· ὡς δ' ἀρτιφυῆ κέρα εἶδεν
ἐν ῥεέθροισιν, ἔδεισεν, ἑήν τ' ἔφυγ' ἔντρομος εἰκώ.
Ναΐδες ἠγνόεον, καὶ Ἴναχος ἠγνόει αὐτός,
ἥτις ἔην· ἣ δ' ᾧ πατρὶ εἵπετο ᾗσι τ' ἀδελφῇς,
αὐτήν θ' ἓ ψαύειν θαυμάζειν τ' εἶδος ὑπεῖχε.
Δρέψας γράστιν ὄρεξε γεραιὸς οἱ Ἴναχος ἐκ γῆς·
ἡδ' ἕο χεῖρας ἔλειχε, πατρός τε θέναρ κυνέεσκε,
καὶ δάκρυ' οὐ κατέρυκ'· εἰ δ' αὐδὴ φρεσσὶν ὀπήδει,
ᾔτησέν κεν ἄρηξιν, ἔφηνέ θ' ὃν οὔνομ' ἰδ' αἶσαν.
Σῆμά τι ἀντ' ἐπέων, τό ῥ' ἐπὶ χθονὶ ποὺς ἐχάραξε,
τέκμωρ λυγρὸν ἔγεντο, ὅτ' εἶδος ἄμειψεν ἐκείνη.
“Ὤμοι ἐγώ! φώνησε πατήρ· περὶ δὲ στοναχεύσης
» πλέξας χεῖρα κέρασσι καὶ αὐχένι πόρτιος ἀργῷ,
» ᾤμοι ἄϋσε πάλιν· σὺ δή' ἐσσί μοι, ἣν διὰ πᾶσαν
» μάστευον χθόνα, κούρη; ἀπεῦσά περ οὐ τόσον ἄλγος
» ἔσκες, ὅσον μοι νῦν· σιγᾷς καὶ μ' οὐκ ἀπαμείβῃ
» μύθοις· ἐκ μυχάτου δ' ἀνιεῖς στονόεσσαν ἀϋτμὴν
» στέρνου· καί, ὃ δύνῃ, προσμυκᾷ ἐμοῖς ἐπέεσσι.
» Νῆις δ' ἄρ' θαλάμους δαΐδας τ' ἀλέγυνον ἐγώ σοι·
» καὶ πρῶτον μὲν γαμβρὸν ἐώλπειν, εἶτ' ἀπογούνους·
» νῦν δὲ σὺ μὲν πόσιν ἐξ ἀγέλης, γαμβρόν δ' ἐγὼ ἕξω.
» οὐδ' ἔνι μοι θανάτῳ τόσσοις πέρας ἄλγεσι θεῖναι,
» ἀλλὰ φύσις μ' ἴσχει θείη· θανάτου δὲ πυλάων
» κλεισθεισῶν, πένθος μίμνει μοι ἄληκτον ὀπίσσω„
τοιάδε μυρομένου κούρην ἀπερύσατο πατρὸς
ἀστερόεις Ἄργος καὶ ἀπήγαγε τῆλε νομεύσων·
αὐτὸς δ' ἕζετο τηλοῦ ἐφ' ὑψηλοῖο καρήνου

Οὔρεος, ὁππόθεν εἶχε θαάσσων πάντοσε λεύσσειν.

Ὁ Ζεὺς τὴν Ἰὼ κατοικτείρας τὸν Ἑρμῆν καταπέμπει, κτενοῦντα τὸν Ἄργον· τούτου δ' ἡ Ἥρα τὰ ὄμματα εἰς τὴν τοῦ ταὼ οὐρὰν μετατίθησιν. Ἡ δ' Ἰὼ διὰ πολλῆς χώρας ὑπὸ μανίας ἐλαύνεται, ἕως ἀφικνεῖται ἐπὶ τὸν Νεῖλον, ἔνθα εἰς κόρην αὖθις μεταμορφοῦται, τοῦ Διὸς τὴν Ἥραν μειλίξαντος.

Οὐδὲ θεῶν ἔτ' ἄναξ τοσσόν δε Φορωνίδος ὄτλον
εἶχε φέρειν· υἱὸν δὲ κάλεσσεν, ὃν αὐγήεσσα
Πληϊὰς οἱ τέκε, καὶ Ἄργον κτεῖναι ἐκέλευσε.
Ποσσὶ δ' ἄρ' ὃ πτέρυγας τάχ' ἀνῆψε, καὶ εἵλετο χειρὶ
ὑπνοδότιν ῥάβδον, πέτασον δ' ἄρα θῆκ' ἐπὶ κρατί.
Τὼς ἐντυνάμενος Ζηνὸς γόνος, πατρὸς ἀπ' ἄκρης
εἰς γαῖαν κατόρουσεν· ἐκεῖ δὲ κάλυμμ' ἀπὸ κρατός
θήκατο καὶ πτέρυγας ταρσῶν, ῥαπίδ' ἔσχε δὲ μούνην·
τῇ δ' ὡς αἰγιβότης, ἃς ἐλθὼν ἠγάγετ' αἶγας,
φέρβεν ἐρημοπλάνος, τυκτοῖσί τ' ἄειδεν ἐν αὐλοῖς.
τοῦ δὲ νεηκούστῳ θελχθεὶς ὀπὶ βουκόλος Ἥρης
Ἄργος ἔειπε· „Πάρεστ', ὅστις πότ' εἶ, ἔνθ' ἐπὶ πέτρῃ
» παρκαθίσαι· ποίη γάρ τ' οὐδαμοῦ ἐστι βοτοῖσι
» πιοτέρη· ἠν καὶ σκιὴ ἔνθ' ἡδεῖα βοτῆρσιν.„
Ἕζετ' Ἀτλαντιάδης· τόθι πολλὰ δὲ μυθολογεύων
ἦμαρ ἔτριβε καὶ ἐν πηκτοῖς δονάκεσσιν ἀείδων
κοιμῆσαι πειρῆτο φυλάσσοντ' ὄμματ' ἐκείνου.
Ἄργος δ' αὖ μαλακὸν φυγέειν διετείνετο ὕπνον·
εἰ δὲ καὶ ὀφθαλμῶν ὕπνος τινὰς εἶχε δαμάσσας,
ἄλλοι ἔγρησσον· ὁδ' ἠρώτα (καινόν τι γὰρ ἔσκε
σύριγξ ἐξεύρημα) τίνι τρόπῳ ἐξεύρητο.

Παρεντίθεται ἐνταῦθα ὁ μῦθος περὶ τῆς εἰς κάλαμον μεταμορφώσεως τῆς νύμφης Σύριγγος καὶ τῆς τοῦ αὐλοῦ ὑπὸ Πανὸς εὑρέσεως.

Τῷ δὲ θεὸς φάτο· „Ἀρκαδίης ψυχροῖς ἐπ' ὄρεσφιν
» κλεινοτάτη Δρυάδων Νωνακριάδων μία ἔπλε
» Ναϊάς, ἣν ἄλλαι νύμφαι Σύριγγα κίκλησκον.

» Πολλάκι καὶ Σατύρους ἔφυγεν μεθέποντας ἐκείνη
» καὶ οὓς εὔσκι' ἔχει νέμε' ἡ πολύκαρπος ἀλωὴ
» δαίμονας· 'Ορτυγίην δ' ἔργοις θεράπευε καὶ ἀγνῇ
» παρθενίῃ· ζώνην δὲ νόμῳ φορέουσα θεαίνης
» Λητωΐς κε δόκησ' ἔμεν αὐτή, εἰ μὴ ἔην γε
» τόξον ἑοῖ κρανέϊνον, ἀτὰρ χρύσειον ἐκείνῃ.
» 'Αλλὰ καὶ ὥς ἀπάφισκε. Παλίσσυτον εἶδε Λυκαίου
» ἐξ ὄρεος Πάν μιν· πεύκης φορέων δ' ἐπὶ κρατὶ
» στέμμα, τοῖ' ηὔδα· " ἐμῷ, νύμφη, θεοῦ εἶξον ἔρωτι,
» σὸν γάμον ἐλδομένου.„ 'Υπελείπετο τοῖσιν ἐπειπεῖν,
ὡς ἀν' ἐρῆμ' ἤϊξε λιτῶν νύμφη ἀλογεῦσα,
καὶ Λάδωνος ῥεῦμ' ἀκαλὸν ψαμαθώδεος ἦλθεν·
ἔνθ' ἄρ' ἐπεὶ κείνης δρόμον ὕδατ' ἔρυκε ῥέοντα,
ὑδροχαρεῖς κάσιας ἑὸν εἶδος ἐλίσσατο τρέψαι·
ὡς τότε Πὰν δοκέων Σύριγγ' ἴσχειν ἐνὶ χερσὶν
ἀντὶ ῥεθῶν νύμφης δόνακας ἐπελάμβαν' ἑλείους.
'Ως ἐκεῖ ἐν καλάμοις ἀήρ, στοναχῇσι δονηθεὶς
Πανός, λεπτὸν ἕηκεν ὀδυρμῷ εἴκελον ἦχον·
ὡς καινῇ θελχθεὶς τέχνῃ θεὸς ἡδυμελεῖ τε
Φωνῇ " ἥδε μοι, εἶπε, μενεῖ μετὰ σεῦ ὀαριστύς·„
σὺν δ' ἄρ' ὁμοῦ δόνακας κολλήσας κηρῷ ἀνίσους,
ὅπλον ἔτευξεν ἐκεῖνο, τὸ νῦν φέρει οὔνομα κούρης.
Τοῖ' ἤμελλ' ἐρέειν Κυλλήνιος, εὖτ' ἴδε πάντα
συμμύσαντ' Ἄργου κεκαλυμμένα τ' ὄμματα ὕπνῳ·
αὐδὴν οὖν τότ' ἐπέσχεν ὕπνον τ' ἐπέδησεν ἐκείνου
ψήχων νυσταλέας θαμὰ γλήνας θέλκτορι ῥάβδῳ.
Αὐτίκα δ' ἐ ξίφεϊ γναμπτῷ βρίζοντ' ἐτέτρηνεν
Ἧ ῥ' αὐχὴν κεφαλῆφι συνῆπται· αἱμαλέον δὲ
ὦσεν ἀπαὶ πέτρης καὶ ῥ' αἵματι πρώονα δεῦσε.
Κεῖσ' οὖν, Ἄργε· ὃ δ' ἐν τόσσοις φάος ὄμμασιν εἶχες,
ἔσβεσται· αὐγὰς θ' ἑκατὸν σέο νὺξ μία ἴσχει.
Ἥρη δ' ὄμματ' ἀφεῖλεν ἑοῦ τ' ὄρνιθος ἔθηκεν

ἐν πτερύγεσσ', ἄστρων τ' οὐρὴν ἔπλησεν ἐκείνου.
Ἔζεσε θυμῷ ἄφαρ καὶ ῥ' οὐ τίσιν ἄμβαλεν Ἥρη·
φρικαλέην δ' ὄσσοις φρεσί τε προὔστησεν ἐριννὺν
Κούρης ἀργείης, καὶ στέρνοις οἶστρον ἐνῆκε
λάθριον, ἠδὲ φόβῳ μιν ἐπ' αἶαν πᾶσαν ἐλάστρει.
Ὅτλου ἀπειρεσίου πέρας Ἰοῖ, Νεῖλε, σὺ ἔπλευ·
ὡς γὰρ κεῖθι πελάσθη, ἐπ' ὄχθῃ γούνατ' ἔρεισε
κλινθεῖσ', ἠδ' ὀπίσω κάμψασ' ἑὸν αὐχέν' ἄειρεν·
ἣν δ' ἔχεν ὦπα μόνην ἀνατείνασ' ὑψόσ' ἐς ἄστρα,
δάκρυσι καὶ στοναχῇς ὤφθη μύκῃ τε γοεδνῇ
πρὸς Δί' ὀδυρομένη, δύης αἰτοῦσά τε πεῖρας.
Κεῖνος δ' αὖ ἀλόχου ἀμπλέξας αὐχένι χεῖρας,
τέρμα τίσει θεῖναι λιτάνευεν·· "ἔα φόβον, εἶπε,
» πάντ' ὀπίσω· ἄλγευς δέ σοι αἰτίη οὐκ ἔτ' ἐσεῖται
» ἥδε·„ κέλευε δ' ἐπῶν Στυγὸς ὕδαθ' ἑῶν ἐπακοῦσαι.
Ἥρη ἐμειλίχθη· κείνη τὸ πρὶν ἕσσατο εἶδος,
καὶ γένεθ' οἵη ἔην. τρίχες ᾤχοντ' αὐτίκα ῥινοῦ·
ἔφθιτο γυρὰ κέρα· κύκλος δ' ὄσσων ἐβραχύνθη·
μειώθη στόμα· χεῖρες ἔφυν ἠδ' ὦμοι ὕπερθεν
εἰς δ' ὄνυχας κούρῃ χηλὴ διέφυ πάλι πέντε·
Πόρτιος οὐδὲν ἔτ' ἦ χροιὴ χιονείη ἔμιμνε.
Ποσσὶ δ' ὑποδρήσσουσιν ἐφηδομένη δυσὶ νύμφη,
ὠρθώθη· τάρβει δ' αὐδῆσαι μή τιν' ἀφείη
Μυκηθμόν· μῦθον δ' ἐνεεργμένον αὖθις ἔρευγε.

Ἡ Ἰὼ τῶν δεινῶν ἀπαλλαγεῖσα τίκτει ἐκ Διὸς ἐν Αἰγύπτῳ τὸν Ἔπαφον· ὑπὸ τούτου δ' ὁ ὁμῆλιξ Φαέθων χλευασθεὶς περὶ τοῦ γένους, πρὸς τὴν μητέρα Κλυμένην ἔρχεται καὶ περὶ τοῦ πατρὸς αὐτὴν ἐρωτᾷ· ἡ δὲ διαβεβαιοῦται αὐτὸν ἐξ Ἡλίου τεκεῖν.

Κεῖθι μιν ἐκτεκέειν Ἔπαφον λέγετ' ἐκ μεγάλοιο
Ζηνός, ἐνὶ πτολίεσσι συνήορα μητρὶ ἔχοντα
ἱερά· τῷ δ' ἄρ' ἔην φρένας ἡλικίην τ' ἀτάλαντος
Ἡλιάδης Φαέθων. Τῷ δ' οὖν ὑψηγορέοντι

οὐδ' ἐθέλοντ' εἴκειν, Φοῖβον δ' αὐχοῦντι τοκῆα,
δυσφορέων Ἔπαφος " χαλίφρον, φάτο· μητέρι πάντα
» πείθεαι, ἠδὲ δόκῳ ψευδοῦς γενετῆρος ἐπαυχεῖς. „
Φοινίχθη Φαέθων χρόα καὶ χόλον αἰδοῖ ἔρυξε.
μητρὶ δ' ἑῇ Κλυμένῃ Ἐπάφου φράσε κέρτομ' ὀνείδη,
καὶ ἐπέειπεν· " ὃ δ' ἔσσετ' ἄχος σοι μεῖζον, ἐγώ τοι
» ὁ θρασὺς οὐκ ἔγρυξα· τοῖ' αἴδομ' ὀνείδε' ἀκούσας,
» οὐδὲ δυνηθείς, μῆτερ, ἀπαυτίκα κεῖνον ἐλέγξαι.
» Ἀλλὰ σύ γ', εἰ γενέθλης τοι ἐτήτυμον εἰμὶ θεείης,
» πατρός μοι τόσσου δὸς τέκμωρ, δὸς δὲ μ' Ὀλύμπῳ. „
Εἶπε· καὶ ἧς μητρὸς περὶ αὐχένα πήχεε χεύας,
πρὸς τ' αὐτῆς, Μέροπός τε κασιγνητῶν θ' ὑμεναίων
λίσσετό μιν πατρὸς ἀτρεκέος πιστώματ' ὀπάσσαι.
Ἡ δὲ λιτῆς Φαέθοντος, ἢ εἵνεκα τοίου ὀνείδευς
ὀργῇ ὀρινθεῖσα Κλυμένη φρένας, ἐς πόλον ἄμφω
πήχε' ἀνέσχε, καὶ ἠελίου σέλας εἰσορόωσα,
" Νὴ τόδ', ἔειπε, φάος, τὸ τ' ἀριπρεπὲς ὕψι φαείνει,
» καὶ ἡμᾶς, τέκνον, νῦν δέρκεται ἠδ' ἐπακούει·
» τοῦδε σύ, ὃν λεύσσεις, ναί, τοῦδ', ὃς Κόσμῳ ἀνάσσει,
» Ἡλίου ἐκγέγαας· εἰ ψεύδομαι, αὐτὸς ἔμοιγε
μηκέτ' ἐποφθείη, πύματον δὲ τόδ' ἦμαρ ἔοι μοι!
» οὐδὲ πόνου μακροῦ χρεώ, ὄφρα δαῇς πατρὸς οἶκον·
» οἶκον ἔχει, ὅπου ἀντέλλει, χθονὸς ἀγχόθι ἀμῆς.
» Εἰ δέ σε θυμὸς ἄνωγ', ἴθι δὴ καὶ ἀνείρεο κεῖνον. „
Μητρὸς ἑῆς Φαέθων περιηγηθὴς τοῖς δ' ἐπέεσσιν,
εἶθαρ ἀνήϊξε φρεσὶ τ' αἰθέρα πάντα περισχών,
βῆ διά τ' αἰθίοπας ἠδ' Ἰνδοὺς ναιετάοντας
ἄγχιστ' ἠελίου, καὶ πατρὸς ἀφίκετο δῶμα.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΟ Α'. ΒΙΒΛΙΟΝ

ΤΩΝ ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ.

---

3). *Ἔργῳ ἐπιπνεύσαιτε* (adspirate). Μεταφορικῶς εἴρηται ἀπὸ τοῦ ἐξ οὐρίας τοῖς πλέουσιν ἐπιπνέοντος ἀνέμου.

5—20). Τῆς τοῦ Κόσμου δημιουργίας οἱ ἀρχαῖοι προϋπέθεντο τὸ χάος. Σημαίνει δὲ τοὔνομα κατὰ τὸ ἔτυμον (συγγενὲς γὰρ τῷ ῥήματι χάω=χαίνω ἐστὶ) χῶρον κενόν· τὴν δ' ἐκ τοῦ μηδενὸς τῶν ὄντων δημιουργίαν συλλαβεῖν οὐκ ἔχοντες, ἀνείδεόν τινα ὕστερον καὶ ἄκριτον συνυπέθεντο ὕλην, οἷον σπερματικήν τινα τῶν ὄντων ἀρχήν.

10—20). Τὰ τῶν θεῶν ὀνόματα *Τιτάν*, *Φοίβη*, *Ἀμφιτρίτη* κατὰ προσωποποιΐαν σημαίνουσι τὸν *ἥλιον*, τὴν *σελήνην* καὶ τὴν *θάλασσαν*· ἀλλὰ πολλάκις ὁ ποιητὴς ἀπὸ προσωπικῆς ἐννοίας εἰς ἀπρόσωπον ἐκ προσπαίου μεταβαίνειν φιλεῖ καὶ τἀνάπαλιν· διὸ ἐν τῷ 12 στίχῳ ἡ Γῆ, καί περ συστοίχως τοῖς εἰρημένοις τρισὶ τῶν θεῶν ὀνόμασι τεθειμένη, οὐχ ὡς πρόσωπον εἴληπται. Εἰσὶ δ' οἱ Τιτᾶνες κατὰ τὴν μυθολογίαν τέκνα τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς· ὁ δ' ἥλιος καλεῖται Τιτάν, ἅτε ἐκ τοῦ Τιτᾶνος Ὑπερίονος γεννηθείς· ἡ δὲ *Φοίβη* παρὰ μὲν Ἡσιόδῳ Τιτανίς ἐστι, παρὰ δὲ τοῖς ὕστερον τὴν Σελήνην, ὥσπερ ἐνταῦθα, σημαίνει καὶ τὴν τῇ Σελήνῃ ταὐτιζομένην Ἄρτεμιν, τὴν τοῦ Φοίβου Ἀπόλλωνος ἀδελφήν. Ἡ δ' *Ἀμφιτρίτη* θυγάτηρ Νηρέως τοῦ θαλασσίου ἐστὶ θεοῦ· λαμβάνεται δ' ἀντὶ τῆς θαλάσσης μόνον παρὰ τοῖς ὑστέροις τῶν ἑλλήνων ποιητῶν καὶ παρὰ ῥωμαίοις.

15). Ὁ στίχος οὗτος μεθερμήνευται κατὰ τὴν ὀρθοτέραν γραφὴν ἔχουσαν ὧδε·

Quaque aether, tellus illic et pontus et aër.

Παρατεθείσθω δὲ καὶ τῆς κοινοτέρας γραφῆς ἐχούσης ὧδε

Quaque fuit tellus, illic et pontus et aër,

ἡ μετάφρασις ἥδε

ἧ γαῖ' ἔην, τόθι δὴ καὶ ὕδωρ ἁλός, ἄμμιγά τ' ἀήρ.

21—23). Ὁ Ἐμπεδοκλῆς πρῶτος τέσσαρα τῶν ὄντων στοιχεῖα ὑπέθετο.

»Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε,
»Πῦρ καὶ ὕδωρ καὶ γαῖαν ἰδ' αἰθέρος ἄπλετον ὕψος.
»Ἐκ γὰρ τῶν ὅσα τ' ἦν, ὅσα τ' ἔσσεται, ὅσσα τ' ἔασιν.

24—31). Παράβαλε ταῦτα τοῖς τοῦ Ὀππιανοῦ· (Ἁλιευτ. ά. στ. 412—419).

39). *Κυρτῇσιν ὄχθῃς*· μὴ εὐθείαις, ἀλλὰ καμπὰς ἐχούσαις.

40). *Κατὰ χθονὸς ἄλλοθι δύνει*· καταπίνονται ὑπὸ τῆς γῆς, ὡς ὁ Λύκος ἐν Φρυγίᾳ καὶ ὁ Ἐρασῖνος ἐν Ἀργολίδι.

46—51). Ἡ οὐρανία σφαῖρα εἰς πέντε ζώνας διῄρηται, αἷς ἀντιστοιχοῦσι πέντε ζῶναι τῆς ὑπ' αὐτῆς περικλειομένης γῆς (onus inclusum). Ἰστέον δ' ὅτι ἀπὸ Εὐδόξου, μαθητοῦ τοῦ πυθαγορείου Ἀρχύτα καὶ τοῦ Πλάτωνος, τὸν διὰ τῶν πόλων διερχόμενον κύκλον τῆς σφαίρας οἱ ἀρχαῖοι εἰς ἑξήκοντα ἴσα μέρη διαιρεῖν εἰώθεσαν, ὧν ἕκαστον ἓξ τῶν καθ' ἡμᾶς περιεῖχε μοιρῶν. Τὸ ἀπὸ πόλου ἄρα εἰς πόλον διατεῖνον ἡμικύκλιον εἰς τριάκοντα ἴσα κατετέμνετο μέρη. Τῆς δὲ σφαίρας διὰ τεσσάρων κύκλων παραλλήλων τῷ ἰσημερινῷ, δύο ἑκατέρωθεν αὐτοῦ, τεμνομένης, οἱ μὲν δύο ἐγγύτεροι τῷ ἰσημερινῷ, τροπικοὶ καλούμενοι διὰ τὸ κατ' αὐτοὺς γενόμενον τὸν ἥλιον τρέπεσθαι, ἀπέχοντες δ' αὐτοῦ ἑκατέρωθεν τέσσαρα τῶν εἰρημένων τριακοστημορίων, τὴν διακεκαυμένην περιέκλειον ζώνην, ὀκτὼ τριακοστημορίων πλάτος ἔχουσαν· οἱ δ' ἑξῆς δύο, πολικοὶ καλούμενοι, ὁ βόρειος καὶ ὁ νότιος, ὧν ἑκάτερος ἀπὸ τοῦ καθ' ἑαυτὸν τροπικοῦ πέντε τῶν ῥηθέντων τριακοστημορίων ἀφειστήκει, τὰς δύο εὐκράτους ὥριζον ζώνας. Ἐκεῖθεν δὲ μέχρι τῶν πόλων αἱ κατεψυγμέναι ζῶναι διέτεινον, ὧν ἑκατέρα ἐπεῖχε τριακοστημόρια ἕξ.

50). *Δύο δ' εἴσε μεταξύ*· μεταξὺ τῆς διακεκαυμένης καὶ τῆς κατεψυγμένης ζώνης.

56). *Σύν τε κεραυνοῖσι* κτλ. καὶ ἀνέμους, ὑφ' ὧν οἵτε κεραυνοὶ καὶ τὰ ψύχη παράγονται.

57). *Οὐκ ἀκρίτως*, οὐκ ἀορίστως καὶ ὡς ἂν τύχῃ, ἀλλὰ καθ' ὡρισμένους τόπους.

61). *Χώρην τ' Ἀράβων*. Οὕτω μεθηρμήνευσα τὸ ῥωμαϊκὸν *Nabataeaque regna*: οἱ γὰρ Ναβαταῖοι ἀραβικὸν ἦσαν ἔθνος.

62). *Ὀρθρινῷ θ' ὑποπίπτοντ' οὔρεα φέγγει*. Νοείσθω ἡ τῶν ἰνδικῶν ὀρέων σειρά.

73). *Ἄστρα μὲν ἠδ' εἴδωλα θεῶν* κτλ. Θεῖά τινα καὶ ζωῆς μέτοχα τὰ ἄστρα οἱ ἀρχαῖοι καὶ οἱ ποιηταὶ ᾤοντο εἶναι. Εἴδωλα δὲ θεῶν νοείσθωσαν οἱ θεοὶ ἐν σωματικῇ μορφῇ· ἴσως δὲ κατ' ἀναχρονισμὸν οὐ ξένον τοῖς ὑπὸ τῆς φαντασίας παραγομένοις ποιηταῖς καὶ οἱ ὕστερον ἀποθεωθέντες καὶ καταστερισθέντες ἄνθρωποι εἴδωλα θεῶν λέγονται.

79). *Κόσμου τις ἀμείνονος ἀρχή*· ὁ παρὰ Πλάτωνι ἐν Τιμαίῳ δημιουργός. Σημειωτέον δὲ ὅτι καὶ τῶν ἀρχαίων οἱ περὶ τὸν Ἀναξαγόραν καὶ Σωκράτη καὶ Πλάτωνα θεῖόν τι ταῖς ψυχαῖς ἐνυπάρχειν ἐπίστευον.

82). Ὁ μῦθος, καθ' ὃν Προμηθεὺς ὁ τοῦ τιτᾶνος Ἰαπετοῦ υἱὸς ἐξ ὕδατος καὶ γῆς τοὺς ἀνθρώπους ἐποίησεν, οὔτε τῷ Ἡσιόδῳ οὔτε τῷ Αἰσχύλῳ ἦν γνωστός, ἀλλ' ἐν ὑστέρῳ διεδόθη χρόνῳ. Ἦν δ' ἐπιχώριος ἐν Φωκίδι, ὅπου οἱ Πανοπεῖς κατὰ τὸν Παυσανίαν (10. 4. 4.) Προμηθέως τε ἄγαλμα ἐν οἰκήματι πλίνθου ὠμῆς ἐπεδείκνυον καὶ ἐν χαράδρᾳ λείψανα πηλοῦ, ὀσμὴν ἐγγύτατα χρωτὶ ἀνθρώπου παρέχοντος, ἐξ οὗ τὸ τῶν ἀνθρώπων γένος ὑπὸ Προμηθέως πλασθῆναι ἔφασκον.

89—150). Ὁ ποιητὴς διεξέρχεται τὰς τέσσαρας τῶν ἀνθρώπων γενεάς. Σημειωτέον δ' ὅτι ὁ μὲν Ἡσίοδος (Ἔργα καὶ ἡμέραι στ. 109 κ. ἑ.) οὐ τέσσαρας, ἀλλὰ πέντε γενεὰς ἀριθμεῖ· τὴν χρυσῆν, τὴν ἀργυρᾶν, τὴν χαλκῆν, τετάρτην τινὰ ἀνώνυμον καὶ πέμπτην τὴν σιδηρᾶν. Ὁ δ' Ἄρατος (στ. 105 κ. ἑ.) τρεῖς· τὴν χρυσῆν, τὴν ἀργυρᾶν καὶ τὴν χαλκῆν. Ὁ δὲ Οὐϊργίλιος ἐν τοῖς Γεωργικοῖς (α, 125 κ. ἑ.) καὶ ὁ Τιβοῦλλος (1,3,35 κ. ἑ.) δύο τοῦ Κόσμου ἡλικίας διακρίνουσι· τὴν ἐπὶ Κρόνου καὶ τὴν ἐπὶ Διός. Ἡ δ' ἀπὸ μετάλλων κλῆσις τῶν γενεῶν τὴν ἀξίαν τούτων ἐμφαίνει.

106). *Βαλάνους Διὸς ἐκ δρυός*. Ἡ δρῦς ἱερὰ ἦν τῷ Διί. Ἔστι δέ τι δρυῶν εἶδος ἐδώδιμον φέρον καρπόν, ἐξ οὗ τρέφεσθαι τὸ πάλαι οἱ ἄνθρωποι λέγονται πρὸ τῆς τῶν δημητρίων καρπῶν εὑρέσεως.

109). *Αὐτίκα*· ταχέως. Ἔαρ γὰρ κατὰ τὴν πρώτην γενεὰν ἀΐδιον ἦν· ἅμα δ' ἄνθη ἐφύοντο καὶ οἱ καρποὶ τῆς γῆς ἤκμαζον.

110). *Ἀνέατος*· οὐ νενεωμένη.

111—112). Ὅ τὴν τῶν ἀγαθῶν ἀφθονίαν κατὰ τὸν χρυσοῦν αἰῶνα παρ' Ὀβιδίῳ τεκμηριοῖ, τοῦτο θαυματουργεῖ ὁ Βάκχος παρ' Εὐριπίδῃ (Βάκχ. 147)· *ῥεῖ δὲ γάλακτι πέδον, ῥεῖ δ' οἴνῳ, ῥεῖ δὲ μελισσᾶν νέκταρι.*

113). Ὁ παρὰ τοῖς παλαιτάτοις Ἰταλοῖς θεὸς Σατοῦρνος, ὃν ὁ Ὀβίδιος ὀνομάζει ἐνταῦθα, ὁ αὐτὸς εὑρίσκεται ὢν τῷ παρ' Ἕλλησι Κρόνῳ, ἐφ' οὗ τὸ χρυσοῦν τῶν ἀνθρώπων γένος ἐβίω ἐπὶ τῆς γῆς. Τοῦτον δ' ὁ υἱὸς Ζεὺς τῆς ἀρχῆς ἐκβαλὼν καὶ καταταρταρώσας ἦρξεν αὐτός.

116). Ἐπὶ τοῦ χρυσοῦ αἰῶνος ἀΐδιον ἦν ἔαρ ἐπὶ τῆς γῆς. Εἶτα δὲ συστείλας τοῦτο ὁ Ζεύς, εἰς τέσσαρας ὥρας τὸ ἔτος διεῖλε, προσθεὶς τῷ ἔαρι τὸ θέρος, τὸ φθινόπωρον καὶ τὸν χειμῶνα·

117). *Πουλυτρέπτῳ* ὀπώρῃ. Οὕτω καλεῖται τὸ φθινόπωρον διὰ τὸ τοῦ ἀέρος εὐμετάβολον.

128). *Γενεὴ χείρων*· ἅτε ἐξ ἀτιμοτέρου μετάλλου πεποιημένη.

140). *Στυγίης πέλας ὄρφνης*· πλησίον τοῦ ᾅδου, βαθύτατα ἐν τῇ γῇ.

145). *Οὐχ ἑκυρῷ γαμβρός*. Παρίστατο ἴσως ἐνταῦθα τῇ τοῦ ποιητοῦ διανοίᾳ ὁ Καῖσαρ καὶ ὁ Πομπήϊος.

147). *Ὠχρά*· ὠχρότητα, ἤτοι ὠχρὸν θάνατον παρέχοντα· ὁ τρόπος μετωνυμία.

148). Ὁ υἱὸς πρὸ τοῦ προσήκοντος χρόνου ζητεῖ μαθεῖν διὰ τῶν ἀστρολόγων τὰ ἔτη τῆς ζωῆς τοῦ πατρός, ἤτοι τὸ τέλος αὐτῆς.

150). *Ἀστραίη* νοείσθω ἐνταῦθα ἡ Δίκη. Δίκη γὰρ παρ' Ἀράτῳ ὠνόμασται ἡ ἐν ἄστροις Παρθένος, ἣ τοῦ Ἀστραίου θυγάτηρ οὖσα κέκληται καὶ Ἀστραία. Ἰστέον δ' ὅτι παρ' Ἡσιόδῳ (ἔργ. κ. ἡμ. 198)· καταλιμπάνουσι τὴν γῆν ὕσταται τῶν θεῶν ἡ Αἰδὼς καὶ ἡ Νέμεσις.

152). Οἱ Γίγαντες ἔθνος ἀνθρώπων ἦσαν καθ' Ὅμηρον τὸ σῶμα ὑπερφυεῖς, τὴν δὲ ψυχὴν ἀσεβεῖς, καὶ βίαιοι, τοῖς θεοῖς ὅμως συγγενεῖς, ὥσπερ καὶ οἱ Φαίακες καὶ οἱ Κύκλωπες, οἷς ἐγειτνίαζον. Ἐβασίλευε δ' αὐτῶν Εὐρυμέδων, ὃν διὰ τὴν ἀσέβειαν καὶ ὕβριν οἱ θεοὶ σὺν παντὶ τῷ ἔθνει ἐξώλεσαν (Ὀδυσ. η. 59,206.) Τὰ δὲ παρὰ τοῖς νεωτέροις οὐκ οἶδεν Ὅμηρος, οὔτε ὡς ἐκτράπελοί τινες οἱ γίγαντες εἶεν τὸ σῶμα καὶ ὀφιόποδες, οὔθ' ὡς ἐν Φλέγρᾳ τῆς Σικελίας οἰκήσειαν, οὔθ' ὡς θεομαχήσειαν. Κατὰ δὲ τὸν Ἡσίοδον (Θεογον. 185) τῆς γῆς ἦσαν υἱοί, ἐκ τοῦ αἵματος τοῦ τὰ αἰδοῖα ἐκτμηθέντος Οὐρανοῦ φύντες, μεγάλοι καὶ κραταιοί. Οἱ δ' ἔπειτα ποιηταὶ πολλάκις τοὺς γίγαντας τοῖς Τιτᾶσι συγχέαντες, κατὰ μίμησιν τῆς παρὰ τοῖς ἀρχαίοις ᾀδομένης τιτανομαχίας γιγαντομαχίαν ἐπλάσαντο, ἐν ᾗ οἱ γίγαντες ἐν τῷ φλεγραίῳ πεδίῳ πέτρας καὶ δένδρων στελέχη ἀνὰ χεῖρας ἔχοντες Διΐ τε καὶ τοῖς Ὀλυμπίοις ἐπέθεντο, τὸν οὐρανὸν ἑλεῖν κατὰ κράτος βουλόμενοι· ἀλλὰ τοῦ Ἡρακλέους τοῖς θεοῖς συμμαχοῦντος πασσυδὶ ἡττηθέντες ἀπώλοντο. Ἔοικε δ' ὁ τῆς γιγαντομαχίας μῦθος τὰ τῶν πυριπνόων ὀρῶν ἐκφυσήματα ὑπαινίττεσθαι, οἷς πέτραι τε ὑπερμεγέθεις ἀποῤῥηγνύμεναι καὶ δένδρα ἐκπρεμνιζόμενα εἰς ὕψος μέγα ἀποτοξεύονται, ὥσπερ ἐπὶ τὸν οὐρανὸν ἀφιέμενα. Τῶν γὰρ γιγάντων τινὰς ὑπ' ὄρεσι τοιούτοις κεῖσθαι μεμυθολόγηται, οἷον τὸν Ἐγκέλαδον ὑπὸ τῇ Αἴτνῃ καὶ τὸν Πολυβώτην ὑπὸ τῇ νήσῳ Νισύρῳ.

155). Οὐ συμφωνεῖ ταῦτα τοῖς παρ' Ὁμήρῳ περὶ Ὤτου καὶ Ἐφιάλτου τῶν ἐν Θεσσαλίᾳ γιγάντων εἰρημένοις. Οὗτοι γὰρ καθ' Ὅμηρον (Ὀδυσ. Λ. 305 κ. ἑ.).

Ὄσσαν ἐπ' Οὐλύμπῳ μέμασαν θέμεν, αὐτὰρ ἐπ' Ὄσσῃ
Πήλιον εἰνοσίφυλλον, ἵν' οὐρανὸς ἀμβατὸς εἴη.

Ἐνταῦθα δὲ τοῦ μὲν Πηλίου ἡ Ὄσσα, ταύτης δὲ Ὄλυμπος ἐπίκειται. Οὕτως εὕρηται καὶ παρὰ Οὐϊργιλίῳ (Georg. ά. 281). Ἀντιφάσκει δ' ἑαυτῷ ὁ Ὀβίδιος τῷ Ὁμήρῳ συνάδων ἐν τοῖς *Fast.* α 307.

173). *Ὄχλος*· οἱ κατώτεροι θεοὶ κατ' ἀντίθεσιν πρὸς τοὺς μεγάλους καὶ ἐπιφανεστέρους. Ἀναπλάσσεται δ' ἐνταῦθα ὁ ποιητὴς τὰ ἐν οὐρανῷ παραπλήσια τοῖς ἐν Ῥώμῃ· διὸ καὶ ὁδοὺς τοῖς θεοῖς καὶ αὐλὰς οἴκων καὶ πύλας ἀναπεπταμένας ποιεῖ. *Προφανῆ δὲ χῶρον* (frontem) νοητέον τὸν παρὰ τὴν πλατεῖαν.

176). *Παλάτιον* (Palatia) ἐκαλεῖτο τὸ ἐν Ῥώμῃ ἐπὶ τοῦ Παλατίου λόφου ἀνάκτορον τοῦ Αὐγούστου.

179). Παράβαλε τὸ τοῦ Ὁμήρου Ἰλ. α. 528 κ. ἑ. Ἔοικε δ' ἐνταῦθα ὁ Ὀβίδιος τὰ τοῦ Κατούλλου (ἐπιθαλ. Πηλ. καὶ Θέτιδ. 204 κ. ἑ.) μᾶλλον μιμήσασθαι.

183). Ἑκατὸν καθ' Ἡσίοδον (Θεογ. 150 κ. ἑ.) εἶχον χεῖρας ὁ Κόττος, ὁ Βριάρεως, καὶ ὁ Γύης, παῖδες μὲν Οὐρανοῦ καὶ Γῆς, ἀδελφοὶ δὲ Τιτάνων γενόμενοι. Τοὺς δὲ γίγαντας τοῖς Τιτᾶσιν οἱ μυθολόγοι συγχέαντες, ὡς ἐκ γῆς φύντας, ὀφιόποδας ἀνεπλάσαντο· οἱ γὰρ τῶν ὀπῶν τῆς γῆς ἐξερπύζοντες ὄφεις σύμβολον πολλάκις τῆς ἐκ γῆς γεννήσεως τέθεινται.

188). *Στυγὸς ὄμνυμ' ἄφθιτα ῥεῖθρα.* Συνήθης ὁ κατὰ τοῦ ὕδατος τῆς Στυγὸς ὅρκος ἦν τοῖς θεοῖς, ὡς δηλοῖ τὰ ὁμηρικὰ τάδε ἔπη (Ἰλ. Ο. 36 κ. ἑ.)

»Ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν
»Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅς τε μέγιστος
»Ὅρκος δεινότατός τε πέλει μακάρεσσι θεοῖσι.

193). *Ὁ Φαῦνος* ἀγροτικὸς ἦν τῶν πάλαι Ἰταλῶν καὶ μαντιπόλος θεός· κατὰ δὲ Οὐϊργίλιον (Aen. 7,48.) ἀρχαῖος τοῦ Λατίου βασιλεύς, Πίκου υἱός, Σατούρνου δὲ ἔγγονος. Μετὰ δὲ τὸ τὴν ἑλληνικὴν μυθολογίαν εἰς Ἰταλίαν μετενεχθῆναί τε καὶ διαδοθῆναι, Πανὶ τῷ ἀρκαδικῷ τῶν ὑλῶν καὶ ποιμνίων θεῷ ἐταυτίσθη ὁ Φαῦνος διὰ συγγένειαν τῆς φύσεως οὐ τοῦ ὀνόματος. Ὡς δὲ παρ' Ἕλλησιν ὁ Πὰν εἰς Πᾶνας καὶ Πανίσκους ἐπολλαπλασιάσθη, οὕτω καὶ παρ' Ἰταλοῖς ἐκ τοῦ ἑνὸς Φαύνου πολλοὶ ἀνεπλάσθησαν θεοὶ ἀγροτικοί, Φαῦνοι καλούμενοι. Οἱ δὲ *Σάτυροι*, τοῦ Βάκχου παρὰ τοῖς πάλαι ὄντες ἀκόλουθοι, παρὰ τοῖς ῥωμαίοις ἔπειτα ποιηταῖς κατὰ βραχὺ τοῖς Φαύνοις ἐξομοιούμενοι, τούτοις εἰς ἓν εἶδος θεῶν συνεμίγησαν. Καὶ ὁ *Σιλουανὸς* δὲ ἢ Σιλβανὸς ἀρχαῖος ἰταλικὸς ἦν ὑλῶν, ἀγρῶν

καὶ ποιμνίων θεός, πολλαπλασιασθεὶς καὶ οὗτος, ὥσπερ ὁ Πάν.

201). *Ἀσεβὴς λόχος* νοείσθω ὁ τῶν τοῦ Μ. Βρούτου καὶ Κ. Κασσίου συνωμοτῶν κατὰ τοῦ Καίσαρος ὅμιλος.

229). *Μολοσσοί*, ἔθνος ἠπειρωτικόν. Ἔοικε δὲ πλάσμα εἶναι τοῦ ποιητοῦ τὸ τὸν Λυκάονα τοῦ ἔθνους ἐκείνου ὅμηρον ἔχοντα παρ' ἑαυτῷ ἀποκτεῖναι· κατὰ γὰρ τὸν Ἀπολλόδωρον οἱ τοῦ Λυκάονος υἱοὶ ἐγχώριον παῖδα ἀπέσφαξαν. Κατ' ἄλλους δ' ἄλλως μεμύθευται τὰ κατὰ τὸν Λυκάονα.

231). *Ἐπ' οἰκοσδόοισι θεοῖς* τοῖς συνήθως *ἐφεστίοις* καλουμένοις, οὓς *Penates* οἱ Ῥωμαῖοι ὠνόμαζον.

232—235. Τὸν ἐν τῷ κειμένῳ ἱστορικὸν ἐνεστῶτα τῶν ῥημάτων εἰς παρῳχημένον μετέβαλον, ἵνα προφανεστέρα ᾖ ἡ ἀντίθεσις τοῦ ἐν στίχῳ 235 *καὶ νῦν αὔτως αἵματι χαίρει.*

234). *Αὐτόθε*· ἐξ ἰδίας ἑαυτοῦ φύσεως.

237). *Αὐτὸς ὅλος δὲ λύκος* (ἔγεντο). Ἡ εἰς λύκον μεταμόρφωσις τοῦ Λυκάονος σύμφωνος ἐγένετο τῷ ὀνόματι. Ὁ δὲ Παυσανίας (8,2) μῦθον μνημονεύει παρὰ τοῖς Ἀρκάσιν ἀρχαῖον, καθ' ὃν Λυκάων ὁ τοῦ Πελασγοῦ υἱός, Διῒ τῷ Λυκαίῳ, οὗ τὴν λατρείαν εἰσηγήσατο παρ' ἐκείνοις, παῖδα ἔθυσεν, ἐν δὲ τῇ θυσίᾳ εἰς λύκον τὸ εἶδος μετέβαλεν. Ὁ δ' Ἀπολλόδωρος τὸν Δία φησὶν αὐτόν τε τὸν Λυκάονα καὶ τοὺς υἱοὺς διὰ τὴν ὕβριν καὶ τὴν πρὸς τοὺς θεοὺς ἀσέβειαν κεραυνῶσαι.

238). *Ὁμοίη γὰρ πολιή.* Πολιοὶ καλοῦνται καὶ παρ' Ὁμήρῳ οἱ λύκοι ἐκ τῆς χροιᾶς τῶν τριχῶν.

241). *Ἐριννύς*· οὐχ ἡ ποιναία νοείσθω ἐνταῦθα, ἀλλ' ἡ τῶν κακῶν αἴτιος, ἡ τὴν τῶν ἀνθρώπων διάνοιαν συνταράσσουσα καὶ εἰς ὀλεθρίας πράξεις παράγουσα, οἵα καὶ παρ' Ὁμήρῳ ἐν Ἰλιάδι Τ. 87 καὶ ἐν Ὀδυσσείᾳ Ο, 234, εἰσάγεται.

245). *Alii partes assensibus implent*· Ἄλλοι δὲ ποιοῦσι τὸ ἑαυτοῖς καθῆκον σιωπῇ κατανεύοντες.

253). Καὶ παρ' Ἀπολλοδώρῳ (γ. 8. 2.) ἀναγιγνώσκομεν, ὅτι αἰτία τοῦ κατακλυσμοῦ κατά τινας ἡ τῶν τοῦ Λυκάονος υἱῶν ἀσέβεια ἐγένετο. Σημειωτέον δ' ὅτι παρὰ πᾶσι τοῖς λαοῖς ἀρχαίου τινὸς κατακλυσμοῦ λόγος ἐκ παραδόσεως φέρεται.

256 κ. ἑ.). Κατὰ τὴν τοῦ Ἡρακλείτου καὶ τῶν Στωϊκῶν δόξαν ἀρχὴ τοῦ Κόσμου ἐστὶ τὸ πῦρ· διὸ καὶ εἰς πῦρ οὗτος μέλλει διαλυθήσεσθαι καὶ ἐκ τοῦ πυρὸς πάλιν γενήσεσθαι. Ὁ δὲ Ὀβίδιος τὸν ἐν τῷ μέλλοντι ἐμπρησμὸν τοῦ Κόσμου ὡς δεδογμένον τῇ Εἱμαρμένῃ παρίστησιν, ἧς τὸ δόγμα μεταβαλεῖν οὐκ ἔχων ὁ Ζεὺς τὴν ἐκτέλεσιν αὐτοῦ ἐπιταχῦναι διευλαβεῖται.

259). *Ἔργα Κυκλώπων.* Ὅμηρος μὲν ἐν Ὀδυσσείᾳ (1) πολλούς φησι γενέσθαι τοὺς Κύκλωπας, πελωρίους τὸ σῶμα, μονοφθάλμους, ὑπερφιάλους, ἀγρίους, ἀνθρωποφάγους, ἐν Σικελίᾳ οἰκοῦντας. Ἡσίοδος δ' ἐν Θεογονίᾳ τρεῖς Κύκλωπας μνημονεύει, υἱοὺς Οὐρανοῦ καὶ Γῆς, κατασκευάζοντας τοὺς κεραυνοὺς τῷ Διΐ· τὰ δ' ὀνόματα Βρόντης, Στερόπης καὶ Ἄργης δηλοῖ προσωποποιήσεις αὐτοὺς εἶναι τοῦ κεραυνοῦ. Οἱ δ' ὕστερον τὰς ὁμηρικὰς καὶ ἡσιοδείους περὶ Κυκλώπων ἐννοίας ἀλλήλαις συμμίξαντες, ὑπουργοὺς αὐτοὺς τοῦ Ἡφαίστου ἐν τῷ ὑπὸ τὴν Αἴτνην ἢ τὴν παρακειμένην τῇ Σικελίᾳ νῆσον Λιπάραν ἐργαστηρίῳ ἐπλάσαντο, κεραυνοὺς τῷ Διΐ, τοῖς δ' ἄλλοις θεοῖς ὅπλα τε καὶ σκεύη χαλκεύοντας.

262). Παρὰ μὲν Ὁμήρῳ (Ὀδυσ. Κ. 1, κ. ἑ.) Βασιλεὺς ἦν ὁ Αἴολος νήσου τινὸς Αἰολίας (μιᾶς, ὡς ἔοικε, τῶν παρακειμένων τῇ Σικελίᾳ Ἡφαιστιάδων ἢ Λιπαραίων), ἐν ᾗ ταμίας τῶν ἀνέμων ὑπὸ Διὸς τεταγμένος, τῷ παρ' αὐτὸν ἀφικομένῳ Ὀδυσσεῖ, εἰς Ἰθάκην ἐπανελθεῖν βουλομένῳ, πάντας τοὺς ἀνέμους ἐν ἀσκῷ συνείρξας παπαρέσχεν, ἕνα μόνον ἐκ πάντων τῇ νηΐ ἐκείνου ἀπὸ δυσμῶν ἐπιπνεῖν ἐάσας, οὔριον καὶ φορόν. Κατά τινα δ' ὕστερον μῦθον, ᾧ Οὐϊργίλιος (Aen. 1, 52 καὶ 8, 416) συνᾴδει, ἐν ἄντρῳ τινὶ τῆς νήσου Λιπάρας τοὺς ἀνέμους ὁ Αἴολος καθειργμένους ἐτήρει. Ἐνταῦθα δ' αὐτὸς ὁ Ζεύς, ὡς ὑπέρτατος τῶν ἀνέμων ἄρχων, ἐν τοῖς τοῦ Αἰόλου ἄντροις τὸν Βορρᾶν ἐγκλείων πεποίηται, ἅτε τῷ ὑετῷ ἐναντίον καὶ *αἰθρηγενέτην* καθ' Ὅμηρον.

264). Τοὐναντίον ἐκπέμπει τῶν ἄντρων τὸν Νότον ὁ Ζεύς, ἅτε ὑγρὸν καὶ ὑέτιον. Σημειωτέον δ' ὅτι οἱ μεθ' Ὅμηρον ποιηταὶ καὶ αἱ εἰκαστικαὶ τέχναι τοῖς τε ἀνέμοις καὶ τοῖς θεοῖς ἐκείνοις καὶ δαίμοσιν, ὧν τὴν ταχύτητα ἐμφῆναι ἐβούλοντο, πτέρυγας ἔνειμαν.

270). Παρ' Ὁμήρῳ ἄγγελος ἡ Ἰρίς ἐστι τῶν θεῶν, οὐκ ἰδία τῆς Ἥρας· οἱ δ' ὕστερον ποιηταὶ τὴν μὲν Ἶριν ἰδίαν τῆς Ἥρας, τὸν δ' Ἑρμῆν τοῦ Διὸς ἐποίησαν ἄγγελον· ὁ δ' Ὀβίδιος ἐνταῦθα πολύχρουν αὐτὴν ἐσθῆτα περιβεβλημένην ποιεῖ, τὸ πολύχρουν σημαίνων τοῦ οὐρανίου τόξου, ὃ κατὰ τὴν φαντασίαν τῶν ποιητῶν διατείνει ἡ Ἶρις, οἷον γέφυραν τῆς ὑψόθεν καθόδου αὐτῆς.

275). *Ἀδελφὸς γλαυκός·* ὁ Ποσειδῶν ἀντονομαστικῶς διὰ τὸ γλαυκὴν εἶναι τὴν θάλασσαν, ἧς ἄρχει καὶ ἧς πολλάκις ἐστὶ προσωποποίησις.

277). Ὁ τοῦ Ποσειδῶνος οἶκος καθ' Ὅμηρον (Ἰλ. Ν. 20) ἐν τῷ βάθει τῆς θαλάσσης ἦν παρὰ ταῖς Αἰγαῖς, ἃς οἱ μὲν πόλιν φασὶν εἶναι ἐπὶ τῆς Εὐβοϊκῆς παραλίας, οἱ δὲ νῆσόν τινα παρὰ ταύτην, ἢ μεταξὺ Τήνου καὶ Χίου κειμένην.

281). Ἔστι τὸ τοῦ κειμένου *ac fontibus ora relaxant* καὶ ἄλλως ἐκδέξασθαι, κατὰ μεταφορὰν δηλονότι εἰρημένον ἀπὸ τῶν ἵππων, οἷς οἱ ἱππεῖς τὰς τοῦ στόματος ἡνίας χαλῶσιν· οὕτω γοῦν ἐξεδέξατο αὐτὸ ὁ Πλανούδης. Κατὰ δὲ ταύτην τὴν ἔννοιαν ἐξελληνιστέον ἂν εἴη τὸ κείμενον ὧδε·

»Ὡς ἔφαθ'· οἱ δ' ἄρ' ἴσαν· καί τε στόμ' ἕκαστος ἀνίει
»Ἧς πηγῆς·

302). *Νηρεΐδες* καὶ Νηρηΐδες· θεαὶ θαλάσσιαι, Νηρέως κόραι.

303). *Φηγοὺς τρεμούσας*· δηλονότι ὑπὸ τῆς τῶν ῥευμάτων ὁρμῆς.

307). Τὸ *καθίσαι* εὕρηται ἀμετάβατον Ὀδυσ. δ. 659 καὶ ἀλλαχοῦ.

310). *νέα κύματα*, νῦν πρῶτον τοῖς ὄρεσιν ἐπερχόμενα.

313). *Φωκίς*, χώρα τῆς Ἑλλάδος μεταξὺ τοῦ ὄρους Οἴτης καὶ τῆς Βοιωτίας κειμένη, τῆς ἀπ' Ἀόνων, τῶν παλαιτάτων κατοίκων, καὶ Ἀονίας παρὰ ποιηταῖς καλουμένης. Οἰταίαν δὲ γῆν τὴν τῆς Οἴτης χώραν ὀνομάζει ἐνταῦθα, ἧς καὶ οἱ κάτοικοι Οἰταῖοι.

316). *κάρηνα δύ'* κορυφὰς δύο· τὴν Τιθορέαν καὶ τὴν Λυκώρειαν, ἐξ ὧν ὁ Παρνασσὸς δικόρυφος παρὰ τοῖς ἀρχαίοις προσηγορεύθη.

318). *Δευκαλίων* Προμηθέως ἦν υἱός, ἀνὴρ δὲ Πύῤῥας θυγατρὸς Ἐπιμηθέως ἀδελφοῦ Προμηθέως. Μυθεύεται δὲ βασιλεῦσαι μὲν τὸν Δευκαλίωνα Φθίας, πατέρα δὲ γενέσθαι Ἕλληνος, ἀφ' οὗ οἱ Ἕλληνες ἐκλήθησαν.

320). *Κωρυκίδες νύμφαι.* Οὕτω προσηγορεύθησαν αἱ μετὰ τοῦ Βάκχου ἐν τῷ Κωρυκίῳ ἄντρῳ λατρευόμεναι Νύμφαι, ὃ ἐπὶ τῆς κλιτύος τῆς Λυκωρείας οὐ πόῤῥω τῶν Δελφῶν κεῖται.

321). *Μαντιπόλον τε Θέμιν.* Αὕτη Οὐρανοῦ καὶ Γῆς ἦν θυγάτηρ, θεὰ τοῦ δικαίου καὶ τῶν θεσμῶν, ἣ δὲ τοιαύτη καὶ χρησμοδότις. Αἰσχύλος γὰρ (ἐν ἀρχῇ Εὐμενίδων) φησίν, ὡς τὸ ἐν Δελφοῖς χρηστήριον πρῶτον μὲν κατεῖχεν ἡ Γῆ, εἶτα δ' ἡ Θέμις, ἔπειτα δ' ἡ Φοίβη, ἣ τῷ Φοίβῳ αὐτὸ ἐδωρήσατο.

325—326). Φιλεῖ ὁ Ὀβίδιος ἐν μὲν λόγῳ καταφατικῷ διὰ τῆς τῶν ῥημάτων ἐπαναλήψεως τὴν τῶν πραγμάτων ἢ νοημάτων ὁμοιότητα καταφανεστέραν ποιεῖσθαι· ἐν δ' ἀποφατικῷ, τὴν ἀπόφασιν ἐπιτείνειν.

332—333). *Τρίτων*, θεὸς θαλάσσιος ὑποκείμενος τῷ Ποσειδῶνι, τούτου τε καὶ Ἀμφιτρίτης υἱὸς καθ' Ἡσίοδον. Παρίσταται δ' ἐνταῦθα κεκαλυμμένος τὰ νῶτα κόχλοις συμφυέσι τῷ σώματι, ὡς τοῖς μεγάλοις ἐναλίοις ζώοις συμβαίνει, οἷς συχνοὺς κόχλους ἢ κόγχους ἐπιπεφυκότας ὁρῶμεν. Σημειωτέον δ' ὅτι τὸ ἐν τῷ κειμένῳ ἑνικῶς εἰρη-

μένον innato murice συνεκδοχικῶς τέθειται ἀντὶ τοῦ πληθυντικοῦ.

334). *Ἐμπνεῦσαι κέλεται κόγχῃ.* Ὁ Τρίτων μεγάλην τινὰ κόγχην κοχλιοειδῶς εἰλιγμένην ἐν χερσὶ φέρων εἰκάζεται, ἥ περ ἐμπνέων σαλπίζει.

340—341). *καὶ ὕδατα πάντ' ἐσάκουσεν· ὕδατα δ' ὅσσ' ἐσάκουσε* κτλ. τῆς παρ' Ὀβιδίῳ συνήθους ταύτης τῶν ῥημάτων ἐπαναλήψεως πολλὴ ἐν τοῖς δημοτικοῖς ᾄσμασι τῶν νῦν Ἑλλήνων ἡ χρῆσις.

344). *Ποταμοὺς χάδον ὄχθαι.* Πλήθουσιν ἔτι οἱ ποταμοί· ἀλλ' ἐκ τῆς ὑπερχειλοῦς πλημμύρας εἰς τὰς ἑαυτῶν ἤδη συνεστάλησαν κοίτας.

346). *μετ' ἦμαρ μακρόν·* μετὰ χρόνον μακρόν. Μετέφρασα τὸ κείμενον κατὰ λέξιν· εὐεξήγητος δ' ἐστὶν ἡ τῶν ἐννοιῶν τῆς ἡμέρας καὶ τοῦ χρόνου εἰς ἀλλήλας μετάπτωσις.

352). *ἀνεψιότης·* ἴδε τὰ εἰς στ. 318 σεσημειωμένα, καθ' ἃ ὁ Δευκαλίων καὶ ἡ Πύῤῥα ἐξ ἀδελφῶν ἐγεγέννηντο.

363). *Πατρίης τεχνοσύνῃσι·* τῇ τέχνῃ τοῦ πατρὸς αὐτοῦ Προμηθέως, ὃς ἀνθρώπους ἔπλασεν· ἴδε στ. 82—83.

369). Ὁ βοιώτιος Κηφισσός, ἕτερος τοῦ ἐν Ἀττικῇ, πηγάζων ἐπὶ τοῦ Παρνασσοῦ ἐγγὺς τῆς πάλαι Φωκικῆς πόλεως Λιλαίας εἰσβάλλει εἰς τὴν Κωπαΐδα λίμνην.

371—372). Ἔθος ἦν τοῖς εἰς τὰ τῶν θεῶν ἱερὰ εἰσιοῦσιν ἢ αὐτοῖς εὐχομένοις ὕδατι τὸ σῶμα ῥαίνοντας ἢ πλύνοντας προαγνίζειν.

382). *καὶ ἀλλύσασθε χιτῶνας.* ἡ τῆς ἐσθῆτος καὶ τῆς κόμης λύσις τῶν τοῖς θεοῖς εὐχομένων σύμβολον ἦν τῆς ἑαυτῶν εἰς τὴν θείαν βούλησιν ἀναθέσεως. Διὸ καὶ ἡ Μήδεια (μεταμ. 7. 182) λελυμένῃ ἐσθῆτι θεοκλυτεῖ, καὶ ὁ Ἕλενος (Οὐΐργ. Aen. 370) τὴν κόμην λύει πρὸ τοῦ μαντεύσασθαι.

395). *Τιτηνίς* προσαγορεύεται ἐνταῦθα ἡ Πύῤῥα οὐκ ἀπεικότως· Τιτᾶνες γὰρ οὐ μόνον τὰ τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς τέκνα, οἷος ὁ Ἰαπετὸς καὶ ἡ Θέμις, ἀλλὰ καὶ οἱ τῶν Τιτάνων παῖδες, οἷος ὁ Προμηθεύς, καὶ Ἐπιμηθεύς, καὶ ἔτι οἱ ἔγγονοι λέγονται.

401). κ. ἑ. Ὁ μῦθος, καθ' ὃν τῷ Δευκαλίωνι καὶ τῇ Πύῤῥᾳ ἐκ λίθων γένος ἀνέστη, εὑρίσκεται πρῶτον παρὰ Πινδάρῳ (Ὀλυμπ. Θ'. ἀντιστρ. Β'.)

> Πύῤῥα Δευκαλίων τε Παρνασοῦ καταβάντε
> Δόμον ἔθεντο πρῶτον, ἄτερ δ' εὐνᾶς ὁμόδαμον
> Κτισσάσθαν λίθινον γόνον.
> Λαοὶ δ' ὀνόμασθεν.

416—437). Τὰ πρῶτα μετὰ τὸν κατακλυσμὸν ζῶα ἐγένοντο ἐκ

τῆς ὑγρᾶς γῆς διαθερμανθείσης ὑπὸ ἡλίου. Ἕπεται δ' ἐνταῦθα ὁ ποιητὴς τῷ ἰωνικῷ φιλοσόφῳ Ἀναξαγόρᾳ φάσκοντι *ζῶα γενέσθαι πρῶτον ἐξ ὑγροῦ καὶ θερμοῦ καὶ γεώδους, ὕστερον δὲ ἐξ ἀλλήλων.* (Διογ. Λαερτ. 29.). Ἀπόδειξιν δὲ τῆς τοιαύτης γενέσεως ποιεῖται τὸ καὶ ἐν τοῖς καθ' ἑαυτὸν χρόνοις ὁμοίως ἐν Αἰγύπτῳ ζῷα ὁρᾶσθαι φυόμενα. Τοῦτο δ' ὡς ψευδῆ δόξαν τῶν Αἰγυπτίων μνημονεύει καὶ Διόδωρος ὁ Σικελιώτης (α. 10.) λέγων. *Ὅταν γάρ, τοῦ ποταμοῦ τὴν ἀναχώρησιν ποιουμένου, τὴν πρώτην τῆς ἰλύος ὁ ἥλιος διαξηράνῃ, φασὶ συνίστασθαι ζῶα, τινὰ μὲν εἰς τέλος ἀπηρτισμένα, τινὰ δὲ ἡμιτελῆ καὶ αὐτῇ συμφυῆ τῇ γῇ.*

433). *Φιλότης διχόφρων*· αἰνίττεται τὰς ὑπὸ Ἐμπεδοκλέους τεθείσας δύο ποιητικὰς τῶν ὄντων δυνάμεις· τὴν *φιλίαν* καὶ τὸ *νεῖκος*. Τὰς αὐτὰς δὲ καὶ οἱ καθ' ἡμᾶς φυσικευόμενοι ἄλλοις δηλοῦσιν ὀνόμασι, τὴν μὲν *ἑλκτικὴν* τὴν δ' *ἀπωθιστικὴν* δύναμιν ὀνομάζοντες.

439). *Πύθων*· Ὄφις τὸ ἐν Δελφοῖς τηρῶν ἱερόν. Τὸ δ' ἐκ τῆς τοῦ κατακλυσμοῦ ἰλύος αὐτὸν φῦναι ἐπίνοια τοῦ ἡμετέρου ἐστὶ ποιητοῦ, οἷον κρίκῳ τῷ μύθῳ τούτῳ χρήσασθαι βουλομένου, ἵνα τοῖς ἡγουμένοις τὴν ἑπομένην συνάψῃ διήγησιν.

441). *Τοξοφόρος θεός*, ὁ Ἀπόλλων, ὃν Ὅμηρος *κλυτότοξον* καὶ *ἀργυρότοξον* καὶ *ἑκατηβόλον* ἢ *ἑκηβόλον καλεῖ.*

448—450). Ἀπὸ τῆς κατὰ τὸ γ΄. ἔτος τῆς μή· Ὀλυμπιάδος (ἔτος 586 π. Χρ.) ἀνακαινίσεως τῶν ἐν Δελφοῖς κατὰ τετραετίαν τελουμένων πυθίων ἀγώνων οἱ ἐν αὐτοῖς νικῶντες δάφνῃ ἐστεφανοῦντο. Ὃ δ' ἐνταῦθά φησιν Ὀβίδιος, δρυὸς στεφάνῳ κατ' ἀρχὰς τοὺς Πυθιονίκας κοσμεῖσθαι διὰ τὸ τὴν δάφνην μήπω εἶναι ἐν τοῖς φυτοῖς, πλάσμα ἐστὶ τοῦ ποιητοῦ, τὸν περὶ τῆς κόρης Δάφνης μῦθον τοῖς ἡγουμένοις προσφυῶς βουλομένου συνάψαι.

450). *ταναῆς ἐθείρης*. Νεότητι καὶ κάλλει καὶ μακρᾷ κόμῃ διαπρεπὴς εἰκονίζεται ὁ Ἀπόλλων· διὸ καὶ ἀκερσεκόμης παρ' Ὁμήρῳ καλεῖται.

452). *Πηνειῒς Δάφνη*. Κόρη τοῦ ἐν Θεσσαλίᾳ ποταμοῦ Πηνειοῦ ἦν ἡ δάφνη κατὰ τὸν Ὀβίδιον, κατ' ἄλλους δὲ τοῦ ἐν Ἤλιδι ἢ τοῦ ἐν Ἀρκαδίᾳ Λάδωνος. Συνᾴδει δὲ τῇ παρ' Ὀβιδίῳ γενεαλογίᾳ τῆς Δάφνης ἃ Παυσανίας (10, 5,9) περὶ τοῦ παλαιτάτου ἐν Δελφοῖς ἱεροῦ τοῦ Ἀπόλλωνος ἱστορεῖ, ὡς καλύβη τις τοῦτ' εἴη κλάδων δάφνης πεποιημένη, οἳ ἀπὸ τῶν ἐν Θεσσαλίᾳ τεμπῶν, δι' ὧν ὁ Πηνειὸς ῥεῖ, εἰς Δελφοὺς ἐκομίσθησαν.

455). *Δήλιος* καλεῖται ὁ Ἀπόλλων, ἅτε ὑπὸ Λητοῦς ἐν Δήλῳ τεχθείς. *Κέρας* δὲ λέγεται ἐνταῦθα συνεκδοχικῶς τὸ τόξον διὰ τὸ ἐκ κεράτων πεποιῆσθαι.

461). *Πόθους οὐκ οἶδ' οἵους*· Καταφρόνησιν ἡ φράσις τῶν πόθων δηλοῖ, οὓς ὁ Ἔρως τῇ ἑαυτοῦ δᾳδὶ διεγείρειν φιλεῖ. Εἰκονίζεται δ' ὁ Ἔρως πολλάκις δᾷδα ἐν χειρὶ κατέχων, σύμβολον τῆς αὐτοῦ ἰδιότητος τοῦ τὰς καρδίας ἀναφλέγειν τῷ πόθῳ.

469). Κατὰ μὲν Εὐριπίδην (Ἰφιγ. ἐν Αὐλ. 448 κ. ἑ.)

δίδυμ' Ἔρως ὁ χρυσοκόμας
τόξ' ἐντείνεται χαρίτων·
τὸ μὲν ἐπ' εὐαίωνι πότμῳ,
τὸ δ' ἐπὶ συγχύσει βιοτᾶς.

ὁ δ' Ὀβίδιος μικρόν τι τὴν Εὐριπίδειον μεταβαλὼν ἔννοιαν διττὰ βέλη ποιεῖ ἐνταῦθα τὸν Ἔρωτα ἔχοντα, ὧν τὸ μὲν πόθον, τὸ δὲ μῖσος ταῖς καρδίαις ἐντίκτει.

476). *Φοίβη*, τῇ τοῦ Φοίβου ἀδελφῇ Ἀρτέμιδι, ἣ ἀεὶ παρθενευομένη ἐν ὕλαις καὶ ὄρεσι περὶ θήραν διατρίβειν μυθεύεται.

480). *Ὑμήν*, ὁ θεὸς τοῦ γάμου καὶ μετωνυμικῶς ὁ γάμος αὐτός.

486—487). Μίμησις ταῦτα τῶν τοῦ Καλλιμάχου ἐν ὕμνῳ Ἀρτέμιδος στίχ. 6, ἔνθα ἡ Ἄρτεμις τοῦ Διὸς δεομένη φησί·

Δός μοι παρθενίην αἰώνιον, ἄππα, φυλάσσειν.
Καὶ πολυωνυμίην.

491). Καί περ μάντις ὢν ὁ Ἀπόλλων ἥμαρτε, τῆς ἐλπίδος ἀποσφαλείς.

492). Εἴθιστο τοῖς Ῥωμαίοις τὴν τῶν ληΐων ἐπὶ τῶν ἀγρῶν ὑπολειπομένην ἐν τῷ θερισμῷ καλάμην ἐνίοτε καταφλέγειν, ἵνα τῇ ἀπὸ ταύτης τέφρᾳ γονιμώτεροι γίγνοιντο οἱ ἀγροί. ἴδε περὶ τούτου Οὐϊργιλ. *Georg.* ά. 84 κ. ἑ. ἐχρησάμην δὲ βραχεῖ τῷ α τῆς λέξεως *ἄμητος*, ἅτε ἀπὸ τοῦ ῥήματος *ἀμῶμαι* παραγομένης, οὗ ἡ ἄρχουσα δίχρονος εὕρηται. *Τένεδος, ἡ γνωστὴ νῆσος, ἐν ᾗ ἱερὸν Σμινθέως Ἀπόλλωνος.*

516). *Κλάρος*, πόλις ἐγγὺς Κολοφῶνος ἐν Ἰωνίᾳ, ναὸν ἔχουσα καὶ μαντεῖον Ἀπόλλωνος. *Πόλις* δὲ *παταραίη* ἢ *παταρηῒς* κατὰ Διον. τὸν περιηγητήν, τὰ ἐν Λυκίᾳ Πάταρα, ἔνθα ὁμοίως τὸ πάλαι ὁ εἰρημένος Θεὸς ἐλατρεύετο.

520). *κενεὸν στέργον*· κενὸν ἔρωτος, ἄπειρον ἔτι φιλότητος.

533). *κύων γάλλος*· εἶδος κυνὸς τῆς Γαλλίας θηρευτικοῦ, λεπτοσάρκου καὶ μακρόποδος.

536). *ἴχνη*· μετωνυμικῶς οἱ πόδες.

546—547). Ἡ μετάφρασις ἐγένετό μοι κατά τινα τῶν στίχων τούτων τοῦ κειμένου ἐξ εἰκασίας διόρθωσιν, ἐν ταῖς σημειώσεσι τῆς τοῦ Λουπτίου ἐκδόσεως ἀναγιγνωσκομένην καὶ ἔχουσαν ὧδε·

Impatiensque moræ «tellus, ait, hisce, vel istam,
Qua nimium placui, mutando perde figuram·

Ἡ γὰρ ἐν τοῖς χειρογράφοις φερομένη γραφὴ ἥδε·

Qua nimium placui, tellus aut hisce, vel istam,
Quæ facit ut laedar mutando perde figuram.

οὐκ ὀρθῶς τοῖς Κριτικοῖς ἔχειν δοκεῖ, ἐκεῖνο κατανοοῦσιν, ὅτι τὸ ά. ἡμιστίχιον τοῦ 547 στίχου τῆς ἐν τῷ ά. ἡμιστιχίῳ τοῦ ἡγουμένου στίχου ἐννοίας διάφορός ἐστιν ἑρμηνεία. Ὅθεν εὐλόγως ἄν τις εἰκάσειε γλώσσημα τοῦτ' εἶναι ἐκείνου, εἰς τὸν τοῦ ἀληθοῦς ἡμιστιχίου τόπον ὕστερον ὑπὸ τῶν ἀντιγραφέων παρεισαχθέν. Καὶ ἡ αἰφνιδία δὲ τῆς κόρης ἀπὸ τῆς ἐπικλήσεως τοῦ ἑαυτῆς πατρὸς πρὸς τὴν Γῆν ἀποστροφὴ ἀπροσφυῶς ἔχουσα παραφθοράν τινα τοῦ κειμένου ἐνταῦθα τεκμηριοῖ.

560—561). Οἱ ἐν Ῥώμῃ θριαμβεύοντες στρατηγοὶ στέμμα δάφνης ἐπὶ τῆς κεφαλῆς φέρειν εἰώθεσαν. *Ὅσσα θροεῖ θρίαμβον.* Προσωποποιεῖται ἐνταῦθα ὁ θρίαμβος, ὃν γηθοσύνῳ φωνῇ ἐκάλουν οἱ ἐν Ῥώμῃ πομπεύοντες, ἴο *triumphe* (ἰὼ θρίαμβε) ἐπιφθεγγόμενοι· ἴδε Ὀβιδ. *Trist.* 4,2,51.

562—563). Ἑκατέρωθεν τῆς θύρας τῶν ἐν Ῥώμῃ ἐπὶ τοῦ Παλατίου λόφου κειμένων ἀνακτόρων τοῦ Αὐγούστου δένδρον ἵστατο δάφνης· αὐτὴ δ' ἡ θύρα ἐκοσμεῖτο στεφάνῳ δρυός.

566). *Παιήων*· ἰωνικῶς ἀντὶ τοῦ *Παιάν*· ἔστι δ' ἐνταῦθα ἐπίθετον Ἀπόλλωνος, ὡς παρὰ Καλλιμάχῳ ὕμν. εἰς Ἀπόλλ. 99 καὶ 103. Παρ' Ὁμήρῳ δὲ ἰατρὸς θεῶν ἐστὶν ὁ Παιήων.

568). *Αἱμονία*, ἀρχαῖον τῆς Θεσσαλίας ὄνομα ἀπὸ Αἵμονος βασιλέως, πατρὸς Θεσσαλοῦ.

569). *Τέμπη*, περίφημος παρὰ τοῖς ἀρχαίοις μεταξὺ τῆς Ὄσσης καὶ τοῦ Ὀλύμπου αὐλών, δι' οὗ ὁ Πηνειὸς ῥέων εἰς τὸν Θερμαϊκὸν ἐξερεύγεται κόλπον.

572). Προειλόμην τὴν γραφὴν *imitantia* ἀντὶ τῆς *agitantia*.

578—579). Οὐκ ἐξεγένετό μοι τὸν ἕνα τοῦ κειμένου στίχον ἑνὶ ἀποδοῦναι· διὸ ἀντ' ἐκείνου δύο ἐνταῦθα κεῖνται.

580—581). Ὁ μὲν *Σπερχειὸς* ἐπὶ τοῦ ὄρους Τυμφρηστοῦ τὰς πηγὰς ἔχων εἰς τὸν Μαλιακὸν ἐκβάλλει κόλπον· ὁ δ' *Ἐνιπεὺς* πηγάζων ἐπὶ τῆς Ὄθρυος καὶ ἐν τῷ πεδίῳ τὸ τοῦ *Ἀπιδανοῦ* ῥεῖθρον δεχόμενος οὐ πόῤῥω Πειρεσιῶν εἰς τὸν *Πηνειὸν* εἰσβάλλει· ὁ δ' *Ἄμφρυσος* ὁμοίως ἐπὶ τῆς Ὄθρυος ἀναβλύζων

εἰς τὸν Παγασητικὸν ἐκδίδωσι κόλπον· ὁ δ' *Αἴας* ἢ *Ἀῷος* ποταμὸς τῆς Ἰλλυρίας ἐστίν, εἰς τὸν Ἰόνιον κόλπον τὸν εἴσρουν ποιούμενος· καί περ δὲ τὰς πηγὰς ἐπὶ τοῦ Λάκμωνος ὄρους ἔχοντα, τοῦ πρὸς δυσμὰς τῷ Πίνδῳ συνάπτοντος, ἔνθα ὁ Πηνειὸς ἀναβλύζει, τῆς ἀκριβολογίας ὅμως ὁ Ὀβίδιος οὐ φροντίζων τοῖς τῆς Θεσσαλίας αὐτὸν ποταμοῖς ἐνταῦθα συγκαταλέγει.

584). Ὁ τῆς Ἀργολίδος ποταμὸς Ἴναχος ἐπὶ τοῦ Λυρκείου ὄρους ἐν τοῖς ἀρκαδικοῖς μεθορίοις πηγάζων ἐγγὺς τοῦ Ἄργους εἰς τὸν Ἀργολικὸν ἐκβάλλει κόλπον. Τοῦ ποταμοῦ τούτου θυγατέρα τὴν Ἰὼ γενέσθαι ὁ παρὰ τοῖς τραγικοῖς βούλεται μῦθος· παρ' ἄλλους δ' ἄλλως τὰ τοῦ γένους αὐτῆς λέγεται.

585). *Δάκρυσιν αὔξει ὕδωρ*. Οὐκ ἄχαρις ἡ ὑπερβολή.

588). *Ἄλγια ταρβεῖ*· ἤτοι θάνατον τῆς ἑαυτοῦ θυγατρός.

599). *Λερναίας* νομάς, τὰς περὶ τὴν Λέρναν λίμνην ἐν Ἀργολίδι· *Λύρκεια* δὲ καὶ *Λύρκειον*, ὄρος μεθόριον Ἀργολίδος καὶ Ἀρκαδίας.

625). *Ἄργος*. Αἰσχύλος μὲν (Προμηθ. 570) *γηγενῆ* τὸν Ἄργον καλεῖ. Ὁ δὲ Φερεκύδης υἱὸν αὐτὸν Ἀρέστορος τοῦ τὸ γένος ἐκ Διὸς ἕλκοντος γενέσθαι φησίν· ἔχειν δ' αὐτὸν καὶ ὀπίσω τῆς κεφαλῆς ὀφθαλμὸν ἕνα. Ὁ δὲ τοῦ *Αἰγιμιοῦ* ποιητής, ἔπους ἀρχαιοτάτου εἰς τὸν Ἡσίοδον ἀναφερομένου, δύο αὐτὸν ὄμματα ἔμπροσθεν, δύο δ' ὄπισθεν ἐποίησεν ἔχοντα. Τὸ δὲ πολυόφθαλμον αὐτὸν γενέσθαι κοινοτέρα ἦν παρὰ τοῖς ἀρχαίοις δόξα, παρ' Αἰσχύλῳ ἤδη εὑρισκομένη, ὃς αὐτὸν (Προμηθ. 571) *βούταν μυριωπὸν* ὀνομάζει.

643). *Ναΐδες*· αἱ τῶν ὑδάτων νύμφαι αἱ καὶ Ὑδριάδες καλούμεναι· ἐνταῦθα δὲ αἱ τοῦ Ἰνάχου κόραι καὶ τῆς Ἰοῦς ἀδελφαί.

666). *Ἀστερόεις Ἄργος*· πολλὰ ὄμματα οἷον ἄστρα κατεσπαρμένα ἐπὶ τοῦ σώματος ἔχων.

669). *Φορωνίδος*· τῆς Ἰοῦς. Λέγεται ὁ Φορωνεὺς υἱὸς μὲν γενέσθαι Ἰνάχου καὶ θυγατρός τινος τοῦ Ὠκεανοῦ, βασιλεύσας δ' Ἄργους καὶ τῆς Πελοποννήσου ἁπάσης. Ἔοικεν οὖν ὁ Ὀβίδιος, Φορωνίδα ἐνταῦθα καλῶν τὴν Ἰώ, οὐ πάνυ τι τῆς περὶ τὴν γενεαλογίαν ἀκριβείας φροντίζειν, ἢ ἐκείνοις συντίθεσθαι, οἳ δεύτερόν τινα Ἴναχον, Φορωνέως ἀπόγονον, πατέρα τῆς Ἰοῦς γενέσθαι φασί.

671). *Πληϊάς*· ἡ Μαῖα, θυγάτηρ οὖσα Ἄτλαντος καὶ Πληϊόνης τῆς Ὠκεανίδος. Ἐγένοντο δὲ τῷ Ἄτλαντι ἐκ Πληϊόνης θυγατέρες ἑπτά, *Πληϊάδες* καλούμεναι· Ἀλκυόνη, Μερόπη, Κελαινώ, Ἠλέκτρα, Στερόπη, Ταϋγέτη καὶ Μαῖα, ἃς ὁ Ζεὺς ὑπ' Ὠρίωνος κατ' ἔρωτα διωκομένας εἰς οὐρανὸν ἀναγαγὼν κατηστέρισε.

672—673). Ὁ τοῦ Διὸς καὶ τῆς Μαίας υἱός, ὁ Ἑρμῆς, χρυσᾶ μὲν πέδιλα ὑφ' Ὁμήρου (Ἰλ. Ω. 340 κ. ἑ.) πεποίηται ὑποδεδεμένος, οἷς ἐπὶ γῆν τε καὶ θάλασσαν ἰσανέμῳ ταχύτητι φέρεται, ἐν χειρὶ δ' ἔχων ῥάβδον, ᾗ τοὺς ἀνθρώπους κοιμίζει τε καὶ ἐγείρει· Οἱ δ' ἔπειτα πτέρυγας αὐτῷ κατὰ τὰ σφυρὰ περιῆψαν καὶ πέτασον τῇ κεφαλῇ ἐπέθηκαν, κατὰ μικρὸν δὲ καὶ τὸν πέτασον καὶ τὴν ῥάβδον αὐτοῦ ἐπτέρωσαν. Ἄγγελος δ' ἐστὶν ὁ Ἑρμῆς τοῦ Διός, ὑπουργῶν αὐτοῦ τοῖς προστάγμασι.

691—692). Δρυάδες καὶ *Ἀμαδρυάδες*, νύμφαι τῶν δένδρων· *Νωνακρίδες* δὲ καλοῦνται αὗται ἀπὸ *Νωνάκριδος*, ὄρους καὶ πόλεως ἐν Ἀρκαδίᾳ. Τὸ δὲ ναϊὰς κατὰ συνεκδοχὴν εἴρηται ἀντὶ τοῦ νύμφη.

695). *Ὀρτυγίην*· τὴν Ἄρτεμιν, ἣ οὕτως ἐπωνόμασται ὡς τεχθεῖσα ἐπὶ τῆς νήσου Ὀρτυγίας τῆς ἔπειτα Δήλου, κατ' ἄλλους δὲ ἐπὶ τῆς σικελικῆς νήσου Ὀρτυγίας καὶ κατ' ἄλλους ἐν ἄλσει τινὶ παρὰ τὴν Ἔφεσον οὕτω καλουμένῳ.

699). *Λύκαιον*· ὄρος τῆς Ἀρκαδίας τῷ Πανὶ καθιερωμένον, ἓν τῶν ἡδίστων αὐτῷ ἐνδιαιτημάτων.

704). *Λάδων*· ποταμὸς Ἀρκαδίας εἰσβάλλων εἰς τὸν Ἀλφειόν.

715). *Κυλλήνιος*· ἐπίθετον τοῦ Ἑρμοῦ ἀπὸ Κυλλήνης ὄρους τῆς Ἀρκαδίας.

724). *Ὄρνιθος*· τοῦ ταώ, ὃς ἱερὸς ἦν τῇ Ἥρᾳ, ὥσπερ ὁ ἀετὸς τῷ Διΐ. Σημειωτέον δὲ ὅτι κατὰ τὸν Μόσχον (Εἰδύλ. β'. στ. 56 κ. ἑ.) οὐκ ἐκοσμήθη ὁ ταὼς τοῖς τοῦ Ἄργου ὀφθαλμοῖς, ἀλλ' ἐκ τοῦ αἵματος τούτου ἔφυ· φησὶ γὰρ τάδε·

. . . . πέλας δὲ οἱ ἐκτετάνυστο
Ἄργος, ἀκοιμήτοισι κεκασμένος ὀφθαλμοῖσι·
τοῖο δὲ φοινήεντος ἀφ' αἵματος ἐξανέτειλεν
ὄρνις ἀγαλλόμενος πτερύγων πολυανθέϊ χροιῇ.

729). *Ἐρινύν*· φοβερόν τι ἐνταῦθα νοείσθω φάσμα, ἴσως τὸ τοῦ τεθνηκότος Ἄργου, τῆς μανίας αἴτιον τῇ Ἰοῖ.

730). Ἴδε παρ' Αἰσχύλῳ ἐν Προμηθεῖ τὴν ἐπὶ πλείστας χώρας τῆς Ἰοῦς πλάνην, ἣν ὁ Προμηθεὺς προλέγει αὐτῇ. Ἔφασκον δ' οἱ πάλαι μέχρι Νείλου πλανωμένην ἐλθεῖν τὴν Ἰὼ κἀκεῖ τὴν προτέραν μορφὴν ἀνακτησαμένην τὸν Ἔπαφον τεκεῖν καὶ τιμῶν θείων ἀξιωθῆναι, τὴν αὐτὴν δηλονότι τῇ Ἴσιδι νομίζοντες εἶναι, ἧς τὸ ἄγαλμα ἐν Αἰγύπτῳ ἑώρων βούκερων ὄν, καθάπερ οἱ Ἕλληνες τὴν Ἰὼ γράφειν εἰώθεσαν (ἴδε Ἡρόδ. 2,41).

757). *Κλυμένη*· Μέροπος ἦν Αἰθιόπων βασιλέως θυγάτηρ, Φαέθοντος δ' ἐκ Φοίβου μήτηρ. Τὸ δ' ὁμορεῖν τῇ Αἰθιοπίᾳ τὴν Αἰ-

γυπτον ἀφορμὴν τῷ Ὀβιδίῳ παρέσχεν ἀπὸ τοῦ μύθου τῆς Ἰοῦς εἰς τὸν τοῦ Φαέθοντος μεταβῆναι.

762). *δός δέ μ' Ὀλύμπῳ·* συγγενῆ με τοῖς ἐν Ὀλύμπῳ θεοῖς ἀπόφηνον, τὸν ἐμὸν πατέρα δηλώσασα.

770). Μίμησις ταῦτα τοῦ Ὁμηρικοῦ ἐκείνου· Ἠέλιός θ' ὃς πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει.

ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ

ΒΙΒΛΙΟΝ Β'.

ΠΕΡΙΛΗΨΙΣ.

Ο Φαέθων πρὸς Ἥλιον τὸν ἑαυτοῦ πατέρα πορεύεται ἐν περιλάμπρῳ ἀνακτόρῳ κατ' ἀνατολὰς οἰκοῦντα καὶ ἐφ' ἡμέραν μίαν τὴν τοῦ ἡλιακοῦ τεθρίππου ἁμαρτηλασίαν ὥσπερ πίστωμα τοῦ γένους αὐτὸν αἰτεῖται. Ὁ δὲ πατὴρ διὰ μακρῶν τὸν παῖδα πειραθεὶς μεταπεῖσαι, ὡς οὐδὲν ἤνυε τὸν μέγαν τοῦ ἔργου διασαφῶν κίνδυνον, καὶ ἄκων αὐτῷ τὸ πυροφόρον παρέχει ἅρμα, πολλὰ περὶ τῆς ἡνιοχείας ὑποθέμενος. Ὁ δὲ παραυτίκα τοῦ ἅρματος ἐπιβάς, ἀσθενείᾳ τε χειρῶν καὶ τοῦ ἡνιοχεῖν ἀπειρίᾳ τοῦ ἡλιακοῦ δρόμου ὑπὸ τῶν ἵππων παρεξηνέχθη, καὶ τὴν γῆν κατέφλεξε προσπελάσας. Ταύτης δὲ ποτνιωμένης καὶ τὸν Δία ἀρωγὸν ἐπικαλουμένης, ὁ τῶν θεῶν ἄναξ ἐπὶ τῷ τοῦ Φαέθοντος τολμήματι ἐπιεικῶς χαλεπήνας, κεραυνῷ αὐτὸν ἀναιρεῖ, ὃν παρὰ τὸν Ἠριδανὸν ὑψόθεν καταπεσόντα αἱ ἀδελφαὶ Ἡλιάδες καὶ ὁ συγγενὴς αὐτῷ Κύκνος ὀδύρονται· καὶ ἐκεῖναι μὲν εἰς δένδρα, οὗτος δὲ εἰς τὸ ὁμώνυμον μεταμορφοῦται πτηνόν. Εἶτα ὁ Ζεὺς τὴν γῆν περιϊὼν καὶ τὰ ἐν αὐτῇ ἐπὶ τὴν προτέραν ἐπανάγων τάξιν, Καλλιστοῖ ἐντυγχάνει ἐν Ἀρκαδίᾳ· καὶ Ἀρτέμιδι ἑαυτὸν ἐξεικάσας, τῇ νύμφῃ συγγίγνεται. Ὀργισθεῖσα δ' ἐπὶ τούτῳ ἡ Ἥρα, εἰς ἄρκτον τὴν Καλλιστὼ μεταβάλλει. Ὕστερον δ' ὁ υἱὸς ταύτης Ἀρκάς, ἐν ὕλαις θηρεύων, κατετόξευσεν ἂν ὡς ἄρκτον ἀγνοῶν τὴν μητέρα, εἰμὴ ὁ Ζεὺς ἀμφοτέρους ἐλεήσας εἰς οὐρανὸν ἀνήγαγε κἀν τοῖς ἄστροις κατέταξεν. Ἡ δ' Ἥρα δεινὸν ποιουμένη τὴν τῆς παλλακίδος καὶ τοῦ νόθου παιδὸς

ἀποθέωσιν, πρὸς τὸν Ὠκεανὸν παραγενομένη, τὴν τοῦ Διὸς πρὸς ἑαυτὴν ὀλιγωρίαν καὶ ὕβριν ὀδύρεται. Εἶτα δ' εἰς οὐρανὸν ἀνακομίζεται ἐπὶ δίφρου ἑλκομένου ὑπὸ ταώνων, ὧν ἡ πτέρωσις οὐ πολλῷ πρότερον τοῖς πολλοῖς τοῦ Ἄργου ὀφθαλμοῖς ἐπεποίκιλτο. Ὁμοίως τούτοις καὶ ὁ Κόραξ ἀρτίως μετεβέβλητο τὴν χροιάν, ἐκ λευκοῦ μέλας γενόμενος. Παρ' οὐδὲν γὰρ οὗτος τὰς τῆς Κορώνης θέμενος παραινέσεις, τήν τε ἑαυτῆς εἰς τὴν ὁμώνυμον ὄρνιν καὶ τὴν τῆς Νυκτιμένης εἰς νυκτερίδα μεταμόρφωσιν διηγησαμένης, τὴν τῆς Κορωνίδος κλεψιγαμίαν τῷ Ἀπόλλωνι μηνῦσαι ἐτόλμησεν· ὁ δὲ ταύτην μὲν βέλεσιν ἀναιρεῖ, ἐκεῖνον δὲ μεταχρώννυσι μέλανα. Ἡ δὲ τοῦ Χείρωνος θυγάτηρ Ὠκυρόη Ἀσκληπιῷ, τῷ ἐκ Κορωνίδος καὶ Ἀπόλλωνος φύντι, τὰ μέλλοντα προλέγουσα εἰς ἵππον θείᾳ ὀργῇ μετατρέπεται. Ὁ δὲ Κένταυρος μάτην τὸν Ἀπόλλωνα ἐπικαλεῖται τῆς θυγατρὸς ἀρωγόν· οὗτος γὰρ εἰς Ἤλιδα ἀπελθὼν ἐβουκόλει· ὅλος δ' ἀμφὶ τὸν ἔρωτα καὶ τὴν σύριγγα ὢν τοῖς βουσὶν οὐ προσεῖχεν· ὃ δὴ ὁ Ἑρμῆς κατανοήσας τούς βοῦς κλέπτει ἐλθών. Σύνοιδε τὴν κλοπὴν μόνος ὁ Βάττος, ὃς διωμολογήσατο τῷ Ἑρμῇ μηδενὶ τὴν πρᾶξιν μηνῦσαι. Ἀλλὰ μετὰ μικρὸν αὐτοῦ τοῦ Ἑρμοῦ ἐν ἑτέρᾳ μορφῇ ἐπανελθόντος καὶ περὶ τῶν βοῶν πυνθανομένου, ἄπιστος ὢν φωρᾶται· διὸ εἰς λίθον μεταμορφοῦται. Εἶτα δ' εἰς Ἀττικὴν ὁ Ἑρμῆς μεταπτάς, Ἕρσην τὴν τοῦ Κέκροπος μέτεισι θυγατέρα, τοῦ κάλλους αὐτῆς ἐρασθείς. Ἡ δ' Ἄγλαυρος τῇ τῆς ἀδελφῆς τύχῃ φθονήσασα καὶ τὸν ἐραστὴν παρὰ τὴν Ἕρσην κωλύουσα εἰσιέναι ἀπολιθοῦται. Μετὰ ταῦτα ὁ Ζεὺς τὸν Ἑρμῆν εἰς Τύρον ἀπελθεῖν καὶ τὸ τοῦ βασιλέως Ἀγήνορος βουκόλιον παρὰ τὸν αἰγιαλὸν ἐλάσαι κελεύσας, ταύρου μορφὴν ὑποδὺς τὴν καλὴν βασιλίδα Εὐρώπην παρὰ τὴν ἀκτὴν σὺν ταῖς ὁμήλιξι παίζουσαν ἁρπάζει καὶ εἰς Κρήτην διανήχεται τὴν ἐρωμένην νωτοφορῶν.

ΕΜΜΕΤΡΟΣ ΜΕΘΕΡΜΗΝΕΙΑ

ΤΟΥ Β′ ΒΙΒΛΙΟΥ ΤΩΝ ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ.

Διαγράφεται τὸ τοῦ Ἡλίου ἀνάκτορον, εἰς ὃ εἰσελθὼν ὁ Φαέθων αἰτεῖται τὸν πατέρα τὴν τοῦ ἡλιακοῦ ἅρματος ἐπὶ μίαν ἡμέραν ἡνιοχείαν· τοῦ δὲ πολλὰ παραινέσαντος τῷ υἱεῖ καὶ τέλος εἴξαντος, ὁ Φαέθων ἀδεξίως ἡνιοχῶν τῆς ἡλιακῆς τροχιᾶς ἔξω φέρεται, καὶ τὴν γῆν ἐμπρήσας ὑπὸ Διὸς κεραυνοῦται.

Κίοσιν ὑψηλοῖσιν ἀνάκτορον ἠρείριστο
Ἠελίου, χρυσῷ στίλβον φλογέῳ τε πυρωπῷ·
τοῦ δ' ὄροφος αἰπὺς λευκοῦ ἐτέτυκτ' ἐλέφαντος,
ἀργύρεαι δ' ἴεσαν δικλίδες δόμου ἄσπετον αἴγλην.
Τέχνη ἔην ὕλης κρείσσων· ἐν γὰρ κλυτοτέχνης
πόντου τ' οἶδμ' ἐτόρευσε περὶ χθόνα πᾶσαν ἐέργον,
καὶ κύκλον γαίης ἠδ' οὐρανὸν εὐρὺν ὕπερθε.
Κυανέους ἔχεν οἶδμα θεούς· Τρίτων' ἐριηχῆ,
Πρωτέα τ' ἀμφίβολον καί τ' Αἰγαίωνα παχειῶν
χερσὶν ἐπιθλίβοντα πελώρια νῶτα φαλαινῶν,
Δωρίδα τ' ἠδὲ κόρας· τῶν αἱ μὲν ἐπέννεον ἅλμῃ,
αἱ δὲ κόμας πρασίους ἐπὶ πέτρῃσιν τέρσαινον,
αἱ δ' ἐποχεῦντ' ἰχθῦσιν, ὁμοιΐη οὐκ ἔπλ' ὀπωπὴ
πάσῃς οὐδ' ἀλλοίη, ἀδελφῇς δ' οἵη ἄρηρε.
Χθὼν δ' ἀνέρας τε, πόλεις θ', ὕλας τ' ἔχεν ἠδέ τε θῆρας,
καὶ ποταμούς, νύμφας τε, θεούς τ' ἄλλους ἀγριώτας·
Τῶν δ' ἐφύπερθε τέτυκτο καταστέρου οὐρανοῦ εἰκώ,
ζῴδια θ' ἓξ πυλέων ἐν δεξιῇ, ἶσα δὲ λαιῇ·
Ἔνθα γόνος Κλυμένης ἀναβὰς δι' ἀνάντεος οἴμου,
εἰσελθών τε δόμους ἐνδοιασίμου γενέταο,
ἴθυνε πρὸς ἑὸν πατέρ' ἴχνια, ὄφρ' ἐσίδηται.
Στῆ δ' ἑκάς· οὐ γὰρ ἔθεν προσορᾶν δύνατ' ἀσσοτέρωθεν
αἴγλην. Πορφυρέῳ δ' εἰλυμένος εἵματι Φοῖβος

θώκῳ ἐφῆστο, πέριξ λαμπρῇς στίλβοντι μαράγδοις·
Δεξιόφιν λαιῇ θ' ἑστήκεσαν Ἤματα, Μῆνες,
Αἰῶνές θ' Ὧραί τε, χρόνου μέρος ἶσον ἔχουσαι,
σύντε νεαλδὲς Ἔαρ, τόπερ ἄνθεσιν ἐστεφάνωτο.
Καὶ στάχυας δὲ φέρον Θέρος αὐτόθι ἵστατο γυμνόν.
Ἵστατο καὶ Μετόπωρον ὀπῷ βοτρύων κατάχραντον,
Χεῖμά τε κρυμαλέον λευκῇσι φρίσσον ἐθείρῃς.
Φοῖβος δ' ἐν μεσάτῳ ἑὸν υἷα θεήμασι καινοῖς
Πεπτηῶτ' ἐσιδὼν πανδερκέσιν ὄμμασιν εἶπε·
" Τίπτ' ἄρ' ἦλθες ὁδὸν μάλα τῆλε; τί δ' ἔλδεαι ἔνθα
» τέκνον ἐμὸν Φαέθων, οὐκ ἐξαρνήσιμε πατρί;
Τὸν δ' ἠμείψατ' ἐκεῖνος· " Ὦ ἀπλέτου ὄμμα πόλοιο,
» Φοῖβε πάτερ, πατέρ' εἰ δὴ ἔμοι γε δίδως καλέειν σε,
» Καὶ Κλυμένη ἀλίτημ' οὐ μύθῳ ψευδέϊ κεύθει.
» Δός τι σαφὲς πίστωμα γένευς, πάτερ, εἰ ἐτεῇ γε
» σὸς γόνος εἰμί· ἄλην δ' ἄρ' ἐμῆς φρενὸς ἔξελε τήνδε.
Ἔννεπε· καὶ γενέτωρ τότ' ἀπὸ κρατὸς θέτο πᾶσαν
ἀκτίνων αἴγλην, καί μιν πελάσαι ἐκέλευσεν·
ἀμφιβαλὼν δ' ἓ ἔειπε· Σύ τ' ἄξιός ἐσσι κεκλῆσθαι
" υἱὸς ἐμός, Κλυμένη τ' ἐτεὴν ἀνέφηνε γενέθλην.
» Ὄφρα δὲ μὴ δίζῃς, ὃ θέλεις αἴτησον· ἐγὼ δὲ
» δώσω τοι· ἔστω μοι ὑποσχεσίης ἐπιμάρτυς
» λίμνη, ἣν ὀμνῦσι θεοί, ἐμοὶ αἰὲν ἄδερκτος.,,
Οὔπω πᾶν εἴρητο ἔπος· ὃ δ' ἐπ' ἦμαρ ἓν ἅρμα
ᾔτησ', ἠδ' ἵππων πτηνῶν πατρὸς ἡνιοχείην.
Αἶψ' ὀμόσας δ' ὃ μετέγνω, ἑὸν δ' ἄρα τρὶς τετράκις τε
κρᾶτα πατὴρ σείσας λαμπρὸν φάτο " ἦ δὴ ἄβουλον
» μῦθον ἐμὸν σὸς ἔθηκεν· ὑπόσχεσιν αἴθε μοι ἦεν
» ψεύσασθαι· τόδε σοί κε, τέκνον φίλε, μοῦνον ἀπεῖπον·
» νῦν μεταπεῖσαι χρή σε. Ἀκίνδυνον τεὸν ἔλδωρ
» οὐκ ἔστ' ἦ ῥεκτόν· μέγα μ' αἰτεῖς οὐδέ τ' ἀρηρὸς
» σῷ σθένει, ὦ Φαέθων, σῇ θ' ἡλικίῃ ἔτ' ἀβληχρῇ.

» Αἶσα τεὴ θνητή· ὃ δ' ἐέλδεαι, οὐκέτι θνητοῦ,
» μεῖζον δ' ἤ περ ἔνεστι καὶ οὐρανίωσιν ἀνύσσαι.
» Ἀγνοέεις ὃ ποθεῖς· φρονέειν μέγα παντὶ ἐφεῖται·
» ἀλλά γε πυρσοφόρων οὔτις ὀχέων ἐπιϐῆμεν
» νόσφιν ἐμεῦ δύνατ'· οὐδὲ μέδων μεγάλου κε πόλοιο,
» Ὅςπερ δεξιτερῇ δεινοὺς ἀφίησι κεραυνούς,
» τόνδ' ὄχον ἰθύνειε· Διὸς τίς φέρτερος ἄμμιν;
» Ὄρθιος οἶμος πρῶτον, ἴδ' ἀκμήτεσσί περ ἦρι
» ἵπποις ἀμϐῆναι χαλεπός· πόλον αὖ κατὰ μέσσον
» αἰπύτατος, ὅθεν οἶδμ' ὁράαν καὶ γαῖαν ἔνερθεν
» καὶ αὐτὸς δείδω, πάλλει δέ μοι ἔντρομον ἦτορ·
» πρηνὴς δ' ἔσχατος, ἡνιόχου κρατεροῖο χατίζων.
» Ἐνθάδε καὶ Τηθύς, ἥ κύμασί μ' εἰν ἁλίοισι
» δέχνυθ', ὑποτρομέει μὴ οὐρανόθεν κατολίσθω.
» Πρόσθες, ὅτ' οὐρανὸς ἐνδελεχεῖ στροφάλιγγι φορεῖται
» ἠδ' ἄστρ' ὑψικρεμῆ δινεύμενος ὦκα προέλκει.
» Προσμάχομαι ῥύμῃ, ἥ ῥ' οὐ περιγίγνετ' ἐμεῖο
» ὡς ἄλλων· ἀλλὰ στρόϐῳ ἀντίος εἶμι πόλοιο.
» Θὲς δὴ ἔχειν τὸν ὄχον· τί δράσεις; ἦ ῥα δυνήσῃ
» ἀντιδρομεῖν δίνῃ, ἵνα μή σ' ἄξων παρερύσσῃ;
» Κεῖθ' ἴσως πλάσσῃ νόῳ ἄλσεα καὶ πτολίεθρα,
» οἴκους τ' ἠδὲ θεῶν ἕδε' ἱροῖς ἀφνεὰ δώροις.
» Οὐκ ἔστ'· οἶμος ἄγει διὰ κινδύνων ἰδὲ θηρῶν.
» Ἢν δὲ καὶ ἰθὺν ἔχῃς δρόμον ἅρματι μηδ' ἀποπλαγχθῇς,
» χρὴ σ' ἔμπης κεράων διὰ Ταύρου ἀντίου ἐλθεῖν,
» αἱμονίων τε πέλας τόξων στόματός τε Λέοντος,
» καὶ χέρας ὡς τόξον κάμπτοντος Σκορπίου αἰνόν,
» καὶ χηλὰς κυρτοῦντος ἀπόπροθι καρκίνου ἄλλῃ.
» Οὐδ' ἵππους πυρὶ δεινῷ ὀρινομένους, ὃ ῥ' ἔχοντες
» ἐν στέρνοις ῥινῶν τ' ἀποπνείουσι στομάτων τε,
» εὐχερὲς ἰθύνειν· μόγις αὐτὸν ἔμ' οἶδ' ἀνέχονται,
» ὁππότε κῆρ παφλάσειε· τὰ δ' ἡνί' ἀναίνεται αὐχήν·

» τῷ δὴ ὅρα, τέκνον, μὴ ἀταρτηρήν σοι ὀπάσσω
» δωτύν· ἕως δέ τ' ἔνεστι, τεὴν εὐχὴν ἐπανόρθου.
» Οἶδα· βέβαι' αἰτεῖς πιστώματα, ὥς κεν ἐμεῖο
» πεισθῇς ἐκγεγάμεν· πίστωμ' ὅδ' ἐμὸς φόβος ἔστω·
» Ναί· πατρικόν με δέος τόδε σὸν γενετῆρ' ἀποφαίνει.
» Ἦν ἴδ' ἐμὴν ὢπ'· αἴθ' εἶχες καὶ στήθεος ἐντὸς
» Λεύσσειν, καὶ πατρὸς μελεδῶνας σοῖο δαῆναι.
» Δίζεο παπτήνας, ὅ,τι Κόσμος ἐέργει ἀφνειός·
» ἐκ δ' ἀγαθῶν τόσσων πόλου, αἴης τ' ἠδὲ θαλάσσης
» αἴτησον τὸ θέλεις· οὐδὲν κείνων ἀνανεύσω·
» τοῦτο παραιτέομαι μοῦνον, τό κε θωὴ ἀληθῶς
» οὐ τιμή σοι ἔοι· θωήν, τέκος, οὐ χάριν αἰτεῖς.
» Τίπτ' ἐμὸν ἀμπλέξας περί αὐχένα πήχεε θώπτεις
» ἄφρον; μὴ φρεσὶ δίζ'· ἕξεις, Στυγὸς ὤμοσα ῥεῖθρα,
» ὅ,ττι κεν αἰτήσῃς· ἀλλ' αἴτεε κεδνότερόν τι„
Λῆξ' ὑποθημοσύνῃ· ὃ δ' ἑῷ οὐ πείθετο πατρί·
βουλῇ ἑῇ δ' ἐνέμιμνε πόθῳ τ' ὄχου ἐφλέγετ' ἔνδον.
Εἵως οὖν ἐνέην, δηθύνας, ἤγαγεν υἷα
εἰς αἰπεινὰ πατὴρ ὄχεα, κλυτὰ δῶρ' Ἡφαίστου.
Χρύσεος ἦν ἄξων, σὺν ῥυμῷ χρύσεα σῶτρα
κύκλων· ἀργύρεαι κνῆμαι δ' ἐπεπήγεσαν ἑξῆς·
χρυσόλιθοι, ἄλλαι τε λίθοι ζυγῷ ἔνθετοι ἵππων,
Φοῖβον ἀνακλῶσαι λαμπρὸν σέλας ἵεσαν ἀμφίς.
Εὖτε δὲ τολμήεις Φαέθων θαύμαινεν ἐκεῖνα
ἔργα διασκοπέων, ἣν Ἠὼς ἀντολίηθεν
πορφυρέας τε πύλας προδόμους τ' ὤϊξε ῥοδείους
ἄγρυπνος· φύγε δ' αἶψ' ἄστρων στρατός, ὅν περ ἐλαύνων
Ἑωσφόρος οὐρανίου ἐξέσσυτο ὕστατος οὐδοῦ.
Ὡς δ' ἐρυθαινομένην γενέτωρ χθόνα καὶ πόλον εἶδε,
καὶ κέρα ἀχλύοντα φαεινῆς ἄκρα Σελήνης,
ἵππους ὠκείῃς Τιτὴν Ὥρῃς ἐκέλευσε
ζεῦξαι· αἳ δὲ κέλευσμ' ἐτέλεσσαν ἰδ' αἶψα πυρίπνους

ἀμβροσίης μεστοὺς φατνῶν ἐξήγαγον ἵππους
αἰπεινῶν, καὶ ὅπλισσαν εὐὔκροτάλοισι χαλινοῖς.
Τῆμος ἔχρισε πατὴρ ἱερῷ ἄκει υἱέος ὦπα,
τῷ μιν ἔθηκ' ἀσκηθέ' ὑπὸ φλογὸς ὠκυθόοιο,
ἀκτῖνας δ' ἐπέθηκε κόμῃ καὶ ἀνεὶς πολυκηδοῦς
ἐκ στήθευς στοναχὴν αἰνοῖο προάγγελον ἄλγευς,
“ Εἰ δύνασαι, παῖ, ἔφη, τόδε γοῦν σῷ πατρὶ πιθέσθαι,
» φείδευ ἐς ἵππους κέντρου, ἀτὰρ χρῶ κάρτα χαλινοῖς·
» οἳ γὰρ ἑκοντὶ θέουσι, δυσήνιοί εἰσι δ' ἐρύξαι.
» Μηδ' ἰθεῖαν ἔλῃαι ὁδὸν ζωνῶν διὰ πέντε.
» Τέτμηται λικριφίς, καμπὴν τ' ἔχει ἔκπαγλον οἶμος·
» ἐν δὲ τρισὶ ζώνῃσιν ὁρίζεται, ἠδ' ἀλεείνει
» ἔνθα πόλον νότιον, ἑτέρωθι δὲ πρόσβορον Ἄρκτον·
» Ἥδε σοι ἔστω ὁδός· τροχοῦ ἐμφανέ' ἴχνια λεύσσεις.
» Ὄφρα δὲ θάλπος ἔχῃ πόλος ἶσον γαῖά τ' ἔνερθε,
» μήτε κατάῤῥεπ' ὄχον, μήτ' αἰθέρ' ἀνάτρεχ' ἐπ' ἄκρον.
» Ἢν πλέον ἀμβήῃς, τέγος οὐράνιον καταφλέξεις·
» ἢν καταβῇς, χθόν'· ἀκίνδυνος μέσον οἶμον ἐλάσσεις.
» Μήσε τροχὸς πρὸς ἑλικτὸν Ὄφιν ἐπιδέξιος ὤσῃ,
» μηδὲ πάλι χθαμαλῷ Βωμῷ λαιός σε πελάσσῃ·
» μέσσον ἔχ' ἀμφοτέροιν. Μοίρῃ δ' ἄρα τἄλλ' ἐπιτρέψω.
» Ἣ πλέον ἢ σὺ σέθεν κήδοιτό τε καὶ ἐπαρήγοι.
» Ὄφρ' αὐδῶ, διερὴ νὺξ ἠνίδε τέρμα κατ' ἀκτὴν
» ἑσπερίην ἵκται· δηθύνειν οὐ θέμις ἄμμι·
» Κόσμος μ' ἀμμένει, ὄρφνη ἀπέσσυται, ἠὔγασε δ' Ἠώς.
» Λάζεο ῥυτά, τέκος· φρὴν δ' εἴ σοι τρεπτὴ ἔτ' ἐστί,
» χρῶ ὑποθημοσύνῃ, μὴ δή σὺ ὄχεσφιν ἐμοῖσιν,
» ὄφρ' ἔτ' ἔνεστι τόδε, στερεῷ δ' ἕστηκας ἐπ' οὔδει,
» οὐδ' ὄχῳ ἐμβέβαας, τοῦ σ' ἵμερος εἷλεν ἀεικής.
» σῶς ἔνθεν μιν ἄθρει, δὸς ἐμοὶ δὲ φαεῖναι ἐπ' αἶαν.
Ῥίμφα δίφρου κεῖνος κούφου νέα γυῖ' ἐπέβησε.
Τῷ δ' ἄρ' ἔπι στὰς χαῖρεν, ἔχων χείρεσσι χαλινούς,

καὶ χάριτας δώρου ἀέκοντί γ' ἀνάπτετο πατρί.
Τόφρα δ' εὐπτέρυγοι, Πυρόεις, Ἠῷος ἰδ' Αἴθων,
Ἠελίου ἵπποι, τέτρατος δὲ Φλέγων, χρεμετισμῶν
πιμπλάντες φλογερῶν αὔρας, ποσὶ μοχλὸν ἔθεινον.
Τὸν δ' ἐπεὶ ἀγνοέουσ' υἱωνοῦ μοῖραν ἀπῶσε
Τηθύς, καί σφι πάροιθεν ἀπείρων πέπτατο Κόσμος,
ἤϊξαν, καὶ γοῦνα δι' ἠέρος ὀτρύνοντες
ῥήγνυσαν ἀντιόωντα νέφη· πτερύγεσσι δὲ κούφης
αἰρόμενοι, παρέλαυνον ἀπαυτόθεν Εὖρον ἀέντα.
Ἀλλ' ἄχθος βαιὸν καὶ ἀναίσθητον πέλεν ἵπποις
Ἠελίου, τὸ γὰρ ἠθάδιον ζυγὸς οὐκ ἔχε βρῖθος·
ὡς δ' ἄρα νῆες ἄτερ γόμου ἀρκίου ἀστατέουσιν
ἠδὲ λίην κοῦφαι δονέονται ποντοποροῦσαι,
τὼς ἐθάδος χατέον φόρτοιο δι' ἠέρος ἅρμα
θρῶσκε τινασσόμενον, κενεῷ τ' ὄχῳ ἔπλεν ὁμοῖον.
Ὡς οὖν τοῦτ' ἐφράσαντ', ἐξηρώησαν ὁδοῖο
τέτρωροι ἐθάδος, καὶ δὴ θέον οὐκέτι κόσμῳ.
Κεῖνος ἔτρεσσ', οὐδ' ᾔδη, ὅποι τράποι ἅρμα χαλινοῖς,
ἢ ὅπου ἦν ὁδός· οὐδ' ἵππων ἐκράτει, καὶ εἰ ᾔδη.
Πρῶτον ὑπ' ἀκτίνεσσ' Ἄρκτοι τότε θερμάνθησαν
ψυχραί, μάψ θ' ἅλα δῦναι ἐπειρήσαντο παρ' αἶσαν·
κρυμαλέου δὲ πόλοιο δράκων ἄγχιστα πολεύων,
ὃς ῥίγει νωθὴς πάρος οὔτινι δεῖμα παρεῖχε,
θάλφθη, σὺν θέρμῃ τε νέον χόλον εἵλετο θυμῷ.
Καὶ σέ, Βοῶτα, λέγουσι φυγεῖν τότε ταρβήσαντα,
καί περ ἐόντα βραδὺν καὶ ἰσχόμενόν περ ἁμάξῃ.
Ὡς δ' ἄρ' ἀφ' ὑψιτάτου ἴδεν αἰθέρος αἶαν ἔνερθε
δύστηνος Φαέθων χώρου τὸ βάθιστον ἔχουσαν,
ὤχρησ'· αἰφνιδίῳ δ' οἱ γοῦνα δέει τετρέμηναν,
ἔντε φάει τόσσῳ σκότος αἶψά οἱ ὄσσ' ἐκάλυψεν.
Ἔλδετο δὴ τῆμος μήδ' ἧφθαι ἑοῦ πατρὸς ἵππων·
ἄχνυτο δ' ἥν τε γνοὺς γενεήν, πεπιθών τε λιτῇσι·

καὶ Μέροπος ποθέων καλέεσθαι μὰψ ἐφορεῖτο,
ὡς ναῦς σπερχομένη βορέῃ λάβρῳ, ἧς μεθέηκε
πηδάλι' ἰθύντωρ, εὐχῇσι θεοῖς τ' ἐπιτρέψας.
Τί δράσῃ; πολὺ μὲν ῥ' ἵπποις ἤνυστο κελεύθου,
λείπετο δὲ πλεῖον· φρεσὶν ἄμφω κεῖνος ἐμέτρει.
Καὶ νῦν μὲν δυσμὰς προτιόσσετο, τὰς οἱ ἱκέσθαι
Μόρσιμον οὐκ ἦεν· νῦν δ' ἠῶ δέρκετ' ὀπίσσω.
Ἀγνοέων δ' ὅ,τι ῥέξῃ ἐθάμβεεν· οὔτε δ' ἀφίει
ἡνία, οὔτ' ἴσχειν σθέν' ἢ οὔνομα ᾔδεεν ἵππων.
Λεῦσσε δὲ καὶ τέρα αἰνὰ κατ' οὐρανὸν αἰολόπεπλον
ἔντρομος ἄλλυδις ἄλλα, καὶ ἔκπαγλα εἴδεα θηρῶν.
Ἔσθ' ὑψοῦ χώρη, ᾗ Σκορπίος ἐς δύο τόξα
χηλὰς κάμπτει, ἑῇ δ' οὐρῇ καὶ πήχεσι κυρτοῖς
ἀστροφαοῦς τετάνυστ' ἐπὶ τείρεα δοιὰ πόλοιο.
Ὡς τοῦτον πάϊς εἶδε κελαινὸν ἀποστάζοντα
ἰόν, ἐπεντύνοντά θ' ἑὸν κέντρον ἐπὶ τρῶσιν,
ὀκρυόεντι φόβῳ ἄφαρ ἔκνοος ἡνί' ἀφῆκεν.
Ὡς δ' ἄρα ταῦτ' ἄκρων πίπτοντ' ἄφνω ἥψατο νώτων,
ἐξηρώησαν πῶλοι διὰ τ' ἠέρος ἦσαν
ἀγνώτου ἀκάθεκτοι· ὅποι δὲ φέροι σφέας ἰθύς,
κεῖσ' ἴθυον ἄτερθε νόμου καὶ τείρεσιν ὑψοῦ
ἐμπεδέσι προσάρασσον, ὄχον τ' εἰς ἄστιβ' ἐφεῖλκον.
Καί ποτε μὲν ῥ' εἰς ὕψος ἵενθ', ὁτὲ δ' αὖ κατὰ κλιτῶν
ἐγγυτέρω γαίης δι' ὁδῶν πρηνέων φορέοντο.
Θάμβεε δὴ κάσιος πώλους ὁρόωσα Σελήνη
νέρθε θέοντας ἑῶν· νέφε' αἴθετο καπνὸν ἱέντα·
γαίης δ' ὁππόσ' ἔην ὑπεράκρια, αἶψ' ἀνεφλέχθη,
αὐτὴ τ' ἐσχίσθη καὶ ἀμερθεῖσ' ἰκμάδος αὖε·
καὶ βοτάναι κάρφοντο καὶ αἴθετο δένδρα κομῶντα.
Λήϊα δ' ἀζαλέα τρέφε πῦρ σφίσιν οὔλιον αὐτοῖς.
Βαιὰ τάδε κλαίω· μεγάλαι ὀλέκοντο πόληες,
Καὶ πυρὶ σὺν ναέτῃσιν ὅλαι χῶραι τεφρόοντο·

ὗλαι δ' αἰπεινοῖσι σὺν οὔρεσι πυρπολέοντο·
πρήθετ' Ἄθως, Ταῦρός τε κίλιξ, Τμῶλός τε καὶ Οἴτη,
σύν τ' Ἴδη τότ' ἄνικμος, ἀτὰρ τὸ πάρος πολυπῖδαξ,
Παρθένιός θ' Ἑλικών, οὔπω τ' Οἰάγριος Αἶμος·
δαίετ' ἀπειρεσίῳ δισσῷ πυρὶ ἄσπετος Αἴτνη,
Παρνησός τε δίκορσος Ἔρυξ τ' Ὄθρυς τ' ἰδὲ Κύνθος,
καὶ Ῥοδόπη ἄμορος χιόνων τότε· σὺν δὲ Μίμαντι
Δίνδυμά τε, Μυκάλη τε, πρέπων θ' ἱεροῖσι Κιθαιρών.
Οὐ χραῖσμε Σκυθίῃ τότε κρυμός· Καύκασος αὖεν·
Ὄσσα τε σὺν Πίνδῳ καὶ Ὄλυμπος ὑπέρτερος ἀμφοῖν,
ἠέριαί τ' Ἄλπεις νεφοθρέμμων τ' Ἀπεννῖνος.
Τῆμος δὴ Φαέθων αἰπὺν πόλον εἶδεν ἁπάντη
πρηθόμενον, τόσσον διατλῆναί τ' οὐ δύνατ' αἶθος.
Ὥσπερ δ' ἐκ βαύνου βαθυπλεύρου ἐσέπνεε θερμὸν
ἠέρα καὶ ἑὸν ἅρμα πυρούμενον ἐφράσατ' ἤδη·
οὐδὲ φέρειν λιγνύν, οὔτε θρώσκοντας ἔτ' εἶχε
σπινθῆρας, καπνῷ δ' εἰλύετο πάντοθεν αἰθῷ.
Οὐκ ᾔδη ποῖ ἴῃ, κεκαλυμμένος ἀχλύϊ πυκνῇ,
οὔτ' ἄρ' ὅπου ἔπλεν· ἀλλ' ἵππων ἰθύϊ φορεῖτο.
Δὴ τότε καὶ λαούς, θερμοῦ ἐπὶ χρῶτα συθέντος
αἵματος, Αἰθίοπας μελανωποὺς φασὶ γενέσθαι.
Δὴ τότε καὶ Λιβύη ἀπαμερθεῖσ' ἰκμάδος αἶψα
αὐάνθη· Νύμφαι δὲ λυτῇσι κόμῃς ἀνέκλαυσαν
πηγὰς καὶ λίμνας· Θῆβαι Δίρκην ποθέεσκον,
Ἄργος Ἀμυμώνην, Ἐφύρη Πειρήνιον ὕδωρ.
Καὶ ποταμοὶ δ' ὄχθῃς περ ἐν εὐρείῃσι ῥέοντες
οὐ κακοῦ ἐκτὸς ἔσαν· Τάναϊς τύφη ἐν ῥεέθροισι,
Πηνειός τε γέρων, τευθράντειός τε Κάϊκος,
καὶ ταχὺς Ἰσμηνὸς σὺν Φηγιακῷ Ἐρυμάνθῳ,
Ξάνθος θ' ὕστερον αὖ φλεχθείς, ξανθός τε Λυκόρμας,
καὶ ἑὰ Μαίανδρος πολυκαμπέα ῥεύμαθ' ἑλίσσων,
Μυγδόνιός τε Μέλας σὺν Ταιναρίῳ Εὐρώτα.

Αὖε καὶ Εὐφρήτης βαβυλώνιος, αὖεν Ὀρόντης,
Θερμώδων τ' ὠκύς, Γάγγης, Φᾶσίς τε καὶ Ἴστρος.
Πάφλασεν Ἀλφειός, Σπερχειάδες ἔζεσαν ὄχθαι,
ὅν τε Τάγος φέρε χρυσόν, ἐν ὕδασι τήκετο φλοξίν·
ὑδροχαρεῖς δ' ὄρνεις, τάων κλήϊσσαν ἀοιδαὶ
ὄχθας Μαιονίας, μέσσῳ ἐθέροντο Καΰστρῳ.
Νεῖλος δὲ τρέσσας φύγεν εὐρὺς ἐς ἔσχατα γαίης,
καὶ κάρη ἐς τόδ' ἔκρυψεν ἑόν· στόμαθ' ἑπτὰ δὲ τοῖο
πλεῖα μένον κονίης, αὐλῶνες λείψυδροι ἑπτά.
Τέρσηνε Στρυμόνος ῥόον ἠδ' Ἕβρον Ἰσμάριον πῦρ,
καὶ ῥέεθρ' Ἑσπερίης, Ῥῆνον, Ῥοδανόν τε, Πάδον τε,
καὶ Θύμβριν κατὰ γῆν εἰληχότα πᾶσαν ἀνάσσειν.
Ἐῤῥάγη οὖδας ἁπάντη, ἔδυ δὲ φάος διὰ ῥωγμῶν
Τάρταρα, καὶ πτοίησεν ἄνακτ' ἐνέρων καὶ ἄκοιτιν.
Χάσσατο καὶ πόντος, πεδίον δ' ἀμμῶδες ἐτύχθη,
ὃ πρὶν πόντος ἔην· ἃ δὲ λαῖτμ' ἐκάλυπτε θαλάσσης
οὔρε' ἄφαρ ἀνέδυ καὶ Κυκλάδας ἐπλήθυνεν.
Ἰχθύες ἐς βυθὸν ᾖξαν· ἀναθρώσκειν δ' ὑπὲρ ὕδωρ
κυφαλέοι δελφῖνες ἐς αὔρας οὐκέτ' ἐθάρσουν.
Ἄπνοα φωκάων ὑπὲρ οἴδματος ὕπτι' ἔκειτο
σώματα· καὶ Νηρῆα δ' ἔχει φάτις αὐτὸν ἐν ἄντροις
θερμοῖς, Δωρίδά θ' ἣν ἄλοχον θύγατράς τε κρυβῆναι.
Τρὶς βλοσυρωπὸς ἔτλη τόθ' ὑπεὶρ ἅλα χεῖρας ἀνασχεῖν,
τρὶς δὲ μέγ' οὐκ ἤνεικε Ποσειδῶν ἠέρος αἶθος.
Ἀλλὰ τιθηνὸς γαῖα πέριξ ὕδατ' ὠκεανοῖο
καὶ πελάγευς τότ' ἔχουσα ῥέεθρά θ', ἃ χάσσατο πάντη
καὶ σφετέρης ὀρφνοῖς ἐκρύβησαν ἐν ἔγκασι μητρός,
παμφόρον ὦπ' ἀνάειρ' αὔην τότε μέχρι τραχήλου,
χεῖρε δ' ἔρεισε μετώπῳ ἰδὲ τρόμῳ αἰνῷ ἅπαντα
συσσείσασ', ὀλίγον ἵζησε· ταπεινοτέρη δὲ
ἢ τὸ πάροιθεν ἔγεντο καὶ αὔῃ τοῖ' ὀπὶ ηὔδα.
« Εἴ τόδ', ἄναξ, ἅδε σοι καὶ ἔοικε, τί δὴ σὰ βέλεμνα

» δηθύνει; εἰ ὀλέσθαι χρὴ πυρί, δός μοι ὀλέσθαι
» σῷ πυρί· κουφότερόν κε γένοιτό μοι ἐκ σέο πῆμα.
» Φεῦ· μόγις ἐς τάδ' ἔπη δύναμαι στόμα τυτθὸν ἀνοῖξαι·
» (Κλεῖε γάρ οἱ ςόμα καπνός)·ἴδ,ηνί,κόμας πυριφλέκτους
» καὶ σποδιὴν τόσσην εἰν ὄμμασιν ἠδὲ κατ' ὦπα.
» Τοῖά μοι εὐφορίης τε φρενός τε γέρα ὑποεργοῦ
» ἀντιδιδοῖς· ὅτι δὴ σμινυῶν κυφοῖο τ' ἀρότρου
» τραύματα πολλὰ φέρω, πάνετες δέτε τείρομαι αὔτως,
» ἠδ' ὅτι φύλλα βοτοῖς, ὄμπνας δὲ βροτοῖσιν ἐδωδὴν
» ἡδυτέρην παρέχω, αὐτὰρ θύε' ὔμμι θεοῖσιν;
» 'Αλλὰ θὲς ἄξιον αὐτὸν ἔμεν μ' ὀλέθρου· τί ποτ' οἶδμα
» ἤλιτέ σοι; τί δ' ἀδελφός, ὅτι φθίνει ἁλὸς ὕδωρ,
» ἣν ὃ λάχε κλήρῳ, καὶ πόρσιον αἰθέρος εἴκει;
» Εἰδ' οὔτις κάσιος παρὰ σοὶ χάρις, οὔτ' ἄρ' ἐμεῖο,
» οὐρανὸν ἀλλ' ἐλέαιρε τεόν· πόλω, αὔγασαι, ἄμφω
» τύφοντ'· ἣν δ' ἄρα πῦρ κείνους πημήνῃ ὀλοιόν,
» ἠμύσει τεὰ πρόστο'. Ἄτλας αὐτὸς πεπόνηται·
» καὶ χαλεπῶς ὤμοις πεπυρωμένον ἄξον' ἀείρει.
» Ἢν πελάγη καὶ χθὼν ἠδ' οὐρανὸς αἰπὺς ὄληται,
» ἐς χάος ἀρχαῖον οἰχησόμεθ'. Ἔξελ' ὀλέθρου,
» ὅττι γε λοιπὸν ἔτ' ἐστί· φράσαι δ' ὡς Σύμπαν ἐρύσσῃ.
Τόσσ' ἔφατ' αἶα· φέρειν γὰρ ἔτ' ἀτμίδας οὐκ ἐδυνάσθη,
οὔτ' ἄρ' ἀπὸ στόματος πλέον αὐδᾶν· ἀλλὰ πρόσωπον
κρύψ' ἑὸν ἐς κόλπον καὶ ἄντρ' ἄγχιστ' ἀΐδαο.
Παμμεδέων δὲ θεοῖς αὐτῷ τ' ὀχέων παροχῆϊ
φήσας, ὅττι κακῇ ἤμελλ' αἴσῃ διολεῖσθαι
σύμπαντ', εἰ μὴ ἀμύναι, ἄκρην αἰπεῖαν ἀνῆλθεν,
ἔνθεν ἐπ' εὐρεῖαν νέφε' εἴωθε χθόνα πέμπειν,
βροντάς τ' ὄρνυσιν καὶ ἰάλλει παλτὰ βέλεμνα·
ἀλλ' οὔτ' ἄρ' νέφε' εἶχεν, ἵν' αὔην τῆμος ἐπ' αἶαν
πέμψει', οὔτ' ὄμβρους, ὄφρ' οὐρανόθεν καταχεύαι.
Βρόντησ' οὖν καὶ ἧκε καθ' ἡνιόχοιο κεραυνὸν

δεξιόφιν πήλας· βιότοιο δ' ἄμ' ἔκ μιν ἔωσε
καὶ ὀχέων, πυρί τε σφεδανῷ πῦρ εἶρξεν ἐκεῖνο.
Ἵπποι ἀνεπτοίηθεν ἰδ' ἐκτρόπῳ ἅλματι δειρὰς
ζεύγλης ἐξερύσαντ', ἔλιπον δ' ἄρα ῥυτὰ ῥαγέντα.
Ἔνθα χαλινοί, ἐκεῖ δ' ἄξων ῥυμοῦ ἀποθραυσθείς,
κνῆμαι δ' αὖτε τροχῶν τεθλασμέναι ἄλλοθι κεῖντο,
καὶ δίφροιο τρύφη τηλοῦ κεκέδαστο κατ' οὖδας.
Ξανθὰς δ' αἰθόμενος Φαέθων ὑπὸ φλοξὶν ἐθείρας
ἤριπε προπρηνής, μακρόν τε δι' ἠέρος ὁλκὸν
ἤνυσεν ὡς ἀστήρ, ὅς ἀπ' αἰθρίου οὐρανοῦ ὠκὺς
δόξεν ἔραζε πεσεῖν, ἀλλ' οὐκ ἐτεῇ πέσεν ἔμπης.
δέκτο δέ μιν πάτρης ἑκὰς ἀντιπόρου ἐπὶ γαίης
Ἠριδανὸς μέγας, αἰθαλόεν τ' ἀπένιψε πρόσωπον.

Αἱ τοῦ ποταμοῦ νύμφαι θάπτουσι τὸν Φαέθοντα, οὗ τὰ ὀστᾶ ἡ μήτηρ ἀναζητήσασα δάκρυσι καταβρέχει. Αἱ δ' Ἡλιάδες τὸν ἀδελφὸν ὀλοφυρόμεναι εἰς αἰγείρους μεταμορφοῦνται· ὧν ὥσπερ δάκρυ τὸ ἤλεκτρον ἀποστάζει.

Ναΐδες ἑσπέριαι τύμβῳ δέμας ἐγκαταθεῖσαι
τυφόμενον τριγλύφῳ φλογὶ τὸν λίθον ὧδ' ἐπέγραψαν·
« Ἰθύντωρ πατρίου Φαέθων δίφρου ἐνθάδε κεῖται,
» τοῦ περ εἰ οὐκ ἐκράτησ', ἔμπης μέγα τλὰς ἀφάμαρτεν·
οἰκτρὸς δ' αὖ γενέτωρ αἰνῷ τότε πένθει ἔκρυψεν
ὦπα· καί, εἰ πιστὴ φάτις ἀνδράσι, φασὶν ἓν ἦμαρ
Ἠελίου δίχα βῆναι· ὀπάσσαι τόφρα γὰρ αἴγλην
ἐμπρησμόν, καὶ πῆμα μέγα σμικρὸν τόδ' ὀνῆσαι.
Αὐτὰρ ἐπεὶ Κλυμένη τόσσ' ἔννεπεν, ὅσσ' ἐπέοικεν
ἀμφὶ κακοῖσι λέγειν τοίοις, βαρύλυπος ἰδ' ἔκφρων,
κόλπον ἑὸν ῥήξασα διὰ χθόνα πᾶσαν ἐρεύνα,
διζομένη πρῶτον δέμας ἄπνοον, ὀστέ' ἔπειτα.
Ὀστέα γοῦν εὗρε ξείνης ἔπι κευθόμεν' ὄχθης·
τοῖς δ' ἔπι κλινθεῖσ' ἔγγραπτον λίθῳ οὔνομ' ἔδευσε
δάκρυσι, καὶ στέρνοις ποτὶ γυμνοῖς θάλπε χυθεῖσα·

Ἡλιάδες δ' οὐ μεῖον ἔκλαυσαν, δάκρυα δοῦσαι
δῶρ' ἀνόνητα νέκυι τύπτουσαι στέρνα δὲ χερσὶν
αὔτευν Φαέθοντα δι' ἤματος ἠδέ τε νυκτὸς
θρήνους οὐκ ἀΐοντα, τάφῳ τ' ἐπέκειντο κλιθεῖσαι.
Τετράκι δίσκον ἔπλησε κέρα ζεύξασα Σελήνη·
αἳ δ' ἔθεϊ σφετέρῳ (ἔθος ἐκ θαμινοῦ γένετ' ἔργου)
κοπτόμεναι γοάασκον. Ἐν αὐτῇς οὖν Φαέθουσα
πρεσβυτάτη κασίων, κλινθῆναι ἔραζε θέλουσα,
πηγνύμεν' ᾔσθετο κῶλα· πελάσσαι δ' αὐτίκ' ἐκείνῃ
Λαμπετίη σπεύσασ', αἴφνης ῥίζῃσιν ἐέρχθη.
χερσὶ δὲ πειρηθεῖσα τρίτη τίλασθαι ἐθείρας,
φυλλάδα τίλλε· καὶ ἡ μέν, ὅτι σκέλε' ἴσχετο φιτρῷ,
κλαίετο· ἡ δ' αὖ ὅθ' οἱ χέρες ἐς κλαδόνας τανύοντο.
Ὄφρα τὰ θάμβαινον, φλοιὸς περιφύετο μηροῖς,
γαστέρα δέ, στῆθός τ', ὤμους τε, χέρας τ' ἐκάλυπτεν
ἠρέμα· λείπετο δέ σφι μόνον στόμα μητέρα βωστροῦν.
Τί δράσῃ μήτηρ· θέε δύσμορος ἔνθα καὶ ἔνθα,
ἰθὺς ὅπποι ἄγοι, κείνας τ', ὄφρ' ἐῆν, φιλέεσκεν.
Οὐχ ἅλις· ἴθυσε στυπέων ἀπὸ σώματ' ἐρύσσαι,
ἠδ' ἁπαλοὺς χείρεσσ' ἀποθραῦσαι μαίετο κλῶνας·
τῶν δ' ὡς ἐκ τρώμης σταγόνες ῥέον αἱματόεσσαι.
“ Φείδεό μευ, λίτομαι· ἀνεφώνεεν ἥτις ἐτρώθη·
» Φείδεο, μῆτερ· ἐμὸν ῥήσσεις ἐνὶ δένδρεϊ σῶμα·
» καὶ δὴ χαῖρε! „ Φλόος πυμάτοισιν ἐπήλυθε μύθοις.
δάκρυ' ἀπ' ἐκ φλοιοῦ καὶ νῦν ῥέει· ἠελίῳ δὲ
πήγνυτ' ἀποστάζοντα κλάδων ἤλεκτρα, τὰ ῥεῖθρον
δεχνύμενον ποταμοῖο Λατινίσι κόσμον ἀγινεῖ.

Κύκνος ὁ Σθενέλου μὲν υἱὸς Κλυμένης δὲ συγγενής, ὀδυρόμενος καὶ αὐτός, εἰς τὸν ὁμώνυμον μετετρέπεται ὄρνιν.

Τῷ δὲ γόνος Σθενέλου παρέγεντο τεράατι Κύκνος,
ξυνόν σοι, Φαέθων, μητρώϊον αἷμα λελογχώς,
ἐγγύτερος δὲ νόον σοι. Ὃ δὴ προλιπὼν βασιλείην,

(λαοῖς γὰρ Λιγύων μεγάλῃς πολίεσσι τ' ἔκραινεν)
ὄχθας Ἠριδανοῖο, ῥέεθρα τ' ἔπλησεν ὀδυρμῶν
καὶ ὕλας κείνῃς πληθυνθείσας κασίεσσιν.
Γῆρυς ἐλεπτύνθη, πτερὰ δ' ἠφάνισ' ἀνδρὸς ἐθείρας
ἀργύφε', ἐκ δ' ὤμων δειρὴ δολιχὴ προεβλήθη.
σὺν δ' ἄρ' ὑμὴν ἔζευξε ποδῶν ἕο δάκτυλ' ἐρυθρά.
Ταρσοὶ πλευρὰ κάλυψαν, ἐπέσχε δ' ἄρα στόμα ῥάμφος·
φῦ κύκνος νέος ὄρνις· ὃ δ' οὐκέτ' ἐπ' ἠέρι θαρσεῖ
οὔτε Ζηνί, πυρὸς μεμνημένος εἰσέτι κείνου·
λίμναις δ' ἠδ' ἕλεσιν φιλοχωρεῖ, πῦρ τ' ἀλεείνων
αἰὲν ὅγ' αἱρέεται φλογὸς ἀντίπαλ' ὕδατα ναίειν.

Ὁ Φοῖβος ἐπὶ τῷ τοῦ υἱοῦ θανάτῳ ἀχθόμενος φῶς τῷ Κόσμῳ φέρειν ἀναίνεται. εἶθ' ὅμως τῷ Διῒ ἀπολογουμένῳ τε καὶ ἀπειλοῦντι πείθεται.

Τόφρ' οὖν αὐχμαλέος γενέτωρ Φαέθοντος ἄνευθεν
ἀγλαΐης, οἷός τ' εἴωθ' ὁράασθ', ὅτε φέγγος
ἐκλείπει, στυγέεσκε φόως αὐτόν θ' ἓ καὶ ἦμαρ.
Δάπτετο θυμὸν ἄχει καὶ ἄχει χόλον ἄμμιγ' ἐκίρνη.
Κόσμῳ δ' ἔργον ἑὸν ἀπαναίνετο. “ Αἶσ' ἐμή, εἶπε,
» λίην ἐξ ἀρχῆς μογερὴ ἔπλε. Πολλὰ μογήσας
» νῦν μεταγιγνώσκω· τιμῆς γὰρ ἄτερθε λέλειμμαι.
» Φωσφόρον ἄλλος νῦν ἀγέτω δίφρον, ὅς κ' ἐθέλῃσιν·
» Εἰδ' οὐκ ἔστι, θεῶν τ' οὔτις τόδε φησὶ δύνασθαι,
» αὐτὸς Ζεὺς ἀγέτω, ἵν', ἐμῶν γοῦν ὄφρα χαλινῶν
» ψαύει χερσί, λίπῃ βέλε' ὀρφανόοντα τοκῆας·
» ζαφλεγέων δ' ἵππων πειρηθεὶς εἴσεται ὅττι
» οὐ μόρου ἄξιος ἦν, ὃς εὖ οὐκ ἴθυνεν ἐκείνους.
Τοῖ' ἐνέποντα θεῶν περιίστατο Φοῖβον ὅμιλος, »
λισσόμενος μὴ νύκτ' ἐπὶ Κόσμῳ παντὶ τανύσσαι.
Καὶ Ζεὺς δ' ἐξελογεῖτο βολὴν μαλεροῖο βελέμνου
κείνην, σύν τε λιτῆς κρατερὴν ἐπέτελλεν ἐνιπήν.
Φοῖβος δ' οἰστρῶντάς θ' ἕλε καὶ τρομέοντας ἔθ' ἵππους

καί σφε χαλεπτόμενος κέντρῳ καὶ μάστιγι δάμνα.
μέμφετο γάρ σφι λίην κεχολωμένος εἵνεκα παιδός·

Ὁ Ζεὺς τὸν Κόσμον περιϊὼν κατοπτεύει εἴτι που βέβλαπται. Κατὰ δὲ τὴν Ἀρκαδίαν γενόμενος ἔρωτι Καλλιστοῦς τῆς λυκαονίδος ἁλίσκεται, καὶ ταύτῃ μίγνυται δι' ἀπάτης. Ἡ δ' Ἄρτεμις, τὴν τῆς Καλλιστοῦς γνοῦσα αἰσχύνην, σὺν ὀνειδισμῷ αὐτὴν ἀπεώσατο.

Παμμεδέων δὲ πατὴρ περιήϊε, μακρὰ πόλοιο
τείχε' ἐπισκοπέων, εἴπου πυρὶ πημανθέντα
ἤμυσ'· ὡς δ' ἄρ' ἐκεῖν' ἴδε πανταχῇ ἔμπεδ' ἐόντα,
ὡς πρὶν τ' ἀῤῥαγέα, χθόνα καὶ μερόπων τότε ἔργα
ὄσσετο, Ἀρκαδίης δ' ἧς ἔξοχα κήδετο φρεσσί.
Τῷ κείνῃ πηγὰς οὔπω θαρσεῦντά τε προῤῥεῖν
δῶκε ῥέεθρα πάλι· χθονὶ ποίην, δένδρεσι φύλλα
ὤπασεν, ἀνθαλέειν δ' ὕλας ἐκέλευσε φλεγείσας.
Ἔνθ' ἄρ' ἰὼν τ' ἀπιών τε θάμ' ἠντίασ' ἀρκάδι κούρῃ,
καὶ οἱ πῦρ ἔνδον φλογεροῦ ἔδυ ὀστέ' ἔρωτος.
οὐκ ἔρια ξαίνειν κούρης ἔπλετ' ἔργον ἐκείνης,
οὔτε κόμας ταναὰς μετακοσμεῖν· πόρπη οἱ ἔσθος,
ἀργυφέη δὲ χυτὰς μίτρη συνέεργεν ἐθείρας.
Ἣ δ' ὁτὲ μὲν δόρυ κοῦφον ἔχουσ', ὁτὲ δ' αὖ μέγα τόξον
Φοίβης ἦν ἑπέτις· οὐ Μαίναλον ἄλλη ἔβαινε
φιλτέρη Εἰνοδίῃ· ἀλλ' οὔτις δὴν μένει ὄλβος.
Ἠέλιος πλέον ἡμίσεος δρόμου ἠνύκει ὕψου,
ἡνίκ' ἔβη κείνη νέμος ὑλοτόμοισιν ἄθικτον.
Κεῖθ' ὤμων φαρέτρην ἀπεθήκατο, καμπύλα τ' αἶψα
τόξα χάλασσεν, ἰδὲ χλοερῷ δοχμώθη ἐπ' οὔδει,
αὐχὲν' ἐρεισαμένη φαρέτρης ἔπι δαιδαλοέσσης.
Ὡς δ' ἄρα μιν Κρονίδης ἴδεν ἔκκοπον ἠδ' ἀφύλακτον,
ἔννεπεν· " ἦ κλέμμ' οὐ τόδ' ἐμὴ δὴ πεύσεται Ἥρη·
" ἢν δ' ἄρα καὶ γνώῃ, νεικέων ἀντάξιον ἔσται. „
Αὐτίκα δ' ἑσσάμενος Δικτύνης εἶμα καὶ εἶδος,
ἔκφατο· " ὦ κούρη, καλῶν μί' ἐμῶν συνοπηδῶν.

» Ἐν τίσι θήρευσας νῦν οὔρεσιν; „ ἥ δ' ἄρ' ἀνέστη
ἐκ ποίης, καὶ ἔφη "Χαῖρ', ὦ θεά, ἣ δοκέεις μοι
» μείζων Αἰγιόχοιο, καὶ εἴ μ' ἀΐει,„ ὃ δ' ἀκούσας
μείδησ', ἠδ' ἐχάρη ἐπὶ τιμῇ, κῦσέ τε κούρην·
κύνεε δ' αὖ ἀκορής, οὐδ' ὥς τις παρθένος ἄλλην.
Εἶθ' ὕλην ἐθέλουσαν ἐνισπεῖν, ὅππoι ἐθήρα,
ἤρυξ' ἀμφιχυθείς, ἀλιταίνων φῆνέ θ' ὃς ἔσκε.
Κείνη δ' ἀντήρειδεν, ὅσον σθένος ἐστὶ γυναικί·
(αἴθ' ἴδες, Ἥρη, ταῦτ', ὄφρ' ἔπλεο πρηϋτέρη οἱ·)
κείνη δ' ἀντήρειδε· τίς ἀλλὰ Ζῆνά γε κούρη,
τίς δέ τ' ἀνὴρ νίκησεν; Ἐς αἰθέρα ὕψι κρατήσας
Ζεὺς ἔβη· ἣ δὲ νέμος τ' ἔχθαιρε συνίστορά θ' ὕλην.
Ἔνθεν ἀποστείχουσα λαβεῖν φαρέτρην παρὰ μικρὸν
ἐκλάθετ' ἠδὲ βέλη καὶ ὅγ' ἐξήρτησεν ἄεμμα.
Ἠνὶ χορὸν Δίκτυνα δι' αἰποῦ Μαινάλου ἦγε
νυμφάων, θηρῶν μέγα γαυριόωσα φονῇσι.
Τὴν δ' ἄρ' ἰδοῦσα κάλεσσ'· ἣ δὲ κληθεῖσ' ἀνέφευγε,
δείσασα πρῶτον μὴ Ζεὺς πάλιν εἴη ἐκείνη.
αὐτὰρ ἐπεὶ νύμφας οἰχνεύσας σὺν θεῇ εἶδεν,
ἔγνω οὐ δόλον ὄντα καὶ ὡμάρτησεν ὁμίλῳ.
Ὡς χαλεπόν, φεῦ, μὴ ἀλίτημ' ἐκφῆναι ὀπωπῇ!
Ὄσσε μὲν οὐκ ἀνάειρεν ἀπ' οὔδεος, οὐδὲ θεαίνης
ὡς ἔθος, ἐγγὺς ἔβαιν', οὐδ' ἔπλετο πρώτη ὁμίλου·
σίγα δ', ἠδ' αἰδοῦς σήμαιν' ἐρυθήματι λύμην.
Εἰ δὲ θεὰ μὴ ἔην ἁγνή, πολλοῖς κ' ἀλίτημα
φράσσατο σημείοις· νύμφας δ' ἔο φασὶ φράσασθαι.
Ἔννατον ἤδη ἔφαινεν ἑλισσομένη κέρα Μήνη,
εὖτε φλόγεσσι καμοῦσα κασιγνήτοιο θέαινα
ἑρσῆεν νέμος ἷξεν, ὅπου τε ῥύαξ κελαρύζων
ἐν δίνῃσι ῥέε, ψάμαθον ψυχρὴν προκυλίνδων.
Ἤνησ' οὖν χῶρον, ποδί θ' ἥψατο ὕδατος ἄκρου.
καὶ τοῦτ' αἰνήσασ' "Οὐδείς, ἔφατ', ἄμμ' ὀπιπεύει·

σώματ' ἐϋῤῥείτοισιν ἐν ὕδασι γυμνὰ βάλωμεν·
Παῤῥασιὰς φοινίχθη· ἀπαμφιέσαντο μὲν ἄλλαι·
ἡ δὲ μόνη δήθυνεν. ὀκνεύσης ἔσθος ἀφεῖλον·
τῆμος δ' ἀμπλακίη σὺν γυμνῷ σώματι ὤφθη.
Ὡς δ' ἔμπληκτος ἑὴν νηδὺν θέλε χερσὶ καλύψαι,
“ Τῆλε, θεὰ φῆ, ἄφερπε, ῥέεθρα δὲ μὴ σὺ μίαινε
ἱρά „· ἑοῦ δ' ἐκέλευσεν ἀποστῆναί μιν ὁμίλου.

Ἡ Ἥρα τὴν τοῦ Διὸς αἰσθομένη κλεψιγαμίαν καὶ βαρέως τὴν ὕβριν φέρουσα εἰς ἄρκτον μεταβάλλει τὴν Καλλιστώ, ἐκ Διὸς ἤδη παῖδα τὸν Ἀρκάδα τεκοῦσαν.

Φράσσατο κλέμμα πάλαι ὑψιβρεμέταο σύνευνος,
ἠδὲ τίσιν δεινὴν εἰς ἦμαρ ὑπέρθετ' ἀρηρός.
Αἰτίη ἀμβολίης οὐκ ἦν ἔτι· πάλλακος ἤδη
καὶ πάϊς Ἀρκάς, ἄχος τοῦθ' Ἥρης, ἐκλελόχευτο.
Ὡς δ' ἐπὶ τόν δ' Ἥρη κεχολωμένη ἔτραπεν ὄσσε
καὶ νόον, εἶπε: “ Τόδ' ἦν ἔτι λοιπόν, μοιχαλίς, ἄμμι·
» παῖδα τεκεῖν σε, τόκῳ δὲ γενέσθαι ἐμφανέ' ὕβριν,
» Ζηνὸς ἐμοῦ τ' ἄμυδις ἀσχημοσύνην ἀρίδηλον.
» Οὐ τάδ' ἄτιτ' ἐσσεῖται· ἀφαιρήσω σε γὰρ εἶδος,
» τῷ σοί τ' αὐτῇ ἐμῷ θ' ὁμολέκτρῳ, δύσφορ', ἕαδας. „
Ἔννεπε, καί μιν ἑλοῦσα κόμης προπάροιθε μετώπου,
κάββαλε προπρηνῆ· ἡ δ' ἱκέτις ὤρεγε πήχεις.
Μήριγξι φρίσσειν πήχεις ἤρξαντο μελαίνης,
ἐς δ' ὄνυχας γαμψοὺς ἀπομηκύνεσθ' ἕο χεῖρες
καὶ σκελέων τελέειν χρείην· Διΐ δὲ πρὶν ὀπωπὴ
αἰνητὴ δύσμορφος ἐγίγνετο ῥύγχεϊ μακρῷ.
Ὄφρα δὲ μὴ γνάμπτοιεν ἔπη νόον ἠδ' ἱκετεῖαι,
ἐξέλεθ' οἱ αὐδήν· φωνὴ δ' ἐξήρχετο βραγχῆς
λευκανίης ἀγρίη, τρόμου ἐμπλείη καὶ ἀπειλῆς·
Φρὴν δ' ἔμπης προτέρη καὶ ἐν ἄρκτῳ κείνη ἔμιμνεν·
Ἣ ῥ' ἄλγος θαμινοῖς μυκήμασι μηνύουσα,
χεῖρας, ὁποῖαι ἔσαν οἱ, ἐς οὐρανὸν ἄστρα τ' ἄειρε,

καὶ φρεσίν, εἰ μὴ ἔπεσσ', ἀχάριστον Ζῆνα κίκλησκε.
ποσσάκις ἣ δείσασ' οἵη δραθέειν ἐνὶ δρυμῷ,
ἤλασκε πρὸ δόμου καὶ ἑοὺς τὸ πάροιθε κατ' ἀγρούς!
ποσσάκι δ' αὖ ὑλακῇσι κυνῶν ἐλάθη διὰ πετρῶν,
Θηρευτῶν τε φόβῳ θηραγρέτις αὐτὴ ἔφευγε!
λήθῃ ἑῆς μορφῆς ἐκρύβη θαμά, θῆρας ἰδοῦσα,
καὶ ἄρκτους ἔτρεσσ' ὀφθέντας ἐν οὔρεσιν ἄρκτος,
πρὸς δὲ λύκους ἔδδεισεν, ἐν οἷς ἑὸν εἶχε τοκῆα.

Ὁ Ἀρκὰς θηρεύων παρ' ἐλάχιστον ἦλθε κατατοξεῦσαι τὴν μητέρα. ἀλλ' ὁ Ζεὺς ἐκώλυσε τὴν μητροφονίαν καὶ ἀμφοτέρους κατηστέρισεν ἐλεήσας.

Ἠνὶ λυκαονίδος γόνος ἀγνοέων γενέτειραν
ἤλυθεν Ἀρκάς, ἐτῶν τρεῖς πεντάδας ἐγγὺς ἀνύσσας.
Θῆρας δ' ὡς ἐδίωκε, καλάς θ' ὡς ἔκλεγε βήσσας,
καὶ ἀρκυστασίῃς ὕλας Ἐρυμάνθου ἐέργνυ,
μητρὶ ἣ ἀντεβόλησ'· ἣδ' Ἀρκάδ' ἐπέστη ἰδοῦσα,
καὶ ἀναγιγνωσκούσῃ ἐώκεε· τὴν δ' ἄρ' ὃ φεῦγεν,
Ὄσσε τ' ἐφ' οἱ πήξασαν, ἰδ' ἐμμενὲς εἰσορόωσαν
ἀγνοέων ἔτρεσσε· πελάσσαι δ' οἱ ἐθελούσης
στέρνα τομῷ πεῖραι ἐντύνατο ῥίμφα βελέμνῳ.
Παντοκράτωρ δ' ἤρυξε· σὺν αὐτοῖς δ' ἔργον ἄθεσμον
ἦρεν, ἰδ' ἄμφω ἀναρπάστω σπεργνῇς ὑπ' ἀέλλῃς
οὐρανῷ ἐγκατέταξε καὶ ἄγχιμα τείρε' ἔθηκεν.

Ἡ Ἥρα τὴν Καλλιστὼ καὶ τὸν παῖδα ἐν οὐρανῷ κατατεταγμένους ἰδοῦσα καὶ διὰ τοῦτο τῷ Διῒ χαλεπήνασα πρὸς τὸν Ὠκεανὸν καὶ τὴν Τηθὺν παραγενομένη, αἰτεῖται αὐτοὺς μηδέποτε εἰς θάλασσαν δῦναι τὰ νέα ἄστρα ἐᾶσαι.

Ἔζεσεν Ἥρῃ θυμός, ἐπεὶ μετὰ τείρεσι πάλληξ
ηὔγασε· πρὸς πολιὴν δ' ἐνὶ κύμασιν ἵκετο Τηθύν,
πρέσβυν τ' Ὠκεανόν, τούς περ θεοὶ πολλάκις ἄλλοι
αἴδεσθεν· καὶ ὁδοῦ σφιν ἀνειρομένοις χρέος εἶπεν·
“Ἤρεσθ', ἐς τί ἄνασσα θεῶν προλιποῦσ' ἐγὼ ἕδρας

» αἰθερίους ἔνθ' ἥκω· ἔχει πόλον ἀντ' ἐμοῦ ἄλλη.
» ψεύδομαι, εἰμὴ νυκτὸς ὅτε κνέφας ἀμπέχει αἶαν,
» ἄστρα δύ, ἄλγος ἐμοὶ μέγα, τιμῆς ἄρτι λαχόντα
» οὐρανίης, ὄψεσθ' ὅθι περ κύκλος ἄξονος ἄκρον
» ἔσχατος ἀμφιθέει κύκλων τε βράχιστος ἁπάντων.
» ἦ ῥ' ἔσθ', οὗ ἕνεκέν τις ἀφέξεται ὕβριος Ἥρῃ,
» δείσει θ' ὑβριθεῖσαν, ὅτε βλάπτουσ' ὀνίνημι;
» ὡς μέγα νῦν δὴ ἔρεξα! ἴδ', ὡς μέγ' ἐμὸν κράτος ἐστίν!
» εἶρξα γυναῖκ' ἔμεν, ἡδὲ θεὰ γένεθ'. Ὣς κακοεργοὺς
» τίννυμ' ἔγωγε, θεῇ δ' ἰσχύς μοι τηλίκη ἐστί!
» μορφὴν οἱ προτέρην πορέτω, ἠδ' ὦπ' ἀφελέσθω
» θηρείην, τὸ καὶ ἀργείῃ κούρῃ πρὶν ἔρεξε.
» Τίπτ' οὐ καὶ γαμέει προαφεὶς Ἥρην, καὶ ἐμῷ μιν
» ἐν θαλάμῳ ἵζει ἑκυρόν τε Λυκάονα φαίνει;
» Ὕμμες δ', εἰ τροφίμην ὑβριζομένην ἐλεεῖτε,
» ἄρκτους κυανέου ἀπερύκετε πόντου ἰδ' ἄστρα,
» μισθὸν μοιχοσύνης αἰπὺν πόλον ἄρτι λαχόντα,
» σεύετε, ὄφρ' ἁγνὴν μὴ μοιχαλὶς εἰς ἅλα δύσῃ· „

Ὁ κόραξ μηνύει τῷ Ἀπόλλωνι τὴν τῆς ἐρωμένης Κορωνίδος ἀπιστίαν· ὁ δ' αὐτὴν μὲν κτείνει ὀργισθείς, τὸν δὲ ὑπ' αὐτῆς οἱ κυοφορούμενον Ἀσκληπιὸν ἐκρύεται τῆς πυρᾶς καὶ Χείρωνι τῷ κενταύρῳ ἐκθρέψαι τε καὶ παιδεῦσαι δίδωσι. Τὸν δὲ τέως λευκὴν ἔχοντα τὴν πτέρωσιν κόρακα εἰς μέλανα μεταβάλλει. Τῷ μύθῳ τούτῳ παρεμβάλλεται ὁ τῆς μεταμορφώσεως τῆς τοῦ Κορωνέως θυγατρὸς εἰς Κορώνην· τούτῳ δὲ παρασυνάπτεται ὁ τῆς μεταβολῆς τῆς Νυκτιμένης εἰς νυκτερίδα.

Νεῦσαν ἁλὸς θεοί· ἤϊξεν δὲ δι' αἰθέρος Ἥρη
ἐν ταχινῷ δίφρῳ, τὸν ἐπίστικτοι ταῷ εἷλκον,
ὄμμασι ποικιλθέντες ἀποκταμένου νέον Ἄργου.
Οὕτω καὶ σύ, λάληθρε κόραξ, πτερὰ τῆμος ἀμείψας
αἶψα μέλας ἐγένευ, λευκὸς τὸ πάροιθε πεφυκώς.
Καὶ οὗτος γὰρ ἔην λευκῆς πτερύγεσσι ποτ' ὄρνις
ἀργύφεος, τρήρωσι πελειάσιν ἰσοφαρίζων.

χήνεσιν οὐκ εἴκων, Καπιτώλιον οἵ ποτ' ἔμελλον
ἄγρυπνοι ῥύσεσθ', οὐ κύκνοις ὑδροχαρέσσιν.
Ἄασέ μιν γλῶσσα· γλώσσης λάλου εἵνεκ' ἐκεῖνος
λευκὸς ἐὼν τὸ πάρος, νῦν ἔμπαλίν ἐστι κελαινός.
Πάσῃ ἐν Αἱμονίῃ οὔτις χαριεστέρη ἄλλη
Λαρισσαίης ἔπλε Κορωνίδος· εὔαδε δή σοι,
Δελφικέ, ἁγνὴ ἐοῦσα, ἢ ἁγνώς· ἀλλά γε Φοίβου
ὄρνις μοιχοσύνην ἐφράσσατο· ἀγγελέων δὲ
κρυπταδίην πρῆξιν, μηνυτὴς ἀπαράμυθος,
ᾗεν ἑὸν πρὸς ἄνακτα· κορώνη δ' ἕσπετο κείνῳ
προπταμένη λακέρυζα, πυθέσθαι πάντα ποθεῦσα.
Ὡς δ' ἤκουσεν ὁδοῖο χρέος, " φάτο. Οὔ τοι ὀνήσει
» ἥ δε κέλευθος· ἐμὸν σύ γε μῦθον μὴ ἀθέριζε.
» Τίς ποτ' ἔην, τίς δ' εἰμί, ὅρα, καὶ αἴτι' ἐρώτα·
» πεύσῃ δ' ὅττι με πίστις ἐσίνατο. Πρίν ποτε γάρ τοι
» Παλλὰς Ἐριχθόνιον, δίχα μητέρος ἐν χθονὶ φύντα,
» ἀτθίδος ἰτείης πλεκτῇ ἐνικάτθετο κίστῃ,
» καὶ διφυοῦς Κέκροπος τρισί μιν κούρῃσι φυλάσσειν
» δῶκεν, ἐπεντείλασ' ἐὰ μὴ κρύφι' αὐγάσσασθαι.
» Ἐν πυκνοῖσιν ἐγὼ πτελέης φύλλοις ἐδόκευον,
» τί πράξουσι· δύ' οὖν πιστῶς ἐφύλαξαν ἐφετμήν.
» Πάνδροσος ἠδ' Ἕρση· δειλὰς δὲ τρίτη ὁμοδέλφους
» Ἄγλαυρος καλέουσα, πλόκον χερὶ λῦσε· καὶ αἴφνης
» Παῖδ' ἴδον ἠδὲ δράκοντα παρήμενον ἔνδοθι κίστης.
» Πρῆξιν ἐγὼ μήνυσα θεῇ, ἀνθ' οὗ χάριν ἔσχον
» Τριτογενοῦς πελάτις ἀπόβλητος νῦν καλέεσθαι,
» ὄρνιθός θ' ἥσσων νυχίης ἔμεν. Ἥδ' ἐμὴ ὄρνεις
» θωὴ ἀποτρεπέτω μὴ μύθοις πῆμα ματεύειν.
» Ἔμπης δ' αὐτομάτη μ' οὐ λισσομένην ἐδέδεκτο
» ἣν ἑπέτιν· τόδ' Ἀθηναίην αὐτὴν ἐρέεινε,
» ἥ ῥα χαλεπτομένη περ ἐτήτυμον οὐκ ἀποκρύψει.
» Ἐν γὰρ Φωκίδι γαίῃ ἀγακλειτός με Κορωνεὺς

» γείνατο καὶ βασιλὶς πελόμην· ἀρίδηλα φατίζω·
» πολλοὶ δ' ἐμνώοντό μ' ἀφνειοί· μή μ' ἀθέριζε·
» ἀλλά με εἶδος ἄασε· βαδίζουσαν γὰρ ἐπ' ἄκρης
» ψάμμου ἐν ἠϊόνι βραδέως ποτέ, ὥσπερ ἔθος μοι,
» Ποντομέδων μ' ἔσιδεν καὶ ἀνεφλέγη· ὡς δὲ λιτῇσιν
» αἱμυλίοις τε μάτην μύθοισι χρόνον διέτριβεν,
» ἠπείλησε βίην μέθεπέν τε· λίπον δ' ἐγὼ ἀκτὴν
» φεύγουσα στερεήν, ψαμάθῳ τε μάτην ἐνέκαμνον.
» Εἶτα θεούς τε βροτούς τ' ἐκάλουν· ἀλλ' οὔ τινα θνητῶν
» ἵκετ' ἐμὴ φωνή· κούρη κούρην ἐλέησε
» καὶ ἐπάρηξεν. ἔτεινον ἐς οὐρανὸν ὑψόσε χεῖρας·
» ἀλλὰ φύειν χεῖρες πτέρυγας ἤρξαντο μελαίνας.
» ὤμων πειρήθην ἀποδύσασθ' εἶμα· τὸ δ' ἤδη
» ἐς πτίλα τράπτο, καὶ ἐν ῥινῷ ταναὰς βάλε ῥίζας.
γύμν' ἔθελον παλάμῃσιν ἐμῇσι στήθεα τύψαι,
» ἀλλ' οὔτ' ἄρ' παλάμας, οὔτ' εἶχον στήθεα γυμνά·
» ποσσὶ θέον· ψάμαθος δ' οὔμευ πόδας ὡς πρὶν ἔρυκεν,
» ἀλλ' ἔθρωσκον ὕπερθε πέδου· ἀνὰ δ' αὐτίκ' ἐς αὔρας
» ἤρθην, ἠδ' ἐπέτις Γλαυκώπιδος ἁγνὴ ἐκλήθην.
» Ἀλλὰ τί μοι τοῦδ' ἦδος, εἰ ἔργματι ὄρνις ἐτύχθη
» Νυκτιμένη βδελυρῷ καὶ ἐμὴν διεδέξατο τιμήν;
» ἦ σύγ' ἔτ' οὐ πέπυσαι διάπυστον χρῆμ' ἀνὰ πᾶσαν
» Λέσβον, Νυκτιμένην πατρὸς εὐνὴν οἷο μιῆναι;
» ἣ δ' ὄρνις περ νῦν, μεμνημένη ἀμπλακίης ἧς,
» θνητῶν ὄμμα φάος τ' ἀλεείνει ἰδ' ἐν σκότει αἰδῶ
» κεύθει, ἀπ' αἰθέρος αἰὲν ἐλαυνομένη ὑπὸ πάντων.
» Τοῖα φθεγγομένῃ φάτο κεῖνος· "ἐπίσχεσίς ἥδε
» ἐς κακὸν εἴη σοι. κενεῆς δ' ἐμοὶ οὐ μέλει ὀμφῆς,,
Οὐδ' ἔτ' ἀπέσχεθ' ὁδοῦ· ἐλθὼν δ' ἤγγειλεν ἄνακτι,
ὡς παριαύοντ' εἶδε Κορωνίδι θεσσαλὸν ἄνδρα.
Ἔκπεσε δάφνη ἐρῶντι, τόδ' ὡς ἐσάκουσ' ἀλίτημα·
ὄψις δὲ χροιή τε θεοῦ, φόρμιγξ τε παρᾶσσον

ᾤχετο· φλεγμαίνων δὲ κέαρ χόλῳ εἵλετο ὅπλα
ἠθάδια, γνάμψας τ' ἀπ' ἄκρων κεράων ἐτίτηνε
τόξον, ἰδὲ στέρνα ζευχθέντα πάρος θάμ' ἑοῖσι
στέρνοις ἐν φιλότητι βελέμνῳ πεῖρεν ἀφύκτῳ.
Οὐταμένη στόνον ἧκεν· ἀφελκύσασα δὲ τρώμης
χαλκόν, λευκὰ ῥέθη φοινικέῳ αἵματι δεῦσε
καὶ φάτο· "Ἦν δή, Φοῖβε, δίκην σοι τήνδε μ' ὑποσχεῖν,
» ἀλλὰ λοχευσαμένην· δύο δ' ἐν μιῇ ὀλλύμεθ' ὧδε· „
Τόσσ' ἔφατ'· ἐκ γυίων δὲ σὺν αἵματι θυμὸν ἔχευεν.
ἄψυχον δὲ δέμας θανάτου κρύος αἶψα κατέσχε.
Τισάμενον κούρην μεταμήθει' εἷλεν ἐραστήν·
αὐτὸν δ' ἓ στυγέεσχ', ὅτι χώσατο τόσσον ἀκούσας,
καὶ ὄρνιν στυγέεσκε, δι' οὗ ἀλίτημ' ἐπέπυστο,
αἴτιόν οἱ ἄλγευς· αὐτὰρ βιὸν ἠδὲ χέρ' αὐτήν,
σύν τε χερὶ θρασέας αἰνῶς στυγέεσκεν ὀϊστούς.
θάλπε δὲ πεπτηυῖαν, ἰδ' ὀψίῃ αἶσαν ἀρωγῇ
νικῆσαι πειρῆτο· μάτην δ' ἄλθεσσιν ἐχρῆτο.
Αὐτὰρ ἐπεὶ μόχθησεν ἐτώσια, τευχομένην δὲ
εἶδε πυρήν, πυμάτην τε δέμας φλόγα δάψαι ἑτοίμην,
αἴλινον ἐστονάχησε (θεῶν γὰρ τ' οὐ θέμις ὄσσε
τέγγεσθαι δακρύοις) στέρνοιο τότ' ἐκ μυχάτοιο,
ὡς ὅτε τις πόρτις ῥαιστῆρ' ἴδε δινηθέντα
ῥίμφ' ἐπὶ δεξιά, καὶ μόσχου κροτάφους γαλαθηνοῦ
κοιλοφυεῖς πληγῇ βαρυδούπῳ συνθραύσαντα.
ὡς δὲ μύρον στήθεσσι νεκρῆς ἐπέχευεν ἀτερπές,
καὶ χέρας οἱ ἄμπλεξε, τέλεσσέ τε θεσμὶ' ἄθεσμα,
συμφλεχθῆναι σπέρμ' ἑὸν οὐκ ἠνέσχετο Φοῖβος.
ἐκ δὲ φλογός τε γόνον γαστρός τ' εἰρύσσατο μητρός,
καὶ διφυοῦς Χείρωνος ἐπὶ σπέος ἤγαγεν εὐρύ·
γλώσσης δ' ἐλπόμενον ἐτυμηθρόου ἄξια δῶρα
ἤρυξ' ἐν λευκοῖς κόρακ' ὀρνίθεσσι νέμεσθαι·

Ὠκυρόη Χείρωνος θυγάτηρ ἐνθεάζουσα τὰ τῷ Ἀσκληπιῷ καὶ τῷ ἰδίῳ πατρὶ συμβησόμενα προλέγει· ὁ δὲ Ζεὺς ὀργισθεὶς ἐπὶ τούτῳ εἰς θήλειαν ἵππον αὐτὴν μεταβάλλει·

Τέρπετο μιξοφυὴς θείης ἐκφύντι γενέθλης
ᾧ τροφίμῳ, τιμῇ τε μεμιγμένῳ ἥδετο μόχθῳ.
Ἠνὶ κόμῃς ξανθῇς ὤμους κεκαλυμμένη ἦλθε
Κενταύρου θυγάτηρ, τὴν ὠδίνασα Χαρικλὼ
Νύμφη ἐπ' ὠκυρόου ποταμοῦ ὄχθῃς ὀνόμηνεν
Ὠκυρόην· ἥ δ' οὖν τέχνας πατρὸς δεδαυῖα
οὐκ ἔστεργεν· ἄδηλα δ' ἐμέλπετο θέσφατα μοιρῶν.
τῷ φρένα θεσπιεπέσσι κατισχομένη μανίῃσιν,
καὶ ζειουσα θεῷ, τὸν ἐνὶ στήθεσσιν ἔεργε,
παῖδ' ἐσιδοῦσα προσεῖπεν· "Ἀέξεο πᾶσι σαωτήρ,
» ὦ παῖ! ἦ ζωήν σοι ὀφειλήσει θαμὰ φύτλη
» ἀνθρώπων, ψυχάς τε δυνήσεαι ἄψ ἀνενεγκεῖν
» ἐξ αΐδεω· τό δ' ἐπεὶ κ' ἀέκητι θεῶν ποτε ῥέξῃς,
» πάππου σε φλογερὸν βέλος εἴρξει μηκέτι ῥέξαι.
» ἐκ δὲ θεοῦ ἄπνοον σῶμ' ἔσσεαι, ἐκ νέκυος δὲ
» δεύτερον αὖ δαίμων· δὶς δ' οὕτως αἶσαν ἀμείψεις.
» Καὶ σύ, πάτερ φίλε, ὃς φύσιος νόμῳ ἄμβροτός ἐσσι,
» ἄφθαρτός τε τέτυξαι ἐς αἰῶν' ἔμμεν ἅπαντα,
» θνητὸς ἔμεν ποθέσεις, σὰ τετρωμένα ὁππότ' ὀπίσσω
» γυῖα δρακοντείου δύντος λύθρου, ἄλγεα πείσῃ.
» τῷ σε θεοὶ θήσουσ' ἐξ ἀθανάτου θανάτοιο
» ἔμμορον, ἠδὲ θεαὶ τρεῖς σὸν τότε νῆμα ταμοῦσι."
Λείπετό τι φράσσαι· στήθευς στένεν ἐκ μυχάτοιο,
καὶ κανθῶν προθορόντα παρειὰς δάκρυ' ἔτεγγε.
"Μοῖρά μ', ἔφη, φθάνει. τῷ πλείον' ἐρύκομαι αὐδᾶν,
» καὶ στόμα κωλύεται φοιβήϊον ὄσσαν ἰάλλειν.
» οὐ τόσου ἀξίη ἔσκε τέχνη, τῆς μοι κεχόλωνται
» ἀθάνατοι· κρείσσων κ' ἔπλετ' ἐσσομένων μοι ἀφραστύς.
» νῦν εἶδος δοκέω ἀποέννυσθ' ἦκα βρότειον·

» νῦν βρωτὺς ποίη μοι ἐπεύαδεν· ἂμ πεδίον δὲ
» ἵεμαι εὐρὺ θέειν, τρέπομαί τ' ἐς σύγγονον ἵππον.
» ἐς τί δ' ὅλη; διφυὴς γάρ μοι γενέτωρ γεγένηται.„
Τοῖ' ἀνοδυρομένης πύματοι φθόγγοι ἀνοδυρμοῦ
τυτθὸν ἄκουσθεν· ἔσαν γὰρ οἱ ἔπε' ἄκριτ' ἐκεῖνα.
Αὐτίκα δ' οὐκέτ' ἔπη, οὔθ' ἵππου φθόγγος ἐκεῖνος,
οἷος δ' ἵππου· ἔπειτα δ' ἐτήτυμον ἵππου ἔηκεν
ἐκ στόματος χρόμαδον καὶ χεῖρας ἔτειν' ἐπὶ ποίην.
Δάκτυλα μὲν συνέφυ καὶ πέντ' ὄνυχας κερατώδεις
μουνοφυὴς συνέδησεν ὁπλή· στόμ' ἀέξετο δ' ἤδη
καὶ αὐχήν· μακρῆς χλανίδος τὸ πλεῖστον ἔγεντο
οὐρή· ἀτὰρ χαῖται, αἵτ' αὐχένι ἀμφικέχυντο,
ἐς λοφιὴν τράφθεν ἐπιδέξια· σὺν δέ οἱ αὐδὴ
ἠλλάχθη καὶ μορφή, ἔδωκε δ' οἱ οὔνομα μορφή.

Μάτην ὁ Χείρων θρηνῶν τὴν τοῦ Ἀπόλλωνος αἰτεῖται ἐπικουρίαν· οὗτος γὰρ τότε πόῤῥω τῆς Θεσσαλίας ἐν Μεσσηνίᾳ καὶ Ἤλιδι ἐβουκόλει. Ὁ δὲ Ἑρμῆς ἐκεῖσε ἀφικόμενος λάθρα ὑπεξαιρεῖται τὰς τοῦ Ἀπόλλωνος βοῦς καὶ τὸν Βάττον ψευσάμενον τὴν ὑπόσχεσιν καὶ τὸν τόπον μηνύσαντα, ἔνθα αἱ βοῦς ἐκεκρύφατο, μετατρέπει εἰς λίθον.

Κλαῖε, τεήν τε μάτην Φιλύρης γόνος ᾐτέεθ' ἥρως.
Φοῖβ', ἐπαρωγήν· οὐ γὰρ ἔην βουλὰς ἀθετῆσαι
Ζηνὸς ἐρισθενέος· οὐδ' εἴ σοι ἔην ἀθετῆσαι,
κεῖθι παρῆς· Ἦλιν Μεσσηνίδα τ' αἶαν ἔναιες.
Τῆμος δὴ κῶάς σε βοτηρικὸν εἴλυεν ὤμους·
καὶ λαιῇ μὲν βάκτρον ἔχες βαρὺ ἀγριελαίης,
τῇ δ' ἑτέρῃ σύριγγ' ἑπτ' ἐν δονάκεσσιν ἀνίσοις.
Ὄφρ' οὖν σὰς φρένας εἶχεν ἔρως καὶ ἔτερπέ σε σύριγξ,
ἀγροὺς ἐς πυλίους ἀφυλάκτους φασὶ προελθεῖν
βοῦς· τὰς δ' ἄρ' Μαίης ἀτλαντίδος ἔδρακεν υἱὸς
ἠδὲ δόλοις ἐλάσας ἔκρυψ' ἐνὶ τάρφεσιν ὕλης.
Μοῦνος ἐφράσσατο κλέμμα γέρων ἀρίδηλος ἐν ἀγροῖς
κείνοις, ὃν Βάττον πάντες καλέεσκον ὅμουροι.

Ἀφνειοῖο νάπας Νηλῆος καὶ νέμε' οὗτος
ποιήεντα φύλασσε, καὶ ἵππους φέρβεν ἀγαυράς.
Τὸν δ' οὖν δείσας χειρὶ παρήγαγε θωπικῇ Ἑρμῆς
καὶ φάτο· "Ὅς τις ἄρ' εἷς, ξεῖν', εἴτις σ' ἀμφὶ βόεσσιν
» ἐνθάδ' ἔροιτο, λέγ' ἀγνοέειν· ὄφρ' ἔχησθα δ' ἀμοιβὴν
» πρήξιος ἐξ ἐμέθεν, βοῦν τήν δε λάβ' ἀγλαόγυιον·"
καί μιν ἔδωκε· γέρων δὲ λαβὼν ἀπαμείψατο τοῖα·
"Θάρσει· λᾶας ὅδε πρότερός κε σὰ κλέμματα εἴποι·"
Δεῖξε δὲ λᾶαν. Ἀπαὶ δ' ἰέναι Διὸς εἴσατο υἱός·
εἶτ' ἐπανῆλθεν· ὁμοῦ δ' αὐδὴν καὶ εἶδος ἀμείψας,
ἔννεπεν· "Ὦ ἀγροῖκε, εἰ ἐνθάδε βοῦς τινας εἶδες
» οἰχνεύσας, ἐπάρηξον ἰδὲ κλοπίην ἀνάφηνον·
» σὺν ταύρῳ βοῦν σοι καλὸν μήνυτρον ὀπάσσω."
Δῶρον ὑποσχομένῳ διπλοῦν ὁ γέρων οἱ ἔειπε·
"Κείνῳ ἐν οὔρει ἔσονθ'," ·αἳ δ' ἦσαν ἐν οὔρεϊ κείνῳ.
Τῷ δ' Ἑρμῆς γελάσας· "ἐμὲ μηνύεις μοι ἄπιστε;
» μηνύεις ἐμέ μοι;" καὶ στήθεα τρέψεν ἄπιστα
ἐς λίθον, ὃν καὶ νῦν ἔτι μηνυτὴν καλέουσιν.
ἀρχαῖον δὲ λίθῳ καὶ ἀναιτίῳ ἐστὶν ὄνειδος.

Ὁ Ἑρμῆς διαέριος ὑπὲρ τὰς Ἀθήνας ἱπτάμενος, μίαν τῶν Κέκροπος θυγατέρων τὴν Ἕρσην ἰδών, ἔρωτι αὐτῆς διακαίεται καὶ μισθῷ τὴν ἀδελφὴν αὐτῆς Ἄγλαυρον πείθει τῷ ἑαυτοῦ ὑπουργῆσαι πόθῳ. Ἡ δὲ Ἀθηνᾶ τοῦ πρὸς ἑαυτὴν τῆς Ἀγλαύρου ἁμαρτήματος μεμνημένη, (ἴδε στ. 559 κ. ἑ.) τοῦ ἐλπιζομένου ἀγαθοῦ ἐκκροῦσαι αὐτὴν βουλεύεται· καὶ δὴ πρὸς τὸν Φθόνον ἐλθοῦσα, αἰτεῖται αὐτὸν τῇ ἐκείνης ἐνιοβολῆσαι καρδίᾳ. Ἡ οὖν Ἄγλαυρος τῇ ἀδελφῇ Ἕρσῃ φθονήσασα, τὴν παρ' αὐτὴν εἴσοδον τοῦ Ἑρμοῦ διακωλύειν πειρᾶται καὶ εἰς λίθον ὑπ' αὐτοῦ μεταβάλλεται.

Ἐκπετάσας πτέρυγας Χρυσόῤῥαπις ἔνθεν ἀέρθη,
Μουνυχίης δ' ἀγροὺς θυμαρέα τ' αἶαν Ἀθήνης
λεῦσσ' ὑπεριπτάμενος τερπνοῦ κήπους τε Λυκείου.
Ἤματι δὴ κείνῳ κατ' ἔθος τόθι παρθένοι ἁγναὶ
Παλλάδος εἰς φαιδρὴν ἄκρην ἐπὶ κρατὸς ἄχραντα

στεπτοῖς ἐν κανέοις πολιηόχῳ ἱρὰ κόμιζον.
Ἔνθεν ἀπερχομένας πτηνὸς θεὸς ἔδρακ' ἰδ' οἶμον
οὐκ ἔτ' ἔτεμν' ἰθύν, ἀλλ' αὐτόθι κυκλοφορεῖτο.
ὡς δέ ποθ' ἴρηξ ἔγκατ' ἰδὼν ὠκύπτερος ὄρνις,
ἱρήων δεδιὼς στῖφος, τό περ ἀμφέπει ἱρά,
κυκλόσ' ἑλίσσεται, οὐδὲ πρόσω τέτληκε προελθεῖν,
ἐλπωρὴν δ' ἄρ' ἑὴν περιίπταται ὀξὺ μενοινῶν,
τὼς ὑπὲρ ἀκταίης κοῦφος Κυλλήνιος ἄκρης
ἰθείης ἀπέκαμψε, καταυτόθι τε στρωφᾶτο.
Ὅσσῳ στιλπνότερος πόλου ἄλλων λάμπεται ἄστρων
Φωσφόρος, ἠδ' ὅσσῳ χρυσέα σέο, Φωσφόρε, Φοίβη,
τόσσῳ παρθενικῶν προφερεστέρη οἴχνεε πασῶν
Ἕρση, πομπῆς ἀγλαΐη καὶ ἑῶν συνοπηδῶν.
Θαύμασ' ἰδὼν Διός υἱός, ἐν αἰθέρι δ' ὕψι πολεύων
ἔζεσεν ὡς μόλιβος, τόν περ βαλεαρὶς ἧκε
σφενδόνη· ἵπταθ' ὃ γὰρ διά τ' οἴμου θέρμετ' ἐρωῇ,
καὶ ὅπερ οὐκ ἔχε πῦρ εὑρίσκεται ἐν νεφέεσσιν.
Οἶμον ἄμειψ' Ἑρμῆς κατά τ' αἰθέρος ἐς χθόν' ὄρουσεν.
οὐδ' ἄρ' ἑ αὐτὸν ἔκρυπτε· τόσον μορφῇ ἐπεποίθει·
ἔνδικα μέν τ' ἐπεποίθει· ἄεξε δὲ καὶ κομιδή μιν.
Ψῆξε κόμην, σὺν δε χλαμύδ' εὐθέτισ', ὄφρα κρέμαιτο
εὖ, παρυφὴ τ' αὐτῆς καὶ χρύσεος κόσμος ὁρῷτο,
ὄφρα ῥάπις οἱ ἔοι ἐνδέξια, ὄργανον ὕπνου,
ὄφρα τ' ἐπ' ἀσπίλοις στίλβοιεν πέλμασι ταρσοί.
ἀσκητοὺς ἐλέφαντι χελώνῃ τ' ἐντὸς ἔεργε
τρεῖς θαλάμους μέγαρον, τῶν τύνη, Πάνδροσ', ἔναιες
δεξιόν, Ἄγλαυρος λαιόν, μέσατον δ' ἔχεν Ἕρση.
Ἡ οὖν λαιὸν ἔχε, πρώτη προσιόντ' ἐνόησεν
Ἑρμῆν, ἠδὲ θεοῦ θάρσησ' ὄνομ' ἐξερεεῖναι,
ἠδ' ἐφ' ὅτῳ ἥκοι· ὁ δ' Ἄτλαντος Πληϊόνης τε
υἱωνὸς τοῖ' ἔειπεν· "Ἐγὼ φέρω αἰθερόφοιτος
» πατρὸς ἐφημοσύνας· Ζηνὸς δ' ἐγὼ ἐκγέγα' αὐτοῦ.

» Οὐ πλάσομαι προχάνην· βούλει τεῇ ἔμμεν ἀδελφῇ
» πιστή, ἐμῶν δὲ φίλων τηθὶς τεκέων καλέεσθαι;
» Ἔρση ὁδοῖο τέλος μοι· ἐρῶντι δὴ εὐμενέοις μοι. „
Εἴσιδ' ἐκεῖνον Ἄγλαυρος ὁμοίοις ὄμμασι κούρη,
οἵοις πρὶν κρύφια ξανθῆς ηὐγάσσατ' Ἀθήνης.
Μισθὸν δ' ἔργου ἑοῦ σταθμὸν μέγαν ᾔτεε χρυσοῦ,
καί μιν ἀποστιχέειν οἴκου ἐκέλευε μεταξύ.
Ταυρῶπις δ' ἐπὶ τὴν αἰνὴ θεὰ ἔτραπεν ὄσσε,
καὶ τόσσον μυχάτου στόνον ἐκ στέρνου ἀνέηκεν,
ὥσθ' οἱ καὶ στῆθος καὶ ἐπὶ στήθευς ἀνεσείσθη
αἰγίς· ἀνεμνήσθη γάρ, ὅτι κρύφι' ἐξεκάλυψε
χερσὶν ἑῇς κείνη, ὅτ' ἀμήτορα λημνίου υἱὸν
Ἡφαίστου πρώην παρ' ὑπόσχεσιν ἔτλη ἰδέσθαι.
Μνήσατο δ', ὅττι θεῷ τε φίλη καὶ ἀδελφῇ ἔσοιτο
καὶ ἅμ' ἀφνειή, εἴγε λάβοι ὅσον ᾔτεε χρυσόν.
Αὐτίκα δὴ Φθόνου εἶσι δόμον μεμορυγμένον ἰῷ
κυανέῳ· στυγερὸς δ' οἱ ἐν ἄγκεσι κεῖτο βαθίστοις
αἴγλης τ' ἠελίου καὶ ἀητῶν ἄμμορος οἶκος,
ψύχεος ἀδρανέος καὶ κρυμοῦ ἔμπλεος αἰέν,
εὔνις δ' αὖτε πυρός, κεκαλυμμένος ἀχλύϊ πυκνῇ.
Ὡς οὖν αἶψα κόρη πολεμήτοκος ἵκετο κεῖσε,
ἔστη δὴ πρὸ δόμου· (οὐ γὰρ θέμις ἔπλετ' ἐσελθεῖν
οἶκον)· ἄκρῳ δέ τε πυκνὰ θυρώματα δουρὶ πάτασσεν.
Ὠΐχθη πληγεῖσα θύρη· ἴδε δὲ Φθόνον ἔνδον
ὤμ' ἔχιος κρέ' ἔδοντα, τά περ τρέφει οἱ κακότητα.
Κεῖνον ἰδοῦσα πάλιν τράπεν ὄμμαθ'· ὁδ' ἔγρετο νωθής
ἐκ δαπέδου, ὀφίων θ' ἡμιβρώτων λίπε σάρκας,
καὶ βραδέεσσιν ἔβαινε χαμαὶ ποσὶν ἀμφισαλεύων.
Ὡς δὲ θεὴν μορφῇ τε καὶ ἔντεσιν εἶδε πρέπουσαν,
βυσσόθεν ἐστονάχησε παρέσπασέ τε στόνῳ ὦπα.
ὠχρόν οἱ ἐστὶ πρόσωπον, ἀτὰρ σκελιφρὸν μάλα σῶμα,
λοξὸν δ' αὖτε βλέμμα, πελιδνοὶ δ' αὔχμῃ ὀδόντες·

στέρνα χολοίβαφ' ὁρᾶται, ἐπὶ γλώσσης κέχυτ' ἰός,
τῆλε γέλως φεύγει, πλὴν εἴ τί τιν' ἄλγος ὀρίνει·
οὐδέποθ' ὕπνου γεύετ', ἐρεχθόμενος μελεδῶσιν,
ἀλλ' ὁράᾳ μερόπων εὐηπελίην ὀδυνηρήν,
καὶ συντήκεθ' ὁρῶν, κάρφων θ' ἅμα κάρφεται αὐτός,
αὐτόν θ' ἓ τρύει· καίπερ στυγέουσα δ' Ἀθήνη
κηρόθι κεῖνον, ὅμως τάδε μιν βραχέα προσέειπε.
« Κεκροπίδων σὺ μίαν ἴθι χρᾶνον σῷ, Φθόνει, ἰῷ,
Ἄγλαυρον· τοίη χρειὼ πέλει „ Οὐ πλέον εἶπε
καὶ κίε· γαῖαν δ' ὦσεν ἐρεισαμένη δορὶ μακρῷ.
Νισσομένην δὲ θεὰν λοξοῖς Φθόνος ὄμμασι λεύσσων
βαί' ὑπετονθόρισε, Τριτοῦς τ' ἐπιτεύγματι θυμὸν
ἄχνυτο· ἀμφίδετον δ' ἄρ' ἀκάνθης πάντοθι βάκτρον
εἵλετο, καὶ δνοφεροῖσι καλυπτόμενος νεφέεσσιν,
ὅπποι βαίνοι, ἔτριβεν ἀρούρας ἀνθεμοέσσας,
καὶ βοτάνας ἐνέπρηθε, καὶ ἄκρους κεῖρε κορύμβους,
πνοιῇ δ' ᾗ λαούς τε, πόλεις τε, δόμους τ' ἐμίαινεν·
Ὕστατα δ' ὀφθαλμοῖς ἱερὴν πόλιν ἔδρακ' Ἀθήνης,
ἰδμοσύνῃ δυνάμει τε καί εἰρήνῃ θαλέθουσαν,
καὶ δάκρυ' οὐ κατέρυκεν, ἐπεὶ γ' οὐ λεῦσσε δακρυτά.
αὐτὰρ ἐπεὶ θαλάμους Κεκροπηΐδος ἵκετο κούρης,
κρῆνε κέλευσμα· θιγὼν γὰρ ἓο στέρνου χερὶ κεῖνος
ἰοβαφεῖ, γαμψῶν ἐνέπλησε στήθεα κέντρων,
καὶ ἐνέηκε μίασμ' ὀλοόν, καὶ ἔχευε κελαινὸν
εἴσω ἐς ὀστέα καὶ μέσσους ἐς πνεύμονας ἰόν.
Ὄφρα δὲ μὴ ἄποθεν τοίη ἔργοιθ' οἱ ἀνίη,
θῆχ' οἱ ὑπ' ὀφθαλμοῖσι κασιγνήτην τε γάμον τε
ὄλβιον, Ἑρμειάο τ' ἀριπρεπέος θεοῦ εἶδος·
Πάντα δ' ἄεξ', οἷς κούρη ὀρίνετο καὶ ὀδύνῃσι
δάκνετο λαθραίῃς κεκροπίς· διὰ νύκτα δ' ἀδήμων
καὶ ἦμαρ στονάχιζε, νόσῳ τε βραδείῃ ἄποτμος
τήκετο, ὡς πηγὰς βληχροῖς Φοίβου βελέεσσιν.

Οὕτω δ' εὐποτμίῃ κάσιος κέαρ αἴθετο Ἕρσης,
ὡς ὅτε πῦρ βοτάνῃσιν ἀκανθώδεσσι πελάσθῃ,
αἱ δ' ἄρ' ἄνευθε φλογὸς πυρὶ τύφοντ' ἠρέμα βαιῷ.
Πολλάκι μὲν θανέειν ἐπόθησ', ὄφρα μὴ τοῖ' ὁρῴη·
πολλάκι δ' ὡς ἀλίτημα πάθος πατρὶ τρηχέϊ φῆναι.
Ὑστάτιον δ' οὐδῷ μέσῳ ἕζετο, ὡς θεὸν εἴρξῃ
ἐρχόμενον· καί οἱ θώπτοντί τε, λισσομένῳ τε,
μείλιχ' ἔπη τ' αὐδῶντι τοῖ' ἔκφατο· “ἴσχεο μύθων·
» οὐ γὰρ ἔγωγε θύρης χάσομαι πρὶν σ' ἔνθεν ἀπῶσαι.„
“Μιμνέτω ἔμπεδα ταῦτα·„ ταχὺς Κυλλήνιος εἶπε,
γλυπτάς τ' ᾦξε θύρας ῥάβδῳ· Κείνη δ' ἄρ' ἐγρέσθαι
πειρηθεῖσ', ἑὰ γυῖα, τὰ κάμπτεται ἑζομένοισι,
κινῆσαι βρίθευς ὑπὸ νωθέος οὐκ ἐδυνάσθη.
Ἤτοι ἀναστῆσαι πειρήσατο ὃν δέμας ἔνθεν,
ἀλλ' ἁρμὸς γούνων ἐπεπήγεε, δῦνε δὲ γυῖα
ῥῖγος, καὶ ὤχρων ῥευστὸν φλέβες αἷμ' ὀλέσασαι.
Ὡς δ' εἴωθε πρόσω νήκεστον καρκίνος ἕρπειν
πῆμα, προστιθέμεν τ' ἀσκηθέα γυῖα νοσηροῖς,
τὼς κηρεσσιφόρος πάγος ἦκα στήθε' ἀνῆλθε,
καὶ βιότου οἴμους καὶ πνοιῆς φράσσε κελεύθους.
Ἣ δ' αὐδᾶν οὐ πειρήθη, οὐδ' ὄσσα κεν οἶμον
πειρηθείσης εὗρε· τέτραπτο γὰρ ἐς λίθον αὐχήν,
καὶ στόμ' ἀπεσκλήρυντο, τύπος θ' ὣς ἄπνοος ἦστο.
οὐ λευκὸς λίθος ἔσκε· νόος γὰρ ἔχρηνεν ἐκείνην.

Ὁ Ζεὺς Εὐρώπης ἐρασθεὶς τῆς Ἀγήνορος, Βασιλέως Φοινίκων, ἁρπάζει αὐτὴν καὶ διαπόντιον φέρει ἐπὶ τῶν νώτων εἰς Κρήτην.

Αὐτὰρ ἐπεὶ μύθων μιν ἐτίσατο καὶ φρενὸς οὕτως
αἰσύλου Ἑρμείας, κληϊζομένην ἀπ' Ἀθήνης
γῆν λίπε καὶ ἤϊξεν ἀν' αἰθέρα ταρσῷ ἐρέσσων.
Τὸν δ' ἀπονόσφι πατὴρ καλέσας καὶ ἔρωτ' ἀποκρύψας
ἔννεπε· “τέκνον, ἐμῶν σὺ ἐφετμῶν ἄγγελε πιστέ,

“ μὴ δήθυνε· δρόμῳ δὲ κατόρσεο, ὡς ἔθος, ὠκύς,
» κα ῥ' ἴθι χώρην, ἣ λεύσσει καθύπερθ' ἐπὶ λαιῇ
» μητέρα σήν, τήν τ' ἐγχθόνιοι ἄνδρες καλέουσι
» Σιδόνα· ἣν δ' ἀγέλην βασίλειον ἐπ' οὔρεϊ τηλοῦ
» φερβομένην ὁράας ποίην, ἔλα αἰγιαλόνδε. „
ἔννεπε· καὶ βόες αἶψ' ἐλαθέντες ἀπ' οὔρεος αἰποῦ
ἠϊόν' ἷκον, ὅπου μεγάλου θυγάτηρ βασιλῆος
παίζειν εἰώθει Τυρίων μετὰ παρθενικάων.
Οὐ μεγαλεῖον ἔρωτι ὁμοστιχεῖ, οὔτ' ἄρ' ἐφ' ἕδρης
ἑδριάαται ὁμῆς· τῷ σεμνὸν σκῆπτρον ἐάσας
ἀθανάτων γενέτωρ τε μέδων θ', οὗ τριχθαδίῳ χεὶρ
ὥπλισται πυρὶ καὶ Κόσμον βαρὺ νεῦμ' ἐλελίζει,
μορφὴν ἕσσατο ταύρου, ἀτὰρ δαμάλεσσ' ἀνάμικτος
μυκᾶτο, χλοερῇ τ' ἐπὶ ποίῃ πλάζετο καλός.
Χροιὴ γὰρ πέλεν οἱ χιόνος, τὴν οὐ ποδὸς ἴχνος
ἔστιβεν, οὔτε νότου ὀμβρηροῦ τῆξεν ἀϋτμή.
αὐχὴν ἐξώγκωτο, κρέμαντο δὲ λωγάνι' ὤμων.
βαιὰ μὲν ἦν κέρα, φῆς δὲ κ' ἰδὼν χερὶ ταῦτα πεπλάσθαι,
μεῖζον' ἀποστίλβοντα λίθων αἴγλην πολυτίμων.
Οὔτις ἐφῆστο μετώπῳ ἀπειλή, οὐκ ἔπλεν ὄμμα
δεινόν, πρηὺ πρόσωπον ἔην· θαύμαζε δ' ἄνακτος
κούρη, ὅθ' οὕτω καλός, ὅτ' οὔτιν' ἀπείλεε δῆριν.
καὶ τιθασοῦ δ' ἔμπης θιγέειν δείμαινε τὸ πρῶτον·
εἶτ' ἔπλητο, καὶ ἄνθε' ὑπὸ στόμα λευκὸν ὀρέγνυ.
Γήθεε κεῖνος ἐρῶν· εἵως δ' ἀναπλήσῃ ἐέλδωρ,
χεῖρε κύνει, χαλεπῶς δ' ἄρα λοιπὴν ἄμβαλε πρῆξιν.
Καὶ νῦν μὲν προσέπαιζε, χλοανθεῖ σκαῖρε τ' ἐπ' οὔδει·
νῦν δ' αὖ ἐπὶ ξανθῆς λευκὸς δέμας ἄμμου ἔρειδεν.
Ὡς δὲ οἱ ἐκ φρενὸς εἷλε δέος, νῦν στέρνα παρεῖχε,
χείρεσι παρθενικῆς πλαταγεῖν, νῦν δ' αὖ κέρα καινοῖς
στέμμασιν ἀμφιδέειν· θάρσησε δὲ κούρη ἄνακτος
ἀμβῆναι ταύρου νῶτ', ἀγνοέουσ' ὅτις ἔσκε.

Καὶ τότ' ἀπὸ χθονὸς αἶψα θεὸς ξηρῆς τ' ἀπὸ θινὸς
ἴχνια θῆκε ποδῶν ἀπατήλια εἰς ἁλὸς ἄκρην·
εἶτα δ' ἔβη προτέρω καὶ ληΐδα μέσσον ἐς οἶδμα
ἤνειχ'· ἡδ' ἔδδεισε καὶ ἀκτὴν δέρκετ' ὀπίσσω
ἁρπασθεῖσα· κέρας δ' ἔχε δεξιτερῇ, ἑτέρην δὲ
Νώτῳ ἔρειδ'· ἐλαφρὸν δ' οἱ ἀῆται φᾶρος ἐκόλπουν·

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΟ Β'. ΒΙΒΛΙΟΝ

ΤΩΝ ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ.

Στίχ. 2). *Πυρωπῷ*· μίγμα ἐστὶν ὁ *πυρωπὸς* χαλκοῦ καὶ χρυσοῦ (ἴδε Πλίνιον Hist. nat. 33, 8, 94).

4). Προειλόμην τὴν γραφὴν *lumine* τῆς *limine*,

9). *Πρωτεύς*, θεὸς θαλάσσης παντοίαν μορφὴν λαμβάνων· διὸ καλεῖται ἐνταῦθα *ἀμφίβολος*, ἅτε μόνιμον μὴ ἔχων μορφήν· *Αἰγαίων* δὲ ὁ αὐτὸς καὶ *Βριάρεως* (Ἰλ. ά. 403) γίγας ἐστὶ θαλάσσιος ἑκατόγχειρ, ὃν ἐπὶ φαλαινῶν ὀχούμενον γράφουσι.

11). *Δωρίς*, θυγάτηρ Ὠκεανοῦ καὶ Τηθύος, γυνὴ δὲ τοῦ θαλασσίου θεοῦ Νηρέως. Τούτων θυγατέρες εἰσὶν αἱ *Νηρεΐδες*, νύμφαι θαλάσσιαι.

12). *Κόμας πρασίους*. τοιαύτας τὴν χροιὰν κόμας οἱ θαλάσσιοι θεοὶ ἔχοντες γράφονται.

16). *Θεοὺς ἀγριώτας*· ἴδε σημ. εἰς στίχ. 193 βιβλ. ά.

26). Αἱ *Ὧραι* παρ' ἄλλοις τοὺς καιροὺς τοῦ ἔτους σημαίνουσιν· ἐνταῦθα δὲ προσωποιῖαι εἰσὶ τῶν ἴσων τοῦ ἡμερονυκτίου χρονικῶν μορίων, ἃ συνήθως *ὧραι* καλοῦνται· ὑπηρετοῦσι δὲ τῷ τῆς ἡμέρας θεῷ. Τοῖς δὲ ἀρχαιοτέροις ὧραί εἰσιν οἱ χρόνοι, οἳ ἔρχονται καὶ παρέρχονται, τῇ Φύσει ἀεὶ καὶ τοῖς ἀνθρώποις φέρουσαι ἃ γενέσθαι τέτακται ἐξ ἀρχῆς. Ὁ δ' Ἡσίοδος ἐν Θεογονίᾳ τρεῖς ἐποίησεν *Ὥρας* τοῦ Διὸς καὶ τῆς Θέμιδος θυγατέρας, ὧν ἡ μὲν *Εὐνομία*, ἡ δὲ *Δίκη*, ἡ δ' *Εἰρήνη* καλεῖται. Παρ' Ὁμήρῳ δ' αἱ Ὧραι κόραι εἰσὶ νεότητι καὶ κάλλει διαπρεπεῖς, τοῖς θεοῖς ὑπουργοῦσαι καὶ τοὺς ἵππους ἀπὸ τοῦ δίφρου τῇ Ἥρᾳ λύουσαι.

28). *Θέρος γυμνόν*. Ἡ τοῦ προσωποποιουμένου Θέρους γυμνότης τὴν θερινὴν ἀλέαν αἰνίττεται.

29). Τὸ Φθινόπωρον εἰκονίζεται φέρον σημεῖα τῶν φθινοπωρινῶν τῶν ἀνθρώπων ἔργων.

40—41). Ὁ Ἥλιος γράφεται φορῶν ἀκτῖνας ἐπὶ τῆς κεφαλῆς.

46). Τὴν ἐν ᾅδου στύγα ὄμνυσιν, ἣν ὁ ἥλιος οὐδέποθ' ὁρᾷ.

50—51). *Ἢ δὴ ἄβουλον μῦθον* κτλ. Ἡ σὴ ἄβουλος αἴτησις παρήγαγέ με εἰς ἄβουλον ὁμοίως ὑπόσχεσιν.

70—72). Ἀπ' Ἀναξαγόρου ὑπετέθη ὁ οὐρανὸς ταχέως περιδινούμενος ἀπ' ἀνατολῶν πρὸς δυσμὰς καὶ σὺν ἑαυτῷ τὰ προσπεπηγότα ἄστρα συμπεριάγων· ὁ δ' ἥλιος καὶ οἱ πλανῆται κατὰ τὴν αὐτὴν ὑπόθεσιν τὴν ἐναντίαν ἔχουσι φοράν, διὰ τοῦ ζῳδιακοῦ κύκλου φερόμενοι πρὸς ἀνατολάς.

75). *Ἄξων*, ὁ ταχύτατα στρεφόμενος ἄξων τοῦ οὐρανοῦ.

78). *Θηρῶν*· τῶν ἐν τῷ ζῳδιακῷ κύκλῳ ἄστρων, ἃ οἱ Ἀστρονόμοι θηρίοις εἰκάζουσι, καὶ οἷς θηρίων ὀνόματα τεθείκασιν. Ἐκ τῶν δώδεκα ζῳδίων τὰ πέντε μόνα ἐν τοῖς ἑξῆς μνημονεύει ὁ ποιητής, ἃ φοβερῶν θηρίων φαντασίαν παρέχει. Ἀδείᾳ δὲ ποιητικῇ τῆς κατ' ἐπιστήμην ὀλιγωρῶν ἀκριβείας ἐν ἡμέρᾳ μιᾷ ποιεῖ τὸν Φαέθοντα τὰ τοῦ ζῳδιακοῦ κύκλου διατρέχοντα ἄστρα, ἃ τὸν Ἥλιον ἐν ὅλῳ ἔτει διοδεύοντα οἴδαμεν.

81). *Αἱμόνια τόξα* τὰ τοῦ Τοξότου λέγει· τὸ γὰρ ζῴδιον τοῦτο Κενταύρῳ εἴκαστο τοξοφόρῳ. Ὅτι δὲ τῶν Κενταύρων πατρὶς ἡ Θεσσαλία, ἣ πρότερον Αἱμονία ἐκαλεῖτο, δῆλον.

83). *Ἄλλῃ*, πρὸς ἄλλο μέρος τοῦ οὐρανοῦ.

110). *Φοῖβον*, ἀντὶ τοῦ *ἥλιον*. Πολλάκις τίθεται κατ' Ἀντωνομασίαν κύριον ὄνομα ἀντὶ προσηγορικοῦ· *Ἥφαιστος* ἀντὶ *τοῦ πυρός*, *Ποσειδῶν* ἀντὶ τῆς *θαλάσσης*.

118). *Τιτάν*. ἴδε σημ. εἰς βιβλ. ά. στίχ. 10—14 *Ὧρης*. ἴδε σημ. εἰς στίχ. 26.

130). *Τέτμηται λικριφὶς.... οἶμος* Τὴν ἐκλειπτικὴν λέγει, ἣ καὶ *λοξιὰς* κέκληται, ἅτε λοξῶς τὸν Ἰσημερινὸν τέμνουσα· ταύτην γὰρ ὁ ἥλιος διατρέχει.

131). *Ἐν δὲ τρισὶ ζώνῃσιν ὁρίζεται*. Ἡ ἐκλειπτικὴ διατέμνει τὴν διακεκαυμένην ζώνην, τῶν δὲ δύο εὐκράτων ἐφάπτεται μόνον, τῆς μὲν βορείου κατὰ τὸν Καρκίνον, τῆς δὲ νοτίου κατὰ τὸν Αἰγόκερων.

138). *Πρὸς ἑλικτὸν Ὄφιν*. τὸν καλούμενον Δράκοντα, ὃς ἄστρον ἐστὶ τοῦ βορείου τοῦ οὐρανοῦ ἡμισφαιρίου, μεταξὺ τῶν δύο Ἄρκτων, τῆς μεγάλης καὶ τῆς μικρᾶς, ἑλισσόμενος.

139). *Βωμῷ*. *Βωμὸς* ἄστρον ἐστὶ τοῦ νοτίου ἡμισφαιρίου, ἐγγὺς τοῦ Σκορπίου κείμενον.

142—143). *Τέρμα κατ' ἀκτὴν ἑσπερίην ἵκται*. Ἡ τοῦ ἑσπερίου Ὠκεανοῦ ἀκτὴ πέρας τῆς γῆς ἐνομίζετο παρὰ τοῖς ἀρχαίοις καὶ τέρμα τοῦ ὑπὲρ τῆς γῆς δρόμου τοῦ Ἡλίου καὶ τῆς Νυκτός, οὓς ἐνταῦθα ἀφικομένους εἰς θάλασσαν ἔφασκον καταδύεσθαι.

155). *μοχλόν*, τὴν ἐπὶ τῆς βαλβίδος τοῦ ἡλιακοῦ δρόμου δοκόν, ἥτις τοὺς ἵππους τοῦ ἐκδραμεῖν ἐκώλυεν· Ὀρθῶς δ' ὁ ποιη-

τὴς λέγει τὴν Τηθὺν τοῖς ἵπποις τὸν μοχλὸν ἀφελεῖν· θεὰ γὰρ αὕτη ἦν τῆς θαλάσσης, εἰς ἣν τὸν ἥλιον ἐξ οὐρανοῦ οἱ ποιηταὶ καταδύεσθαι καὶ ἐξ ἧς ἀνιέναι πάλιν εἰς οὐρανὸν ὑπελάμβανον.

172). *Μάψ θ' ἅλα δῦναι ἐπειρήσαντο παρ' αἶσαν.* Δῆλον, ὅτι τοῖς βορειοτέροις τῆς λϛʹ μοίρας τοῦ ἡμετέρου ἡμισφαιρίου κατοίκοις αἱ Ἄρκτοι οὐδέποτε δύουσιν. Ἐπειδὴ δὲ τοὺς δύοντας ἀστέρας εἰς θάλασσαν κατέρχεσθαι οἱ ἀρχαῖοι ἐδόξαζον, διὰ τοῦτο καλῶς μὲν Ὅμηρος (Ὀδυσ. Ε. 275) περὶ τῆς μεγάλης Ἄρκτου τῆς καὶ Ἀμάξης καὶ Ἑλίκης καλουμένης φησίν, ὅτι

Οἴη ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.

καλῶς δ' ἐνταῦθα καὶ ὁ Ὀβίδιος ἀμφοτέρας τὰς Ἄρκτους, τὴν δεινὴν μὴ φερούσας θερμότητα, μάτην πειραθῆναι λέγει εἰς θάλασσαν καταδῦναι παρὰ τὰ τεταγμένα. Σημειωτέον δ' ὅτι ὁ Ὀβίδιος ἑαυτῷ ἀντιφάσκων, ἐνταῦθα μὲν ἐν οὐρανῷ ἤδη τίθησιν εἶναι τήν τε μεγάλην Ἄρκτον, ἤτοι τὴν εἰς ἄρκτον μεταμορφωθεῖσαν καὶ καταστεριθεῖσαν Καλλιστώ, καὶ τὸν Βοώτην, Ἀρκάδι τῷ ταύτης υἱῷ τὸν αὐτὸν ὄντα· εἶτα δὲ (στί. 401—507) τὴν καταστέρισιν ἀμφοτέρων τῆς τοῦ Φαέθοντος ἡνιοχείας καὶ ἀπωλείας ὑστέραν τάσσει. Ἢ οὖν ὁ ποιητὴς οὐ κατενόησε τὸν ἀναχρονισμόν, ἢ διαφευξεῖσθαι αὐτὸν τοὺς ἀναγνώστας ἐνόμισε, ταῖς τῶν μύθων ἴυγξι θελγομένους.

176). *Βοῶτα.* Ἄστρον ἐστὶν ὁ Βοώτης ἐγγὺς τῆς Ἄρκτου κείμενον, ὃ καὶ Ἀρκτοφύλαξ καλεῖται.

177). *Βραδὺς* λέγεται ὁ Βοώτης διὰ τὸ βραδέως ἀπὸ τοῦ οὐρανοῦ πρὸς τὸν δυτικὸν κατιέναι ὁρίζοντα καὶ ὀψὲ τῆς νυκτὸς δύειν.

184). *Καὶ Μέροπος·* ἐλλείπει τὸ *υἱός·* συνήθης δ' ἡ τοιαύτη ἔλλειψις.

192). *Οὔτ' ὄνομ' ᾔδεεν ἵππων·* ἵνα πραΰνειε δηλονότι αὐτούς, κατ' ὄνομα καλῶν ἕκαστον.

195—197). Οἱ ὑπὸ τοῦ Φαέθοντος ἡνιοχούμενοι ἵπποι, ἐκνεύσαντες τῆς ὁδοῦ μέχρι τοῦ Σκορπίου πρὸς νότον παρεξηνέχθησαν. Ἐξετείνετο δ' ὁ Σκορπίος κατὰ τὴν ἀρχαιοτάτην ἀστροθέτησιν, ᾗ ὁ Ὀβίδιος ἐνταῦθα κατηκολούθησεν, ἐπὶ δύο δωδεκατημόρια τοῦ Ζῳδιακοῦ, ἢ Ζῴδια, (ἃ καὶ *εἴδεα* ποιητικῶς καλεῖται) ὥσπερ τόξα τὰς ἑαυτοῦ κάμπτων χηλάς. Ὕστερον δ' ἐκ τῶν χηλῶν ἕτερον οἱ Ἀστρονόμοι ἄστρον ἐποίησαν, τὸν Ζυγόν.

204). *ἄτερ νόμου·* ἄνευ τεταγμένης τροπῆς.

208—209). Ἡ Σελήνη ἐταυτίζετο τῇ Ἀρτέμιδι, ὥσπερ ὁ Ἥλιος

Ἀπόλλωνι τῷ αὐτῆς ἀδελφῷ. Θαυμάζειν οὖν ὁ ποιητὴς τὴν Σελήνην φησὶ τὸ τοῦ ἀδελφοῦ ἅρμα κατωτέρω αὐτῆς, ἤτοι τῆς γῆς ἐγγυτέρω, θέον ὁρῶσαν.

217). Ἐπίτηδες ὁ Ὀβίδιος οὐδεμίαν ἐνταῦθα τηρεῖ τάξιν ἐν τῇ τῶν καιομένων ὀρῶν ἀπαριθμήσει, οὔτε παρακατιὼν στίχ. 242 ἐν τῇ τῶν ποταμῶν· πανταχοῦ γὰρ πάντα ἐπίμπρατο.

218). Ἡ τρωϊκὴ Ἴδη *πολυπῖδαξ* παρ' Ὁμήρῳ καλεῖται.

219). *Παρθένιος δ' Ἑλικών* κτλ. Διατί *παρθένιος;* ἢ διότι ἱερὸς ἦν ταῖς Μούσαις. *Αἷμος*, ὄρος τῆς Θράκης οὔπω τότε *οἰάγριος* ἐπικαλούμενος· βραδύτερον γὰρ ὁ τοῦ Ὀρφέως πατὴρ Οἴαγρος ἐγεννήθη, ἀφ' οὗ ταύτης τὸ ὄρος ἔτυχε τῆς ἐπωνυμίας.

220). *δισσῷ πυρί*· τῷ ἐντὸς αὐτῆς καὶ τῷ τοῦ ἡλίου.

221). *δίκορσος*, δικόρυφος (ἴδε σημ. εἰς βιβλ. ά στ. 316). *Ἔρυξ*, δὲ ὄρος Σικελίας· *Κύνθος* δὲ, τὸ ὄρος τῆς Δήλου.

222). *Ῥοδόπη*, ὄρος Θράκης. *Μίμας* δὲ, ὄρος τῆς Ἰωνίας παρὰ Κολοφῶνα.

242). *Τάναϊς τύφη* κτλ. Ὁ ποταμὸς νοεῖται ἐνταῦθα ὡς θεὸς ποτάμιος.

243), *Κάϊκος*, ποταμὸς ἐν Μυσίᾳ, πηγάζων ἐπὶ πρόποδός τινος τοῦ ὄρους Τήμνου ἐν Τευθρανίᾳ χώρᾳ Μυσίας, οὕτω κληθείσῃ ἀπὸ Τεύθραντος παλαιτάτου αὐτῆς βασιλέως.

244). *Ἰσμηνός*, ποταμὸς Θηβῶν. *Ἐρύμανθος* δὲ ποταμὸς Ἀρκαδίας ἐπὶ τοῦ ὁμωνύμου ὄρους τὰς πηγὰς ἔχων, παραῤῥέων δὲ τὴν πόλιν Φηγίαν καὶ εἰς τὸν Ἀλφειὸν εἰσβάλλων.

245), *Ξάνθος θ' ὕστερον αὖ φλεχθείς*· Ἀναφέρεται ταῦτα εἰς τὴν ἐν τῷ Τρωϊκῷ πολέμῳ κατάφλεξιν τοῦ ποταμοῦ Ξάνθου ὑπὸ Ἡφαίστου κελεύσει Ἥρας (ἴδε Ἰλ. φ. 242 κ. ἑ.) *Λυκόρμας* δὲ, ποταμὸς Αἰτωλίας κληθεὶς ὕστερον *Εὔηνος*.

246). *Μαίανδρος*. Οὗτος πηγάζει μὲν παρὰ Κελαιναῖς ἐν Φρυγίᾳ, καμπαῖς δὲ πλείσταις ὀφιοειδῶς διὰ Καρίας ῥέων καὶ Ἰωνίας, μεταξὺ Μυοῦντος καὶ Πριήνης εἰς τὸ Ἰκάριον πέλαγος ἐξερεύγεται.

247). *Μέλας*, ποταμὸς Θράκης εἰς τὸν Μέλανα κόλπον πρὸς βοῤῥᾶν Καρδίας ἐκβάλλων· ἕτερος δὲ τούτου ὁ ἐν Ἀσίᾳ τὴν Παμφυλίαν διορίζων τῆς Κιλικίας. *Μυγδόνιος* δὲ καλεῖται ὁ θρακικὸς Μέλας ἀπὸ Μυγδόνων, λαοῦ θρακικοῦ, εἰς Μυγδονίαν τὴν ἐν Ἀσίᾳ ὕστερον μετοικήσαντος. Ὁ δ' *Εὐρώτας* καλεῖται *Ταινάριος* ἀπὸ Ταινάρου ἀκρωτηρίου τῆς Λακωνικῆς, καί περ πολὺ διέχων αὐτοῦ.

248–256). *Ὀρόντης* μὲν Συρίας ἐστὶ ποταμός· *Θερμώ-*

δων δέ, Πόντου· *Φάσις* δέ, Κολχίδος. *Ἴστρος* δέ, τὸ κάτω ῥεῖθρον τοῦ Δανουβίου, τὸ ἀπὸ πόλεως Οὐϊνδοβόνης μέχρι τῶν εἰς τὸν Εὔξεινον Πόντον ἐκβολῶν· τὸ δέ ἄνω ῥεῖθρον, ὑστέρῳ χρόνῳ τοῖς Ῥωμαίοις γνωσθέν, κυρίως καλεῖται *Δανούβιος*.

251). *Τάγος*, ποταμὸς Ἰσπανίας ἐν τῇ χώρᾳ τῶν Κελτιβήρων τὰς πηγὰς ἔχων, χρυσὸν δὲ φέρων κατὰ τὴν παλαιῶν μαρτυρίαν.

253). *Κάϋστρος*, ποταμὸς τῆς μικρᾶς Ἀσίας, ἐν Λυδίᾳ τῇ πρότερον Μαιονίᾳ καλουμένῃ πηγάζων. ἐγγὺς δ' Ἐφέσου ἐκβάλλων εἰς θάλασσαν. Φασὶ δ' οἱ ἀρχαῖοι κύκλων ἄπιστον χρῆμα παρὰ τὸ ῥεῖθρον νέμεσθαι, οἷς Ὅμηρος (Ἰλ. β'. 461 κ. ἑ.) παραβάλλει τὸν πολυάσιθμον τῶν Ἑλλήνων στρατόν.

255). *Καὶ κάρη ἔκρυψε*. Κεφαλὴ τοῦ Νείλου ἡ πηγὴ αὐτοῦ λέγεται, ἣν ἄδηλον οὖσαν τοῖς πάλαι χαριέντως φησὶν ὁ Ὀβίδιος ἀποκρύψαι τότε αὐτόν, τὰς ἡλιακὰς δείσαντα φλόγας.

257). *Ἰσμάριον*, θρακικόν, ἀπὸ τοῦ ἐν Θράκῃ ὄρους Ἰσμάρου.

259). *Θύμβριν*, τὸν ἄλλως καὶ Τίβεριν καλούμενον. Λέγων δ' ὁ ποιητὴς πάσης γῆς κρατεῖν εἰληχέναι τὸν Θύμβριν, τὴν τῆς παρ' αὐτῷ κειμένης Ῥώμης κοσμοκρατορίαν αἰνίττεται.

269). Ἴδε σημ. εἰς στ. 11.

291—292). *Τί δ' ἀδελφὸς* κτλ. ἀδελφὸς τοῦ Διὸς ὁ Ποσειδῶν νοείσθω, ὃς ἐν τῇ τοῦ Κόσμου διανομῇ τῆς θαλάσσης ἔλαχεν ἄρχειν. Τοῦτ' αὐτὸς παρ' Ὁμήρῳ (Ἰλ. Ο. 189—192 λέγει·)

Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς.
Ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεί,
Παλλομένων· Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα
Ζεὺς δ' ἔλαχ' Οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσιν.

296—297.) Ἀντιφάσκει ἑαυτῷ ὁ Ὀβίδιος· ἐνταῦθα μὲν γὰρ ὑπάρχειν ἤδη ἐπὶ Φαέθοντος τὸ ὄρος τὸν Ἄτλαντα λέγει· εἶτα δ' ἐν Βιβλ. δ'. στ. 657—662, ὥσπερ ἐπιλαθόμενος τούτου, τὸν ἐν Ἀφρικῇ βασιλέα Ἄτλαντα τῇ τῆς Γοργείας κεφαλῆς ὄψει ἀπολιθούμενον ποιεῖ καὶ εἰς τὸ ὁμώνυμον μεταμορφούμενον ὄρος.

321—322). Τοὺς διάττοντας νόει ἀστέρας, εἰς γῆν πολλάκις καταπίπτειν δοκοῦντας, ἀλλ' οὐ καταπίπτοντας.

323). *Ἀντιπόρου ἐπὶ γαίης*, τῆς Εὐρώπης· αὕτη γὰρ τῇ τοῦ Φαέθοντος πατρίδι ἐναντία κεῖται.

324). Ἠριδανοῦ ποταμοῦ πρῶτος μέμνηται ὁ Ἡσίοδος ἐν Θεογονίᾳ στ. 338. Κατ' ἀρχαίαν δέ τινα δόξαν, ἣν Ἡρόδοτος (βιβλ. γ'. 115) μνημονεύων οὐκ ἀποδέχεται, ἀπ' Ἠριδιανοῦ τινος ποταμοῦ, κατὰ τὴν ἑσπερίαν τῆς Εὐρώπης ἐσχατιὰν εἰς τὴν ἀρκτῴαν ἐκβάλλοντος θάλασσαν, τὸ ἤλεκτρον ἐκομίζετο. Ἔοικε δ' ἡ δόξα αὕτη

ἐκ παλαιτάτης τινὸς καὶ ἡμαρτημένης προελθεῖν περὶ τοῦ Ῥήνου ποταμοῦ καὶ τῆς τοῦ ἠλέκτρου ἐμπορίας φήμης. Ἐν δέ τινι ποιήματι ἀναγραφομένῳ τῷ Ἡσιόδῳ ἡ εἰρημένη δόξα διεπλάσθη εἰς μῦθον, καθ' ὃν ὁ Φαέθων περὶ ποταμόν τινα Ἠριδανὸν ἐν Λυγισικῇ κατέπεσε κεραυνωθείς, ἐκ δὲ τῶν δακρύων τῶν ἀδελφῶν αὐτοῦ Ἡλιάδων, αἳ ὀδυρόμεναι αὐτόθι εἰς δένδρα μετέβαλον, τὸ ἤλεκτρον ἐγένετο. Αἰσχύλος δ' ἐν ταῖς Ἡλιάσιν, Ἠριδανὸν τὸν Ῥοδανὸν εἶναι ὑπολαβών, τῷ Πάδῳ ἐταύτισεν. Εὐριπίδης δ' ἐν Φαέθοντι συνάπτειν τῷ Πάδῳ ὑπέθετο τὸν Ἠριδανόν, ὅν τινες ἔπειτα οὐκ ἄλλον ἢ τὸν Πάδον αὐτὸν εἶναι ἡγήσαντο καὶ νήσους Ἠλεκτρίδας πρὸ τῶν ἐκβολῶν αὐτοῦ ἐπλάσαντο, εἰς ἃς τὸ ῥεῦμα φέρειν τὸ ἤλεκτρον ἔφασκον.

326). *τριγλύφῳ φλογί*, τῇ ἀστραπῇ, ἣ τρισχιδὴς φαίνεται.

350). Ἡ τρίτη τῶν Ἡλιάδων ἐκαλεῖτο κατὰ τοὺς τραγικοὺς *Αἴγλη*· ἄλλοι δὲ πλείους Ἡλιάδας ὑπέθεντο, καί τινας ἄλλως ὠνόμασαν. Μετεμορφώθησαν δ' αἱ Ἡλιάδες κατὰ τὴν κοινοτέραν δόξαν εἰς αἰγείρους.

363). *Φλόος πυμάτοισιν ἐπήλυθε μύθοις*. Τὰ τελευταῖα ῥήματα ἐκφωνούσης αὐτῆς ὁ φλοιὸς τὸ στόμα ἀπέκλεισεν.

364). *Δάκρυ ἀπ' ἐκ φλοιοῦ καὶ νῦν ῥέει*. Τὴν ῥητινώδη τοῦ ἠλέκτρου φύσιν γνόντες οἱ ἀρχαῖοι τὸν μῦθον ἐπλάσαντο· ὀπὸς γὰρ ῥητινώδης προκατακλυσμίων φυτῶν τὸ ἤλεκτρον φαίνεται ὄν· διὸ οὐκέτι γίγνεται, ἀλλ' ὀρύσσεται.

370). *Λίγυες* κατὰ τὴν ἀρχαίαν σημασίαν τῆς λέξεως ἐκαλοῦντο οἱ κάτοικοι πάσης τῆς παραλίας ἀπὸ τῆς πρὸς μεσημβρίαν τοῦ Πάδου χώρας μέχρι Μασσαλίας· ἀπὸ δὲ τῆς ὑπ' Αὐγούστου διαιρέσεως τῆς Ἰταλίας εἰς νομοὺς ἕνδεκα, *Λιγυστικὴ* ἰδίως ἐκλήθη μέρος τῆς ἄνω Ἰταλίας.

378). *οὔτε Ζηνί* τῷ οὐρανῷ, οὗ ἄρχων ἦν ὁ Ζεύς. Ὁ δὲ τρόπος Ἀντωνομασία.

381). *αὐχμαλέος*, ἀμαυρὸς καὶ ῥυπαρός, ἅτε πενθῶν.

382—383). *Ὅτε φέγγος ἐκλείπει*. ὅτε ἡλίου ἔκλειψις γίγνεται.

405). *Ἀρκαδίας δ' ἦς*. Οἰκείαν τῷ Διῒ τὴν Ἀρκαδίαν εἶναι ὁ Ὀβίδιος λέγει, τῷ μύθῳ ἑπόμενος, καθ' ὃν ὁ Ζεὺς ἐπὶ τοῦ Παῤῥασίου ὄρους ἐν Ἀρκαδίᾳ ἐτέχθη· φησὶ δὲ τοῦτο Καλλίμαχος (ἐν ὕμνῳ εἰς Δία στ. 10—11).

Ἐν δέ σε Παῤῥασίῳ Ῥείη τέκεν, ἧχι μάλιστα
Ἔσκεν ὄρος θάμνοισι περισκεπές.

416). *Ἐνοδία* καὶ ἔτι *τριοδῖτις* ἡ Ἑκάτη καλεῖται διὰ

τὸ ἐν τριόδοις λατρεύεσθαι, ἔνθα τὸ φάσμα αὐτῆς ἑωρᾶτο· ἐνταῦθα δὲ νοείσθω ἡ Ἄρτεμις, ἡ τῇ Ἑκάτῃ ἤτοι τῇ Σελήνῃ ταυτίζεται.

441). *Δίκτυνα καὶ Δίκτυννα*, ἐν Κρήτῃ ἐπιχωριάζον ἐπίθετον τῆς Ἀρτέμιδος, ἀπὸ τοῦ θηρευτικοῦ δικτύου παραγόμενον.

453). *Ἔννατον φαῖνε κέρα ἡ Μήνη*· ἔννατος ἤδη ἤρξατο μήν, ἀφ' ἧς ἡμέρας ὁ Ζεὺς συνεγεγόνει τῇ Καλλιστοῖ· διὸ ἐπίτεξ ἦν ἤδη αὕτη.

492). *Θηραγρέτις*, αὐτὴ πρότερον κυνηγέτις οὖσα.

495). *Ἐν οἷς ἐὰν εἶχε τοκῆα*· τὸν Λυκάονα δηλονότι, ὃς εἰς λύκον μετεβέβλητο· ἴδε βιβλ. ά. στ. 232 κ. ἑ.

505—506). *Ἦρε* (sustulit)· Ἑνὶ ῥήματι κατὰ Ζεῦγμα δύο ἐκφέρεται διάφορα σημαινόμενα· ἔδει γὰρ λέγειν· *ἦρε τὴν μητέρα καὶ τὸν υἱὸν εἰς τὸν* οὐρανὸν καὶ *ἐκώλυσεν* ἀσεβὲς ἔργον.

523). *Μορφὴν οἱ προτέρην πορέτω*· ὁ Ζεὺς δηλονότι, οὗ τοὔνομα ἡ Ἥρα σιωπᾷ ὑπ' ὀργῆς.

525—526). *Τίπτ' οὐ καὶ γαμέει* κ.τ.λ. Πικρὰ ταῦτα χλεύη, τὸ τῆς Ἥρας δηλοῦντα πάθος.

527). *τροφίμην*. Ὑπ' Ὠκεανοῦ καὶ Τηθύος ἡ Ἥρα ἐτράφη καθ' Ὅμηρον (Ἰλ. Ξ. 200 κ. ἑ.)·

Εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν,
Οἵ μ' ἐν σφοῖσι δόμοισιν εὖ τρέφον ἠδ' ἀτίταλλον,
Δεξάμενοι Ῥείας, ὅτε τε Κρόνον εὐρύοπα Ζεύς,
Γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης.

529). Περὶ τοῦ ἀναχρονισμοῦ ἴδε σημ. εἰς στίχ. 172.

533). Ἴδε βιβλ. ά. στ. 724—725.

538—539). Τὴν περὶ τῶν χηνῶν διήγησιν, ὧν ἡ φωνὴ ἐν νυκτὶ ἀπὸ τῶν ἀναβαινόντων τὸ τεῖχος Γαλατῶν τὸ Καπιτώλιον ἔσωσεν, ἴδε παρὰ Λιουΐῳ (βιβλ. ε. 47).

544). *Δελφικὲ* Ἄπολλον, ἐν Δελφοῖς οἰκῶν.

544—545). *Φοίβου ὄρνις*, ὁ κόραξ, ὃς οἰωνιστικὸς ἦν καὶ διὰ τοῦτο ἱερὸς τῷ Ἀπόλλωνι.

552). κ. ἑ. Ὁ Ἥφαιστος τῇ Ἀθηνᾷ ἐπιμανεὶς βιάσασθαι αὐτὴν ἐπεχείρησε· τῆς δὲ παρθένου μὴ προσιεμένης, ἀλλ' ἰσχυρῶς ἀντερειδούσης, εἰς τὸ σκέλος αὐτῆς ἀπεσπέρμηνεν. Ἡ δ' ἐρίῳ ἀπομαξαμένη τὸ σπέρμα ἀπέῤῥιψεν, ἐξ οὗ πεσόντος εἰς γῆν ἄνευ μητρὸς φερώνυμος παῖς ἔφυ ὁ Ἐριχθόνιος.

553). *διφυοῦς Κέκροπος*. Κέκροψ ὁ τῆς τῶν Ἀθηνῶν Ἀκροπόλεως κτίστης τῆς ἀπ' αὐτοῦ Κεκροπίας κληθείσης, δράκοντος

ἔχων τὰ κάτω γράφεται διὰ τὸ αὐτόχθων γενέσθαι· διὰ τοῦτο οὖν λέγεται καὶ *διφυής*.

564). *ὄρνιθος νυχίης*, τῆς γλαυκός, ἱερᾶς οὔσης τῇ Ἀθηνᾷ

566—567). Οὕτω, φησί, τραχέως ἐχρήσατό μοι ἡ Ἀθηνᾶ, εἰ καὶ ἰδίᾳ, οἶμαι, γνώμῃ ἑαυτῆς ὄρνιν με ἐπεποίητο, οὐδὲν τοιοῦτο αἰτησαμένην. Διὰ τῶν ῥημάτων τούτων καὶ τῶν ἑξῆς *ἀρίδηλα φατίζω* (στ. 570), *μὴ μ' ἀθέριζε* (στ. 571) ἡ τῆς Κορώνης κενοδοξία καταδηλοῦται.

572—573). Τὸ βραδέως ἐπὶ τῆς παραλίας ψάμμου βαδίζειν καὶ εἰς ὄρνιν μεταβαλοῦσα διετήρησεν ἡ Κορώνη.

576—777 *ἀκτὴν στερεήν*, τὴν ὑπὸ τῶν κυμάτων βρεχομένην καὶ διὰ τοῦτο στερεωτέραν οὖσαν.

579). *κούρη κούρην*· ἡ παρθένος Ἀθηνᾶ τὴν Κορώνην.

588). *Ἑπέτις Γλαυκώπιδος*. Κατὰ τὸν Παυσανίαν (4,34, 3) ἄγαλμά τι Ἀθηνᾶς ἐξ ὀρειχάλκου ἐν Κορώνῃ τῆς Μεσσηνίας ἐβάσταζεν ἐπὶ τῆς χειρὸς κορώνην.

590). *Νυκτιμένη*, θυγάτηρ Νυκτέως, κατ' ἄλλους δὲ Ἐποπέως.

596—597). *Ἐπισχεσίη σοι εἰς κακὸν ἥδε γένοιτο*. Τὰ ῥήματα, φησί, ταῦτα, οἷς ἐπέχεις με τῆς ὁδοῦ, εἰς κακὸν γένοιτό σοι, εἴτι κακὸν προσημαίνει.

599). *Θεσσαλὸν ἄνδρα*. Ὁ θεσσαλὸς ἀνὴρ ὁ τῇ Κορωνίδι ἢ Κορώνιδι συνελθὼν ἐκαλεῖτο καθ' Ἡσίοδον (ἐν ἀποσπάσματι) Ἴσχυς.

> Τῷ μὲν ἄρ' ἄγγελος ἦλθε κόραξ ἱερῆς ἀπὸ δαιτὸς
> Πυθὼ ἐς ἠγαθέην καὶ ῥ' ἔφρασεν ἔργ' ἀΐδηλα.
> Φοίβῳ ἀκερσεκόμῃ, ὅτι Ἴσχυς γῆμε Κόρωνιν
> Εἰλατίδης, Φλεγύαο διογνήτοιο θύγατρα.

Παρ' ἄλλοις δ' Ἀλκυονεύς.

621). *Θεῶν γὰρ τ' οὐ θέμις ὄσσε* κ.τ.λ. Οὕτω καὶ Ἄρτεμις λέγει παρ' Εὐριπίδῃ ἐν Ἱππολύτῳ (στ. 1393)· Ὁρῶ· κατ' ὄσσων δ' οὐ θέμις βαλεῖν δάκρυ.

626). *Ἀτερπές*, λέγει ἐνταῦθα τὸ μύρον ὁ ποιητὴς διὰ τὸ μὴ αἰσθάνεσθαι αὐτοῦ τὴν νεκράν.

627). *θέσμι' ἄθεσμα*, ἤτοι λυπηρά, ἀπευκταῖα, ἃ ὤφελε μὴ γενέσθαι· ἄδικος γὰρ ἦν ὁ τῆς Κορωνίδος θάνατος. Οὕτω καὶ *ἄδωρα δῶρα* καὶ *τάφος ἄταφος* καὶ *γάμος ἄγαμος* καὶ ἄλλα ὅμοια λέγεται παρὰ ποιηταῖς.

629). *γόνον*, τὸν ἔτι κυοφορούμενον υἱὸν Ἀσκληπιόν, ὃν ὁ Χείρων καθ' Ὅμηρον (Ἰλ. δ. 219) τὴν ἰατρικὴν τέχνην ἐδίδαξε·

Τοῦ δ' Ἀσκληπιοῦ υἱοὶ ἐγένοντο οἱ ἐπὶ Τροίαν τοῖς ἄλλοις Ἕλλησι συστρατεύσαντες Θεσσαλοὶ ἡγεμόνες, Ποδαλείριος καὶ Μαχάων (Ἰλ. β'. 729 κ. ἑ.)

630). *Διφυοῦς.* Διφυὴς καὶ μιξοφυὴς καὶ μιξόθηρ λέγεται ὁ Χείρων, ὅτι κένταυρος ἦν τὸ γένος, τὰ μὲν ἄνω μέχρι στέρνων ἀνδρός, τὰ δὲ λοιπὰ ἵππου ἔχων· ἐγεννήθη δ' ἐκ Κρόνου καὶ Φιλύρας Ὠκεανίδος καὶ ἔμπειρος ὢν ἰατρικῆς τε καὶ ἄλλων τεχνῶν ἐπὶ Πηλίου ὄρους ᾤκει ἐν Θεσσαλίᾳ, ἔνθα τὸν Ἀχιλλέα καὶ τὸν Ἰάσονα καὶ πολλοὺς ἄλλους τῶν πάλαι ἡρώων ἐπαίδευσε.

645—646). Ταῦτα εἰς τὸν περὶ Ἱππολύτου ἀναφέρεται μῦθον. Ἱππόλυτος γὰρ ὁ Θησέως υἱός, τοῦ πατρὸς αὐτῷ ἐξώλειαν ἐπαρασαμένου, ὑπὸ τῶν ἵππων πτυρέντων τοῦ ἅρματος ἐκτιναχθεὶς διεφθάρη· ὁ δὲ Ἀσκληπιὸς αὐτὸν ἀπὸ τοῦ ᾅδου εἰς τὸν βίον πάλιν ἀνήγαγεν. Ὁ δὲ Ζεὺς ἀγανακτήσας τὸν τοῦτο τολμήσαντα ἐκεραύνωσεν, ἵνα ἔμπεδον μένοι ἑκάστῳ τὸ πεπρωμένον, μηδ' οἱ θνητοὶ διὰ φαρμάκων σωζόμενοι τῶν ἀθανάτων ὀλιγωροῖεν θεῶν. *Πάππου δὲ φλογερὸν βέλος* ὁ κεραυνὸς τοῦ Διὸς ἐνταῦθα καλεῖται· ὁ γὰρ Ζεὺς πάππος ἦν τῷ Ἀσκληπιῷ, ἅτε ἐξ Ἀπόλλωνος φύντι, ὃν αὐτῷ ἔτεκεν ἡ Λητώ.

649). κ. ἑ. Χείρων βέλει ποτὲ ἐν τῷ τοῦ λερναίου δράκοντος αἵματι βεβαμμένῳ ἀπὸ τύχης ὑφ' Ἡρακλέους τρωθεὶς χαλεπῶς εἶχε· τοῦ δὲ Διὸς ὑπεσχημένου τῷ Προμηθεῖ τῆς κολάσεως αὐτὸν ἀπολῦσαι, εἴτις ὑπὲρ αὐτοῦ βουληθείη θανεῖν, (ἴδε Αἰσχ. Προμ. 101 κ. ἑ.) ὁ Χείρων σφόδρα τῷ τραύματι ὀδυνώμενος, ἑκὼν τῆς ἀθανασίας ἐξέστη, ἐφ' ᾧ σῶσαι αὐτὸν τῶν δεινῶν.

654). *Τρεῖς θεαί,* αἱ τρεῖς μοῖραι· ἡ Κλωθώ, ἡ Λάχεσις καὶ ἡ Ἄτροπος, αἳ τοῖς ἀνθρώποις τὰ τοῦ βίου ἐπινήθειν λέγονται.

655). *Λείπετό τι φράσσαι.* Ἡ τῆς Ὠκυρόης εἰς ἵππον μεταμόρφωσις ἐκώλυσεν αὐτὴν τοῖς προειρημένοις κἀκεῖνο ἴσως προσθεῖναι, ὅτι ὁ Χείρων ὡς ἄστρον εἰς οὐρανὸν μεταστήσεσθαι ἔμελλεν.

663). *Εἰς σύγγονον ἵππον.* Συγγενὴς ἦν τῇ Ὠκυρόῃ ὁ ἵππος, ἅτε κένταυρον ἐχούσῃ πατέρα.

675). *Ἔδωκε θ' οἱ οὔνομα μορφή·* Ἱππὼ γὰρ ἢ Ἵππη κατ' Εὐριπίδην ἐν Μελανίππῃ ἡ μεταμορφωθεῖσα ἐκλήθη.

679). *Ἦλιν Μεσσηνίδα τ' αἶαν ἔναιες.* Κατὰ τὸν εἰς Ἑρμῆν ὕμνον Ὁμήρου (στ. 69 κ. ἑ.) ἡ τῶν βοῶν κλοπὴ ἐν Πιερίᾳ ἐγένετο· κατὰ δὲ Ἀντωνῖνον τὸν Λιβεράλιν ἐν τῇ τῶν μεταμορφώσεων συναγωγῇ, ἐν Μαγνησίᾳ τῆς Θεσσαλίας. Ὁ δ' ἡμέτερος ποιητὴς εἰς Ἦλιν καὶ Μεσσηνίαν τὴν τοῦ Ἑρμοῦ πρᾶξιν μετέθηκε,

πόῤῥω τῆς Θεσσαλίας τὸν Ἀπόλλωνα ἐγνωκὼς μεταστῆσαι, ἵνα τὸν μῦθον τοῦτον τοῖς ἡγουμένοις ἁρμοδίως ἐπισυνάψῃ.

684). *ἐς πυλίους ἀγρούς·* εἰς τοὺς ἀγροὺς τῆς Πύλου.

689). *Νηλῆος*, τοῦ τῆς Πύλου Βασιλέως ἐν Τριφυλίᾳ, πατρὸς δὲ τοῦ Νέστορος.

703). *ἔσονται·* τέθειται μέλλων εἰκαστικὸς ἀντὶ ἐνεστῶτος, ὑπεμφαίνων τὴν ὑπόθεσιν· *εἰ ζητήσεις αὐτάς*.

706—707). Λακτάντιος ὁ Πλάκιδος ἐν τῇ περιλήψει φησὶ περὶ τὴν Πύλον κεῖσθαι τὸν λίθον, εἰς ὃν μετεβλήθη ὁ Βάττος Εἰ δὲ τὸ τοῦ λίθου ὄνομα *index*, ᾧ Ὀβίδιος κέχρηται, οὐχ ὑπὸ τούτου ἐπενοήθη, ἀλλ' ἐκ τῆς Ἑλλάδος μετηνέχθη φωνῆς, εἰκάσειεν ἄν τις *Μηνυτὴν* ἐκεῖνον παρὰ τοῖς ἐγχωρίοις τὸ πάλαι καλεῖσθαι Ἔλλησιν. Ὅτι δὲ τοὔνομα οὐ τὴν λυδίαν σημαίνει λίθον, ᾗ ὁ χρυσὸς βασανίζεται, τεκμήραιτο ἄν τις ἐκ τῶνδε· α'. ὅτι οὐδὲν τοὔνομα περιέχει ὄνειδος, εἴ θείημεν τὴν εἰρημένην τῆς λίθου ἰδιότητα σημαίνειν αὐτό· β'. ὅτι οὐκ εὖ ἔχει τὸ ὑπὸ τοῦ ποιητοῦ εὐθὺς ἐπιφερόμενον, ὅτι ἀναίτιος ὁ λίθος τὸ ὄνομα ἐκεῖνο φέρει. (Πῶς γὰρ ἀναίτιος, εἴγε καὶ νῦν ἔτι μηνύει; ἀλλ' ἔδει μᾶλλον αὐτὸν ἐπενεγκεῖν, ὅτι καὶ μέχρι τοῦδε ὁ λίθος ποιεῖ, ὃ τὸ πάλαι ἄνθρωπος ἔτι ὢν ἐποίησε.

710). *Λύκειον*, γυμνάσιον καὶ κῆπος παρὰ τὸν Ἰλισσὸν, ἔνθα Ἀριστοτέλης ἐδίδασκε. Φασὶ δὲ τὸ γυμνάσιον πρῶτον αὐτόθι ἱδρῦσαι Πεισίστρατον· ἔπειτα δὲ κατὰ τοὺς χρόνους Φιλίππου τοῦ Μακεδόνος κατεφύτευσε τὸν τόπον Λυκοῦργος ὁ ῥήτωρ.

711). κ. ἑ. Τὴν κατὰ πενταετίαν ἐν Ἀθήναις εἰς τιμὴν τῆς πολιάδος Ἀθηνᾶς τελουμένην ἑορτὴν τῶν μεγάλων Παναθηναίων ἐνταῦθα λέγει, ἐν ᾗ παρθένοι τῶν εὐγενῶν συνεπόμπευον, τὰ ἱερὰ σκεύη φέρουσαι ἐν κανοῖς, καὶ διὰ τοῦτο *κανηφόροι* καλούμεναι. Λέγεται δ' ἡ ἑορτὴ αὕτη ὑπ' Ἐριχθονίου τὸ πρῶτον τεθῆναι καὶ *Ἀθήναια* προσαγορευθῆναι, εἰς τὸν περὶ αὐτοῦ ἀναφενομένη μῦθον (ἴδε στ. 553 κ. ἑ.) εἶτα δὲ πάνδημος τῶν τῆς Ἀττικῆς κατοίκων ἐγένετο ἑορτή. μετακοσμηθεῖσα ὑπὸ Θησέως, δεσμοῖς αὐτοὺς θρησκευτικοῖς εἰς μίαν πόλιν βουλευσαμένου συνάψαι.

721). *Ἰθείης ἀπέκαμψε·* τῆς εὐθείας πορείας ἀπέκλινε.

727). *ἐξεκάη, μόλιβδος ὥς*. Οἱ τὰς βαλεαρίδας νήσους οἰκοῦντες ἄριστοι σφενδονῆται τὸ πάλαι γενέσθαι λέγονται, οὕτως ἰσχυρῶς τοὺς πεσσοὺς ἀποσφενδονῶντες, ὥστε τὸν μόλιβδον ἐν τῷ ἀέρι ὑπὸ τῆς ῥύμης θερμαινόμενον τήκεσθαι.

732). ἄεξέ μιν. Ἡ ἀντωνυμία *μιν* τίθεται καὶ ἐπὶ πραγμάτων· ἴδε Ὀδ. στ. 268.

749). ἴδε στ. 552 κ. ἑ.

755). *Αἰγίς.* Ἐν μὲν Ἰλιάδι (Ο στ. 310) ἀσπὶς τοῦ Διὸς ἦν ἡ Αἰγίς, ὑπὸ Ἡφαίστου κεχαλκευμένη, ἣν ὁ Ζεὺς καὶ Ἀπόλλωνι καὶ Ἀθηνᾷ χρῆσθαι πολλάκις δίδωσι· παρὰ δὲ τοῖς ὕστερον ἴδιον ἦν τῆς Ἀθηνᾶς σκεπαστήριον ὅπλον, ἢ ὤμων περίβλημα, συνηθέστερον δὲ θώραξ φολιδωτὸς τὴν τῆς Μεδούσης κεφαλὴν ἐν τῷ μέσῳ ἔχων.

756). *Δημνίου υἱὸν Ἡφαίστου* τὸν Ἐριχθόνιον λέγει. Λήμνιος δὲ καλεῖται ὁ Ἥφαιστος, ὅτι ἐν Λήμνῳ κατέπεσεν, ὅτε ἀπὸ τοῦ Ὀλύμπου ὑπὸ Διὸς ἀπεῤῥίφθη (ἴδε Ἰλ. ά. 593) καὶ ἡ νῆσος αὕτη φίλον αὐτῷ ἦν ἐνδιαίτημα (ἴδε Ὀδ. Θ. 283). Ἔοικε δὲ τὸ ἐν Λήμνῳ πυρίπνουν ὄρος ὁ Μόσυχλος αἰτία γενέσθαι τοῦ τὸν ποιητὴν τὰ περὶ Ἡφαίστου ἐκεῖνα μυθοποιῆσαι.

760). Τὸν φθόνον ἐπροσωποποίησε καὶ Καλλίμαχος ἐν ὕμνῳ εἰς Ἀπόλλωνα στ. 105.

763). *ψύχεος ἀδρανέος,* (ignavi frigoris) μετωνυμικῶς ἀντὶ ψύχους ναρκοῦντος καὶ ἀδρανῆ ποιοῦντος τὰ σώματα.

786). *Γαῖαν δ' ὦσε κ.τ.λ.* Δῆλον ὅτι τὰ ὠθοῦντα σώματα ἀντωθεῖται τῇ τῶν ὠθουμένων ἀντιτυπίᾳ. Ὠθεῖ οὖν ἡ Ἀθηνᾶ τὴν γῆν τῷ δόρατι, ἵν' ὑπὸ ταύτης εἰς τὰ ἄνω ἀντωσθεῖσα ῥᾷον εἰς ὕψος ἀρθῇ.

793). *Ἰδμοσύνῃ δυνάμει τε κ.τ.λ.* Κἀνταῦθα ὁ ποιητὴς ἐχρήσατο ἀναχρονισμῷ· ἡ γὰρ πόλις τῶν Ἀθηνῶν οὔπω ἐπιστήμῃ οὔτε δυνάμει προεῖχεν ἐν τοῖς τοῦ Κέκροπος χρόνοις.

799). *γαμψὰ κέντρα·* τοὺς λυπηροὺς νόει καὶ τὴν καρδίαν τιτρώσκοντας λογισμούς.

802). *Ὄφρα δὲ μὴ ἄποθεν κ.τ.λ.* ἀσθενεστέρα γὰρ ἡ πόῤῥωθεν ἐρχομένη τῷ φθονοῦντι ἀνία· ὅσῳ δ' ἐγγύτερος ὁ τὸν φθόνον αὐτῷ ἐμποιῶν, τόσῳ τὸ πάθος ἀνιαρότερον.

824). *καὶ ὤχρων.* Οὕτω μεθηρμήνευταί μοι ὁ στίχος, τὴν γραφὴν *pallent* προελομένῳ. Εἰδέ τις προαιρεῖται τὴν γραφὴν *callent*, μεταποιησάτω τὸν στίχον ὧδε.

Ῥῖγος, καὶ φλέβες αἷμ' ὀλέσασαι σκληρύνοντο.

839—840). Αἱ Πλειάδες, αἷς Μαῖα ἡ τοῦ Ἑρμοῦ συγκατείλεκται μήτηρ, οὐ πόῤῥω τοῦ Ζενὶθ ἐν Φοινίκῃ διέρχονται τὸν μεσημβρινόν. Εὐλόγως οὖν ὁ Ὀβίδιος τὸν Δία ποιεῖ λέγοντα, ὡς ἡ Σιδωνία χώρα ἄνωθεν αὐτῆς ἐν τῷ οὐρανῷ ὁρᾷ τὴν τοῦ Ἑρμοῦ μητέρα. Νοητέον δὲ τὸν Δία πρὸς μεσημβρίαν ὁρῶντα, ὥστε πρὸς ἀριστερὰν κεῖσθαι αὐτῷ τὴν Φοινίκην.

850). Καὶ Μόσχος ὁ ποιητὴς τὴν εἰς ταῦρον μεταμόρφωσιν τοῦ

Διός καὶ τὴν ὑπ' αὐτοῦ ἁρπαγὴν τῆς Εὐρώπης ἐπικοῦ εἰδυλλίου ὑπόθεσιν ἐποιήσατο.

871). *Ἴχνια ποδῶν ἀπατήλια·* πόδας οὐ τὴν ἀληθῆ μορφὴν ἔχοντας.

875). Παράβαλε Μόσχου Εἰδύλ. Β΄.

——⊖——

ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ

ΒΙΒΛΙΟΝ Γ'.

ΠΕΡΙΛΗΨΙΣ.

Ἕποντάι τῇ τῆς Εὐρώπης ἁρπαγῇ μῦθοι Θηβαϊκοὶ καὶ πρῶτον οἱ περὶ κτίσεως Θηβῶν· Ἀγήνωρ ὁ Φοινίκων βασιλεὺς τῷ υἱεῖ Κάδμῳ προστάσσει τὴν ἁρπασθεῖσαν οἱ θυγατέρα Εὐρώπην ἀναζητῆσαι μηδ' οἴκαδε ἀναστρέψαι πρὶν ἂν αὐτὴν ἀνεύρῃ. Ὁ δ' οὐδαμοῦ τὴν ἀδελφὴν ἀνευρεῖν ἔχων κελεύσει Ἀπόλλωνος ἀφίσταται τῆς συζητήσεως, καὶ βοῒ χρησάμενος ὁδηγῷ εἰς τὸ βοιώτιον ἀφικνεῖται πεδίον, ἔνθα πόλιν ἑαυτῷ κτίσαι βουλόμενος τῶν ἑταίρων τινὰς εἰς τὴν τοῦ Ἄρεως πηγὴν πέμπει ὑδρευσομένους ἐπὶ θυσίαν. Τῶν δ' ὑπὸ δράκοντος τοῦ τὴν πηγὴν τηροῦντος ἀναιρεθέντων, ὁ Ἀγήνωρ ἐπελθὼν τὸν δράκοντα κτείνει. Τῶν δὲ τούτου ὀδόντων Ἀθηνᾶς εἰσηγήσει σπαρέντων, οἱ σπαρτοὶ ἐπικληθέντες ἄνδρες ἐκφύονται, οἷς ἐκεῖνος χρώμενος συνεργάταις πόλιν κτίζει τὴν ἀπ' αὐτοῦ κληθεῖσαν Καδμείαν. Ἐνταῦθα οὖν τῷ Κάδμῳ οἰκήσαντι πρώτη καὶ μεγίστη γίγνεται συμφορὰ ὁ τοῦ θυγατριδοῦ Ἀκταίωνος θάνατος· οὗτος γὰρ ἐν ὕλαις κατὰ θήραν, ὡς ἔθος, πλανώμενος καὶ τὴν Ἄρτεμιν ἐν ῥείθρῳ τινὶ γυμνὴν λουομένην ἀπὸ τύχης ἰδών· εἰς ἔλαφον ὑπ' αὐτῆς μεταβάλλεται καὶ οἰκτρῶς ὑπὸ τῶν ἰδίων διασπᾶται κυνῶν. Χαίρει ἐπὶ τούτῳ ἡ Ἥρα μίσει Σεμέλης, ἣν τῷ Διῒ οἶδε συγγιγνομένην, καὶ Βερόῃ τῇ ταύτης τροφῷ ἐξεικάσασα ἑαυτήν, κακὴν βουλὴν τῇ Σεμέλῃ ὑποθεμένη, ὀλέθρου αὐτῇ παραίτιος γίγνεται. Οὐ πολλῷ δ' ὕστερον παίζων ὁ Ζεὺς πρὸς Ἥραν ἐρίζει, μείζω ἰσχυριζόμενος τὰς θηλείας ἢ τοὺς

ἄῤῥενας ἐκ τῆς φιλότητος δρέπεσθαι τέρψιν καὶ Τειρεσίᾳ διαιτῆσαι τὴν ἔριν δίδωσιν, ἅτε δὴ γένους ἑκατέρου πεπειραμένῳ. Ὁ δ' ἐναντίᾳ τῇ τῆς Ἥρας γνώμῃ ἀποφηνάμενος πηροῦται τὰς ὄψεις ὑπὸ ταύτης χαλεπηνάσης, παρὰ δὲ Διὸς δῶρον ἀντιλαμβάνει τὴν Μαντικὴν τῆς συμφορᾶς παραμύθιον. Τὴν πρώτην οὖν τούτου πρόῤῥησιν τὸ τοῦ Ναρκίσου πάθος ἐπαληθεύει. Κηφισσοῦ δ' ἦν οὗτος καὶ νύμφης Λειριόπης υἱὸς κάλλει διαπρεπής, περὶ οὗ ὁ Τειρεσίας ἐρωτηθείς, εἰ μέλλει ἐς μακρὸν προελεύσεσθαι γῆρας, ναί, ἀπεκρίνατο, ἢν μή γ' ἑαυτόν ποτε ἴδῃ. Τῇ γὰρ θήρᾳ προσέχων ὁ καλὸς νεανίσκος, ἄλλων τε νυμφῶν τὸν ἔρωτα ἔφευγε καὶ τῆς Ἠχοῦς ὀλιγώρει, ἣ διὰ τοῦτο ὑπ' ἀνίας ἐκ νύμφης εἰς τὴν ὁμώνυμον φωνὴν μετεβλήθη. Εἶτα δέ ποτε ἐν διαυγεῖ τινι πηγῇ τὴν ἑαυτοῦ θεασάμενος εἰκόνα δεινῷ ἑαυτοῦ ἁλίσκεται ἔρωτι καὶ πολλὰ ὀδύρεται τῷ πάθει τηκόμενος· τέλος δὲ θνήσκων εἰς τὸ ὁμώνυμον μετατρέπεται ἄνθος. Ἀλλ' ὁ Πενθεὺς ἐν οὐδενὶ λόγῳ τὰς προῤῥήσεις τοῦ μάντεως τίθεται, ὃς καὶ περὶ αὐτοῦ ἀληθῆ προφητεύει, ὡς τὸν Βάκχον καὶ τὰ τούτου θρησκεύματα ἀτιμάζων ὑπὸ τῆς μητρὸς καὶ τῶν ἀδελφῶν διασπασθήσεσθαί ποτε μέλλει. Τοῦ γὰρ νέου τούτου θεοῦ εἰς Θήβας οὐ πολλῷ ὕστερον παραγενομένου, ἰσχυρῶς ὁ Πενθεὺς τοῖς Θηβαίοις ἀπαγορεύει μήτ' αὐτόν, μήτε τὰ καινὰ θρησκεύματα δέχεσθαι, παραινέσεσι χρώμενος ἅμα καὶ ἀπειλαῖς. Ἀλλ' οὐδὲν ἤνυσεν ἀπαγορεύων οὐδ' ἀπειλῶν· τῶν γὰρ ἐκεῖ οἱ ἄριστοι τὸν θεὸν ἀποδέχονται καὶ αὐτὴ ἡ τοῦ Πενθέως μήτηρ Ἀγαύη σὺν ταῖς ἀδελφαῖς ἐκείνῳ ἑπόμεναι ὀργιάζουσι. Διὸ ὁ Πενθεὺς τοὺς ἑαυτοῦ δορυφόρους ἐπὶ τὸν Βάκχον καὶ τοὺς συνοργιάζοντας πέμπει, συλλαβεῖν αὐτὸν κελεύων καὶ δέσμιον ἀγαγεῖν. Οἱ δὲ πεμφθέντες τῷ μὲν Βάκχῳ οὐκ ἐντυγχάνουσι, τῶν δ' ὀπαδῶν αὐτοῦ ἕνα, Τυῤῥηνὸν ἄνδρα, συλλαβόντες καὶ δήσαντες ἄγουσιν, ὃς περὶ τοῦ θεοῦ ἐρωτηθεὶς ἄλλα τε περὶ αὐτοῦ διέξεισι θαυμαστὰ καὶ δὴ καὶ

τὴν τῶν τυῤῥηνῶν πειρατῶν μεταμόρφωσιν εἰς δελφῖνας. Ἐπὶ τούτοις οὖν ὀργισθεὶς ὁ Πενθεὺς κτεῖναι τὸν ἄνδρα διανοεῖται καὶ εἰς εἱρκτὴν ἐμβαλεῖν κελεύει· ἀλλὰ παραδόξως αἵ τε τῆς εἱρκτῆς θύραι αὐτόματοι ἀνοίγονται καὶ τῷ δεσμίῳ αἱ πέδαι αὐτόμαται τῶν χειρῶν ἀποπίπτουσιν. Οὐ μὴν ἀλλ' ἐμμένει ἔτι τῇ ἑαυτοῦ γνώμῃ ἐκτραχυνθεὶς ὁ Πενθεὺς καὶ θεομαχῶν οὐ παύεται· μείζονι δὲ ζέων θυμῷ εἰς τὸν Κιθαιρῶνα ἀπέρχεται ταῖς ἐκεῖ ὀργιαζούσαις Βάκχαις ἐπιβουλεύων, ἔνθα ὑπό τε τῆς μητρὸς Ἀγαύης ἐξοιστρηθείσης καὶ τῶν ἄλλων μαινάδων οἱονεί τις κάπρος διασπαράσσεται. Τῷ παραδείγματι τούτῳ πείθονται οἱ Θηβαῖοι ἑαυτοὺς τῷ καινῷ προσνεῖμαι θρησκεύματι.

ΕΜΜΕΤΡΟΣ ΜΕΘΕΡΜΗΝΕΙΑ

ΤΟΥ Γ΄ ΒΙΒΛΙΟΥ ΤΩΝ ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ.

Ὁ Ἀγήνωρ πέμπει τὸν υἱὸν Κάδμον ἀνιχνεύσοντα τὴν Εὐρώπην, κελεύσας αὐτῷ μὴ ἀναστρέψαι οἴκαδε πρὶν τὴν ἁρπασθεῖσαν κόρην εὑρεῖν. Ὁ δὲ μάτην αὐτὴν διὰ πάσης χώρας ἀναζητήσας, φεύγων τὴν ὀργὴν τοῦ πατρός, ἔγνω ἐπὶ ξένης οἰκῆσαι, καὶ ἐπήρετο τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, ποῦ ἑαυτῷ κτίσειε πόλιν ἐλθών. Κατὰ δὲ τὸν γενόμενον αὐτῷ χρησμὸν βοΐ χρησάμενος ὁδηγῷ εἰς τὸν τόπον παραγίγνεται, ἔνθα αἱ Θῆβαι κτισθήσεσθαι ἔμελλον.

Ζευς ἀποδυσάμενος ταύρου ἀπατήλιον εἶδος
ἔκφην᾽ ὅς τις ἔην Δικταίας θ᾽ ἵκετ᾽ ἀρούρας.
Κάδμῳ δ᾽ ἀγνοέων γενέτης μεθέπειν ἐκέλευσεν
ἁρπασθεῖσαν, ἀειφυγίην δ᾽ οἱ ἀπείλει, εἰ εὑρεῖν
μή μιν ἔχοι, στοργήν θ᾽ ἅμα δυσφροσύνην τ᾽ ἀποδηλῶν.
Γαῖαν ἐπεὶ δ᾽ ἄρ᾽ ἐπῆλθε, (τίς ἂν Διὸς εὕροι ἐρευνῶν
κλέμμαθ᾽;) ἐὴν πάτρην πατρός τε χόλον βασιλῆος
φεῦγεν Ἀγηνορίδης. Φοῖβον δ᾽ ἱκέτης ἐρέεινε
χρησμολόγον, ὅπποι οἰκήσειε χθονὸς ἐλθών.
" Βοῦς σοι, Φοῖβος ἔειπε, κατ᾽ ἀγροὺς ἀντιβολήσει
ἀδμὴς καὶ κυρτοῦ ἔτ᾽ ἀπείρητος ἀρότροιο.
Κείνῃ ἕπευ δή· ὅπου δέ κε κλινθῇ βοῦς ἐπὶ ποίῃ,
τείχε᾽ ἐκεῖ δεῖμαι βοιώτιά τ᾽ αὐτὰ κίκλησκε."
Αὐτίκα δ᾽ ὡς Κάδμος Φοιβείου ἀπέστιχεν ἄντρου,
βουφορβοῦ ἄτερ ἧκα βιβῶσαν ἐσέδρακε πόρτιν,
οὐδὲν ἐπαυχένιον δουλείης σῆμα φέρουσαν.
Τῇ δ᾽ οὖν ἕσπετο κεῖνος ἐπ᾽ ἴχνεσι βῆμα βραδύνας,
καὶ σιγῇ λιτάνευ᾽ ὑποθήμονα Φοῖβον ὁδοῖο.
Εὖτε δὲ Κηφισσὸν καὶ ἀγροὺς διέβη Πανοπῆος,
βοῦς ἔστη, κεφαλὴν τ᾽ ἀναείρασ᾽ εὐρυκέρωτα
πρὸς πόλον ὑψόροφον μυκήμασιν ἠέρ᾽ ἔπλησσεν·

εἶτα δὲ δερκομένη στείχοντας ἐπ' ἴχνος ὀπίσσω,
κλίνθη καὶ μαλακῇ πλευρὴν ἐπὶ ποίῃ ἔρεισε.

Βουλόμενος ὁ Κάδμος τῷ Διὶ θῦσαι πέμπει τῶν ἑταίρων τινὰς ἀπὸ τῆς ἐν τῷ ἐγγὺς ἄλσει πηγῆς ὑδρεύσοντας ἐπὶ τὴν θυσίαν. Τούτων δ' ἀπολομένων ὑπὸ τοῦ τὸ νᾶμα φυλάσσοντος δράκοντος, ἐπελθὼν ἐκεῖνος κτείνει τὴν θῆρα καὶ Ἀθηνᾶς εἰσηγήσει τοὺς ὀδόντας αὐτοῦ κατὰ γῆς σπείρει. Ἐκ τούτων φύεται ἀνδρῶν ἐνόπλων στῖφος, οἳ πρὸς ἀλλήλους μαχόμενοι πάντες πλὴν πέντε διαφθείρονται, σὺν οἷς τὴν Καδμείαν κτίζει.

Κάδμος δ' εἶχε θεῷ χάριν ἠδ' ἐκύνει ξένον οὖδας·
πρὸς δ' ἐφθέγγετ' ἀγρούς τε καὶ ἄγνωτ' οὔρε' ἐκεῖνα·
Ἱρὰ δὲ βουλόμενος ῥέξαι Διΐ, νᾶμ' ἐπὶ λοιβὴν
οἷς θεράπουσι φέρειν ἀπὸ πίδακος αἶψ' ἐκέλευσεν.
Ἦν ἀθιγὴς πελέκει πέλας ὕλη πουλυέτηρος·
ἐν δὲ μέσῃ σπεῖος πεπυκασμένον ἔκτοθι ῥωψί,
συμπαγέεσσι λίθοισι θόλῳ κυφῷ προσεοικὸς
πουλύ τε βλύζον ὕδωρ. Κείνῳ φώλευεν ἐν ἄντρῳ
Ἄρεος αἰνὸς ὄφις χρυσέῃ λοφιῇ ἐπίσημος.
Πῦρ μέν οἱ ἴεσαν ὄσσε, δέμας δ' ἅπαν ᾤδεεν ἰῷ·
γλῶσσαι τρεῖς λιχμῶντο· τριπλῇ στιχὰς ἵστατ' ὀδόντων.
Ὡς δ' αἴσῃ Τύριοι ἐσέβαν κακῇ ἄλσος ἐκεῖνο
καὶ βληθεῖσ' ἐς ὕδωρ πηγῆς κάλπις κανάχησεν,
ἠνὶ δράκων χειῆς δολιχὸν κάρη ἐκπροϊήλας
κυάνεος, σύριγμ' ἐκ γναθμῶν σμερδνὸν ἔηκε.
Κάλπιδες ἐκ χειρῶν σφι πέσον. λίπε δ' αὐτίκα σῶμα
αἷμα, καὶ εἷλε τρόμος ναρκώδεα γυῖα παρᾶσσον.
Κεῖνος ἑλισσόμενος φολιδώδεα κύκλα συνεῖρε
θρῶσκέ τ' ἐς ὑψιτενῆ κυρτούμενος ἅλματι τόξα·
ἡμίσεος δὲ πλέον δέμας ὄρθιον ὑψόσ' ἀείρας,
πᾶν περιπάπτην' ἄλσος· ἔην δ' ἄρα τόσσος, ὅσος γε
φαίνεται ὅς τε πόλοιο δύ' Ἄρκτους ὕψι διείργει.
Αὐτίκα δ' ἂρ Φοίνικας ἐφ' οἷ βέλε' ἀρτύνοντας,
ἢ φεύγοντας, ἢ ἰσχομένους ἀμφοῖν ὑπὸ δείους

μάρψεν· καὶ τοὺς μὲν δάκνων, τοὺς δ' οἷσιν ἑλιγμοῖς
ἄγχων, τοὺς δ' ὀλοοῖο κατέκτανεν ἰοῦ ἀϋτμῇ.
Δὴ σκιαὶ ἐσμίκρυντο, μεσουρανέοντος ὕπερθε
Φοίβου· Ἀγηνορίδης δὲ βράδος θαύμαζεν ἑταίρων.
Βῆ δὲ μετ' ἄνδρας ἴμεν δέρας ἀμφ' ὤμοισι λέοντος
καὶ βέλος ἔγχος ἔχων στίλβον αἴθωνι σιδήρῳ
καὶ σιβύνην. Παντὸς δ' οἱ ὅπλου μένος ἔπλετο κρεῖσσον.
Ὡς δ' ἄρ' ἐσῆλθε νέμος καὶ ἐσέδρακε σώματα νεκρά,
νικητήν τ' ἐφύπερθεν ἀμαιμάκετον δέμας ἐχθρὸν
στυγνὰ νεκρῶν λιχμῶντα δαφοινῇ τραύματα γλώσσῃ,
« Σώματα πιστά, ἔφη· τιμάορος ἔσσομαι ὔμμιν,
» ἢ μέτοχος πότμου „ Τόσον ἔννεπε· δεξιτερῇ δὲ
λᾶαν ἄειρε μέγαν, διατεινάμενός τ' ἀφέηκεν.
Ἦ κε τόσῃ κείνου λᾶος ῥιπῇ κατεσείσθη
τείχεα σὺν πύργοισι· δράκων δ' ἄτρωτος ἔμεινεν.
ἠΰτε γάρ θώρηκι πύκα στεγανὸς φολίδεσσι
καὶ στερεῷ δέρεϊ κρατερὰς ἀπερύκανε πληγάς·
Σκληρίη ἀλλ' οὐ κείνη ἀκαχμένον ἔσχεθ' ἄκοντα,
ὅς τε παγεὶς μέσσην κατὰ καμπὴν ἔστη ἀκάνθης
εὐκάμπτου, πᾶς δ' ὀξὺς ἔδυ εἰς ἔγκατα χαλκός.
Κεῖνος δ' ἀλγήσας κεφαλὴν ἀνέκαμψεν ὀπίσσω,
ὠτειλάς τ' ἐσιδὼν κρατερῶς δόρυ δάκνε πεπηγός.
Τοῦτο δ' ἐπεὶ κραδάων κρατερῶς ὑπέλυσεν ἁπάντῃ,
ἐξείρυσσ'· ἔμπης δ' ὀστοῖσιν ἐνέσχετο χαλκός·
Αὐτὰρ ἐπεὶ καινὴ χόλον ἤθαδα πληγὴ ὄρινε,
πληθούσῃσι φλέβεσσι φάρυξ ὠγκώθη ὀλοιὴ
χάσμά τε δηλῆεν λευκῷ περιεῤῥύη ἀφρῷ.
Τρίζε χριμπτομένη φολίσι χθών· ἐκ στόματος δὲ
ἱεμένη στυγίου αὔρας ἐμίαινεν ἀϋτμή.
Αὐτὸς δ' ἄλλοτε μέν τ' εἰς εὐρὺν ἑλίσσετο κύκλον,
ἄλλοτε δ' ὀρθότερος τανυφλοίου ἀείρετο φιτροῦ.
ὁρμῇ δ' εἶτ' ἀπλέτῳ, ποταμὸς ὣς ὄμβρῳ ὀρινθείς,

θῦνεν, ἰδὲ στέρνοις ἀντῆρε' ἐώθεεν ὕλην.
Χάσσατ' Ἀγηνορίδης τυτθὸν καὶ ἀμύνατ' ἐφορμὴν
λείοντος δέρεϊ, προβολαίῃ δ' ἔσχεθεν αἰχμῇ
χαίνουσαν γνάθον· ἐκ δὲ μανεὶς ἀνεμώλι' ἐκεῖνος
τραύματα χαλκῷ ὄπαζεν, ἔθραυσέ τ' ὀδόντας ἀκωκῇ·
Αἷμα τότ' ἀμβλύζειν ἐξ ἰοφόρου ὑπερῴης
ἤρξατο, καὶ χλοερὰς βοτάνας ῥαθάμιγξιν ἔχραινεν.
Ἀλλ' ἔπλε τραῦμ' ὀλίγον· πληγὴν γὰρ ὅ γ' εἶξ' ἀλεείνων,
γνάμψε δέρην τ' ὀπίσω βληθεὶς καὶ ἐρύκανεν εἴκων
ἔγχος ἐρεισθῆναι καὶ ἐνδοτέρω χρόα δῦναι.
Τόφρα δ' Ἀγηνορίδης χαλκὸν βίῃ ἐς φάρυγ' ὤσας
ἔγκειτο θλίβων, εἵως δρυῒ ἔσχετ' ὄπισθεν
ἔγχος, καὶ δειρὴν σὺν φιτρῷ αἰχμὴ ἔπειρε.
Γνάμφθη ὑπὸ βρίθει ὄφιος δένδρον, νεάτῃ τε
οὐρῇ θεινομένου νέρθε πρέμνου στενάχιζεν.
Ὄφρα δὲ νικητὴς δμηθέντος θηέετ' ὄγκον,
αἴφνης αὐδὴ ἀκούσθη· ἄδηλον μέν ῥ' ὅθεν ἷκεν,
ἀλλ' ἠκούσθη· " Τίπτ', ὦ Ἀγήνορος υἱέ, δράκοντα
νεκρὸν ὁρᾷς; δὴ καὶ σὺ δράκων ὀφθήσῃ ὁμοίως. „
Δὴν κεῖνος τρομέων σὺν ἑῇς φρεσὶν ὤλεσε χροιήν·
ὀρθαὶ δὲ κρυερῷ τάρβει οἱ ἔφριξαν ἔθειραι·
Ἠνὶ δ' οἱ εὐμενέουσα δι' ἠέρος ὑψόθεν ἧκε
Παλλάς, καὶ ἀρόσαντα γύην ἐκέλευσεν ὀδόντας
ἐγκαταθέσθ' ὄφιος, λαοῦ σπέρμ' ἐσσομένοιο.
Αἶψ' ὑπάκουσεν ἐκεῖνος ἀρότρῳ τ' αὔλακ' ἐλάσσας
ἔσπειρ', ὡς κεκέλευστο, βρότεια σπέρματ' ὀδόντας·
Εἶθ', ὃ ἄπιστον, ἄφνω κίνυσθαι βῶλοι ἀρούρης
ἤρξαντο· πρώτη δ' ἀνέτειλ' ἐξ αὔλακος αἰχμή,
εἶτα λόφοισι κράνη νευστάζοντ' αἰολόχρωσιν,
εἶτ' ὦμοι καὶ στέρνα, χέρες θ' ὑφ' ὅπλοις βαρύθουσαι
ἐξανέφυν· ἀνδρῶν δ' ἄρα λήϊον ηὔξεθ' ὁπλιτῶν·
Τώς, ὁπότ' αὐλαίη ὑπανέλκεται εἰνὶ θεήτροις,

εἰκόνες ἀντέλλουσι· πρόσωπον πρῶτον ἀνίσχει,
ἄλλα δὲ γυῖ' ἑξῆς, μετέπειτα δ' ὅλαι ὁρόωνται
ἦκ' ἀνερυσθεῖσαι, δαπέδου τ' ἐπ' ἄκρου βεβάασι.
Δεῖσε νέους δηΐους Κάδμος, ταχὺ δ' ἔντυεν ὅπλα.
Μὴ σύ γ' ὅπλ'· εἷς φώνησεν ὁμίλου ἐκ χθονός ἄρτι
φύντος, μηδ' εἰς ἔμφυλον καταμίγνυσο δῆριν.
Ὣς φάτο, γηγενέων θ' ἕν' ἀδελφεόν ἄορι τύψεν
ἐγγύθεν· ἤριπε δ' αὖ δορὶ τηλόθε βλήμενος αὐτός.
οὐδ' ὅς τοῦτον ἔπεφνε βίου λάχε μάσσονα μέτρα,
ἀλλ' ἀπέπνευσε πάλιν τὰς ἄρτι ἀφύσσατο αὔρας.
Τοῖς δ' αὖ ὁμοίως γηγενέων πᾶς μαίνεθ' ὅμιλος,
ἀρεΐ τ' ἐμφύλῳ ἀλληλοφόνοι διόλοντο·
παυριδίην δ' ἤδη μοῖραν βιότοιο λαχοῦσα
ἀσπαίρουσιν ἔτυπτε λυθρώδη στήθεσι γαῖαν.
Πέντε ζώεσκον μοῦνοι, τῶν εἷς ἔπλ' Ἐχίων.
Ἐννεσίῃς οὗτος Τριτωνίδος ὅπλα χαμάζε
ῥίψας, εἰρήνην ᾔτησέ τε δῶκέ τ' ἀδελφοῖς·
Τούςδε συνεργατίνας ξεῖνος σιδώνιος ἔσχεν,
ὁππότε φοιβείῃ πτολίεθρον ἐδείματ' ἐφετμῇ.

Ἀκταίων ὁ Αὐτονόης τῆς τοῦ Κάδμου θυγατρὸς καὶ τοῦ Ἀρισταίου υἱός, ἐπὶ τοῦ Κιθαιρῶνος κατ' ἔθος θηρεύων, ἐπὶ πηγὴν τὴν Γαργαφίαν ἐν συνηρεφεῖ τινι τοῦ ὄρους κοιλάδι ἔρχεται κἀκεῖ τὴν Ἄρτεμιν ἐν ἀλέᾳ μεσημβρινῇ γυμνὴν σὺν ταῖς νύμφαις λουομένην ἀπὸ τύχης ἰδών, ὀργῇ τῆς θεᾶς εἰς ἔλαφον μεταβάλλεται καὶ ὑπὸ τῶν ἰδίων κυνῶν διασπαράττεται ἀγνοούμενος.

Ἵσταντ' ἤδη Θῆβαι· ἔδοξας κ' ὄλβιος εἶναι
Κάδμ', ἐν ἀειφυγίῃ· ἐκυροὺς γὰρ τ' ἔλλαχες Ἄρη
καὶ Κύπριν. Πρόσθες μεγάλης γενεὴν ἀλόχοιο,
τοσσατίους θ' υἷας, θύγατράς τε, φίλους θ' υἱωνούς,
ἡβῶντας καὶ τοὺς τότε σοι. Ἀλλ' ὕστατον αἰεὶ
χρὴ φάος ἄνδρα μένειν· μή τις δὲ βροτῶν πρὸ τελευτῆς
καὶ κτερέων πυμάτων εὐδαίμων ἄμμι κεκλήσθω.

Τόσσῃ ἐν εὐπραγίῃ πρώτῃ σοι κήδεος ἀρχῇ
ἔγγονος ἔπλετο, Κάδμε, τοῦ ἀλλότρι' ἧκε μέτωπον
μακρὰ κέρα καὶ δεσπόσυνον κύνες ἔκπιον αἷμα.
Εἰδ' εὖ ἀνασκοπέοις, δυσδαιμονίην κ' ἐν ἐκείνῳ,
οὐκ ἀλίτημ' εὕροις· τί γὰρ ἐν πλάνῃ ἔστ' ἀλίτημα;
Οὖρος ἔην πολλῶν πεπαλαγμένον αἵματι θηρῶν.
ἤματι δ' ἐν μέσσῳ σκιαὶ ἤδη πάγχυ βράχυνθεν,
ἠέλιός θ' ἑκάτερθ' ἀπὸ πείρατος ἶσον ἀπεῖχεν,
ἡνίκα πλαζομένους ὁμοθήρους πάντοσ' ἀν' ὕλας
μειλιχίῃ κοῦρος κίκλησκεν ὑάντιος αὐδῇ·
“ Αἷμα λίνα στάζει θηρῶν, φίλοι, ἠδὲ σίδηρος·
» ἦμαρ ἅλις θήρην τόδ' ἔνεικεν· ὅτ' αὔριον Ἠὼς
» αὐγάσῃ ἄμμι πάλιν κροκέῳ δίφρῳ ἐμβεβαυῖα,
» ἔργου μνησόμεθ' αὖθις· ἀτὰρ νῦν ἥλιος ἶσον
» γῆς ἑκάτερθ' ἀπέχει ῥήγνυσί τε φλοξὶν ἀρούρας·
» Λήξατε νῦν ἔργοιο καὶ ἄρκυας αἴρετε πλεκτούς·
Οἱ δὲ κέλευσμ' ἐτέλεσσαν ἐσαῦθίς τ' ἄμβαλον ἔργον.
Ἦν δασὺ πεύκης ἄγκος ἰδ' ὀξείης κυπαρίσσοις
οὔνομα Γαργαφίη, εὐζώνῳ Ἀρτέμιδ' ἱρόν·
ἐν δὲ μυχῷ δένδρεσσι περισκεπὲς ἄντρον ἔκειτο
οὐ τυκτὸν τέχνηφι· Φύσις μιμήσατο τέχνην
ἐμφυέϊ σοφίῃ, κισσήριος ἄντυγ' ἐκείνην
αὐτοφυῆ τεύξασ' ἰδὲ κούφου πάντοθι πώρου.
Δεξιόφιν φαιδροῦ πίδαξ ὕδατος κελάρυζε,
τῆς στόμα κύκλῳ ποιῆεν περιέστεφε χεῖλος·
Ἐνθάδε δρυμοχαρὴς καμάτῳ θεὰ ἀδδηκυῖα
παρθένι' εἰώθει λούεσθαι νάματι γυῖα.
Ἐνθάδ' ἀφικομένη νυμφῶν μιῇ ὁπλοφόρῳ ἣ
δῶκε βιὸν χαλάσασα καὶ ἰοδόκην καὶ ἄκοντα·
ἀμπέχονον δ' ἄλλη ὑπεδέξατο χερσὶ θεαίνης.
Λῦσαν ἔπειτα πέδιλα ποδῶν δύο· αὐτίκα δ' ἴδρις
ἀμφ' ὤμοισι χυτὰς δεσμῷ συνέδησεν ἐθείρας

Ἰσμηνὶς Κροκάλη, αὐτή περ ἐοῦσα λυσίθριξ.
Νᾶμ' ἄρυον Νεφέλη, Φιάλη θ', Ὑάλη τε, Ῥανίς τε
καὶ Ψεκάς, εὐρείῃς τε θεῇ ὑδρίῃσιν ἐπήντλουν.
Ὄφρα δ' ἐν ἠθαδίῃ Τιτηνὶς ἐλούετο πηγῇ,
ἠνίδ' ὑπερθέμενος Κάδμου νέος ἔγγονος ἄγρην
ἄγνωτον διὰ δρυμὸν ἀλώμενος ἄγκεος εἰκῇ,
ἤλυθεν ἄλσος ἐκεῖνο· κακὴ δ' ἄγεν αἶσά μιν αὔτως·
Αὐτίκα δ' ὡς πίδαξι νάον σπέος ἤλυθεν εἴσω,
γυμναί, ὡς ἔσαν, ἄνδρ' ἐσιδοῦσαι στήθεα νύμφαι
τύψαν, πᾶν τε νέμος ὀλολυγμῶν αὐτίκ' ἔπλησαν.
Δίκτυνναν δὲ θεὰν κυκλωσάμεναι σφετέροισι
σώμασιν ἀμφεκάλυψαν· ὅμως φυῇ ἔπλετ' ἐκείνη
νυμφάων μάσσων, δειρῇ θ' ὑπερέσχεθε πασῶν.
Οἵη δ' ἄρ' νεφέων χροιὴ πέλει, ὁππότε Φοίβου
χρώννυται ἀκτίνεσσιν, ἢ Ἠόος οἵη ἐρυθρῆς,
τοίη ὀπωπὴ ἔην Φοίβης, ὅτε γυμνὴ ἐπώφθη·
ἣ καὶ στεινομένη περ ὀπηδῶν πυκνῷ ὁμίλῳ
ἔμπης στῇ λικριφὶς καμφθεῖσ' ὀπίσω τε πρόσωπον
ἔτραπεν. Ὡς δὲ πρόχειρ' οὐκ εἶχεν, ἃ βούλετο τόξα,
ἣν ἔχ' ἀφυσσαμένη λιβάδ', ἀνδρὸς χεῦε κατ' ὦπα.
ποιναίοις δὲ κόμας ἄδδην ῥαίνουσ' ὑδάτεσσι,
πήματος ἐσσομένοιο προάγγελα τοῖ' ἐπέειπε·
“ Νῦν ἴθι μυθολόγευ' ὅτ' ἀνείμονά μ' ἔδρακες ὧδε,
ἢν αὐδᾶν γε δύνῃ. „ Οὔτι πλέον ἠπείλησε·
κρατὶ δ' ὑγρῷ ἐλάφου δολιχαίωνος κέρα δῶκε
καὶ μήκυνε τράχηλον ἰδ' οὔαθ' οἱ ὀξέ' ἔτευξε·
Σὺν ποσὶ χεῖρε δ' ἔτρεψε, βραχίονε δ' αὖ δολιχοῖσι
σὺν μηροῖς· στικτῇς δὲ δέμας ἐπύκασσε τρίχεσσιν.
Ὤπασε καὶ πτοίην, τῇ ῥ' Αὐτονόης γόνος ἥρως
φεῦγε· ποδωκείην δὲ τόσην θαύμαζε τροχάζων.
Εὖθ' ἑὰ δ' ἠθαδίοις κέρα ηὐγάσατ' ἐν ῥεέθροισιν,
“ ὤμοι ἐγώ „ φθέγξασθ' ἔθελ', οὐ μὴν ἔσπετο γῆρυς.

Ἐστονάχησ'· ἧδ' οἱ γένετ' αὐδή· καδδὲ παρειῶν
δάκρυα ῥεῦσε νέων· μόνος οἱ νόος ὁ πρὶν ἔμιμνε.
Τί χρῆν δρᾶν; ἰέναι πάλιν οἴκαδε δώματ' ἄνακτος,
ἢ δύμεναι δρυμούς; τὸ μὲν εἶργε δέος, τὸ δ' αὖ αἰδώς.
Τὸν δ' ἐπιδοιάζοντ' ἔτ' ἴδον κύνες· ἐν δὲ Μελάμπους
πρῶτος ἰδ' Ἰχνοβάτης ὑλακῆς σήμηναν ἅπασι·
κνώσσιος Ἰχνοβάτης, γενεὴν δὲ λάκων ὁ Μελάμπους·
Ὠκύτεροι δ' ἄλλοι σπερχνῶν ἀνέμων ἐπόρουσαν·
Παντοφάγος, Δορκεὺς τ' ἰδ' Ὀρείβασος, ἀρκάδες οὗτοι,
Νεβροφόνος τ' Αἴθων καὶ ἴτης σὺν Λαίλαπι Θήρων,
καὶ Πτερέλας ταχύπους καὶ εὖριν Ἄγρη ἅμ' αὐτῷ,
Ὑλαῖός τ' ἀγρίοιο νέον δηχθεὶς ὑπὸ κάπρου,
ἔκ τε θοροῖο Νάπη λυκέοιο, βοτῶν τ' ἐπίουρος
Ποιμενίς, ἠδ' Ἅρπυι' ὁμοφοίτοις σὺν δυσὶ τέκνοις,
καὶ ἰξὺν λεπτὸς Σικυώνιος οὔνομα Λάδων,
καὶ Κανάκη, Στικτή τε, Τίγρις τε, Δρομάς τε καὶ Ἀλκή,
καὶ Λεύκων χιόνειος ἰδ' Ἄσβολος αὖ μελανόθριξ,
ἀλκήεις τε Λάκων καὶ Ἀελλὼ κραιπνὰ θέουσα,
καὶ Θοὸς ἠδὲ Λυκίσκη ἑῷ Κυπρίῳ σὺν ἀδελφῷ,
σὺν Μελανεῖ τε φέρων ἐιν ὀρφνῷ σῆμα μετώπῳ
Ἅρπαλος ἀργύφεον, Λάχνη τ' ἐπὶ τοῖσι δασύθριξ,
δικταίου τε πατρὸς φύντες μητρός τε λακαίνης
Λάβρος ἰδ' Ἀγριόδους ἅμα τ' ὀξύφθογγος Ὑλάκτωρ,
ἄλλοι θ', οὓς ἐνέπειν μακρόν. Θήρης δ' ἄρ' ἔρωτι
ὄχλος ὅδ' ἤϊξεν διὰ παίπαλα καὶ διὰ πέτρας,
λυγρὸς ὅπου γ' ἦν οἶμος ἰδ' ἄστιβος ἀνδράσι χῶρος.
Φεῦγε κύνας δ' ἄρ' ἐκεῖνος ὅπου σφέας ἦγε πάροιθε·
φεῦγεν ἑοὺς οἰκῆας· αἶ, ἤθελεν ὀξὺ βοῆσαι·
"Ἀκταίων εἰμ' αὐτός· ἐπίγνωθ' ὑμὸν ἄνακτα„
ἀλλ' ἔπε' οὐ παρέην οἱ· ὑλαγμοῖς δ' ἤχεεν αἰθήρ.
Πρῶτα Μελαγχαίτης ἐπὶ νώτοις τραύματ' ἔπειρεν,
εἶτα δὲ Θηριδάμας· Ὀρεσίτροφος ἔνδακεν ὦμον·

Ὕστεροι οἵδ' ὤρουσαν, ὅμως γ' ἀτραποῦ δι' ὀρείης
ἔφθαν τοὺς ἄλλους. Ὄφρ' οὖν ἑὸν ἴσχον ἄνακτα,
σύνδραμον οἱ ἄλλοι, γυίοις τ' ἐνέπηξαν ὀδόντας.
Δήγμασιν οὐκέτι χῶρος ἔην· στένε κεῖνος ἰδ' ἵει
οὐ μὲν τ' ἀνθρώπειον, ὅμως δ' οὔθ' οἷον ἵησι
φθόγγον κεμμάς· ἔπλησε δ' ἄρ' ἠθάδι' οὔρε' ὀδυρμῶν.
ἠΰτ' ἀνὴρ δ' ἱκέτης ποτὶ γαίῃ γούνατ' ἐρείσας,
σιγηλὸς περιῆγεν ἁπάντῃ ὡς χέρας ὄσσε.
Τῷ δὲ κύνας ἐπόρινον ὀπάονες ἀγνοέοντες
φθέγμασιν ἠθαδίοις· περὶ δ' ὄμμασιν Ἀκταίωνα
ζητεῦντες, συνεχές μιν ἐφώνεον ὥς τ' ἀπεόντα.
Κρᾶτα δ' ὃ γ' ἔτραπεν οὔνομ' ἀκούσας· μεμφομένων δὲ
κείνων, ὅττι ἄγρην δηθύνων μή πω ὁρῴη,
ἤθελ' ἀπέμμεν· ὅμως παρέην· ἔθελ' ὄμμασι λεύσσειν,
μὴ μέν τοι γε κυνῶν ὑφ' ἑῶν κακὰ πήματα πάσχειν·
οἳ γάρ μιν περιέσταν, ἐρείσαντές τ' ἐνὶ γυίοις
ῥύγχε', ἄνακτ' ἐλάφου μορφὴν ὑποδύντα διέσπων.
οὐδὲ φαρετροφόρον μεταλῆξαι φασὶ χόλοιο
πρὶν κεῖνον βιότου ὑπὸ τραύμασι πεῖρας ἱκέσθαι.
Ἄκριτός ἐστι φάτις· τοῖς μέν ῥ' ὑπὲρ αἶσαν ἀπηνής
δόξε θεά· οἳ δ' αὖ μιν ἐπάξια ῥέξαι ἔφασκον
Παρθένου αἰδοίης, ἄλλοι δ' αὖ ἐπαμφοτέριζον.

Ἥρα τὴν τοῦ Κάδμου θυγατέρα Σεμέλην ζηλοτυπήσασα κύουσαν ἐκ Διός, εἰς τὴν ἐκείνης τροφὸν Βερόην μεταμορφοῦται καὶ πείθει αὐτὴν παρὰ τοῦ ἐραστοῦ αἰτήσασθαι ἐν μορφῇ τοιαύτῃ ἑαυτῇ προσελθεῖν, ἐν οἵᾳ εἰώθει τῇ ἰδίᾳ γαμετῇ πλησιάζειν. Ὁ δὲ Ζεὺς τὴν τῆς Σεμέλης αἴτησιν ἄκων ἐπιτελῶν πρόσεισι κεραυνοφόρος καὶ ταῖς ἀστραπαῖς καταφλέγει τὴν ἐρωμένην. Τὸν δ' ἐγκυμονούμενον ἔτι Διόνυσον τῆς γαστρὸς αὐτῆς ἐξελὼν ζῶντα τῷ ἑαυτοῦ ἐγκαταῤῥάπτει μηρῷ καὶ τελεόμηνον γενόμενον ταῖς νυσαίαις νύμφαις παραδίδωσι τρέφειν.

Μούνη Ζηνὸς ἄκοιτις ἐκείνην οὐ ψέγε μύθῳ,
οὔτ' ᾔνει, κήδεσσι δ' Ἀγηνορέου ἐπέχαιρεν
οἴκου, καὶ τυρίης ὑπὸ κούρης ἔχθος ὀρινθέν

ἐς γενεὴν μετένειχε. Παροιτέρῃ ἠνίδε καινὴ
προστίθετ' αἰτίῃ. 'Εκ Ζηνὸς μεγάλοιο κύουσα
κήδεέ μιν Σεμέλη· γλῶσσαν δ' ἐς νείκε' ἀνεῖσα,
" τοσσατίοισι τί γάρ, φάτο, νείκεσιν ἐς τόδ' ἔρεξα;
» Αὐτῇ χρή μ' ἐπιθέσθ' ὀλέσαι τέ μιν, εἴ γε κατ' αἶσαν
» Ἥρη δῖα κέκλημ', εἴ μ' ἴσχειν δεξιτερῆφι
» λαμπρὸν σκῆπτρον ἔοικε, θεῶν εἰ ἄνασσα, Διὸς δὲ
» εἴμ' ἄλοχός τε κάσις τε· κάσις ναί. 'Αλλὰ τάχ' ἥγε
» στέργουσα κλοπίῃ, βραχέ' εἰς ἐμὰ λέκτρ' ἀλιταίνει.
» Οὐ δῆτ', ἀλλὰ κύει· τόδ' ἐλείπετο· νηδύϊ πλείῃ
» ἐμφανὲς ἐστ' ἀλίτημ· ὃ δ' ἐμοὶ δέδοται μόλις αὐτῇ,
» εἴδει ἐῷ πίσυνος μήτηρ θέλει ἐκ Διὸς ἔμμεν.
» 'Αλλὰ ποθῆς ψεύσω μιν· ἔοιμι δὲ μηκέτι Ἥρη,
» εἰμὴ ὑπὸ Ζηνὸς στύγι' ὕδατα δύσετ' ἐκείνη.
'Ως φαμένη ἐκ θώκου ἀνέγρετο· δῦσα δὲ χρυσοῦν
αἶψα νέφος, Σεμέλης δόμον ἤλυθεν, οὐδ' ἔλιπ' ἀχλύν,
πρὶν γρηὸς θ' ἕλετ' εἶδος, ἐθείρης στέψε τε κρᾶτα
λευκῆς, ῥυσώθη δὲ χρόα, τρομεροῖσί τε γυῖα
βάστασε κυφὰ πόδεσσι, καὶ ὄσσαν ἔθηκε γεραιήν,
καί Βερόῃ Σεμέλης ἐπιδαυρίῃ εἴσατο μαίῃ.
'Ως δ' ἥψαντο λόγων καὶ δηθάκι μυθολογεῦσαι
Ζηνὸς ἐπέμνησθεν, στοναχήσασ' ἔκφατο κείνη.
" Αἴθ' εἴη Ζεὺς κεῖνος· ὅμως γε δέδοικα· πολεῖς γὰρ
» θεοῖσιν ἐεισάμενοι θαλάμους εἰσήλυθον ἁγνούς.
» Οὐδ' ἅλις ἔμμεν Ζῆνα· δότω σοι τέκμαρ ἔρωτος.
» Εἴγ' ἐτεὸν Ζεύς ἐστι, τόσον τοῖόν τέ μιν ἐλθεῖν
» σὰς εἰς ἀγκαλίδας λιτάνευσον, ὅσον περ ἰδ' οἷον
» Ἥρη μιν δέχνυται· πρὶν ἐὸν δὴ κόσμον ἑσάσθω.
Τοῖ' ἐνέπουσ' Ἥρη Καδμηΐδα παῖδ' ἐδίδαξε
νηΐδα. κείνη δ' οὖν Δί' ἀνώνυμον ἤτεε δῶρον·
οὗτος δ' ηὔδα· ,, ἑλοῦ· οὐδέν σοι ἐγὼν ἀνανεύσω'.
" Ὄφρα δὲ πιστεύσῃς μᾶλλον, στυγίοιο συνίστω

» τοῦτο θεὸς ῥεέθροιο, θεῶν σέβας οὐρανιώνων·
Ἡ δὲ κακῷ χαίρουσ' ἠδ' ᾧ σθένει, ἥν περ ἐρῶντος
φθῖσαι ἔμελλε χάρις, Σεμέλη φάτο· " Ἥρη ὁποῖον
» προσπτύσσεσθ' εἴωθέ σ', ὅτε ξύνιτ' ἐν φιλότητι,
» τοῖος ἔμοιγ' ἔλθοις ,, Στόμ' ἐπισχεῖν Ζεὺς ἐθέλησε
φθεγγομένης, ἀλλὰ φθὰν ἔπος ἐξέσσυτ' ἐς αὔρας.
Ἐστονάχησ'· οὐ γὰρ παλινάγρετος ἔσκεν ἐκείνης
ἀρή, οὔθ' ὅρκος Ζηνός· τῷ σκυθρὸς ἀέρθη
ὕψος ἐς αἰθέριον, ἐπιπειθεῖς δὲ ξυνάγειρε
νεύμαθ' ἑῷ νεφέλας, ὄμβρους δ' ἀνέμους τ' ἐπόρινε,
βροντάς τε, στεροπάς τε, βέλεμνά τ' ἄφυκτα κεραυνῶν.
Ἔμπης, ὡς ἐνέην γε, βίην πειρήσαθ' ὑφεῖναι,
οὐδ' ὥπλισσε χέρας πυρὶ κείνῳ, τῷ προπάροιθεν
ἐστυφέλιξε Τυφωέ', ὅου μένος ἄσπετον ἦεν.
Εἰσὶ καὶ ἀμβλύτερα Ζηνὸς βέλε', οἷσι Κυκλώπων
χεὶρ μεῖον σθένος ὤπασ' ἐλάσσονά τε φλόγα κείνου.
Δεύτερα ταῦτα καλεῦσι θεοί· τά δ' ὅγ' εἵλετ' ἰδ' οἶκον
δύσατ' ἀγηνόρεον. Θνητὸν δέμας οὔτι θύελλαν
αἰθερίην ὑπέμειν', ὑπὸ δ' ἕδνοις αἶψ' ἀνεφλέχθη.
ἡμιτελὴς δ' ἔτ' ἐρύσθη ἀπὲκ λαγόνων γενετείρης
ἔμβρυον, ἠδ' ἁπαλὸν μηρῷ πατρός, ἐι φάτις ἥδε
πιστή, ἐνεῤῥάφη, ἔνθα τελεσσίγον' ἤματ' ἔπλησε.
Λάθρη πρῶτον ἔθρεψ' Ἰνὼ βρέφος ἀρτιγένεθλον
μητροκασιγνήτη· νυσηΐδες εἶτα δὲ νύμφαι
κρύψαν ἐνὶ σπήεσσι καί οἱ γάλα δῶκαν ἐδωδήν.

Τειρεσίας Εὐήρους υἱὸς Θηβαῖος, ὃς πρῶτον μὲν ἐξ ἄρρενος εἰς γυναῖκα, εἶτα δ' ἐκ γυναικὸς εἰς ἄνδρα πάλιν μετεβεβλήκει, διχοφωνίαν τινὰ τοῦ Διὸς πρὸς τὴν Ἥραν οὐ κατὰ γνώμην τῆς θεᾶς λύσας, ἀφαιρεῖται τὰς ὄψεις ὑπ' αὐτῆς χολωθείσης. Ὁ δὲ Ζεὺς τὴν συμφορὰν αὐτῷ κουφίσαι βουλόμενος, παραμύθιον τῆς τυφλότητος παρέχει τὸ τὰ μέλλοντα προορᾶν.

Ὄφρ' ἐπὶ γαίῃ ταῦτα νόμῳ Μοιρῶν ἐτελεῖτο,
ἐν δ' ἐχυρῷ Βάκχοιο διμήτορος ἔπλετο κοιτίς,

νέκταρι φαιδρυνθέντα μέγαν Δία φασὶ μερίμνας
ἀχθηρὰς ἀποθέσθ' ἰδ' ἀεργῷ τοῖ' ἀκόλαστα
προσπαίζειν Ἥρῃ. „ Ἦ μείζων τίκτεται ὔμμι
» τέρψις θηλυτέρῃσιν ἢ ἀνδράσιν ἐκ φιλότητος.
Ἡ δ' ἀπέφασκεν· ἔδοξ' οὖν ἴδμονος ἐξερεεῖναι
Τειρεσίαο νόον δισσὴν Κύπριν εἰδότος ἤδη.
Κεῖνος γὰρ χλοερῆς ἐνὶ ῥώπεσι σώματα δοιὰ
μιγνυμένων μεγάλων ῥάϐδῳ ποτ' ἔπληξε δρακόντων.
ἐκ δ' ἀνέρος, ὢ θαῦμα, γυνὴ γένεθ'· ἑπτὰ δ' ὀπώρας
ἤνυσεν· ὀγδοάτῃ δὲ δράκοντε ἰδὼν πάλι κείνω
ἔννεπεν. „ Εἰ τόσον ὑμείων δύνατ' ἀνδράσι πληγή,
“ ὥστε τρέπειν πλήσσοντος ἐς ἀντίον αὐτίκα εἶδος,
» πλήξω καὶ νῦν ὔμμε· „ Δράκοντε δ' ἄρ' ὡς πάλι κεῖνος
τύψε, τύπον πρότερον ἠδ' ἄρσεν ἐλάζετο εἶδος.
Κληθεὶς οὖν ὁ θεοῖσι δίκην παιγνήμονα κρῖναι.
Ζηνὸς ἐκύρου μῦθον· ἄχος δ' ἄρα φασὶ γενέσθαι
μεῖζον τοῦθ' Ἥρῃ ἐπεοικότος, ἣ βαρύμηνις
νυκτὶ ἀειχρονίῳ ἐκάλυψ' ἑοῦ ὄσσε δικαστοῦ.
Ἀλλά γε παντοκράτωρ (οὐ γὰρ θέμις ἔργ' ἀλιῶσαι
θεῖα θεόν γ' ἄλλον) τῶν ἐσσομένων οἱ ἔδωκεν
ἀντὶ φάους ἰδρίην καὶ θωὴν κούφισε τιμῇ.

Τῆς ἀληθείας τῶν Τειρεσίου προῤῥήσεων ἔλεγχον δίδωσι πρώτη ἡ τοῦ καλοῦ Ναρκίσσου τύχη, ὃν ἐκεῖνος προεῖπεν, εἰ ἑαυτὸν ἴδοι, οὐ μακρόϐιον ἔσεσθαι. Τοῦ γὰρ νεανίσκου τὸν τῆς νύμφης Ἠχοῦς ἀπαξιώσαντος ἔρωτα, ὑπ' ὀδύνης ἐκείνη ἀπολιθοῦται, μόνον δ' ἔκτοτε τοῦ ζῆν παρέχεται τεκμήριον τὸ ἀόρατος ἀεὶ τοῖς φθεγγομένοις ἀντιφωνεῖν. Ὁ δ' ἔπειτα ἔν τινι πηγῇ τὸ ἑαυτοῦ ἴνδαλμα θεασάμενος. ἔρωτι τοῦ τῷ ὕδατι ἐμφαινομένου προσώπου ἁλίσκεται καὶ τὸ πάθος κατοδυρόμενος εἰς τὸ ὁμώνυμον μεταϐάλλεται ἄνθος.

Ἀονίης οὖν κεῖνος ἐρίκλυτος ἐν πολίεσσι
λαῷ ἀνειρομένῳ μαντεύματ' ἔφαινεν ἀμεμφῆ.
Ἀτρεκέων πρώτη πειρήσατο μαντοσυνάων
γλαυκὴ Λειριόπη, τήν περ ῥεέθρῳ ποθ' ἑλικτῷ

Κηφισὸς περιέσχε, βιήσατό θ' οἷς ἐνεέρξας
Ὕδασιν. Ἡδ' ὑποκυσσαμένη τέκε κάλλιμον υἷα,
τοῦ τότε καὶ βρέφεος νύμφαι κ' ἐράσαντο ἰδοῦσαι·
Νάρκισσον δ' ὀνόμηνεν. Ἐρωτηθεὶς περὶ τούτου,
εἰ μέλλοι βιότοιο πέπειρον γῆρας ἱκέσθαι,
μοιρολόγος πρὶν ἔφη· ἢν μὴ ποθ' ἓ αὐτὸν ἴδηται·
Δὴν ὑποφήτου ἔδοξ' ἅλιον ἔπος· ἀλλὰ τελευτή,
καὶ θανάτου εἶδος καὶ ἔρως κύρωσε νεοχμός·
Πέμπτῳ καὶ δεκάτῳ ἔτος ἓν προσαρίθμεεν ἤδη
Κηφισοῖο γόνος· πάϊς εἴσατό κ' ἠδ' ἅμα μεῖραξ.
Πολλοί μιν κοῦροι πόθεσαν, πολλαὶ δέ τε κοῦραι.
ἀλλ' ὃ τόσον γαυροῦτο τερείνης κάλλεϊ μορφῆς,
ὥστ' οὔτ' ἄρ κοῦροι ποθ' ἕθεν θίγον, οὔτε τι κοῦραι.
Τὸν δ' ἐλάφους δειλὰς σεύοντα λάλος ποτ' ἐς ἄρκυς
νύμφη ἴδ', οὐκ εἰδυῖ' οὔτ' αὐδῶντός τινος ἄλλου
σιγᾶν, οὔτ' αὐδᾶν προτέρη, ἀντίθροος Ἠχώ·
Ἦν τείως Ἠχὼ δέμας, οὐ φθέγμ'· ἀλλά γε γλώσσῃ
καὶ τότ' ἐχρῆτο λάλῳ, ὥς περ καὶ νῦν ἔτι χρῆται,
ἐκ πολέων πυμάτους φθόγγους πάλιν ἀντιδιδοῦσα·
Τοῦτο δὴ Ἥρη ἔρεξ', ὅτι μιν μέλλουσαν ἐπ' οὔρει
πὰρ Διὶ φωρήσειν εὐναζομένας θαμὰ νύμφας
κείνη ἀπὸ γνώμης μακροῖς μύθοισιν ἔρυκεν,
ὄφρα φύγοιεν νύμφαι· ὅτ' οὖν δόλον ἐφράσαθ' Ἥρη,
ἔννεπε· „ βαιὸν δὴ γλώσσης κράτος, ᾗ μ' ἀπαφίσκεις,
» ἕξεις σῆς ὀπίσω, χρῆσίν τ' αὐδῆς ἐλαχίστην· „
ἔργῳ ἔπος κύρωσ'· ἥδ' οὖν μύθοιο τελευτὴν
διπλάζει, ὃ τ' ἄκουσ' ἀντιθροεῖ ἔκτοτε ῥῆμα.
ὡς οὖν Νάρκισσον διὰ δρυμῶν ἠλάσκοντα
ἔδρακεν, ἐφλέχθη, κατὰ δ' ἴχνος οἱ εἵπετο λάθρῃ·
ὅσσῳ δ' ἔγγιον εἵπετ', ἐθέρμετο μείζονι φλογμῷ.
οὕτω καὶ περίχριστον ἄκρης δαΐδεσσι θέειον
ὀξὺ πελασθεῖσαν μάρπτει φλόγα οὐδ' ἀνίησι.

Ποσσάκις αἱμυλίοις μύθοις ἐθέλησε πελάσσαι
χρήσασθαί τε λιτῆς· φύσις ἀλλά μιν ἔνδον ἔρυκεν,
οὔτ' ἄρξασθ' εἴα· ὃ δ' ἄρ' εἴα, ἄμμενε κείνη,
παιδὸς ἀκοῦσαι φθέγμ', ἀντιφθέγξασθαι ἑτοίμη.
Παῖς οὖν ὢν ἑτάρων ἀποπλαγχθεὶς πιστοῦ ὁμίλου·
οὔτις, ἔειπε, πάρεστι; πάρεστιν, ἀμείψατο Ἠχώ·
θάμβησ' ἠδὲ κύκλῳ παπτήνας πάντοσ' ἐκεῖνος
μακρὸν ἄϋσε· πρόσελθ'· ἣ δ' ἀντεκάλεσσε καλεῦντα.
Ὡς δ' ὃ μεταβλέψας προσιόντα οἱ οὔτιν' ἔλευσσεν,
ηὔδα· ὦ! φεύγεις με; ἔπη δ' ἔκλυ', ὅσσα ἔειπε.
μεῖνεν, ἀμοιβαδίων τε δόκῳ ἐπέων ἀπατηθείς,
ἐνθάδ', ἔφη, συνίωμεν· ἔπος δ' ἤγ' οὔκε πρὸς ἄλλο
ἥδιον αὐταύδησεν, ἔφησ' Ἠχώ· συνίωμεν·
καὶ δὴ ἑοῖσιν ἔπεσσιν ὑπούργεεν· αἶψα γὰρ ὕλης
ἐκβᾶσ', ἣν ἐπόθει περιφῦναι ἵετο δειρήν.
φεῦγε δὲ φωνῶν κεῖνος “ ἀπόσχες χεῖρας ἐμεῖο·
» Πρὶν τεθνήξομ' ἔγωγ' ἢ σὲ χρῆσθαί μοι ἐάσω.
κείνη δ' αὖ τόσ' ἔειπε· ,, σέ γε χρῆσθαί μοι ἐάσω.
Φαυλισθεῖσ' οὖν ἐν δρυμοῖς κρύβη· αἰδομένη δὲ
φυλλάσιν ὦπα καλύπτει, ἐρήμοις τ' ἔκτοτ' ἐν ἄντροις
ζώει· ἔρως δὲ μένει καὶ ἀτευξίῃ αὔξετ' ἐκείνῃ·
ἄγρυπνοι τήκουσι δέμας ταλαὸν μελεδῶνες·
δεινὴ δὲ φθινάς οἱ κάρφει χρόα· πᾶσα μὲν ἰκμὰς
ἐξέπτη γυίων, μόνα δ' ὀστέα λείπετ' ἰδ' ὄσσα·
ὄσσα μένει· ὀστᾶ δ' εἰς λᾶάν φασι τετράφθαι·
ἔκτοτε δρυμὰ δέδυκεν, ἐπ' οὔρεσι δ' οὔποθ' ὁρᾶται·
πᾶσιν ἀκούεθ' ὅμως· ζώει μόνος ἦχος ἐν αὐτῇ.
Ὧδε καὶ ἄλλας κεῖνος ὀρειάδας ὑδριάδας τε
νύμφας καὶ συχνοὺς τὸ πάροιθ' ἀπεφαύλισε κούρους.
τῷ τις ἀποβλήτων εἰς αἰθέρα χεῖρας ἀνασχὼν
ἔννεπ'· “ ἐρασθείη καὶ ὅ γ' οὕτως, ἀλλὰ πόθοιο
μὴ τύχοι ,, εὐχῇ δ' Ἀδράστει' ἐπένευσε δικαίῃ.

Πηγὴ ἔην καθαρὴ νᾶμ' ἀργύρεον προχέουσα,
τῆς οὐ ποιμένες, οὔτ' αἶγες, τὰς οὔρεα φέρβει,
ἥψαντ', ἢ γένος ἄλλο βοτῶν· οὐκ ὄρνις ἐκείνην,
οὔτ' ἄρα θὴρ ἐθόλωσ' ἢ δένδρεος ὄζος ἀποῤῥώξ·
ποίη δ' ἔπλε κύκλω, τὴν περ νοτὶς ἔτραφε γείτων,
ὕλη θ', ἣ θέρμεσθ' ὑπὸ Φοίβῳ χῶρον ἔρυκεν.
ἐνθάδε κεκμηὼς θήρῃ παῖς ἠδέ τε πνίγει
κλίνθη, ἐφελκυσθεὶς ὑπὸ χώρου τ' ἠδέ ῥέεθρου·
δίψος δὲ σβέσσαι ποθέων νέον ἔντεκε δίψος.
Ὄφρα δ' ἔπιν', εἰδώλῳ ὁρωμένῳ ἔνδοθι θελχθείς,
ἐλπίδος ἦρα ἀσάρκου· ὁρᾶν γὰρ οἴετο σῶμα·
δὴ θηεῖτό ἑ αὐτὸν ἰδ' ὀφθαλμοῖς ἀτενέσσι
δέρκετ' ἀκινητεὶ παρίου τύπος ὥστε λίθοιο.
Δισσοὺς κεκλιμένος χαμαὶ ἄθρεεν ἀστέρας, ὄσσε,
ἠδὲ κόμην Διονύσου ἐπάξιον ἠέ γε Φοίβου,
καὶ ἄτριχας γναθμούς, καὶ δειρὴν ὥς τ' ἐλέφαντος,
καὶ καλὸν στόμα, σὺν λευκῇ θ' ἅμα χροιῇ ἔρευθος·
πάντα δ', ἐφ' οἷς θηητὸς ἔην, θαύμαινεν ἐσαθρῶν·
ἦρα ἄφρων ἕθεν αὐτοῦ, ἰδ' αἰνῶν ᾖνε' ἑ αὐτόν,
καὶ ποθέεσκ' αὐτόν ἑ· φλέγεν δ' ἅμα καὶ φλέγετ' αὐτός.
Ποσσάκι μὰψ ὅ γ' ἔκυσσ' ἀπατήλια νάματα πηγῆς!
ποσσάκι δ' ἱέμενος δειρῆς ἅψασθαι ἐνόπτου,
χεῖρας ἔδυψ' ἐς ὕδωρ, ἀλλ' οὐ λάβ' ἐν ὕδει ἑ αὐτόν.
Οὐκ ᾔδη, τί ὁρᾷ· τὸ δ' ὁρώμενον ἔφλεγ' ὃν ἦτορ·
καὶ δόκος, ὅς τ' ἀπάφισκεν, ἐφείλκεθ' ἅμ' ὄμματα κείνου.
Τίπτ', εὔπιστε, μάτην κενὰ φάσματα τῇδε διώκεις;
οὐδαμοῦ ἔσθ' ὃ ποθεῖς· τὸ δ' ὀλέσσεις ἔνθεν ἀποστάς·
ναί· σκιή ἐσθ' ὃ ὁρᾶς σῆς μορφῆς ἀντιτύποιο·
οὐδὲν ἔχει ἴδιον· σὺν σοὶ ἥκει τε μένει τε·
σὺν σοὶ δ' αὖ οἰχήσετ', ἀπελθέμεν εἴ κε δύνηαι·
οὐ σίτου μελεδών, οὐ κοίτου ἔσθεν' ἐκεῖνον
ἔνθεν ἀποστῆσαι· σκιερῇ δὲ ταθεὶς ἐπὶ ποίῃ

ψευδέ' ἐδέρκετ' ἀεὶ ἀκορήτοις ὄμμασιν εἰκώ·
ὤλλυτό τ' ὄμμασ' ἑοῖς αὐτοῦ· τυτθὸν δ' ἀνακύψας,
εἰς περιϊσταμένας ὕλας χέρας ἔννεπε πιτνάς·
“ἦ τιν' ἔρως, ὗλαι, χαλεπώτερος εἷλέ ποτ' ἄλλον;
» ἴστε γὰρ ἠδ' ἐγένεσθ' εὔκαιρον κεῦθμα πολέσσιν·
» ἦ ῥά τινος μέμνησθε, (βίον γὰρ τείνετε μακρόν)
» ὃς τόσον ἐν δολιχῷ ἐτάκη χρόνῳ αἰνῷ ἔρωτι;
» εὗαδ' ὅπερ λεύσσω· ὃ δὲ λεύσσω ἰδ' ἕυαδε θυμῷ
» οὐ δύναμαι μάρψαι· φρὴν αὔτως πλάζετ' ἐρῶντος·
» τοῦτο δ' ἄχος μοι μεῖζον, ὅτ' οὐ μέγας ἄμμε διείργει
» πόντος, ἢ οἶμος, ἢ οὔρε', ἢ αἰπέα ἕρκεα τειχῶν·
» βαιὸν ἐρύκει ὕδωρ· καὶ ὃ δ' αὐτὸς ἐέλδετ' ἔχεσθαι·
» ὀσσάκι γὰρ φαιδροῖσι φίλημ' ὑδάτεσσι τίθημι,
» τοσσάκι μοι προσάγει προκλινὲς στόμα, ὄφρα φιλήσω.
» φαίης κε ψαύειν με ἕθεν· βραχὺ εἴργει ἐρῶντας·
» βάσκανε παῖ, ἔξελθ' ὅτις εἶ· τί σύ μ' ὧδ' ἐλεφαίρῃ;
» ποῖ φεύγων μ' οἴχῃ; ἐμὸν ἀλλ' οὐ φευκτέον ἐστὶν
» εἶδος ἰδ' ἡλικίη· καὶ νύμφαι ἐμεῦ ἐράσαντο·
» οὐκ οἶδ' ἥντινά μοι παρέχεις φίλῃ ἐλπίδ' ὀπωπῇ·
» ἢν σοι ὀρέξω χεῖρας, ὁμῶς μοι χεῖρας ὀρέγνυς·
» ἢν γελάσω, γελάας· καὶ δάκρυα πολλάκις ἐν σοὶ
» αὐτὸς ὁρῶ δακρύων, καὶ νεύματι νεῦμ' ἀπαμείβῃ·
» κινηθμῷ δ' ὅσσον στόματος σέο τεκμήρασθαι,
» καὶ ἔπεα προφέρεις, τά περ οὐκ ἐμῷ οὔαθ' ἱκάνει·
» οἶδ'· ἐγώ εἰμι σύ, οὐδ' ἄρ' ἐμὴ εἰκών μ' ἀπαφίσκει·
» αὐτοῦ ἐμεῦ ἔραμαι· φλόγ' ἀναίθω καὶ φλέγομ' αὐτός·
» τί δρῶ; ἦ σε λίτωμ' ἢ τοὔμπαλιν; ἐς τί λιτῶν χρή;
» εἰν ἐμοὶ ἔσθ' ὃ ποθῶ· ἄπορον θῆκ' εὐπορίη με·
» σώματος αἴθ' ἦν μοι ἀπονοσφισθῆναι ἐμοῖο!
» καινὸν ἐρῶντι τόδ' εὖγμ'· οὗ περ τ' ἔραμ', αἴθε μὴ ἦεν!
» ἄλγος ἀμαλδύνει γυίων σθένος, οὐδέ μοι αἰὼν
» μακρὸς λείπετ' ἔτι· φθινύθω δ' ἄκρηβος ἔρωτι·

» ἔμπης μοι βαρὺς οὐκ ἔσται μόρος, ἄλγεα παύων·
» μάσσονά κ' εὐξαίμην κείνῳ βίον, ὃν πεφίληκα·
» νῦν δ' ἄρ' ὁμῇ ἄμφω τεθνηξόμεθ' ἐνθάδ' ἀϋτμῇ.
Ἔννεπε, καὶ κείνην ἔκφρων ἴδεν αὖθις ἐς εἰκώ·
σὺν δ' ἐθόλωσε δάκρυσσιν ὕδωρ· εἰκὼν δ' ἀμυδρώθη
κινυμένου ὕδατος· τὴν δ' οἰχομένην ὃ νοήσας
ἔκραγε· "ποῖ φεύγεις; ὤ, μεῖνον· μηδέ μ' ἐρῶντα,
» νηλειές, προλίπῃς· οὗ ῥ' οὐ θιγέειν μοι ἔνεστιν,
» ἀλλά γ' ὁρῴην τοῦτο τροφήν τ' οἴστρῳ παρέχοιμι·
ἀχνύμενος δ' ἄρ' ἄνωθε καθείλκυσεν ὦκα χιτῶνα,
γυμνά τε μαρμαρέῃσιν ἔτυψε στήθεα χερσί·
στήθεα δ', ὡς ἐπλήγη, ἐπέδραμε λεπτὸν ἔρευθος,
οἷόν περ μήλου, τοῦ δὴ μέρος ἐσθ' ὑπόλευκον,
ἄλλο δ' ἐρευθιάα· ἢ ὡς περκναὶ σταφυλάων
ῥᾶγες φοινίσσονθ', αἳ μή πω ἔασι πέπειροι·
ὡς οὖν στήθε' ἴδ' ἐν καθαρῷ πάλιν ὕδατι πηγῆς,
οὐκέτ' ἔνεικ' ὄψιν· ξανθὸς δ' ὡς κηρὸς ἀβληχρῇ
τήκεθ' ὑπὸ φλογί, ἢ ὡς βαιῷ θάλπεϊ πάχνη
ὀρθρίη ἠελίου, τὼς λεπτυνθεὶς ὑπ' ἔρωτι
τήκετο, καὶ πυρὶ ἔνδον ἐκάρφετο ἦκ' ἀϊδήλῳ·
οὐδ' ἔτ' ἔρευθος ἔμιμν' ἀνάμικτον λευκάδι χροιῇ,
οὔτ' ἶς καὶ ῥώμη, ὅσα τε πρὶν ἑήνδαν' ἰδόντι·
οὔτε δέμας οἱ ἔμιμνε, τοῦ ἵμερος εἷλέ ποτ' Ἠχώ.
Ἡ δέ μιν ὡς ἔσιδε, μνήμων περ καὶ κοτέουσα,
ἤλγησ'· αἰνόμορος δ' ὁσάκις παῖς ἤπυεν ὤ μ ο ι,
τοσσάκις ἀντίθροον καὶ κείνη ἤπυεν ὤ μ ο ι·
καὶ ὅτε δ' αὖ ὅδ' ἔτυπτε βραχίονας ἧσι χέρεσσι,
τῆμος ὁμῶς Ἠχὼ πλαταγὴν πέλας ἵει ὁμοίην·
ὑστατίην δ' ἐς ὕδωρ ὁρόων ὄπα τὴν δ' ἀνένεικεν·
"ὦ π α ῖ μ ά ψ π ε φ ι λ η μ έ ν ε μ ο ι„ τόσα δ' ἀντεθρόησε
χῶρος· χ α ῖ ρ ε δέ οἱ φαμένῳ, χ α ῖ ρ', ἀντέφατ' Ἠχώ·
κεῖνος ἔπειτα κάρη κεκμηὸς ἔρεισ' ἐπὶ ποίῃ·

Ὄσσε δὲ νὺξ ἐκάλυψεν ἐὸν θηεύμενα εἶδος·
ἀλλὰ καὶ οἶκος ἐπεί μιν ἐδέξατο νέρτερος, ὕδει
δέρκεθ' ἓ αὐτὸν ἐνὶ στυγίῳ· κόψαντο δ' ἀδελφαὶ
Νηΐδες, ἠδὲ κόμην καρτὴν ἀνέθηκαν ὁμαίμῳ.
καὶ Δρυάδες κόψαντο, καὶ Ἠχὼ φθέγξαθ' ὁμόθρους.
ἤδη πόρσυναν δαΐδας φέρετρόν τε πυρήν τε·
οὐκέτ' ἔην δὲ νέκυς· κρόκεον μόνον ἀντὶ νεκροῖο
ἀργυφέοις πετάλοισι περιστεφὲς ἄνθος ἀνεῦρον.

Πενθεὺς ὁ Ἐχίονος καὶ Ἀγαύης τῆς Κάδμου υἱός, παρ' οὐδὲν τιθέμενος τὴν Μαντικὴν Τειρεσίου, ἀρνεῖται μὴ θεὸν εἶναι τὸν Βάκχον, ὃν εἰς Θήβας ἐρχόμενον ἥτε μήτηρ Ἀγαύη καὶ ὁ λαὸς τελεταῖς πανδήμοις γεραίρουσι, καὶ τοὺς δορυφόρους πέμπει δέσμιον αὐτὸν ἄξοντας. Οἱ δ' ἀπελθόντες, τὸν μὲν Βάκχον ἀφανῆ γενόμενον συλλαβεῖν οὐκ ἔσχον, ἕνα δὲ τῶν ἀκολουθούντων αὐτῷ Ἀκοίτην τοὔνομα ζωγρήσαντες χειρόδετον ἄγουσιν.

Ἑλλάδος ἀμ πόλιας ἔργου φάτις εὐκλέα μάντιν
θῆκε, καὶ οὔνομ' ἔην οἰωνοπόλοιο μέγιστον·
ἀλλ' ἐκ πάντων εἷς μιν Ἐχιονίδης ὀνόταζε
Πενθεύς, ἀθανάτων ὀλίγωρος· μαντοσύνας δὲ
πρεσβυγενοῦς δένναζε καί ὅσσων οἱ ἀλαωτὺν
ὠνείδιζεν· ὃ δὲ κροτάφους πολιοὺς ἐπισείων
ἔννεπεν· “ Εὐδαίμων κεν ἔοις, εἰ καὶ σὺ ὁμοίως
» φωτὸς ἀμερθείης, μηδ' ὄργι' ἴδοις Διονύσου.
» ἔσσεται ἦμαρ, ὃ δὴ προτιόσσομαι οὐ μάλα πόρσω,
» εὖτε νέος Σεμέλης γόνος ἵξεται ἐνθάδε Βάκχος·
» τὸν δ' ἢν μὴ ναοῖς τιμήσῃς ἠδ' ἱεροῖσι,
» σπασθήσῃ μελεϊστὶ καὶ ὕλας αἵματι φύρσεις
» σῷ, καὶ μητέρα σήν, καὶ σῆς ἅμα μητρὸς ἀδελφάς.
» ἔσσεται ἃ προλέγω· οὐ γὰρ τιμὰς θεῷ οἴσεις·
» καὶ τότε μ' εὖ μάλ' ὁρᾶν φήσεις ἀλαόν περ ἐόντα.
Τοῖά μιν ἐξενέποντ' ἀπέλασσεν Ἐχίονος υἱός.
ἔσπετο πίστις ἔπεσσι, θεοπροπίαι τ' ἐκράανθεν.

ἤλυθε Βάκχος· ἀγρὸς δ' ὀλολύγμασιν ἤχεε φαιδροῖς.
ὤρνυντ' ἰληδόν· σὺν δ' ἀνδράσι θῆλυς ὅμιλος
καὶ σὺν ὄχλῳ οἱ ἄριστοι ἐς ἄγνωτ' ἤϊσαν ἱρά.
“ Τίς μανίη παρέπλαγξε, δρακοντόσπαρτε γενέθλη
»"Αρεος, ὔμμι νόον;„ Πενθεὺς φάτο· “ ἦ ῥά τι χαλκὸς
» χαλκῷ πλησσόμενος τόσσον σθένει ἢ κέρας αὐλοῦ,
» ἢ μαγικαὶ ἀπάται, ὥσθ', οὓς ξίφε' οὐκ ἐφόβησεν,
» οὐ σάλπιξ, οὐδ' ὅπλ' ἐν χερσὶ φάλαγγες ἔχουσαι,
» τούςδ' ὀάρων τ' ἰαχῇ, οἰνοπνεύστῳ μανίῃ τε
» καὶ θιάσοις αἰσχροῖς καὶ τυμπανίοισι δαμῆναι;
» Θαυμάσω ὔμμε, γέροντες, οἱ εὐρὺ μάλ' οἶδμ' ἀνύσαντες
» ἐνθάδ' ἀνιδρύσασθε Τύρον τε θεούς τε πατρῴους,
» νῦν δ' ἀμαχεὶ προΐεσθε; ἢ ὔμμε, νεώτεροι ἄνδρες
» καὶ ἐμῇ ἐγγύτεροι γενεῇ, οὓς χρῆν ὅπλα νωμᾶν,
» οὐ θύρσους, κόρυσιν δὲ πυκάζεσθ', οὐ κλαδέεσσι;
» Ῥίζης, ναὶ λίτομαι, μέμνησθ', ἧς ἐκγεγάατε,
» καὶ ἄγετ' ἦτορ ἕλεσθ' ὄφιος κείνου, ὃς ἔπεφνεν
» εἷς πολλούς. κεῖνος πηγῆς ὕπερ ἠδὲ λάκοιο
» ὤλετο, ἀλλ' ὔμμες νικήσετε εἵνεκα κύδους·
» κεῖνος ἔπεφν' ὀβρίμους· ὔμμες δ' ἀπελάσσατ' ἀφαυρούς,
» καὶ κλέος ἀγκομίσασθε τὸ πρίν· εἰ μόρσιμον ἦεν
» μὴ μεῖναι Θήβας, αἴθ' ἀνδράσι καὶ καταπέλτης
» τείχε' ἐρείφθη, πῦρ δ' ἔνδον λάκεν ἠδὲ σίδηρος.
» Αἴθ' ἦμεν δυεροὶ δίχ' ἁμαρτάδος· αἴθε δέ τ' αἶσα
» μεμπτέη ἄμμιν ἔην μὴ κρυπτέη· αἴθε δ' ἀπ' ὄσσοιν
» δάκρυα τέγγεν ἄνευ ἐρυθήματος ἄμμι παρειάς.
» ἀλλὰ πόλις νῦν ἤδ' ὑπὸ κούρου πέρθετ' ἀόπλου,
» τῷ γ' οὐ δῆρις ἑαδ', οὔτ' ἄρ βέλε', οὔτε τι ἵπποι,
» ἀλλὰ κόμη μυρόχριστος ἰδὲ στέφε' ἀβροπέτηλα,
» πορφυρίδος τ' ἄνθος καὶ εἵματα χρυσεόπηνα.
» τοῦτον ἔγωγ', ἢν ὔμμες ἀπόσχησθ', αὐτίκ' ἐλέγξω
» ψευδόμενον γενέτην, ἕο δ' ὄργια πλάσματ' ἐόντα.

» Ἀκρίσιος μὲν ἅλις θάρσησ' ἀτίσαι κενεαυχῇ
» δαίμονα, καὶ προσιόντι πύλας οἱ κληΐσαι Ἄργευς·
» Πενθέα δὲ πτοιήσει ὁμοῦ Θήβησιν ἔπηλυς;
» σοῦσθε-ἑοῖς ὁ θέραψιν ἐκέκλετο-σοῦσθε καὶ ἀργόν
» ἐνθάδε δέσμιον ἕλκετ', ἐμὴν δὲ τελέσσατ' ἐφετμήν.»
Τὸν δ' ἄρα πατροπάτωρ τ', Ἀθάμας τ' ἰδ' ὅμιλος ἑτάων
μύθῳ ἐνίσσοντες πειρῶντο μάτην κατερύξαι.
λύσσα παραιφασίῃ ὠρίνετο· ἰσχομένη δὲ
ηὔξετο· καὶ τριδῇ δ' αὐτῇ χρόνου ἐξερέθιζεν.
Τώς ποτε καὶ ποταμόν, ὅθι περ ῥόον οὔτι ἔρυκεν,
ἔδρακον ἦκα ῥέοντα σὺν ἡβαιῷ κελαρυσμῷ·
ὁππόθι δ' ἴσχε δοκὸς καὶ ἐφράγνυσαν ὕδατα λᾶες,
ἀφριόεις πάφλαζε καὶ ὀξύτερον ῥόον ἵει.
Ἠνίδ' οἱ αἱμαλέοι πάλιν ἔρχοντ'· ἀμφὶ δὲ Βάκχου
κοιράνου εἰρομένου, ἀπέφασκον Βάκχον ἰδέσθαι.
τοῦτον ὀπάον', ἔφαν, ὑποεργόν θ' εἵλομεν ἱρῶν.
χειρόδετον δ' ὀπίσω ποτὶ νώτῳ δῶκάν οἱ ἄνδρα,
τυρσηνὸν γενεήν, ὃς πρὶν θεοῦ εἵπετο ἱροῖς.

Ἀκοίτης, Πενθέως κελεύοντος, τὰ καθ' ἑαυτὸν διηγεῖται, ὡς πλοίου κυβερνήτης εἴη λυδὸς τὸ γένος καί ποτε τὸ πέλαγος διαβάλλων ἐς τὴν νῆσον Κέων προσορμισθείη· ὡς ἐνταῦθα οἱ συνναῦται ἐφ' ὑδρείαν πεμφθέντες, καλῷ μειρακίῳ ἐντυχόντες ἐπὶ τὴν ναῦν ἀγάγοιεν· ὡς ἐκείνοις λείαν βουλομένοις τὸν παῖδα ποιήσασθαι οὐ συγχωροίη αὐτός· ὡς ὁ παῖς τέρασιν ἑαυτὸν θεὸν ὄντα δηλώσειε, τοὺς ἀνόσια διανοουμένους ναύτας εἰς τὰ κύματα ἐκκυβιστῆσαι ποιήσας καὶ εἰς δελφῖνας μεταμορφώσας.

Τὸν δ' ἴδεν ὀφθαλμοῖσι δεδορκόσι δεινὸν ὑπ' ὀργῆς
Πενθεύς, ἀμβάλλωντε μόγις τίσιν ἔκφατο τοῖα·
“Τύνη, ὃς θανάτῳ τεῷ ἄλλους αἶψα διδάξεις,
» αἴσιμα, δεῦρ' ὄνομ' ἐξαύδα τεὸν ἠδὲ τοκήων
» καὶ πάτρην, τί δέ Βάκχου ἐπ' ὄργια καινὰ θαμίζεις;
» Ἄτρεστος δ' ὅγ' ἀμείψατ'· ἔμοιγ' ἔστ' οὔνομ' Ἀκοίτης,
» Μαιονίη δὲ πάτρη, ἀτὰρ ἐξ ὄχλοιο τοκῆες.

» οὐκ ἀροτὰς γενέτης ταλαοῖσι βόεσσιν ἀλωὰς
» οὔτ' ἄρα βουκόλι' ἢ ποίμνας λίπεν εἰροπόκους μοι.
» καὶ ὁ πένης ἔπλεν, δεδαὼς λίνῳ ἔλλοπας αἱρεῖν
» ἠδ' ἀγκίστρῳ, καὶ δόνακι σπαίροντας ἀνασπᾶν.
» πλοῦτος ἔην οἱ τέχνη· ὅτ' οὖν τέχνην μ' ἐδίδασκεν,
» ἔννεπε· δέξαι, ἐμοῦ ἔργου διαδέκτορ, ὃ μοῦνον
» κέκτημαι· θνήσκων δ' οὐδέν μοι ἢ ὕδατ' ἐκεῖνος
» κάλλιπε· ταῦτά κ' ἐγὼ πατρώϊα μοῦνα καλοίην.
» εἶτ', ὄφρα μὴ σκοπέλοισιν ἐκείνοις αἰὲν ἐφίζω,
» δεξιτερῇ ἐδάην νωμᾶν οἰήϊα νηός·
» Αἰγὸς δ' ὠλενίης ὀφθαλμοῖς ὄμβριον ἄστρον,
» Ταϋγέτην θ', Ὑάδας τ', Ἄρκτον τ' ἔγνων ἐπὶ τοῖσι,
» καὶ ἀνέμων οἴκους καὶ ναύλοχα ἅρμενα νηυσίν·
» Ἐς Δῆλόν ποτ' ἰὼν Κείης ἀκτῇσι πελάσθην·
» αἰγιαλῷ δ' ἐπιδέξι' ἐρέσσων κεῖθι προσέσχον,
» ἔκ τε θορὼν κοῦφος διερῆς ἐπέβην ψαμάθοιο.
» ὡς δὲ παρῴχετο νύξ, Ἠώς τ' ἐρυθαίνετο πρῶτον,
» ἐξεγρόμην, καὶ ὕδωρ νέον ὑδρεύσασθ' ἐκέλευσα,
» καὶ ῥ' ἐφ' ὕδωρ ἑτάροισιν ἄγουσαν ἔδειξα κέλευθον.
» αὐτὸς δ' αὖτ' ἀνέμους ἀπὸ πρώονος ἐσκοπίαζον,
» εἶθ' ἑτάρους φώνησα καὶ ἤλυθον ἂψ ἐπὶ νῆα.
» Ἠνὶ πάρεσμεν· ἔειπεν ἑταίρων πρῶτος Ὀφέλτης·
» ἣν δ', ὡς ᾠέεθ', εἷλεν ἐρήμου ληΐδ' ἐπ' ἀγροῦ,
» παῖδα δι' ἠϊόνος στείχων ἄγε παρθενόμορφον
» οἴνῳ δ' οὗτος ὕπνῳ τε μεθυσφαλέων μόγις εἶχε
» βαίνειν. σχῆμ' ἄθρεον καὶ ὀπωπὴν ἠδὲ βάδισμα·
» οὐδέν, ὅ κε θνητοῦ τις ὀΐσσαιτ' ἔμμεν, ὁρώμην.
» ἐφρασάμην, ἑτάροισι τ' ἔφην· θεὸν ὅντινα κεύθει
» σῶμα τόδ', οὔπω οἶδα· θεὸς μὴν ναίει ἐν αὐτῷ·
» ὅςτις εἶ, εὐμενέοις· ἔργοις δ' ἁμοῖσι παρείης
» καὶ τοῖςδ' ἱλήκοις! "Ὑπὲρ ἡμῶν μὴ λιτάνευε,"
» Δίκτυς ἀνεῖφ', οὔτις θάσσων ἀν' ἐπίκρι' ὀροῦσαι

» οὐκ ἔπλεν, οὐδὲ κάλου δεδραγμένος ἄψ κατολισθεῖν.
» τοῦτο Λίβυς, πρωρεύς τε Μέλανθος ξανθὸς ἐπήνει·
» τοῦτο καὶ Ἀλκιμέδων καὶ ὃς ῥύθμιζεν ἰωῇ
» εἰρεσίην, μένε' ὀτρύνων καὶ θυμὸν Ἐπωπεύς,
» τοῦτο καὶ οἱ ἄλλοι· τόσον ἔπλετο ληΐδος ἔλδωρ!
» ἀλλ' οὐ τλήσομ', ἔφην, ἱερῷ μοι βρίθεϊ νῆα
» πημανθῆναι· κτῆμα γὰρ ἥδ' ἐμόν ἐστι μάλιστα·
» τῷ ῥ' ἐσάγειν εἴργω. τότε θαρσύτατός τις ὁμίλου
» ἐξεμάνη Λυκάβας, Τυρσηνίδος ὅς τε πόληος
» ἐξελαθείς, φόνον αἰνὸν ἀειφυγίῃ ἀπέτινεν.
» οὗτός μ', ὡς εἶργον, κρατερῇ χερὶ λαιμοῦ ἔμαρψε
» καί κε με συσσείσας ἐς ὕδωρ βάλεν, εἰ μὴ ἄρ' αἶψα,
» καί περ ἐὼν ἔκφρων, κάλῳ ἐμφὺς ἔσχον ἔμ' αὐτόν.
» ἤνησ' ἔργον ἀλιτρὸς ὄχλος· τῆμος δ' ἄρα Βάκχος,
» (Βάκχος ἐκεῖνος ἔην·) ὡς εἰ βοὴ ὕπνον ἔλυσεν,
» ἔκ τε μέθης κείνης νόος ἔμπαλιν ἐς φρέν' ἀγέρθη,
» εἶπε· " Τί ἔρδετε; τίς δ' ὁ θρόος; τίνι δ', εἴπατ', ἀρωγῇ
» ἔνθ' ἵγμαι, ναῦται; ποῖ δ' αὖ με νοεῖτε πορεῦσαι; „
» Θάρσει· ἔφη Πρωρεύς· " καί μοι λιμέν', ὄντιν' ἱκέσθαι
» βούλει, ἐξαύδα· χθονός, ἣν ποθέεις, ἐπιβήσῃ·„.
» Ὑμὴν, Βάκχος ἔειπ', ἰθύνατε νῆ ἐπὶ Νάξον.
» κείνη ἐμοὶ οἶκος καὶ ὔμμ' ἔσετ' εὔξενος αἶα.
» Οἳ δὲ δόλῳ πόντον τε θεούς τ' ἐπόμοσσαν ἅπαντας
» ὧδ' ἔρξειν, καί μ' ἀμπετάσαι λίνα νηὸς ἄνωγον.
» Δεξιῇ ἦν Νάξος· τείνοντ' ἐπιδέξια λαίφη·
" Τί δρᾷς; πᾶς μοι ἔφασκεν ἐνὶ φρεσίν, ἔκφρον Ἀκοῖτα;
» τίς δέ σ' ἔχει μανίη; ἐπαρίστερα τεῖνε· „ καὶ οἱ μὲν
» νεύματί μοι σήμαινον, ἐς οὖς δ' ἄλλοι ψιθύριζον.
« θαύμασα καί σφιν ἔφην· λαζέσθω πηδάλι' ἄλλος.
» ἔργου δ' αὐτίκ' ἀλιτροῦ, ἐμῆς τέχνης θ' ἅμ' ἀπέστην·
» πᾶς δὲ μ' ἔνισσεν ὅμιλος ἐπιρροθέων ἐπέεσσι.
» Τῶν δέ τις Αἰθαλίων μετέφη. " ἦ ῥ' εἶν ἐνὶ κεῖται

» ἄμμε σαωθῆναι. ,, καὶ μ' ἐκδέχετ' ἤδ' ἐμὸν ἔργον
» ἔρδων, ἄλλῃ νῆ' ἐπιβάλλει, Νάξον ἐάσας.
» τοὺς δὲ θεὸς σκώπτων, ὡς εἰ δόλον ἐφράσατ' ἄρτι,
» εἰς ἅλα δῖαν ἔλευσσ' ἀπὸ πρύμνης καμπυλοέσσης,
» τοῖά τ' ἔφη δακρύοντι ἐοικώς· “ οὔτι μοι ἀκτὰς
» τὰς δ' ὔμμες, ναῦται, καθυπέσχεθ'· οὐδ' ἄρα γαῖαν
» τήν δ' ᾔτησα· τί δὴ ἀλιτὼν ποινὴν ἀποτίνω;
» τί κλέος, εἰ παῖδ' ἄνδρες, ἕνα τ' ἀπαφίσκετε πολλοί; ,,
» Ἤδη ἐγὼ κλαῖον· σκώπτων δ' ἐμὰ δάκρυ' ἀλιτρὸς
» ὄχλος, καρπαλίμως ἁλὸς ὕδατ' ἔλαυν' ἐλάτῃσιν.
» αὐτὸν δὴ ὄμνυμι (θεὸς γάρ τ' οὔτις ἐκείνου
» ἐγγύτερος) τώς σοι παναληθέα ταῦτα πιφαύσκειν,
» ὡς μείζω δοκέει πιστῶν· ἐπὶ κύματος ἔστη
» νῆυς, ὡς εἴ μιν ἐπὶ τραφερῆς ναυπήγιον εἶχεν.
» οἳ δὲ τεθηπότες ἐμμενέως ἅλα τύπτον ἐρετμοῖς,
» χεύαντές τ' ὀθόνην πρόσω ἀμφοτέροισιν ἵεντο·
» ἀλλ' ἔχε κισσὸς ἐρετμά, ἑλισσόμενος δ' ἄρ' ἁπάντη
» εἷρπε καὶ εὐτραφέεσσι κορύμβοις ἔστεφε λαίφη.
» αὐτὸς δ' αὖ βοτρύων φορέων στέφος ἀμφὶ μετώπῳ
» φυλλάσιν ἀμπελίνης πεπυκασμένον ἔγχος ἐνώμα.
» κεῖντο δ' ἄρ' ἀμφ' αὐτῷ τίγρεις τε καὶ ἄγρια λυγκῶν
» εἴδεα, πανθήρων θ' ἅμα σώματα ποικιλοδέρμων.
» Ἄνθορον αἶψ' ἀνέρες πολλῷ δέει ἢ μανίηφι·
» πρώτῳ δ' ἦρξε Μέδοντι μελαίνεσθαι πτερύγεσσι
» σῶμα ταπεινωθὲν καὶ κυρτοῦσθαί οἱ ἄκανθα.
» τῷ δ' ἄρ' ἔφη Λυκάβας. “ ἐς τὸ τρέπεαι τέρας ὧδε; ,,
» εὐρὺ φθεγγομένῳ γένεθ' οἱ στόμα, ῥὶς δ' ἐπεκάμφθη
» αὐτίκα, καὶ τρηχὺς λεπίδεσσι καλύπτετο ῥινός.
» ἀντιτυπῇ δ' ἐθέλων Λίβυς ἔμπαλιν ὦσαι ἐρετμά,
» αἶψα βραχυνομένας χέρας ᾔσθετο οὐδ' ἔτ' ἐούσας
» χεῖρας ἐτήτυμον, ἀλλ' οἷαι πτέρυγές κε καλοῖντο.
» ἐκτεῖναι μεμαὼς πρὸς σπάρτα βραχίονας ἄλλος

» οὐκέτ' ἔχ' ὡς τὸ πάροιθε βραχίονας· ἆλτο δ' ἐς ὕδωρ
» καμφθεὶς σῶμα κόλον· πυμάτη δ' ἄρα κυρτὴ ἐτύχθη
» οὐρή, οἷα κέρα πέλεθ' ἡμιτόμοιο σελήνης.
» ἤλλοντ' οὖν πάντη καὶ ἀπέσταζον πολὺ ὕδωρ·
» ἄνθρωσκον δ' αὖθις καὶ ὑφ' ἅλμην ἔμπαλι δῦνον·
» ὡς δ' ἄρ' ἐν ὀρχηθμῷ σκαῖρον καὶ σώματ' ἀναιδῆ
» ῥίπταζον, καὶ ὕδωρ μυκτήρων ἔξω ἐφύσων.
» Εἴκοσιν ἐξ ἀνδρῶν (τόσσους ναῦς ἦγεν ἐκείνη)
» μοῦνος ἐγὼ λιπόμην· κρυερῷ δὲ φόβῳ τρομέοντα
» ἔκφρονά τ' ὄντα θεός μ' ἐπεθάρσυν', ἔκβαλε, φάσκων
» δεῖος καὶ Δίη ἔπεχε· σκάφος οὖν τόθι κέλσας
» πῦρ ἐπὶ βωμοῖς θείς, βακχήϊα ἱρὰ τέλεσσα.

Ἀπιστῶν ὁ Πενθεὺς οἷς διηγήσατο ὁ Ἀκοίτης, κτεῖναι αὐτὸν τοῖς δορυφόροις κελεύει· ὁ δὲ καινοῖς τοῦ θεοῦ τέρασι σώζεται. Τούτοις δ' ὁ Πενθεὺς μᾶλλον ἐκτραχυνθεὶς ἐπὶ τὸν Κιθαιρῶνα ἔρχεται, ἔνθα αἱ Βάκχαι τὰ θορυβώδη τελοῦσι τοῦ καινοῦ θεοῦ ὄργια, κἀκεῖ ὑπό τε τῆς μητρὸς Ἀγαύης, κάπρον αὐτὸν εἶναι ἐν τῷ οἴστρῳ ὑπολαβούσης, καὶ τῶν ἄλλων Μαινάδων οἰκτρῶς διασπᾶται.

» Δήν, Πενθεὺς τότ' ἔειπεν, ἑλικτοῖς οὔαθ' ὑπέσχον
» μύθοις, ὄφρα χρόνῳ καταπεφθείη χόλος ἔνδον.
» νῦν δ' ἄρα καρπαλίμως, δμῶες, συμμάρψατε τοῦτον
» καὶ Στυγός εἰς ὄρφνην στρεβλοῦντες ἰάψατε σῶμα.
αὐτίκ' ἀφελκυσθεὶς τυρσηνὸς ἐέρχθη Ἀκοίτης
ἐν τέγεϊ στερεῷ· ὄφρα δ' ἄρ' πορσύνετο δεινὰ
ὅπλα μόρου, χαλκὸς πῦρ τ' οὔλιον, ὡς κεκέλευστο,
αὐτόματ' ὠΐχθη θύρετρ', ὡς φάτις, ἠδὲ χαμᾶζε
χειρῶν δέσμ' ἀπέπιπτε, καὶ οὔτινος αὐτὰ λύοντος.
Βουλῇ Ἐχιονίδης ἐνέμιμν'· οὐ μέμπε δὲ μοῦνον
κείνους, ἀλλ' ἴε καὶ αὐτός, ὅθ' ἐς ἱρὰ Κιθαιρὼν
κεκριμένος Βακχῶν μολπῇ τ' ἔβρεμεν καὶ ἀϋτῇ.
ὡς δ' ὅτε σαλπιγκτὴς βαρυηχεῖ χαλκῷ Ἄρηα
σημαίνῃσι, φριμάσσετ' ἰδ' ἵεται ἵππος ἰωκῆς,

τὼς μακροῖς πληγεὶς ὀλολύγμασι Πενθέ' ὄρινεν
αἰθήρ· θυμὸν δ' οἱ ἀνέκαυσε φθόγγος ἀκουσθείς.
Ἔστιν ἐνὶ μεσάτῳ πέδον οὔρεϊ, κυκλόθεν ὕλῃς
εἰργόμενον, ψιλὸν δένδρων, περίοπτον ἄπωθεν.
ἔνθ' οὖν ὄργι' ὁρῶντα βεβήλοις ὄμμασι κεῖνον
πρώτη ἴδε, πρώτη τ' ἐξοιστρήθη μανίῃσι,
πρώτη ἑόν θ' ἔκαθεν θύρσῳ βάλε Πενθέα μήτηρ,
εἶπέ τ'· " Ἰώ, κάσιες· δεῦτ' ἐνθάδε νυνὶ πάρεστε.
» κεῖνος ὅδ' ὅς τε μέγιστος ἐν ἀγροῖς κάπρος ἀλᾶται·
» τόνδε με χρὴ βαλέειν. „ Καθ' ἑνὸς πᾶν ἐμμανὲς ὦρτο
πλῆθος· πᾶσαι ἄγερθεν ἰδ' ἔντρομον ἤδη ἐκεῖνον
πρηΰτερόν θ' ἐπέεσσι, κατακρίνοντα θ' ἓ αὐτὸν
καὶ δὴ συμφάσκοντ' ἀλιτεῖν ἐδίωκον ἀν' ὕλας·
οὐτάμενος δ' ὅ γ' ἔειπεν. " ἐμὴ τηθὶς ἐπάρηξον
» Αὐτονόη· Ἀκταίωνος σκιὴ οἶκτον ἐνείη „
ἣ δ' ἀλογεῦσ' Ἀκταίωνος χέρ' ἀφεῖλεν ἐκείνου
λισσομένου· ἑτέρην δὲ βίηφιν ἀπέσπασεν Ἰνώ.
δύσμορος, οὐκέτ' ἔχεσκε βραχίονας, ὥστε προτεῖναι
μητρί· κόλον δὲ δέμας χειρῶν ἄτερ, ὡς ἔχε, δεικνύς,
" ἠνίδε, μῆτερ, ἔειπεν· „ ἰδοῦσ' ὀλόλυξεν Ἀγαύη,
δειρήν θ' ἣν ἐτίναξ' ἰδ' ἐς αὔρας σεῖσεν ἐθείρας·
κρᾶτα δ' ἀποσπασθέντα λυθρώδεϊ χειρὶ λαβοῦσα
εἶπ'· "Ἰώ· ἡ μ ε τ έ ρ η ἥ δ' ἔ π λ ε τ ο ν ί κ η ἑ τ α ῖ ρ α ι„
Ὡς δ' ἄρ' ὑπὸ κρυμῷ πημανθέντ' ἐν μετοπώρῳ
εὐαπόβλητα πέτηλ' ἀπὸ δένδρεος ἥρπασ' ἀήτης,
τὼς ἐναγέσσι χέρεσσι τάχ' ἀνδρὸς γυῖα δαΐχθη.
Τοῖςδε φρενωθεῖσαι παραδείγμασι καινὰ τελοῦσιν
ὄργια, καὶ βωμοὺς τίουσ' Ἰσμηνίδες ἱρούς.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΟ Γ΄ ΒΙΒΛΙΟΝ

ΤΩΝ ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ.

Στίχ. 2). *ἔκφηνʼ ὅςτις ἔηνʼ* ἐδήλωσεν ὁ Ζεὺς ὤν· *Δικταίας δʼ ἀρούρας* (Dictaea rura) νόει μοι τὴν Κρήτην, ἣ καλεῖται οὕτω κατὰ συνεκδοχὴν ἀπὸ τοῦ ἐν αὐτῇ ὄρους τῆς Δίκτης·

3). *ἀγνοέων*· οὐ γὰρ ᾔδει ὁ Ἀγήνωρ ὅτι Ζεὺς ἦν ὁ τὴν Εὐρώπην ἁρπάσας.

5). *στοργὴν ἅμα δυσφροσύνην τε κτλ.* κελεύσματι τῷ αὐτῷ φιλόστοργος μὲν ὁ Ἀγήνωρ πρὸς τὴν ἑαυτοῦ θυγατέρα, τραχὺς δὲ καὶ πικρὸς πρὸς τὸν υἱὸν ἐπεδείκνυτο.

8—9). *Φοῖβον ἐρέεινε.* τὸν ἐν Δελφοῖς λέγει Ἀπόλλωνα. Οὐ μόνον δὲ περὶ τῆς ἑαυτοῦ ἀποικήσεως, ἀλλὰ κατʼ ἄλλους καὶ περὶ τῆς ἁρπασθείσης ἀδελφῆς ἐπηρώτησε τὸν θεὸν ὁ Κάδμος· ὁ δὲ περὶ μὲν ἐκείνης κατὰ τὸν Ἀπολλόδωρον μὴ πολυπραγμονεῖν ἐκέλευε· περὶ δὲ τοῦ τόπου, ἔνθα τὴν πόλιν κτισθῆναι ἔδει, τὰ ἐν τοῖς στίχοις 10—13 ἐχρησμοδότησε. Περιέχεται δὲ τοῦ μύθου τὰ κυριώτερα ἐν ταῖς Εὐριπίδου Φοινίσσαις στ. 641 κ. ἑ.

10). κ. ἑ. Καὶ ἐν ἄλλοις τοῦτο εὕρηται μύθοις τὸ τοῖς πόλεων κτίσταις ὑπὸ ζώου τινὸς ὑποδειχθῆναι τὸν τόπον, ἐν ᾧ τὴν πόλιν κτισθῆναι ἐπέπρωτο.

13). *Βοιώτια τείχη* καλεῖται τὰ τῶν ἐν Βοιωτίᾳ Θηβῶν κατʼ ἀντιδιαστολὴν πρὸς τὴν ἐν Φθιώτιδι καὶ Αἰγύπτῳ ὁμώνυμον πόλιν. Δηλοῖ δὲ τοὔνομα χώραν ἀφθόνους νομὰς παρέχουσαν τοῖς βουσίν. Εἰσὶ δʼ οἳ ἀπό τινος ἥρωος Βοιωτοῦ καλουμένου τὸ τῆς χώρας ὄνομα παρῆχθαί φασι:

14). *φοιβείου ἄντρου*· ἤτοι τοῦ ἐν Δελφοῖς, ἐν ᾧ ὁ Ἀπόλλων ἐχρησμοδότει· ἐν δὲ τῷ κειμένῳ *castalium antrum* λέγεται τὸ αὐτὸ ἀπὸ τῆς ἐγγὺς ἀναδιδομένης Κασταλίας πηγῆς.

19). *Κηφισόν.* τὸν ἐν Βοιωτίᾳ λέγει, περὶ οὗ ἴδε σημειώσεις εἰς βιβλ. α. στ. 369. 24—25. Τὴν γῆν, ἣν μετὰ τὴν πλάνην οἰκήσειν ἔμελλε, προσαγορεύει ὁ Κάδμος καὶ φιλεῖ, ὡς ὁ Ὀδυσσεὺς τὴν ἑαυτοῦ πατρίδα ἀπὸ τῆς πλάνης νοστήσας· *κύσε δὲ ζείδωρον ἄρουραν.* ἴδ. Ὁμ· Ὀδυσ. ν. στ. 354.

[27]). Ἔθος ἦν τοῖς ἀρχαίοις ὕδατι πηγαίῳ χρῆσθαι ἐν ταῖς θυσίαις εἰς ῥαντισμόν. Τὸ δ' ἔθος τοῦτο παραδεξάμενοι οἱ Χριστιανοὶ ῥαντίζειν εἰώθασιν ἃ βούλονται ἀφαγνίσαι.

[28]). *ἀθιγὴς πελέκει.* ἀθέμιτον ἐνομίζετο τὰς ἱερὰς ὕλας τέμνειν.

[32]). Ἄρεως καὶ Τιλφώσσης τῆς ἐριννύος υἱὸς ὁ δράκων ἐκεῖνος γενέσθαι μυθολογεῖται. Τὸ δὲ τοῦ κειμένου *cristis praesignis et auro* σχῆμά ἐστι τὸ καλούμενον *ἓν διὰ δυοῖν*, καθ' ὃ μία ἔννοια ἡ *crista aurea* (χρυσῆ λοφιὰ) διαλύεται εἰς δύο· *crista et aurum.* Τοιοῦτο καὶ τὸ τοῦ Οὐϊργιλίου (Γεωργ. β'. 192)· *laticis, qualem pateris libamus et auro.*

[34]). *γλῶσσαι τρεῖς·* τρισχιδὴς ἡ τοῦ ὄφεως οὖσα γλῶσσα τριῶν γλωσσῶν ἔμφασιν παρέχεται κινουμένη ὀξέως.

[41—42]). Παράβαλε Θεόκρ. Εἰδ. κέ. στ. 245, καὶ Ὀρφ. λιθικὰ στ. 134.

[44—45]). Τὸν ἐν οὐρανῷ δράκοντα σημαίνει, οὗ ἡ οὐρὰ τὰς περὶ τὸν βόρειον πόλον στρεφομένας δύο Ἄρκτους ἀπ' ἀλλήλων διΐστησι. Φασὶ δ' αὐτὸν οἱ μὲν τὸν Πύθωνα κατηστερισμένον εἶναι, οἱ δὲ τὸν τοῦ κήπου τῶν Ἑσπερίδων φύλακα, ὃν ἡ Ἥρα τοῖς ἄστροις ἐγκατέταξεν ὑφ' Ἡρακλέους ἀναιρεθέντα.

[55]). κ. ἑ. Παράβαλε πρὸς τὴν ἐνταῦθα περιγραφὴν τοῦ φόνου τοῦ δράκοντος τὴν τοῦ φόνου τοῦ Νεμεαίου λέοντος παρὰ Θεοκρίτῳ Εἰδ. κέ. στ. 193—271.

[63]). *ἠΰτε θώρηκι.* Παραβάλλεται τὸ τοῦ δράκοντος δέρμα πρὸς θώρακα φολιδωτόν, οἵους ἔθος ἦν τοῖς παλαιοῖς περιτίθεσθαι.

[96]). *αἴφνης αὐδὴ ἀκούσθη.* Πολλάκις οἱ θεοὶ οὐχ ὁρατοὶ τοῖς ἀνθρώποις ἐγίγνοντο, ἀλλὰ τὴν ἑαυτῶν παρουσίαν φθέγματι μόνον ἐδήλουν, ὅπερ ἔσθ' ὅτε καὶ ἐπεγίγνωσκεν ὁ ἀκούων, ὥσπερ Ὀδυσσεὺς τὸ τῆς Ἀθηνᾶς παρὰ Σοφοκλεῖ. (Αἴας μαστιγ. στ. 14—16). Ἐνταῦθα δ' Ἄρης ἐστὶν ὁ ἐξ ἀοράτου φθεγγόμενος.

[98]) *καὶ σὺ ὄφις ὀφθήσει.* Προμηνύεται ἐνταῦθα ἡ τοῦ Κάδμου εἰς ὄφιν μεταμόρφωσις, περὶ ἧς ἴδε Βιβλ. δ'. στ. 567 κ. ἑ. Ὑποληπτέον δὲ τὰς συμφορὰς ταύτας τῷ Κάδμῳ καὶ τῷ οἴκῳ αὐτοῦ ὥσπερ ποινὴν τῆς τοῦ δράκοντος ἀναιρέσεως ὑπὸ τοῦ Ἄρεως ἐπιτίθεσθαι.

[103]). *λαοῦ σπέρμα.* οἳ διὰ τοῦτο *σπαρτοὶ* παρὰ τοῖς ἀρχαίοις ἐκλήθησαν.

[105]). κ. ἑ. *Εἶθ', ὃ ἄπιστον, ἄφνω* κτλ. Κατὰ μὲν Εὐριπίδην ἐν Φοινίσσαις στ. 674. κ. ἑ. *ἔνθεν ἐξανῆκε γῆ πάνοπλον ὄψιν ὑπὲρ ἄκρων ὅρων χθονός·* ὁ δ' ἡμέτερος

ποιητὴς καθ' ὁμοιότητα πρὸς τὰ φυτὰ κατὰ μικρὸν ποιεῖ ἐκ τῆς γῆς τοὺς σπαρτοὺς ἀνατέλλειν.

111). *τώς, ὁπότ' αὐλαίη ὑπανέλκεται* κτλ. αὐλαία ἐνταῦθα καλεῖται τὸ τῆς σκηνῆς παραπέτασμα, εἰκόσι πεποικιλμένον· ἐμεμηχάνητο δὲ τὰ τοῦ παραπετάσματος τοῖς ἀρχαίοις ὑπεναντίως πρὸς τὸ τοῦ νέου θεάτρου. Νῦν γὰρ τὸ παραπέτασμα καθελκόμενον μὲν τὴν σκηνὴν καλύπτει, ἀνελκόμενον δὲ τὰ ἐν αὐτῇ παρέχει τοῖς θεωμένοις ὁρᾶν· Ἐν δὲ τῷ ἀρχαίῳ θεάτρῳ περὶ κύλινδρόν τινα ἑλισσόμενον, ὃς παρὰ τὸ προσκήνιον ὑπὸ τὸ δάπεδον ἔκειτο, καθείλκετο καὶ τὴν σκηνὴν καταφανῆ ἐποίει τοῖς θεαταῖς· ἐξελισσόμενον δὲ καὶ ἀνελκόμενον τοὐναντίον τοῖς τῶν θεωμένων ὀφθαλμοῖς ἀπέκρυπτε τὴν σκηνήν. Ἐκαλεῖτο δ' ἡ μηχανὴ *ἐκκύκλημα* καὶ *ἐκκυκλεῖν* τὸ τὴν σκηνὴν ἀποκαλύπτειν τοῖς θεαταῖς. Ἐκ τῶν εἰρημένων σαφῆ καθίσταται τὰ ὑπὸ τοῦ ποιητοῦ ἐνταῦθα (στ. 111—114) λεγόμενα· ἀνελκομένου γὰρ τοῦ παραπετάσματος πρῶτον αἱ κεφαλαὶ τῶν ἐν αὐτῷ εἰκόνων, ἔπειτα δὲ τὰ κατώτερα τοῦ σώματος καὶ τέλος οἱ πόδες ὁρατοὶ ἐγίγνοντο.

126). *Πέντε ζώεσκον μοῦνοι*· ἄλλοι δὲ τούτοις ἕκτον προστεθείκασι τὸν Κρέοντα. Τούτους πολίτας ἐποιήσατο ὁ Κάδμος κατοικίσας ἐν Θήβαις· τὰ δ' ὀνόματα αὐτῶν Λυσίμαχος καὶ Ἑλλάνικος διετήρησαν.

127). *Τριτωνίδος· Τριτωνὶς* ἐπεκλήθη ἡ Ἀθηνᾶ ἀπὸ Τρίτωνος τοῦ ἐν Βοιωτίᾳ ῥείθρου.

130). Κάδμου κτίσμα κυρίως ἦν ἡ τῶν Θηβῶν ἀκρόπολις, *Καδμεία* ἀπ' αὐτοῦ κληθεῖσα· βραδύτερον δὲ προσεκτίσθη ἡ κάτω πόλις, αἱ Θῆβαι.

132 καὶ 133). Γαμβρὸς ἦν Ἄρεως καὶ Ἀφροδίτης ὁ Κάδμος. Ἁρμονίαν γὰρ τὴν τούτων θυγατέρα γυναῖκα ἠγάγετο, ὡς μαρτυρεῖ καὶ Ἡσίοδος ἐν Θεογονίᾳ. στ. 933 κ. ἑ.

.... αὐτὰρ Ἄρηϊ
ῥινοτόρῳ Κυθέρεια Φόβον καὶ Δεῖμον ἔτικτεν
Ἁρμονίην θ', ἣν Κάδμος ὑπέρθυμος θέτ' ἄκοιτιν.

134). *τοσσατίους θ' υἷας*. τὴν πληθὺν τῶν υἱέων οὐκ εἰς ἕνα τὸν Κάδμον ἀνενεκτέον, ἀλλ' εἰς πάντα ὁμοῦ τὸν οἶκον αὐτοῦ. Υἱὸς γὰρ Κάδμου εἷς μνημονεύεται μόνος ὁ Πολύδωρος, ὃς καὶ τὴν ἀρχὴν τοῦ πατρὸς διεδέξατο· θυγατέρες δ' αὐτῷ ἐγένοντο τέτταρες· Αὐτονόη, Ἰνώ, Σεμέλη, Ἀγαύη, ὧν Αὐτονόη μὲν Ἀρισταίῳ, Ἰνὼ δὲ Ἀθάμαντι, Ἀγαύη δὲ Ἐχίονι συνῴκησε. Σεμέλη δὲ Διὶ μιγεῖσα Διόνυσον ἔτεκε.

135). κ. ἑ. Παρὰ πολλοῖς εὕρηται τὸ ἐνθύμημα τοῦτο· ὁ δὲ Σόλων παρ' Ἡροδότῳ (βιβλ. ά. 32) ἐν τῷ πρὸς Κροῖσον διαλόγῳ διὰ μακροτέρων αὐτὸ ἐκφέρει.

145). *ἀπὸ πείρατος.* Πέρας ἐνταῦθα νοείσθω ἡ κατ' ἀνατολὰς ἀρχὴ καὶ τὸ ἐν δυσμαῖς πέρας τῆς ὑπὲρ γῆν τοῦ ἡλίου πορείας.

147). *Ὑάντιος* ἴσον δύναται τῷ *Βοιώτιος*· Βοιωτῶν γὰρ φυλὴ παλαιὰ ἦσαν οἱ Ὕαντες.

153). *ὀξείῃς κυπαρίσσοις.* Ὀξεῖαι λέγονται αἱ κυπάρισσοι διὰ τὸ εἰς ὀξὺ λήγειν τὴν αὐτῶν κορυφήν, ἢ διὰ τὴν τῶν φύλλων λεπτότητα καὶ ὀξύτητα.

156). *Γαργαφία,* ἤτε κοιλὰς καὶ ἡ ἐν αὐτῇ πηγή.

165). Περὶ νυμφῶν τῶν τῇ Ἀρτέμιδι διακονουσῶν καὶ τῶν ἔργων αὐτῶν ἴδε καὶ Καλλίμ. Ὕμν. εἰς Ἄρτεμιν στ. 13 κ. ἑ.

170). *Ἰσμηνίς,* πατρωνυμικὸν ὄνομα ἀπὸ Ἰσμηνοῦ τοῦ ἐν Βοιωτίᾳ ποταμοῦ.

173). *τιτηνὶς* καλεῖται ἡ Ἄρτεμις ὡς οὖσα ἡ αὐτὴ τῇ Σελήνῃ, θυγατρὶ τοῦ τιτᾶνος Ὑπερίονος.

175). *Εἰκῇ.* ἤτοι ἄνευ προθέσεως ὡρισμένης.

187). *στῇ λικριφὶς καμφθεῖσα* κτλ. Καὶ ταῦτα τὴν τῆς θεᾶς γυμνῆς ὀφθείσης ἐμφαίνει αἰδῶ.

194). *ἐλάφου δολιχαίωνος.* Οἱ πάλαι ἐδόξαζον ἐννέα μὲν ἀνθρώπων γενεὰς ζῆν τὴν κορώνην, τετράκις δὲ τόσας τὴν ἔλαφον.

Ἐννέα τοι ζώει γενεὰς λακέρυζα κυρώνη
ἀνδρῶν ἡβώντων, ἔλαφος δ' αὖ τετρακόρωνος.
Ἡσιόδ. ἀποσπ.

198). *ὤπασε καὶ πτοίην* κτλ. οὐ μορφὴν μόνον, ἀλλὰ καὶ δειλίαν ἐλάφου ἔδωκεν ἡ Ἄρτεμις τῷ Ἀκταίωνι. Τὴν δὲ τοῦ ζώου δειλίαν σημαίνει καὶ Ὅμηρος λέγων. (Ἰλ. ά. στ. 225)

... κυνὸς ὄμματ' ἔχων, κραδίην δ' ἐλάφοιο,

205). *Τὸ μέν, τὸ δέ·* ἀναφέρονται αἱ ἀντωνυμίαι αὗται εἰς τὰ ἡγούμενα κατὰ χιασμόν.

210). Περίφημοι ἦσαν οἱ ἐξ Ἀρκαδίας θηρευτικοὶ κύνες· ὁμοίως δὲ καὶ οἱ ἐκ Κρήτης καὶ Λακεδαίμονος.

229). *οἰκῆες* ἐνταῦθα οἱ κύνες τοῦ Ἀκταίωνος λέγονται.

251 καὶ 252). Οἱ δύο οὗτοι στίχοι, οἳ ἔν τινι τῶν χειρογράφων (τῷ τοῦ Σπρωτίου) ὑπὸ χειρὸς νεωτέρας ἐν τῷ τῆς σελίδος κρασπέδῳ προστεθειμένοι φαίνονται, ὑποβολιμαῖοι ὑπό τινων κρίνονται καὶ παρέγραπτοι· φασὶ γάρ, ὅτι τὸ τοῦ ἡγουμένου στίχου *dilacerant dominum* (διέσπων ἄνακτα) ἱκανῶς δηλοῖ τὸν τοῦ

Ἀκταίωνος θάνατον· ὥστε μὴ ἀναγκαίαν εἶναι τὴν τῶν λέξεων *finita vita* ἐν τῷ κειμένῳ προσθήκην· ἀδέξιος δὲ καὶ ἡ τῶν λέξεων *per plurima vulnera* παρένθεσις· ἀλλὰ τοιαῦτα καὶ ἀλλαχοῦ εὕρηται τῶν ποιημάτων τοῦ Ὀβιδίου.

253). κ. ἑ. Ἐν τοῖς τοῦ Ὁμήρου καὶ Ἡσιόδου ποιήμασι τοῦ Διὸς καὶ τῆς Σεμέλης υἱὸς ὁ Διόνυσος λέγεται. Ὅμηρος μὲν γάρ φησιν (Ἰλ. ξ. 325.)

Ἡ δὲ Διώνυσον Σεμέλη τέκε χάρμα βροτοῖσιν.

Ἡσίοδος δὲ (Θεογ. 940)

Καδμείη δ' ἄρα οἱ Σεμέλη τέκε φαίδιμον υἱὸν
μιχθεῖσ' ἐν φιλότητι Διώνυσον πολυγηθέα,
ἀθάνατον θνητή.

ἀλλ' οὐδὲν παρ' ἐκείνοις ἴχνος τοῦ μύθου εὕρηται, ὃν ἐνταῦθα περὶ Σεμέλης καὶ Διονύσου ὁ Ὀβίδιος διηγεῖται. Ἔοικεν οὖν ὁ μῦθος οὗτος κατὰ τοὺς χρόνους τῶν ἀττικῶν τραγικῶν πλασθῆναι ἢ εἰς τοὺς ἀνθρώπους ἐξενεχθῆναι. Εὐριπίδης γὰρ ἐν Βάκχαις (στ. 91 κ. ἑ.) ᾄδει τάδε· ὃν ποτ', ἔχουσ' ἐν ὠδίνων λοχίαις ἀνάγκαισι, πταμένας Διὸς βροντᾶς, νηδύος ἔκβολον μάτηρ ἔτεκεν, λιποῦσ' αἰῶνα κεραυνίῳ πλαγᾷ· λοχίοις δ' αὐτίκα νιν δέξατο θαλάμοις Κρονίδας Ζεύς, κατὰ μηρῷ δὲ καλύψας, χρυσέαισιν συνερείδει περόναις κρυπτὸν ἀφ' Ἥρας.

258). *Τυρίης ὑπὸ κούρης*, τῆς Εὐρώπης.

262). *Τοσσατίοισι τί γὰρ κτλ.* Ὁ *γὰρ* ὑπεμφαίνει ἐνταῦθα παρασεσιωπῆσθαι ἐξυπακουόμενα ἔξωθεν τὰ ῥήματα· *ἀλλ' οὐ βούλομαι νεικεῖν*.

266). *κάσις καί.* τούτοις ὑποδηλοῖ ἡ Ἥρα ὅτι πρὸς αὐτὴν ὡς γαμετὴν οὐ ποιεῖ ὁ Ζεὺς τὰ προσήκοντα.

270). Ἔστι τὸν στίχον καὶ ὧδε μεθερμηνεῦσαι.

Εἴδει ἐῷ πίσυνος τεκέειν θέλει ἐκ Διὸς αὐτοῦ.

292). *ἡ δὲ κακῷ χαίρουσα*, τῷ μέλλοντι αὐτῇ συμβήσεσθαι.

303). Τυφάων, ὢν, ὁ αὐτὸς καὶ Τυφωεύς, τέρας μυθῶδες, ἑκατοντακέφαλον, ἰσχὺν ἀνυπόστατον ἔχον. Φασὶ δ' οἱ τῶν μύθων ἐξηγηταὶ τὸ τέρας τοῦτο τὴν τεραστίαν τῶν πρηστήρων καὶ καταιγίδων φύσιν ὑποδηλοῦν, ἢ τὴν δύναμιν τῶν ἀπὸ τῶν ἐγκάτων τῆς γῆς ἐκβαλλομένων ἀτμῶν, οἳ τοὺς σεισμοὺς καὶ τὰς τῶν ἡφαιστείων ὀρῶν ῥήξεις τε καὶ ἀναφυσήσεις παράγουσι. Καὶ Ὅμηρος μὲν (Ἰλ. β'. 782 κ. ἑ.) τὸν Τυφωέα φησὶν ὑπὸ τὰ Ἄριμα ὄρη ἐν Μυσίᾳ κεῖσθαι κατακεραυνωθέντα ὑπὸ Διός. Πίνδαρος δὲ (Πυθ. α. 32) ὑπὸ τὴν Αἴτνην. Ὁ δὲ Ἡσίοδος διακρίνει τὸν *Τυφῶνα* τοῦ *Τυφωέως*,

Ὁ μὲν γὰρ *Τυφῶν* δεινὸς κατ' αὐτὸν καὶ ὑβριστής ἐστιν ἄνεμος, ᾧ ἡ ἐν Ἀρίμοις νύμφη Ἔχιδνα μιγεῖσα τοὺς κύνας Ὄρθον καὶ Κέρβερον, καὶ τὴν λερναίαν Ὕδραν, καὶ τὴν Σφίγγα, καὶ τὸν νεμεαῖον λέοντα ἔτεκε (Θεογ. στ. 306—329)· ὁ δὲ *Τυφωεὺς* νεώτατος ἦν Γῆς καὶ Ταρτάρου υἱός, τέρας δεινόν, ἑκατὸν δρακοντείους κεφαλὰς ἔχον, ὃ δὴ ὁ Ζεὺς κεραυνώσας κατεταρτάρωσεν. Ἄλλως δὲ τὰ τὸν Τυφωέως διέξεισιν ὁ ἡμέτερος ποιητὴς ἐν βιβλ. έ. στ. 321 κ. έ. καὶ στ. 346 κ. έ.

305). *Κυκλώπων*· ἴδε βιβλ. ά. σημείωσιν εἰς στ. 259.

308). *Ἀγηνόρεον οἶκον* τὸν τῆς Σεμέλης καλεῖ ἀπὸ τοῦ πάππου Ἀγήνορος.

309). *Ὑπὸ δ' ἕδροις*. *Ἕδρα* καλοῦνται ἐνταῦθα εἰρωνικῶς οἱ κεραυνοί, ὑφ' ὧν ἡ Σεμέλη κατεφλέχθη.

313). *Ἰνώ*. Ἴδε τὰ περὶ αὐτῆς μυθευόμενα Βιβλ. δ'. στ. 416 κ. έ.

314). *Νυσηΐδες νύμφαι* λέγονται αἱ τοῦ Διονύσου τροφοὶ ἀπὸ *Νύσης*, ὄρους ἐν Θράκῃ, ὃ *ἠγάθεον Νυσήϊον* παρ' Ὁμήρῳ (Ἰλ. ζ. 133) καλεῖται καὶ ἀφ' οὗ *Νυσεὺς* ὁ Θεὸς διὰ τὸ τραφῆναι ἐκεῖ. Ἀλλ' ἔπειτα κατὰ μικρὸν πλείους ὠνομάσθησαν Νῦσαι ἐν Καρίᾳ, Αἰθιοπίᾳ, Ἰνδικῇ καὶ ἀλλαχοῦ, τῷ Διονύσῳ διὰ τὴν οἰνοτροφίαν ἱεραὶ νομιζόμεναι.

317). *Βάκχοιο*· τὸ τοῦ Βάκχου ὄνομα οὐκ ἀρχῆθεν προσῆκε τῷ Διονύσῳ, ἀλλ' ἔοικε κατὰ τοὺς χρόνους τῶν τραγικῶν ποιητῶν ἀπό τινος ὁμοίας θεοῦ μορφῆς ἐπ' ἐκεῖνον μετενεχθῆναι. Ἔστι δὲ τοὔνομα τῷ *Ἴακχος* (ἀπὸ τοῦ ἰάχω) συγγενές, τὸν ἐν ταῖς ἑορταῖς τοῦ Βάκχου κατ' εὐθυμίαν ἐκφερόμενον ἦχον σημαίνοντι.

323). Παράβαλε καὶ Λουκιαν. Ἐνύπνιον ἢ Γάλλος· § 19.

328). *Εἰ τόσον δύναται ὑμῶν ἡ πληγή*=εἰ τόσον δύναται τὸ ῥάβδῳ τύψαι ὑμᾶς.

334). *Ἐπεοικότος*· τοῦ τῷ πράγματι προσήκοντος.

339). *Ἀονίης*· ἴδε βιβλ. ά. σημ. εἰς στ. 313.

341). Τὸ ἐν τῷ κειμένῳ *fide* ἀρχαία ἐστὶ γενικὴ ἀντὶ τῆς *fidei*.

342). *Λειριόπη*· πρβλ. τὸ ὁμηρικὸν *ὄπα λειριόεσσαν*.

346). *Ἐρωτηθεὶς περὶ τούτου* κ. έ. Ἡ τοῦ Τειρεσίου πρόρρησις ἐπινόημα τοῦ Ὀβιδίου ἐστὶ χρήσιμον εἰς τὸ συνδῆσαι τοὺς μύθους.

353—355). Τῆς κατ' ἀντίθεσιν ταύτης ἀναδιπλώσεως, ἣ περ ὁμοία ἐν βιβλ. δ'. στ. 305—307 καὶ ἀλλαχοῦ εὕρηται, οὐκ ὀλίγη

ἡ χάρις. Ἔοικε δ' ὁ Ὀβίδιος ἀπομάξασθαι ἐνταῦθα τὰ τοῦ Κατούλλου (Carm. nupt. 58. στ. 39 κ. ἑ.)

> multi illum pueri, multae optavère puellae·
> idem quum tenui carptus defloruit ungui,
> nulli illum pueri, nullae optavere puellae.

Καὶ ἄλλοι μὲν οὖν ποιηταὶ τῇ κατ' ἀντίθεσιν ἀναδιπλώσει κέχρηνται, συχνοτάτη δ' αὐτῆς ἡ χρῆσις ἐν τοῖς καθ' ἡμᾶς δημοτικοῖς ᾄσμασιν, οἷον ἐν τῷ ἐπιγεγραμμένῳ ἡ *Δέσπω.*

> Ἀχὸς βαρὺς ἀκούεται, πολλὰ τουφέκια πέφτουν·
> μήνα σε γάμο ρίχνονται, μήνα σε πανηγύρι;
> οὐδέ σε γάμο ρίχνονται, οὐδέ σε πανηγύρι κτλ.

366—367). Βραχεῖα τῇ Ἠχοῖ τῆς φωνῆς λείπεται χρῆσις, ὅμως γε ἱκανὴ εἰς τὸ τὰ τελευταῖα τοῦ φθεγγομένου ῥήματα ἀνταποδιδόναι.

385). *Δόκῳ ἐπέων ἀμοιβαδίων* (imagine vocis alternae) ἤτοι τοῖς δοκοῦσι μὲν ἀμοιβαίοις εἶναι, ἀληθῶς δ' οὐκ οὖσι.

400—401). Οἱ δύο οὗτοι στίχοι εἰκότως κρίνονται νόθοι ἐν τῷ κειμένῳ· οὐδὲν γὰρ καινὸν περιέχουσι. Τὸ δὲ *inde latet silvis* ἀπειρόκαλός ἐστιν ἐπανάληψις τοῦ ἐν στ. 393 *spreta latet silvis.*

406). *Ἀδράστεια* ἐπίθετον τῆς Νεμέσεως, ἀπὸ Ἀδράστου τοῦ βωμὸν αὐτῇ ἀνιδρύσαντος, ἢ ἀπὸ τοῦ ἀναπόδραστον αὐτῆς εἶναι τοῖς ἀνοσιουργοῦσι τὴν τιμωρίαν. Ἀντὶ τοῦ ἐπιθέτου τούτου κεῖται ἐν τῷ κειμένῳ τὸ *Ῥαμνουσία*· ἐκλήθη δ' οὕτως ἡ Νέμεσις ἀπὸ Ῥαμνοῦντος δήμου τῆς Ἀττικῆς, ἔνθα ναὸς αὐτῇ ἵδρυτο, οὗ καὶ μέχρις ἡμῶν ἐρείπιά τινα διαμένει.

417). *Ἐλπίδος ἀσάρκου,* μετωνυμικῶς τῆς εἰκόνος, ἣν ἐπόθει ὁ Νάρκισος καὶ ἧς ἤλπιζεν ἀπολαῦσαι.

421). Ὁ Ἀπόλλων καὶ ὁ Βάκχος διὰ τὴν ἀΐδιον νεότητα καὶ τὸ κάλλος, μάλιστα δὲ διὰ τὸ εὔκομον, πολλαχοῦ ὑπὸ τῶν ποιητῶν κομοῦνται. Ἐντεῦθεν τὰ ἐπίθετα· χρυσοκόμης, ἀκερσεκόμης, εὐκόμης, ἁβροκόμης, χρυσοέθειρος κτλ. ὧν τὰ μὲν ἀμφοτέροις τὰ δὲ τῷ ἑτέρῳ αὐτῶν προσήκουσι.

437). *σίτου*· ἐν τῷ κειμένῳ ἀναγιγνώσκεται *Cereris*· τέθειται δὲ κατὰ μετωνυμίαν ἀντὶ τοῦ σίτου τὸ ὄνομα τῆς παραγούσης τὸν σῖτον θεᾶς, ὥσπερ καὶ τὸ τοῦ Βάκχου ἀντὶ τοῦ οἴνου καὶ τὸ τοῦ Ἄρεως ἀντὶ τοῦ πολέμου κ. τ. ὅ.

494). *ἡ δέ μιν ὡς ἔσιδε* κτλ. Πῶς εἶχεν ἔτι τὸν Νάρκισον ὁρᾶν ἡ Ἠχώ, εἴγ' οὐδὲν ἄλλο αὐτῇ περιλέλειπτο μεταμορφωθείσῃ ἢ ἀπολελιθωμένα ὀστᾶ καὶ βραχεῖα φωνή; (ἴδε στ. 366 κ. ἑ.)· ἀλλ' ἐφεῖται τοῖς ποιηταῖς μὴ ἀκριβολογεῖσθαι ἐν τοῖς τοιούτοις.

506). Εἴθιστο τοῖς πάλαι κείρεσθαι τὴν κόμην ὅλην ἢ μέρος καὶ τῷ νεκρῷ καιομένῳ ἢ θαπτομένῳ ἐπιῤῥίπτειν, ἢ ἄλλως ἀνατιθέναι.

520). Ὁ ἐν τῷ κειμένῳ *Liber* ἰταλικὸς ἦν τὸ πάλαι θεὸς τῆς καρπογονίας Λοιβάσιος παρὰ τοῖς Σαβίνοις καλούμενος. Εἰσαχθέντων δ' ἔπειτα καί διαδοθέντων τῶν ἑλληνικῶν μύθων εἰς Ἰταλίαν, τὸ τοῦ Ἰταλικοῦ θεοῦ ὄνομα μετηνέχθη ἐπὶ τὸν Βάκχον διὰ τὴν τῶν ἰδιωμάτων συγγένειαν.

527). *πίστις* (fides) ἡ βεβαίωσις τῶν τοῦ Τειρεσίου προῤῥήσεων.

529). *θῆλυς ὅμιλος.* οὕτως ἀπέδωκα τὸ τοῦ κειμένου *matresque nurusque* (μητέρες τε καὶ κόραι).

531). *δρακοντόσπαρτε γενέθλη Ἄρεως* (anguigenae, mavortia proles)· οὕτω καλεῖ ὁ Πενθεὺς τοὺς Θηβαίους διὰ τὸ ἐκ τῶν ὀδόντων τοῦ δράκοντος φῦναι αὐτούς, ὅντινες υἱὸν τοῦ Ἄρεως γενέσθαι φασίν· ἴδε σημ. εἰς στ. 32.

532 καὶ 533). *Χαλκός.* τὰ χαλκᾶ κύμβαλα νοείσθω, οἷς ἔντε ταῖς τοῦ Βάκχου καὶ ταῖς τῆς Κυβέλης ἑορταῖς σὺν αὐλοῖς ἐχρῶντο οἱ ὀργιάζοντες.

539). *Τύρον.* Ὅμοιον τὸ τοῦ Οὐϊργιλίου Αἰν. ά. 98.

Ilium in Italiam portans victorque penates.

540). *προΐεθε* (sinitis capi) τὴν Τύρον,

542). *θύρσος*· σύμβολον βακχικῆς λατρείας· ἦν δὲ ῥάβδος μαλακοῦ ξύλου ἢ νάρθηκος κισσῷ καὶ οἰνάροις περιεστεμμένη καὶ ἄνω εἰς κῶνον πίτυος λήγουσα.

555). (κείμ. 554)· τῷ ῥ' οὐ δῆρις ἔαδε κτλ. Πρβλ. τὰ τοῦ Εὐριπίδου ἐν Βάκχαις 416 κ. ἑ. Ὁ δαίμων ὁ Διὸς παῖς χαίρει μὲν θαλίαισι. φιλεῖ δ' ὀλβοδότειραν εἰράναν, κουροτρόφον θεάν.

560). (κείμ. 559) *Ἀκρίσιος* υἱὸς Ἄβαντος, βασιλεὺς Ἄργους, καταφρονητὴς τοῦ Βάκχου παρίσταται καὶ ἐν βιβλ. δ'. στ. 605 κ. ἑ. Κατὰ τὸν κοινὸν μῦθον τὰς τῆς Ἑλλάδος πόλεις ὁ Βάκχος περινοστῶν πρότερον μὲν εἰς Θήβας, ὕστερον δ' εἰς Ἄργος παρεγένετο· ἀλλὰ τῆς περὶ τὰ τοιαῦτα ἀκριβείας οὐ μέλλει τῷ ποιητῇ.

565). (κείμ. 564) *Μητροπάτωρ,* ὁ Κάδμος· Ἀθάμας δὲ υἱὸς τοῦ Αἰόλου (ἴδε βιβλ. δ'. 512) γυναῖκα Ἰνὼ τὴν Κάδμου ἠγάγετο.

573). (κείμ. 572). *αἱμαλέοι,* αἵματι πεφυρμένοι, ἅτε πρὸς τοὺς περὶ τὸν Βάκχον μαχεσάμενοι.

576 καὶ 577). (κείμ. 575 καὶ 576). Οὐ ῥητῶς ἐνταῦθα ὁ Ὀβίδιος τὸν θεὸν Βάκχον εἰς τὸν Τυῤῥηνὸν ἐκεῖνον μεταμορφωθῆναί

φησιν, οὔτ' ἐν στ. 700 (κείμ. 699), καθ' ὃν τῷ Ἀκοίτῃ αὐτόματοι αἱ τῆς εἱρκτῆς ἠνεῴχθησαν θύραι καὶ τὰ δεσμὰ ἐλύθη· ἀλλ' ἐν στ. 659 (κειμένου 658) τὴν μεταμόρφωσιν ταύτην ὑποσημαίνει. Τὰ οὖν ἐν στ. 576—578 οὐ δηλοῖ, τίς ὄντως ὁ συλληφθεὶς ἦν, ἀλλά, τίς εἶναι προσεποιεῖτο.

584). (κείμ. 583). *Μαιονία* ἀρχαῖον τῆς Λυδίας ὄνομα. Τοὺς Τυῤῥηνοὺς οἱ ἀρχαιολόγοι τοῖς πολυπλανέσι Πελασγοῖς ὁμοφύλους γενέσθαι φασίν, ὧν μοῖράν τινα ἐκ Λυδίας ὁρμηθέντας ἐν ταῖς τοῦ Αἰγαίου νήσοις Λήμνῳ καὶ Ἴμβρῳ οἰκῆσαι. Ἔοικε δὲ τῶν νησιωτῶν τούτων Τυῤῥηνῶν εἶναι τοὺς ἐν τῷ βακχικῷ μύθῳ μνημονευομένους λῃστάς, οὓς καὶ ἐν τῷ ὁμηρικῷ εἰς Διόνυσον ὕμνῳ ἀναγιγνώσκομεν. Ἡρόδοτος δὲ (βιβλ. ά. 94) καὶ τοὺς ἐν Ἰταλίᾳ Τυῤῥηνοὺς (Ἐτρούσκους ἢ Τούσκους) λυδοὺς εἶναι τὸ γένος κἀκ Λυδίας ἐποικῆσαι εἰς τὴν Ὀμβρικὴν ἱστορεῖ. Ταύτῃ τοίνυν τῇ παραδόσει ἑπόμενος ὁ Ὀβίδιος Τυῤῥηνὸν ἀποκαλεῖ τὸν ἐκ Μαιονίας ἢ Λυδίας Ἀκοίτην, καὶ τὸν Λυκάβαντα (στ. 624), ὃν ὁμοίως τοῖς συνναύταις Τυῤῥηνὸν εἶναι εἰκός, ἐκ Τυῤῥηνίδος πόλεως φυγάδα γενέσθαι λέγει.

589). (κείμ. 588) *τέχνη* συνεκδοχικῶς λέγεται ἐνταῦθα ἡ ἁλιεία.

595). (κείμ. 594) *Αἰγὸς ὠλενίης*. Αἶγα ὠλενίαν καλεῖ ὁ Ἄρατος (Φαινόμ. στ. 163) τὸν μέγιστον ἐν τῷ Ἡνιόχῳ ἀστέρα, ὃν οἱ ἀστρονομοῦντες τὴν αἶγα Ἀμάλθειαν εἶναι λέγουσι τὴν τὸν Δία κατὰ τὸν μῦθον θηλάσασαν. *Ὠλενίαν* δὲ ὁ Στράβων φησὶ κληθῆναι αὐτὴν διὰ τὸ τὸν θεὸν ἐν Αἰγίῳ πλησίον *Ὠλένου* ὑπὸ τῆς αἰγὸς Ἀμαλθείας τραφῆναι. Κατ' ἄλλους δὲ οὐκ ἐν Πελοποννήσῳ, ἀλλ' ἐν Κρήτῃ ὁ Ζεὺς ὑπὸ τῆς αἰγὸς Ἀμαλθείας ἐτράφη. Ταύτῃ δὲ τῇ παραδόσει ἀλλαχοῦ (Fast. έ. 114) ἕπεται ὁ ἡμέτερος ποιητής, καίπερ τὴν τοῦ θεοῦ τροφὸν αἶγα *ὠλενίαν* κἀκεῖ ὁμοίως καλῶν. Ἔοικεν οὖν οὗτος τοὺς μύθους συγχεῖν, ἢ ἄλλοις μυθολόγοις στοιχεῖν, οἳ τὴν Ἀμάλθειαν Ὠλένου θυγατέρα γενέσθαι φασί.

596). (κείμ. 595). *Ταϋγέτη* μία τῶν Πλειάδων (ἴδε βιβλ. ά σημ. εἰς στ. 671). Τὸ δὲ τῶν Ὑάδων ἄστρον ἐξ ἑπτὰ ἀστέρων συγκείμενον κέκληται οὕτω διὰ τὸ τὴν ἐπιτολὴν αὐτοῦ ὑετοὺς ὑπὸ τῶν πάλαι ἐπάγειν πιστεύεσθαι. Ἦσαν δ' αἱ Ὑάδες νύμφαι, περὶ ὧν οὐ πάνυ τι συνῳδὰ λέγουσιν οἱ μυθολογοῦντες. Κατὰ δὲ τὸν Ὀβίδιον (Fast. έ. 167) Ἄτλαντος καὶ Αἴθρας τῆς Ὠκεανίδος θυγατέρες εἰσί.

598). (κείμ. 597) *Κείης ἀκτῆσι*, ταῖς τῆς νήσου Κέω ἀκταῖς. Ἡ τοῦ κειμένου γραφὴ *Ciae telluris* πιθανωτέρα ἐστίν·

ὁμοίως δὲ πιθαναὶ αἱ ἄλλαι δύο *Chiae* καὶ *Diae* (τῆς Νάξου). Τῷ δὲ ταύταις προαιρουμένῳ ἔξεστι τὸν στίχον ὧδε μεταποιῆσαι.

Δῆλον δ' ἄρ ποτ' ἰὼν ἀκτῇσι Χίοιο πελάσθην·
ἢ Ἐς Δῆλόν ποτ' ἰὼν ἀκτῇσι Δίης ἐπελάσθην.

619—620). (κείμ. 618—619). *Καὶ ὃς ῥύθμιζεν ἰωῇ εἰρεσίην*, ἤτοι ὁ καλούμενος *κελευστής*.

622). (κείμ. 621). *Ἱερῷ βρίθει*· τῷ θεῷ, ὃς φορτίον ἦν ἱερόν. Οὐκ ἀνέξομαι, φησί, κακόν τι τῷ πλοίῳ συμβῆναι ἐκ τοῦ λείαν ἐν αὐτῷ ἀπάγεσθαι φόρτον ἱερόν, τὸν θεόν.

635). (κείμ. 634). *Πρωρεύς*· τὸ ὄνομα ἐνταῦθα οὐ προσηγορικόν ἐστιν, ἀλλὰ κύριον, ὥσπερ καὶ ἐν Ὀδυσσείᾳ θ. 113.

640). (κείμ. 639). Ἐν τῷ κειμένῳ ἀντὶ *νηὸς* κεῖται *pictae carinae*. Καὶ *carina* (τρόπις) μὲν τίθεται συνεκδοχικῶς ἀντὶ νηός· *picta* δὲ λέγεται διὰ τὸ εἰθίσθαι τοῖς πάλαι τὰς ναῦς χρωννύναι, ὡς δηλοῖ τὸ παρ' Ὁμήρῳ ἐπίθετον *μιλτοπάρῃος*.

641). (κείμ. 640). Ἡ ναῦς ἐκ Κέω εἰς τὸ πέλαγος ἀναχθεῖσα πρὸς ἀνατολὰς κατευθύνεται, τὴν μὲν Δῆλον, ἐφ' ἣν τὸ πρῶτον ἐδέδοκτο πλεῖν, ἐπ' ἀριστερᾷ, τὴν δὲ Νάξον ἐπὶ δεξιᾷ ἔχουσα.

642 καὶ 643). (κείμ. 641 καὶ 642). Μεθηρμήνευσα τὸ κείμενον κατὰ τὴν ἐπομένην τοῦ Π. Βουρμάννου διόρθωσιν.

Quid facis, o demens ? quis te furor, inquit, Acoete,
pro se quisque, tenet ? laevam pete κτλ.

659). (κείμ. 658). *θεὸς γάρ τ' οὔτις ἐκείνου ἐγγύτερος*. Εἰκότως ταῦτα ὁ Ἀκοίτης περὶ τοῦ Βάκχου λέγει· αὐτὸς γὰρ ἦν μεταμεμορφωμένος ὁ Βάκχος.

664). (κείμ. 663)· *ἀμφοτέροισιν*· ἤτοι τῇ τε κωπηλασίᾳ καὶ τοῖς ἱστίοις.

665). (κείμ. 664). Πρβλ. Ὁμήρου ὕμνον εἰς Διόνυσον στ. 38 κ. ἑ.

Αὐτίκα δ' ἀκρότατον παρὰ ἱστίον ἐξετανύσθη
ἄμπελος ἔνθα καὶ ἔνθα· κατεκρημνῶντο δὲ πολλοὶ
βότρυες· ἀμφ' ἱστὸν δὲ μέλας εἱλίσσετο κισσὸς
ἄνθεσι τηλεθάων· χαρίεις δ' ἔπι καρπὸς ὀρώρει.

669). (κείμ. 668). Ἀντὶ τοῦ *immania* κεῖται παρ' ἄλλοις ἐν τῷ κειμένῳ *inania*. Εἰ δέ τις ταύτην τὴν γραφὴν προαιρεῖται, ἀντὶ τῶν *τίγρεις τε καὶ ἄγρια λυγκῶν*, τιθέτω ἐν τῇ μεταφράσει· *τίγρεις καὶ ἐτώσια λυγκῶν* εἴδεα· καλοῦνται δὲ ἐτώσια ἅτε φάσματα θηρίων, οὐκ ἀληθῆ δὲ θηρία ὄντα. Ἦσαν δὲ τίγρεις καὶ λύγκες καὶ πάνθηρες ἱερὰ τῷ Βάκχῳ τετιθασσευμένα θηρία, τὸ ἅρμα ἕλκοντα τοῦ θεοῦ.

676). (κείμ. 675)· *λεπίδεσσι* ποιητικῇ ἀδείᾳ ὁ Ὀβίδιος χρώμενος λεπιδωτὸν ποιεῖ τὸν δελφῖνα, γυμνὸν ὄντα λεπίδων.

677). (κείμ. 676). Ἐπισχεθείσης τῆς νεὼς θαυματουργίᾳ τοῦ θεοῦ, τὰς ἐμβεβαπτισμένας καὶ ἀνθισταμένας τῇ κινήσει κώπας ὁ Λίβυς κατ' ἐναντίαν φορὰν κινῆσαι βουλόμενος ᾔσθετο τὰς χεῖρας πρῶτον εἰς πτερύγια μεταβαλλομένας.

691). (κείμ. 690). *Δίη*, τῇ Νάξῳ· ἴδε σημ. εἰς στ. 598.

713 καὶ 714). (κείμ. 712 καὶ 713). *μήτηρ*, ἡ Ἀγαύη· κάσιες δὲ δύο· ἡ Ἰνὼ καὶ ἡ Αὐτονόη.

734). (κείμ. 733). *Ἰσμηνίδες* καλοῦνται αἱ Θηβαῖαι ἀπὸ τοῦ ταῖς Θήβαις παραῤῥέοντος ποταμοῦ Ἰσμηνοῦ.

ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ

ΒΙΒΛΙΟΝ Δ'.

ΠΕΡΙΛΗΨΙΣ.

Ἀλκιθόη ἡ τοῦ Μινύου θυγάτηρ καὶ αἱ ἀδελφαὶ ἐν τοσαύτῃ ὀλιγωρίᾳ τὰ τοῦ Βάκχου ποιοῦνται ὄργια, ὥστε τὴν τοῦ θεοῦ ἑορτὴν ἐπιστᾶσαν ἀπαξιοῦσι συνεορτάσαι· οἴκοι δὲ μένουσαι ἐριουργοῦσι καὶ μύθους διηγοῦνται ἀλλήλαις, ἵν' ἥδιον οὕτω τὸν χρόνον διάγωσι. Καὶ ἡ μὲν αὐτῶν (ἡ Ἀρσινόη ἢ Ἀριστίππη) τὸν ἀτυχῆ Πυράμου καὶ Θίσβης ἔρωτα καὶ τὴν ἀμφοτέρων αὐτοχειρίαν διέξεισιν, ὧν τὸ αἷμα τὰς τῆς ἐγγὺς συκαμίνου ῥίζας ἀρδεῦσαν τὸν καρπὸν τοῦ δένδρου λευκὸν πρότερον ὄντα ἐμέλανεν. Εἶτα δ' ἡ Λευκονόη τὸν Ἀπόλλωνος ἔρωτα εἰς Λευκοθόην τὴν Ὀρχάμου τοῦ Ἀχαιμενῶν βασιλέως θυγατέρα μυθολογεῖ, ᾗ πρόσεισιν ὁ θεὸς Εὐρυνόμῃ τῇ αὐτῆς μητρὶ ἑαυτὸν εἰκάσας καὶ κρύφα συγγίγνεται. Ἡ δὲ Κλυτία ζηλοτυπήσασα τὴν κλεψιγαμίαν τῷ πατρί ἐκείνης μηνύει, καὶ πόθῳ Ἀπόλλωνος ἀεὶ τὸ πρόσωπον πρὸς τὸν ἥλιον τρέπουσα εἰς τὸ ἄνθος ἡλιοτρόπιον μεταβάλλεται. Τρίτη δ' ἡ Ἀλκιθόη τὸν τῆς ναϊάδος Σαλμακίδος εἰς Ἑρμαφρόδιτον ἔρωτα διηγεῖται, ᾧ ἡ νύμφη ἐπιμανεῖσα οὕτω περιεπλάκη ἀναινομένῳ, ὥστε ἀμφότεροι εἰς ἓν ἀνδρόγυνον σῶμα συνέφυσαν. Τοῦ δὲ μύθου αὐτῇ πέρας ἔχοντος ἤδη, τυμπάνων αἴφνης καὶ αὐλῶν καὶ κυμβάλων ἐξ ἀοράτου ἀκούεται ἦχος, καὶ ὁ ἱστὸς εἰς κλήματα μετατρέπεται, καὶ ἄλλα φαίνεται τέρατα, οἷς ἔμφοβοι αἱ Μαινάδες γενόμεναι εἰς νυκτερίδας μεταμορφοῦνται. Ἰνὼ δὲ ἡ Κάδμου μὲν θυγάτηρ, τοῦ δὲ Βάκχου τροφός, μέγα ἐπὶ τούτῳ τε καὶ

τῷ ἀνδρὶ Ἀθάμαντι καὶ τοῖς τέκνοις φρονοῦσα, παροξύνει τὴν Ἥραν, ἢ κατελθοῦσα εἰς ᾅδου τὰς Ἐριννῦς κατ' ἐκείνων ἐξερεθίζει. Ἐμμανὴς δ' ὑπὸ τούτων γενόμενος ὁ Ἀθάμας, κτείνει μὲν τὸν νήπιον παῖδα Κλέαρχον (ἢ Νέαρχον), διώκει δ' ὡς λέαιναν τὴν Ἰνώ, ἣ τὴν μανίαν φεύγουσα τοῦ ἀνδρός, τὸν παῖδα Μελικέρτην βαστάζουσα εἰς τὸν Ἰσθμὸν ἔρχεται, κἀκεῖ σὺν τῷ παιδὶ ἀπὸ τῶν Σκιρωνίων πετρῶν εἰς θάλασσαν ἅλλεται. Τούτου οὖν γενομένου, ἀμφότεροι εἰς θαλασσίους θεοὺς μεταβάλλονται· καὶ ἡ μὲν Ἰνὼ Λευκοθέα, Παλαίμων δ' ὁ Μελικέρτης μετονομάζεται. Αἱ δὲ θεράπαιναι, ἐπειδὴ μάτην τὴν Ἰνὼ μεταθέουσαι ἀνεζήτησαν, ὑποτοπήσασαι τὸ γενόμενον, τὴν συμφορὰν κατοδύρονται, καὶ αἱ μὲν αὐτῶν εἰς πέτρας, αἱ δ' ἐς ὄρνεις ὀργῇ Ἥρας μεταμορφοῦνται. Εἶτα δ' ὁ Κάδμος κατώδυνος τοῖς γεγενημένοις, τὰς Θήβας καταλιπὼν εἰς Ἰλλυρίαν ἀπέρχεται σὺν τῇ γυναικί, ἔνθα ἀμφότεροι μεταβάλλουσι τὸ εἶδος εἰς ὄφεις. Μόνος οὖν ἔτι τῶν τοῦ Βάκχου ὀλιγωρούντων περιλείπεται ὁ Ἀκρίσιος, μητροπάτωρ ὢν Περσέως τοῦ τὴν δρακοντοκόμον κεφαλὴν τῆς Μεδούσης ἀποτεμόντος, ἧς τῷ αἵματι ποτισθεῖσα ἡ γῆ ὄφεων εἴδη φύει πολλά. Καὶ τὸν Ἄτλαντα δ' ὁ Περσεύς, ἐν Λιβύᾳ ξενίσαι ἑ ἀναινόμενον, τὴν τῆς Γοργόνος κεφαλὴν ἐπιδείξας ἀπολιθοῖ. Εἶτα δ' ἀποπτὰς εἰς Αἰθιοπίαν κἀκεῖ Ἀνδρομέδαν τὴν τοῦ Κηφέως ἐπὶ τῇ πέτρᾳ πεπεδημένην ἰδὼν καὶ οἰκτείρας, τὸ ἐπ' αὐτὴν πεμφθὲν κῆτος κτείνει καὶ τὴν παρθένον σώζει· καὶ φυτὰ δ' ἐκεῖ θαλάσσια τῇ τοῦ γοργονείου αἵματος ἐπαφῇ ἀπολιθώσας γυναῖκα ἄγεται τὴν σωθεῖσαν, τοῦ πατρὸς αὐτὴν ἁρμόσαι τῷ σωτῆρι ὑποσχομένου· εἶτα τῷ Κηφεῖ τὰ κατὰ τὴν ἀποτομὴν τῆς γοργονείου κεφαλῆς πυνθανομένῳ καὶ τὴν τοῦ Πηγάσου ἐκ τοῦ αἵματος αὐτῆς βλάστησιν διηγεῖται.

ΕΜΜΕΤΡΟΣ ΜΕΘΕΡΜΗΝΕΙΑ
ΤΟΥ Δ΄. ΒΙΒΛΙΟΥ ΤΩΝ ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ.

Αἱ τρεῖς τοῦ Μινύου κόραι ἐν πολλῇ ἀλογίᾳ τὸν Βάκχον ποιούμεναι, ἑορτήν τινα τοῦ θεοῦ, ἣν αἱ Θηβαῖαι γυναῖκες ἄγουσιν, ἐριουργίᾳ καὶ ἱστουργίᾳ βεβηλῶσαι τολμῶσι, κἀν τούτῳ μύθοις ἀλλήλας τέρπουσιν, ὧν τινες παρασυνάπτονται.

Ἀλλ' οὐκ Ἀλκιθόη Μινυηὶς δεκτὰ θεοῖο
ᾠίετ' ὄργι' ἔμεν· ἰταμῶς δ' ἀπέφασκ' ἔτι Βάκχον
ἐκφῦναι Ζηνός, κοινωνοὺς τ' εἶχεν ἀδελφὰς
δυσσεβίης. Ἱερεὺς δὴ ἄγειν ἐκέλευσεν ἑορτήν,
ἔργα δὲ δεσποίνας σὺν δμωϊάδεσσι λιπούσας
στέρνα δορῆς πυκάσαι καὶ ἐθειρῶν ἅμματα λῦσαι,
στεψάσας τε κόμην φυλλώδεα θύρσον ἑλέσθαι·
δεινὸν δὲ προέφασκεν ἀτιμηθέντος ἔσεσθαι
αἶψα θεοῖο χόλον. γαμεταὶ κοῦραί θ' ὑπάκουσαν·
ἱστοὺς δ' ἄρ ταλάρους τ' ἠδ' ἔργ' ἀτέλεστ' ἀπέθεντο,
καὶ ἄγον οἱ θύεα, βρόμιον λύσιόν τε καλεῦσαι,
πυριγενῆ, δίγονον, μοῦνόν τε διμήτορα Βάκχον.
Πρὸς δ' ἔτι μιν νυσῆα, θυωνέα τ' αὖον ἄκαρτον,
ληναῖόν τε Θεὸν φρενοτερπέα, ἀμπελοφύτην,
νυκτέλιόν τ' ἰδ' Ἴακχον, ἰδ' εὐΐον, αὐξίδιόν τε
καὶ ὅσσας, Διόνυσε, παρ' ἔθνεσιν Ἑλλάδος ἄλλας
εἴληχας κλήσεις· σὴ γάρ θ' ἥβη ἀμάραντος·
αἴδιος σὺ παῖς· κάλλιστος δ' αὖτ' ἐν Ὀλύμπῳ
φαίνεαι ὑψιτάτῳ· κεράων δ' ὅτ' ἄτερθε πάρεσσι,
εἴκελος εἰς κούρῃ· δέδμηται πᾶσά σοι Ἠὼς
ἔς τ' Ἰνδοὺς μέλανας, ὅθι περ Γάγγης χθόνα τέγγει.
Πενθέα σὺ κτείνεις, βουπληγοφόρον τε Λυκοῦργον,
δυσσεβέας, πάνσεμνε, καὶ εἰς ἅλα σώματα βάλλεις
Τυρσηνῶν· σὺ δέρης ἐποχεῖαι στικτοχαλίνων

λυγκῶν συζυγέων. Σάτυροι δ' ἅμ' ἕποντ' ἰδὲ Βάκχαι,
οἰνοβαρής τε γέρων, νάρθηκι κλονούμεν' ἐρείδων
γυῖα, ὄνῳ κυφῷ ἐποχούμενος οὔ τι βεβαίως·
Ὁππόσε κεν βήῃς, ἀνδρῶν βοὴ ἠδὲ γυναικῶν
ὄρνυται, ἠδὲ χέρεσσι κροτούμενα τύμπανα πάντῃ
κύμβαλά τ', ἠδ' εὔτρητος ἐπηχεῖ πύξινος αὐλός·
πρηΰς, λίσσονταί σ' Ἰσμηνίδες, ἄμμι παρείης!
ἱρὰ σά τ' ἀμφιέπουσι· μόναι Μινυηΐδες οἶκοι
ἔργοις ἰσχανόωσιν ἑορτάς, Εὔϊτ, ἀκαίροις,
ἢ ἔρια γνάπτουσαι, ἢ ἀντίχερι κλώθουσαι,
ἢ ἱστουργεῦσαι καὶ ἐπείγουσαι θεραπαίνας·
τῶν δέ τις ἀντίχερι μίτον ἕλκουσ' εὐδινήτῳ,
ἔννεπεν· ὄφρ' ἄλλαι ἐλινύουσαι τελέουσιν
ἱρὰ ψευδέα, δεῦτ' ἄγετ' ἄμμες, τάς περ Ἀθήνη,
κρείσσων δὴ κείνοιο θεοῦ θεά, ἐνθάδ' ἐρύκει,
ποικίλα μυθολογεῦσαι ἐλαφρὸν θείομεν ἔργον
χειρῶν· εἴτι δ' ἔχει μῆκος χρόνου ἄμμι βραχῦναι,
δεῦτ' ἄγετ' ἀλλήλων κενεῆς παρέχωμεν ἀκουῆς.
ᾔνησαν μῦθον· πρώτην δ' ἐκέλευον ἀδελφὰς
κείνην μυθεῖσθαι· ἡ δ' ἐκ πολλῶν ὅ,τι εἴποι,
φράζετο· ᾔειδη γὰρ ἐνὶ φρεσὶ πολλὰ μάλ' ᾖσι·
δίζε δ' ἄρ', εἰ περὶ σεῦ εἴποι, βαβυλώνιον ἔρνος,
Δερκέτι, τὴν Συρίη πιστεύει εἶδος ἀμεῖψαι
καὶ λεπίδεσσι δέμας κατάφρακτον τέλματα δύνειν,
ἢ ὡς σὴ πτερύγεσσι πυκασθεῖσ' ἔκτοθε κούρη
ὑστάτη ἐν λευκοῖσι διήνυσεν ἤματα πύργοις,
ἢ ὡς δὴ βοτανῶν δεινῷ σθένει ἠδ' ἐπαοιδῇ
ἔλλοπας εἰς ἰχθῦς Ναῒς νέα σώματ' ἔτρεψεν,
ὄφρ' ἔπαθον καὶ αὐτὴ ὁμοῖα, ἢ ὡς μόρα δένδρον
λευκὰ φέρον πρίν, νῦν μέλανα τρέφει, αἵματι χρανθέν.
οὗτος ἑήνδανε μῦθος, ὃν οὐκ ἔκπυστον ἐόντα
ἤρξατο ὧδ' ἐνέπειν· τὸ δ' ἄρ' εἴριον εἵπετο νήτρῳ.

Μία τῶν Μαινάδων (ἡ Ἀρσινόη ἢ Ἀριστίππη) τὸν Πυράμου καὶ Θίσϐης ἔρωτα πρώτη διέξεισι. Πύραμος, φησί, καὶ Θίσϐη ἐν Βαϐυλῶνι, δεινῷ ἀλλήλων ἔρωτι κατεχόμενοι, συνελθεῖν εἰς γάμον κωλύονται ὑπὸ τῶν γονέων. Συντίθενται οὖν ἀμφότεροι ἔξω τῆς πόλεως εἰς τὸ τοῦ Νίνου μνημεῖον παραγενέσθαι νυκτός· καὶ προτέρα μὲν ἐκεῖσε ἡ Θίσϐη ἀφικομένη, ἄρκτῳ περιτυχοῦσα, φεύγει· αὕτη δὲ τὸ φᾶρος τῆς παρθένου τῶν ὤμων ἀπολισθῆσαν τοῖς ὀδοῦσι δακοῦσα καθαιμάσσει· δεύτερος δ' ὁ Πύραμος ἐπὶ τὸν συγκείμενον τόπον ἐλθὼν καὶ ἅμα μὲν τὰ τοῦ θηρὸς ἴχνη, ἅμα δὲ τὸ αἱματόφυρτον φᾶρος ἰδών, τὴν Θίσϐην ἀπολωλέναι τοπάσας, ἑαυτὸν ἀποκτείνει· ἡ δὲ Θίσϐη ἐπανελθοῦσα καὶ νεκρὸν θεασαμένη τὸν ἐραστήν, τῷ αὐτῷ ξίφει ἑαυτὴν διαχρῆται. Τῷ οὖν αἵματι τῶν ἐραστῶν ἡ ἐγγὺς μορέα ποτισθεῖσα αἱμόχροουν ἐξ ἐκείνου τὸν καρπὸν φέρει.

Πύραμος εἶδος ἄριστος ἐν ἠϊθέοις ἰδέ Θίσϐη
κουράων πασέων προφερεστάτη, ἃς ἔχεν Ἠώς,
ἐν πόλει, ἣν πλίνθοισι Σεμίραμις, ὡς φάτις, ὀπτῆς
τείχισεν αἰπεινήν, ὁμότοιχά ποτ' οἰκί' ἔναιον.
Πρῶτον γειτονίη ἀλλήλοις γνώρισ' ἐκείνους,
ηὖξε δ' ἔρωτα χρόνος· καί κε σφε συνῆψ' Ὑμέναιος,
ἀλλὰ τοκῆες ἔρυξαν· ὅ δ' οὐ σθένον οὔτοι ἐρύξαι,
ἄμφω ὁμῷ κάτοχοι πόθῳ ἔνδοθι κῆρ ἐφλέγοντο.
οὔσφι συνίστωρ ἦν τις· ἔφραζον νεύμασι πάντα·
πῦρ δὲ καλυπτόμενον φλέγεν αἰεὶ ἔνδοθι μᾶλλον.
Σχίσμα τι λεπτὸν ἔχεσκε δυοῖν μελάθροιν μεσότοιχος,
ἧκα ῥαγεὶς τὸ πάροιθεν, ὅτ' οἰκοδόμοι μιν ἔτευχον.
οὔτις ἐκεῖνο χρόνου διὰ μακροῦ ῥῆγμα νόησεν.
ἀλλὰ τί λήθει ἔρωτα; ἐρασταί, κεῖν' ἐφράσασθε
θήκατέ τ' αὐδῆς οἶμον· ἀκινδύνως διὰ ῥωγμῆς
πέμπεσθ' εἰώθει ψιθυρίσματα κωτίλ' ἐρώντων·
κεῖθι θάμ' ἔνθεν Θίσϐη ἰδ' ἔνθεν Πύραμος ἔστη·
ἀλλήλων δ' ἠδεῖαν ἀναπνείοντες ἀϋτμὴν
ηὔδων "βάσκανε τοῖχε, τί δὴ σὺ ποθεῦντας ἐέργεις;
» ποσσίχον ἦν κε δόμεν σε ὅλῳ χροῒ ἄμμε συνελθεῖν,
» εἰδ' ἄρα τοῦτο μέγ', ἄμμι χανεῖν γοῦν, ὥστε φιλῆσαι;
» οὐδ' ἀχαριστοῦμεν· πολλὴν δ' ἄμφω χάριν ἴδμεν,

» οὕνεκεν οἶμον ἔπεσσεν ἐς οὔατα φίλτατ' ὀπάζεις.
Τοί' ἐπεὶ ηὐδάξαντο μάτην ἑκάτερθεν ἐρασταί,
ἀκροκνεφεῖς φάν· χαῖρε· δόσαν δὲ φιλήματα τοίχῳ
ἀμφότεροι ἑκάτερθ' οὐκ ἐς τὸ πέραν διϊόντα.
πυρσοὺς δ' εὖτ' Ἠὼς νυχίους ἀπέλασσε φανεῖσα
καὶ ἔρσην βοτανῶν τέρσην' ἀκτίνεσι Φοῖβος,
ἦλθον ἐς ἠθάδιον χῶρον πάλιν· ἧκα δὲ πρῶτον
πολλὰ σχετλιάσαντες ἐβουλεύσαντο κρυφηδὸν
ἐξίμεναι θυρέων φύλακας διὰ νύκτα λαθόντες,
ἔκ τε δόμων βάντες προλιπεῖν ταχὺ ἄστεος ἕρκος,
ὄφρα δὲ μὴ πλάζοιντο κατ' ἀγροὺς ἔνθα καὶ ἔνθα,
ἐς τύμβον Νίνοιο συνίμμεναι ἠδὲ κρυβῆναι
δένδρου ὑπὸ σκιῇ· ἣν μορέῃ λευκοῖσιν ἐκεῖθι
βεβριθυῖα μόροις ψυχρῆς μάλα πίδακος ἄγχι·
Εὔαδε συνθεσίῃ· φέγγος δὲ βραδύ σφι δοκῆσαν
ὕδαθ' ἁλὸς κατέδυ, νὺξ δ' ἐξ ὑδάτων ἀνόρουσε.
κερδαλέη Θίσβη θαιροὺς στρέψασα δι' ὄρφνης
ἐξέβη ἧκα λαθοῦσα· καλυψαμένη δὲ πρόσωπον
ἷξε τάφον καὶ κεῖθ' ὑπὸ δενδρέῳ ἕζετο ῥητῷ·
θάρσυνέν μιν ἔρως. Ἠνὶ γνάθον ἔρχεται αἴφνης
αἱμοφόρυκτον ἔχουσα βοῶν φόνῳ ἔνθα λέαινα
δίψαν ἀκεσσομένη ἀγχιῤῥόου ὕδατι πηγῆς.
τὴν δ' ἕκαθεν Μήνης βαβυλωνίῃ ἔδραχ' ὑπ' αἴγλῃ
Θίσβη, καὶ δνοφερὸν φύγ' ὑπὸ σπεῖος τρομέουσα,
ἐν δὲ φυγῇ νώτων ἀπολισθὸν κάλλιπε φᾶρος.
δίψαν ἐπεὶ δὲ λέαιν' ἠκέσσατο νάματι πολλῷ,
ἔνθεν ἀποστείχουσ' εἰς ὕλας, φάρεϊ λεπτῷ
κῦρσε μόνῳ καὶ ὀδοῦσι φόνον στάζουσι λάκισσεν.
ὕστερος ἐξελθὼν θηρὸς ἴδεν ἀτρέκε' ἴχνη
ἐν βαθέῃ κονίῃ καὶ πᾶν ὤχρησε πρόσωπον
Πύραμος· ὡς δὲ καὶ εἷμα πεφυρμένον αἵματι κεῖθι
ἔδρακ', ἔειπε „ δύ' ἠδ' ἅμα νὺξ διολέσσει ἐραστάς,

τῶν περ ἐπάξιος ἦν δολιχοῦ κείνη βιότοιο.
αἴτιός εἰμ' ἐγώ· ἢ σ' αὐτὸς κτάνον, ὦ κακόποτμε,
ὃς φοβερὸν χῶρόν σ' ἐλθεῖν διὰ νύκτα κέλευσα,
οὐδ' ἦλθον πρότερος· τὸ δ' ἐμεῖο δαΐξατε σῶμα
καὶ δάκνοντες δάψατ' ἀλιτροῦ ἔγκατ' ὀδοῦσιν,
ὦ λείοντες, ὅσοι γ' ὑπὸ ταύτῃ ναίετε πέτρῃ·
ἀλλ' εὔχεσθ' οἶτον δειλοῦ πέλει „ ἔννεπ'· ἰδ' ἔσθος
γῆθεν ἑλὼν Θίσβης ὑπὸ ῥητὸν δένδρον ἔνεικε·
δάκρυ' ἐπεὶ δ' ἄρ' ἔδωκε φιλήματά τ' ἐσθεῖ κείνῳ,
ἔννεπε· " δέξαι καὶ πόμ' ἐμοῦ νῦν αἵματος αὐτοῦ „
ὃν δ' ἔζωστο σίδηρον ἐς ἔγκατ' ἔωσεν ἐρείσας,
αὐτίκα τε θνήσκων ὠτειλῆς ἔξελε θερμῆς·
αἷμα δ' ἀνηκόντιζε χαμαὶ τετανυσμένου οὕτως,
ὡς ὅτε τις ῥάγῃ αὐλός ἄφαρ μολίβοιο βλαβέντος,
συρίζων δ' ἄρ' ὕδωρ δι' ὀπῆς ἑκὰς ἐξαφίησι
λεπταλέον, τοῦ περ τε βολῆς χυτὸν ἠέρα τέμνει.
αἵματι ῥανθέντες καρποὶ δένδρου μετέχρωσθεν
εἰς μέλανας, καὶ ῥίζα διανθεῖσ' ἔνδοθι λύθρῳ
πορφυρέῃ δεῦσεν μόρα χροιῇ ἐκκρέμε' ὄζων·
Ἠνίδε, μὴ ἀπάφῃ δείδουσ' ἔτι κείνη ἐραστήν,
κεῖσ' ἐπάνεισι· φίλον δ' ὄσσοις φρεσσίν τε ματεύει,
κινδύνους ποθέουσ', ὅσσους ἤλυξεν, ἐνισπεῖν.
ὡς δ' ἴδε χῶρον ἰδ' ἀλλοίην τόθι δένδρεος ὄψιν,
δίζε μόρων χροιῆς ἕνεκ' εἴ ῥ' ἐτεῇ ἔπλε κεῖνο.
ὄφρα δὲ δίζεν, ἄφνω σπαίροντ' ἴδε γυῖα καὶ οὖδας
αἱματόεν πλήσσοντα· ἐχάσσατο δ' αὐτίκ' ἰδ' ὦπα
ὠχροτέρη πύξου ἔφριξ' ὅλη, ὥς τε θάλασσα
φρίσσει, ὅθ' ὕδει ἄκρῳ θίγε λεπτὴ ποντιὰς αὔρα.
ὡς δ' ἄρ' ἑόν, τυτθὸν τότ' ἐπισχοῦσ', ἔγνω ἐραστήν,
τύψασα πλατάγησεν ἑὰς χέρας, ἃς ἀπεῴκει·
τιλλομένη δὲ κόμην καὶ σῶμα φίλον περιφῦσα
δάκρυ' ἔμιξε λύθρῳ, δακρύων θ' ἑὸ τραύματ' ἔπλησε·

χείλεσι δὲ ψυχρὸν φθιμένου φιλέουσα πρόσωπον
ἔκραγεν· “ ὤμοι! τίς σὲ μ’ ἀφείλετο, Πύραμε, αἶσα;
» Πύραμ’, ἔπεσσί μ’ ἄμειψαι· ἴδ’, ὦ φίλε, σή σε κικλήσκει
» Θίσβη. κέκλυθί μευ καὶ ὀπωπὴν σὴν ἐπάειρον „
Πύραμος ὄσσε μόρῳ βεβαρημένω, οὔνομ’ ἀκούσας
Θίσβης, ἦκ’ ὤϊξεν, ἰδὼν δέ μιν αὖ ἐκάλυψεν·
ἥ δ’ ἐπεὶ εἶμα ἑὸν κολεόν τ’ ἐλεφάντινον ἔγνω
φάσγανον οὐκέτ’ ἔχοντα, τοῖ’ ἔκφατο. “ δύσμορε, χείρ σε
» ὤλεσε σὴ καὶ ἔρως· καὶ ἐμοὶ σθένει ἐς τόδε μοῦνον
» χείρ· καὶ ἔρως ἔσθ’, ὅς τ’ ἰσχὺν ἐπὶ τραύματ’ ὀπάσσει.
» ἕψομ’ ἀποιχομένῳ· τεοῦ αἰτίη ἔσσομαι οἴτου
» καὶ συνοδῖτις· ἐμεῦ δ’ ὃν ἀποσπάσαι ἔσθενε μοῦνος
» πότμος, τόν δ’ οὐδ’ οὗτος ἀποτμήξει ποτ’ ἐπελθών·
» τὴν δ’ εὐχὴν μούνην ἀμφοῖν ἐπακούσατε νῶϊν,
» ὦ λίην δύστηνοι ἐκείνου ἐμοί τε τοκῆες,
» οὓς μακρὸς δ’ ἔζευξ’ ἔρος ἠδ’ ὁμὸς ἐνθάδε πότμος,
» μή σφιν ὁμοῖο τάφοιο μεγήραιτ’ αὖθι κυρῆσαι·
» καὶ σὺ δὲ δένδρον, ὃ νῦν δὴ κείνου σῶμα καλύπτεις
» μούνου ὑπ’ ἀκρεμόνεσσι καὶ αὐτίκα δοιὰ καλύψεις,
» σῆμα φόνοιο φέρον, ὀρφνὸν φύε καρπὸν ἐσαιέν,
» οἷος πένθει ἄρηρε, φονῆς μνῆμ’ ἀνδράσι δισσῆς. „
φῆ· καὶ ὑπὸ πρυμνὸν στῆθος στόμα θεῖσα μαχαίρης,
σῶμ’ ἐπέρεισε σιδήρῳ ὑπαὶ φόνου εἰσέτι θερμῷ.
ἀλλ’ εὐχῶν κούρης θεοὶ ἔκλυον ἠδὲ τοκῆες·
χροιὴ γάρ τε μόρων πεφθέντων ἐστὶ μέλαινα,
ἔκ τε πυρῆς ἃ λέλειπται, ὁμῇ ἐνὶ κάλπιδι κεῖται.

Δευτέρα ἡ Λευκονόη διὰ βραχυτάτων μνημονεύει τὴν τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης κλεψιγαμίαν, οὓς ὁ Ἥφαιστος ἐπ’ αὐτοφόρῳ συγκοιμωμένους κατέλαβε, βρόχοις καὶ δικτύοις ἀοράτοις ἀμφοτέρους ἐν τῇ κοίτῃ περιβαλών. Χαλεπήνασα δ’ ἡ θεὰ Ἀπόλλωνι τῷ μηνύσαντι, ἐτιμωρήσατο αὐτὸν βέλεσι τοῦ υἱοῦ. Πρῶτον οὖν τῶν τοῦ Ἡλίου ἐρώτων ἡ Λευκονόη τὸν πρὸς Λευκοθόην τὴν τῶν Περσῶν βασιλίδα μυθολογεῖ, ὃν Κλυτία ἡ ἀντεράστρια ζηλοτυποῦσα τῷ ἐκείνης πατρὶ Ὀρχάμῳ ἐμήνυσε.

Τούτου δὲ τὴν κόρην κατορύξαντος ζῶσαν, ὁ Ἀπόλλων αὐτὴν εἰς λίβανον τὸ δένδρον μετέβαλε.

Παύσατο καὶ διάλειμμ' ὀλίγον γένετ'· ἤρξατο δ' εἶτα
Λευκονόη ἐνέπειν· σιγῇ δ' ἤκουον ἀδελφαί.
“ Καὶ τόν δ', ὃς διέπει πάντ' αὐγῇς αἰθερίῃσιν.
» ἥλιον εἷλεν ἔρως· Φοίβου μυθήσομ' ἔρωτας·
» τοῦτόν φασι πάλαι Παφίης ἰδέειν σὺν Ἄρηϊ
» μοιχοσύνην πρῶτον· λεύσσει γὰρ πάνθ' ἔγε πρῶτος·
» ἤλγησ' οὖν ἐπὶ τῷ, καὶ ἀκοίτῃ, υἱέϊ Ἥρης,
» φῆνε γαμοκλοπίην ἰδὲ χῶρον· τοῦ δ' ἐλύθη κῆρ,
» ἔργα δέ θ', ὅσσα σιδηροκόπος τότε δεξιὴ ἴσχεν,
» ἔκπεσε· λεπτὰς δ' αἶψα πέδας ἤρτυνε σιδήρου,
» δίκτυά τ' ἠδὲ βρόχους, οἵ' ὀφθαλμοὺς ἀπαφίσκει.
» κρείσσονες οὔ κε γένοιντ' ἔργου κείνου διάλεπτοι
» στήμονες, οὐδὲ δοκοῦ ἐξημμέν' ἀράχνι' ὕπερθε·
» πάντα δὲ βαιῇ ἔτευξ' ἐπιπειθέα θίξει ἰδ' ὤσει
» χειρῶν, ἀμφὶ τ' ἔχευεν ἁπάντῃ εὖ μάλα λέκτρῳ.
» ὡς δ' ἄρ' ὁμοῦ μοιχός τ' ἄλοχός τ' ἐπὶ δέμνι' ἔβησαν,
» τεχνοσύνῃ πόσιος καὶ καινοτέροισι βρόχοισιν
» ἔσχεθεν ἐν μέσσοις ἄμφω ἔργοις φιλότητος.
» Λήμνιος ἀμπετάσας δ' ἐλεφάντινα ῥίμφα θύρετρα,
» εἰσεπόρευσε θεούς· κεῖνοι δ' αἰσχρῶς πεπέδηντο
» ἐν λέκτρῳ. ἱλαρῶν δὲ θεῶν τις ὁμοίῳ ἐν αἴσχει
» ηὔξατο κεῖσθ'· ἄλλοι δ' ἐγέλασσαν· δηθὰ δὲ μῦθος
» πάντα κατ' οὐρανὸν οὗτος ἔην διάπυστος.
» Τίσσατο ἡ Κυθέρεια καταγγελίην μετόπισθε·
» κεῖνον δ', ὃς τότε οἱ κρυφίους ἤλγυνεν ἔρωτας,
» σίναθ' ὁμοίῳ ἔρωτι· τί δή, Ὑπερίονος υἱέ,
» ὤνησέν σε τότ' εἶδος ἢ εἵλη ἢ ἔκχυτος αἴγλη;
» ὃς χθόνα σῷ φλεγέθεις πᾶσαν πυρί, δὴ πυρὶ καινῷ
» αἴθεο· ὃς δ' ὁράαν εἰν αἰθέρι πάντα τέταξαι,
» Λευκοθόην λεῦσσες καὶ τῇ δ' ἐπὶ κούρῃ ἔρειδες

» Κόσμῳ ὀφειλόμενον τεὸν ὄμμ'· ὅτε μὲν ῥ ἀνέτελλες
» πρωΐτερον, βράδιον δὲ καθ' ὕδωρ ἄλλοτ' ἔδυνες·
» δὴν δ' ἐσορῶν κείνην μήκυνες χείματος ὥρας·
» ἔσθ' ὅτε δ' αὖ πάθεος σῆς αὐγῆς ἁψαμένοιο
» φθῖνες, ἰδ' ἐπτοίεις ζόφῳ ἀνδρῶν ἔμφοβον ἦτορ·
» ὠχρίαες δ' οὐχ ὅττι Σελήνη σ' ἔγγιον αἴης
» κινυμένη ἐκάλυπτ', ἀλλ' ὠχρὸν ἔρως ἐτίθει σε.
» κείνης δὴ ἤρας· οὐδ' ἄρ Ῥόδος ἢ Κλυμένη σε,
» ἠὲ καλὴ Κίρκης ἔχεν Αἰαίης γενέτειρα,
» ἢ Κλυτίη, ἣ σὴν καὶ ἀτιζομένη ποθέεσκεν
» εὐνήν, τῆμος δ' ἔνδον ἐτείρετο τραύματι λυγρῷ.
»   Λευκοθόη λήθην πολέων ποίησε γυναικῶν,
» τὴν ἄρα θυοφόρου καλλίστη ἐγείνατο φύτλης
» Εὐρυνόμη· κούρη δ' ὑπερέσχεθ' ἀεξηθεῖσα
» μητέρα κάλλεϊ τόσσον, ὅσον πάσας γενέτειρα·
» τῆς δὲ πατὴρ ἤνασσεν ἀχαιμενίῃς πτολίεσσιν
» Ὄρχαμος, ὃς γενεὴν ἀπὸ Βήλου ἕβδομος ἦεν·
» Ἔστιν ὑφ' ἑσπερίῃ περάτῃ νέμος ἠλίου ἵππων·
» ἀντὶ χλόης δ' ἔστ' ἀμβροσίη, ἣ δή σφι καμόντα
» γυῖα μεθημερίοισι πόνοις τρέφει ἠδ' ἀναπαύει·
» ὄφρ' οὖν οὐρανίην ἔνθ' ἤσθιον ἵπποι ἐδωδήν,
» νύξ τ' ἐτέλει ἑὸν ἔργον, ἐσῆλθε φίλον θεὸς οἶκον,
» εἶδος ἑὸν τρέψας εἰς Εὐρυνόμην γενέτειραν·
» ἐν δμωῇς δὲ δὶς ἓξ ὑπὸ λύχνῳ νήματα λεπτὰ
» ἔδρακε Λευκοθόην στρεπτῇ νήθουσαν ἀτράκτῳ.
» Ὡς δ' ἄρ' ἔκυσσε φίλην τόθι κούρην ἠΰτε μήτηρ·
» " κρυπτὸν ἐρῶ τι, ἔειπεν· ἀπόστητ', ὦ θεράπαιναι,
» μηδ' ἄρ' ἐῇ ἐνέπειν κρύφι' εἴργετε μητέρα κούρῃ. „
» αἳ δ' ἐπίθοντο· θεὸς δ', ὅτε μάρτυρες ἔκλιπον οἶκον,
» "κεῖνος ἐγώ, φάτο, ὃς δολιχὸν μετρέει ἐνιαυτόν,
» ὃς δὴ πάνθ' ὁράᾳ, δι' ὃν θ' ἅμα πάνθ' ὁράᾳ χθών,
» Κόσμου ὄμμα· φιλεῦντα δέ σ' ἴσθι με „ ἣ δ' ἄρ' ἔδεισε,

» καὶ δέει ἠλακάτη καὶ νῆτρον οἱ ἔκπεσε χειρῶν.
» Κούρῃ καὶ δέος ἔπρεπ'· ἀμελλήτως δ' ἄρ' ἐκεῖνος
» εἰς ἑτεὴν μορφὴν ἐπανήλυθε καὶ ἐθάδ' αἴγλην·
» καί περ δ' ἔμφοβος οὖσ' ἀδοκήτῳ κούρῃ ἐπ' ὄψει,
» εἶξε θεοῦ κάλλει καὶ ἄδηριν ἔτλη φιλότητα.
» ἐφθόνει οἱ Κλυτίη (τὴν γὰρ μεγάλως φιλέεσκεν
» Ἠέλιος τὸ πάρος·) περὶ δ' ἄρ κούρῃ κοτέουσα
» αἶψα γαμοκλοπίην διαφημίξασα τοκῆϊ
» φῆνεν· ὃ δ' ὠμόφρων κείνην κατόρυξ' ὑπὸ γαῖαν
» λισσομένην, χεῖράς τε πεταννῦσαν ποτὶ Φοῖβον
» φθεγγομένην θ'· " οὗτός μ' ἐβιήσατο καὶ ἀέκουσαν· „
» χῶμα δ' ἔπειτα τάφῳ ψάμμου ἐπέχευε βαρείης.
» τὸν δ' ἀκτῖσι κέδασσ' Ὑπερίονος υἱὸς ὁδόν τε
» ᾤϊξ', ὄφρα πρόσωπον ὑπὲκ χθονὸς αὖθις ἀείρῃς,
» νύμφη· ἀλλ' οὐδ' ὣς πνιγένθ' ὑπὸ βρίθεϊ γαίης
» κρᾶτα δυνάσθης στῆσαι, ἄπνους δὲ νέκυς κατέκεισο·
» ἵππων δ' ἡνίοχος πτηνῶν λέγετ' ἄλγιον οὐδὲν
» τούτου εἰσιδέειν μετὰ πυρκαϊὴν Φαέθοντος.
» Ἦ δὴ ὅγ' ἀκτῖσι ζωθαλπέσιν ἔμπαλι γυῖα
» ψύχρ' ἀναθερμῆναι πειρήσατο, εἴγ' ἐνέην οἱ·
» ἀλλ' ἐπεὶ αἶσα κακὴ σπουδῇ ἀνθίστατο τόσσῃ,
» σῶμα νεκρὸν χῶρόν τ' εὐόδμῳ νέκταρι ῥᾶνε·
» πολλὰ δ' ὀδυράμενος " ἔμπης, ἔφατ', αἰθέρι κύρσεις· „
» αὐτίκα δ' οὐρανίῳ τότε νέκταρι σῶμα διανθὲν
» ἐξετάκη, καὶ κύκλῳ ἑῇ πέδον ὀδμῇ ἔδευσεν·
» εἶτα καθὲν ῥίζας διὰ βώλων ἦκα θυῶδες
» ἐξανέτειλ' ἔρνος καὶ ῥῆξεν χῶμα καρήνῳ.

Τοῖς εἰρημένοις ἡ Λευκονόη προστίθησιν, ὅτι ἡ Κλυτία ὑπὸ τοῦ Ἀπόλλωνος ὀλιγωρηθεῖσα ἐτήκετο ἐπ' ἀνίας· ἄσιτος δὲ καὶ ἄποτος κατὰ γῆς κειμένη καὶ τοὺς ὀφθαλμοὺς ἀεὶ πρὸς τὸν ἥλιον τρέπουσα εἰς ἡλιοτρόπιον μετεβλήθη.

» Εἰ καὶ ἔρως ὀδύνην, ὀδύνη δ' ἐτίθει συγγνωστὴν
» μήνυσιν Κλυτίῃ, θεὸς ἔμπης οὐκέτ' ἔπλητο

» φωσφόρος, ἀλλ᾽ αἰὲν φιλότητος ἀπέσχετο κούρης.
» Ἔκφρων οὖν ὑπ᾽ ἔρωτος ἐτήκετο ἔκτοτ᾽ ἐκείνη,
» νύμφας φεύγουσ᾽· ἧστο δ᾽ ὑπαίθριος ἤματα πάντα
« καὶ νύκτας γυμνή, γυμνάς τ᾽ ἀκόμιστος ἐθείρας·
» ἐννῆμαρ δ᾽ ἄρ᾽ ἄγευστος ἐδητύος ἠδὲ ποτῆτος
» πείνην μούνῃ ἐέρσῃ ἑοῖς τε δάκρυσσιν ἐπίμπλη·
» κεῖτο δ᾽ ἐπ᾽ οὔδει ἀεί· μούνην δ᾽ ἄρα δέρκετ᾽ ἰόντος
» ὦπα θεοῖο, πρόσωπον ἀεὶ τρωπῶσ᾽ ἐς ἐκεῖνον.
» Γυῖ᾽ οὖν φασι πέδῳ ἐμφῦναι· καί τι μὲν ὠχρῆς
» χροιῆς ἐς βοτάνης μετέφυ οἱ εἶδος ἀναίμου·
» μίμνε δὲ καί τι ἔρευθος· ἴῳ δ᾽ ἐκάλυψεν ὁμοῖον
» ἄνθος ὀπωπήν· ἣ δὲ πρὸς ἥλιον, ἰσχομένη περ
» νῦν ῥίζῃς, τρέπεται καὶ τὸν πρὶν ἔρωτα φυλάσσει·„
» ἔννεπε· θαυμαστῷ δὲ συνήρπαστ᾽ οὔατα μύθῳ·
» αἳ μὲν ἄπιστον ἔφαν τοῦτ᾽ ἔμμεναι· αἳ δ᾽ ἄρ᾽ ἀληθεῖς
» πάντα δύνασθαι θεούς, ἀλλ᾽ οὐ θεὸν ἔμμεν Ἴακχον.

Τὴν Λευκονόην ἐκδεξαμένη ἡ Ἀλκιθόη τὸν τῆς νύμφης Σαλμακίδος καὶ τοῦ Ἑρμαφροδίτου διηγεῖται μῦθον· τούτου γὰρ ἐξ Ἑρμοῦ καὶ Ἀφροδίτης θαυμαστοῦ γεγονότος τὸ κάλλος καὶ ἐπὶ τὴν ὁμώνυμον τῇ νύμφῃ πηγὴν ἐλθόντος ἐπιμανῶς ἐρασθεῖσα ἐκείνη, ἐνέκειτο ἀναινομένῳ τὸν ἔρωτα· ὁ δὲ φεύγων τὴν ἐγκειμένην καὶ ἐνοχλοῦσαν εἰς τὸ τῆς πηγῆς εἰσήλατο ὕδωρ· ἐπεισπηδήσασα δὲ κἀκείνη ἀναποσπάστως περιεπλέχθη τῷ ἐρωμένῳ καὶ ηὔξατο τοῖς θεοῖς μηκέτι διαστῆσαι αὐτοὺς ἀπ᾽ ἀλλήλων. Τὰ οὖν δύο σώματα εἰς ἓν συνέφυ μεμιγμένην ἔχον τῇ θηλείᾳ τὴν ἄῤῥενα φύσιν.

Σίγησαν κάσιες καί τ᾽ Ἀλκιθόην ἐκέλευον
μυθεῖσθ᾽· ἣ δ᾽ ὀρθοῖο δ᾽ ἱστοῦ κερκίδ᾽ ἱεῖσα
ἔκφατο· “σιγῶ ἔρωτ᾽ ἀρίδηλον μηλοβοτῆρος
» Δάφνιδος Ἰδαίου, τὸν χωσαμένη δι᾽ ἑταίρην
» λᾶαν νύμφη ἔθηκε· τόσον φλέγει ἄλγος ἐρῶντας·
» οὐκ ἐρῶ, ὡς καινῷ φύσιος νόμῳ ἀμφίβολος πρὶν
» φῦ Σίθων· ὁτὲ μέν τ᾽ ἄρσην, ἀτὰρ ἄλλοτε θῆλυς.
» Καὶ σὲ δέ, νῦν ἀδάμα, τυτθοῦ δὲ Διός ποθ᾽ ἑταῖρε

» Κέλμι, καὶ ἐξ ὄμβρου Κουρῆτας φύντας ἐνόπλους,
» Σμίλακά τ' εἰς ἄνθος μεταβληθεῖσαν παρίημι
» σὺν Κρόκῳ· ὑμετέρην καινῷ μύθῳ φρένα τέρψω.
» Δυσκλείην ὅθεν ἔσχεν, ὅτευ θ' ἕνεχ' ὕδασι βληχροῖς
» Σαλμακὶς ἐκνευροῖ ἀνδρήϊα γυῖα θιγόντα,
» κλῦτε· λέληθ' ἀρχή· δήλη δ' ἴς πίδακός ἐστιν.
» Ἑρμείαο γόνον, τὸν ἐγείνατό οἱ Κυθέρεια,
» Νηΐδες ἰδαίοις πάρος ἐξέθρεψαν ἐν ἄντροις·
» τοῖον ἔην οἱ εἶδος, ὁποίῳ μητέρα κ' ἔγνως
» καὶ γενετῆρα ἔθεν· ἔσχεν δ' ὃ καὶ οὔνομ' ἀπ' ἀμφοῖν·
» ἦμος δὲ τρὶς πέντ' ἔτε' ἤνυσεν, οὔρεα πάτρης
» ἔκλιπε· καί ῥ' Ἴδην νοσφισσάμενος θρέπτειραν,
» ἀγνώτους χώρας ἐπαλώμενος ἠδὲ ῥέεθρα
» τέρπεθ' ὁρῶν ἄγνωτα· πόνον δὲ πόθος μινύθεσκεν·
» ἵκετο καὶ λυκίας πόλιας κεῖνος, Λυκίης τε
» ἀγχούρους Κᾶρας, καὶ λίμνης ἔδρακε φαιδρὸν
» πυθμένος ἄχρις ὕδωρ· οὐ δοῦναξ κεῖθι πεφύκει,
» οὔτ' ἄρ' ἄκαρπος φλοῦς, οὔτ' ὀξύσχοινος ἕλειος·
» νᾶμα διειδὲς ἔην· λίμνης μὴν ἐστέφετ' ὄχθη
» ποίῃ τε χλοερῇ καὶ ἀειθαλέσιν βοτάνῃσιν·
» ἐνθάδε νύμφη ἔναι', ἀλλ' οὔτ' ἄγρης ἐπιΐδμων,
» οὔτε βιὸν κάμπτειν, οὔτε δρόμῳ ἠθὰς ἐρίζειν,
» μούνη Νηϊάδων Φοίβῃ ἀγνὼς ταχυγούνῳ·
» πολλάκι δὴ κάσιας τοί' ἐκείνῃ φασὶν ἐνισπεῖν·
“ Σαλμακί, λάζευ ἄκοντα ἢ αἰολόχρωτα φαρέτρην,
» μίσγε δ' ἀεργίην θήρης καμάτῳ βαρυμόχθου· „
» ἡ δ' οὐ λάζυτ' ἄκοντ' οὔτ' αἰολόχρωτα φαρέτρην,
» οὔτ' ἄρ' ἀεργίην θήρης καμάτοισιν ἔμισγεν·
» ἀλλ' ὁτὲ μὲν κάλ' ἔλουεν ἑῇ ἐνὶ πίδακι γυῖα,
» ἠὲ κυτωραίῳ θαμάκι κτενὶ πείκετ' ἐθείρας·
» μάνθανε δ' ὃ πρέπε οἱ κεῖν' εἰς ὕδωρ ὁρόωσα·
» ἄλλοτε δ' ἔσθος ἔχουσα περὶ χροῒ πάγχυ διαυγὲς

» κεῖτο χαμαὶ μαλακῶν ἐπὶ φύλλων ἢ βοτανάων·
» πολλάκι δ' ἠνθολόγει· τότε δ' οὖν ἔτυχ' ἀνθολογεῦσα,
» εὖτ' ἴδε παῖδ' αἴφνης, ὀφθέντα τ' ἔχειν ἐπόθησεν·
» οὐ μὴν τῷ γε προσῆλθε, προσελθεῖν περ μεμαυῖα,
» πρίν γ' ὅτ' ἐκοσμήθη περί τ' ὄσσοις σκέψατο φᾶρος,
» καὶ συνέθηκ' εὖ ὦπα καὶ ἔνδικ' ἐείσατο καλή·
» Τῆμος δ' ηὔδα τοῖα· "ὦ ἄξιε κοῦρε γενέθλης
» θείης· εἰ θεός ἐσσι, Ἔρως ἔμεναι δοκέεις μοι·
» εἰ δὲ θνητὸς ἔπλευ, τεοὶ ὄλβιοί εἰσι τοκῆες,
» ὄλβιος αὖτε κάσις καὶ ὀλβίη, εἴτις ἀδελφὴ
» ἔστι σοι, ἠδὲ φίλη τροφός, ἥ σοι μαζὸν ἐπέσχε·
» πουλὺ δ' ἐκείνων ἐστὶ μακαρτοτέρη καὶ ἀμείνων,
» εἴ τιν' ἔχεις μνηστήν θεῖναί τ' ἐθέλεις παράκοιτιν·
» εἰ τοίην τιν' ἔχεις, κρυφίη φιλότης μοι ἐφείσθω·
» εἰ δὲ μή, ἀλλ' ἔμ' ἔχοις· παστὸν δ' ὁμὸν εἴσω ἴοιμεν,,
» σίγησεν νηΐς· παιδὸς δ' ἀμύητον ἔρωτος
» φοίνιξ' αἰδὼς ὦπα, ἄεξε δὲ κάλλος ἔρευθος·
» τοῖος ἐληθερέος δένδρου χρὼς ἔπλετο μήλων
» ἢ ἐλέφαντος ἐπιχρώστου κόχλῳ ἠὲ σελήνης,
» εὖτ' ἐρυθαινομένη χαλκοῦ κρότος οὐδὲν ἀρήγει·
» ὡς δὲ φιλήματ' ἀεί μιν ἀδελφικὰ ᾔτεε νύμφη
» καὶ δὴ μαρμαρέην ἐπὶ δειρὴν χεῖρας ἴαλλε,
» "παύσεαι ἠὲ φύγω, κεῖνος φάτο, ἔνθα λιπών σε; ,,
» Νύμφη ἔδεισ' ἰδ' ἔφη· ἠνί, ξένε, χῶρον ἐῶ σοι
» τόν δ' ἀπιοῦσα· τραπεῖσα δ' ἐείσατο νεῖσθαι ἐκεῖθεν,
» καὶ τόθ' ὁρῶσ' ὀπίσω· θάμνων ἐκρύβη δ' ἐνὶ λόχμη,
» γοῦνά τε πρὸς γαῖαν καθέηκεν· ὃ δ', οἷά τε κοῦρος
» ἐν ποίῃ τ' ἀθέητος ἐρήμῃ, ἔνθα καὶ ἔνθα
» ἤϊεν· ἐς δ' ὕδωρ προσκλύζον χείλεσι λίμνης
» ἄκρα ποδοῖϊν ἔθηκε καὶ ἐς σφυρὰ πέλματ' ἔτεγξεν·
» αὐτίκα δ' ἄρ κείνου εὐκρασίῃ ὕδατος ἡσθεὶς
» μαλθάκ' ἀφ' ἁβροχρόοιο χαμαὶ θέτο σώματος ἔσθη.

» Θαύμασε δὴ τῆμος γυμνοῦ τε πόθῳ χροὸς αἶψα
» Σαλμακὶς ἐξεκάη· καὶ δαίετο φάεα νύμφης
» οὕτως, ὡς ὅτ' ἔσοπτρον ὑπ' οὐρανῷ εὐδιόωντι
» ἀντῆεν λαμπροῦ διανακλᾷ εἰκόνα Φοίβου.
» οὐδ' ἔτι δήθυν', οὔτ' ἔθ' ἑῆς φρενὸς ἄμβαλε τέρψιν·
» ἀγκὰς ἑλεῖν ποθέεσκε· μόγις δ' ἄρ' ἔτ' ἴσχετο ἔργου.
» κεῖνος δ' αὖ κοίλῃσι δέμας παλάμῃς πλαταγήσας
» ἥλατο ῥίμφ' ἐς ὕδωρ καὶ ἀμοιβηδὸν χέρ' ἐρέσσων
» νάμασιν ἐν καθαροῖς διαείδετο, ὥς τ' ἐλέφαντος
» εἴδωλ' ἢ κρίνα λευκά, τὰ κρυστάλλῳ κεκάλυπται·
» δὴ νικῶ· ἐμός ἐστι, βόησε· καὶ εἵματα πάντα
» Νηῒς τῆλε βαλοῦσα μέσον τάχ' ἐσήλατο κῦμα,
» μάρψε τ' ἀπωθίζοντα, βίῃ τε φιλήματ' ἔδρεπτε
» καί οἱ ὑπεῖχε χέρας καὶ στήθε' ἄφασσ' ἀέκοντος·
» ἄλλοτε δ' ἄλλῃ παῖδα καλὸν περιχεύετο νύμφη.
» εἶτα δ' ἀμυνόμενον καὶ ἐκφυγέειν μεμαῶτα
» ὡς ὄφις ἀμφεπλάκη, τὸν ἄναξ μάρψας πετεηνῶν
» ὑψόσ' ἄειρεν, ὃ δ' ὑψικρεμὴς κεφαλήν τε πόδας τε
» εἷο πέδησ', οὐρήν τε περὶ πτερύγεσσιν ἕλιξεν,
» ἢ ὡς εἴωθε πρέμνον δολιχὸν περιίσχειν
» κισσός, ἢ ὡς ἐχθρὸν πολύπους ἔχει εἰν ἁλὶ μάρψας,
» πάντοθεν ἐκτανύσας πλοκάμους ὑπὸ κύματι μακρούς·
» Ἀλλά γ' Ἀτλαντιάδης κρατερῶς ἀπαναίνετο τέρψιν
» νύμφῃ ἐελπομένῃ· ἣ δ' ἤπειγ' ἠδ' ἑὸ σῶμα
» πᾶν περιφῦσ' ηὔδα· " οὔτοιμε, σχέτλι', ἀλύξεις
» ἀντιπαλαίων περ· θεοί, τοῦτ' ἐπινεύσατ' ἔμοιγε,
» μηδὲν δ' ἀλλήλων νοσφίσσει' ἄμμε ποτ' ἦμαρ. „
» Τῆς δ' ἔκλυον θεοὶ εὐξαμένης· μιχθέντα γὰρ ἀμφοῖν
» σώμαθ' ὁμοῦ συνέφυ, μορφὴ δὲ μία σφιν ἐτύχθη.
» Ὥς τις ὁρᾷ ὄζους, τῶν τε φλόος εὖ συνάρηρεν,
» ἧκα συναλδήσκοντας ἀεξομένους θ' ὁμοῦ ἄμφω,
» τώς, καὶ ὅτ' ἀμφεπλάκη κρατερῶς μάλα σώματ' ἐκείνων,

» οὐ δύ' ἔτ' ἔσκε, διπλοῦν δ' εἶδος, τό κεν οὐκ ἔμεν εἴποις
» κούρην, οὔτ' αὖ παῖδ', ἀλλ' ἀμφότερ' οὐδέτερόν τε.
» Ὡς οὖν Ἑρμαφρόδιτος ἐπεφράσαθ' ὅττι περ ὕδωρ,
» εἰς ὃ ἀνὴρ ἐσέδυ, ταχέως μιν ἀνήνορα θῆκε
» γυῖ' ἀπαμαλδῦναν, πετάσας χέρας οὐκέτι φωνῇ
» ἄρσενι τοῖα ἔειπε· " χάριν, πάτερ, ἠδὲ σὺ μῆτερ,
» παιδὶ δόθ' ὑμετέρῳ, εἰληχότι κλῆσιν ἀπ' ἀμφοῖν·
» εἴ τις ἀνὴρ ποθ' ὕδωρ τόδ' ἐσέλθοι, ἐξίοι αὖθις
» ἡμίγυνος καὶ γυῖα γένοιθ' οἱ ἄνανδρα θιγόντι· „
» Ἄμφω ἐπικλασθέντ' εὐχῇ διφυοῦς ἐπένευσαν
» υἷος, καὶ φάρμαξαν ἀδήλῳ φαρμάκῳ ὕδωρ.
Ἔσχε πέρας μῦθος· Μινυηὶς δ' ἔργα γενέθλη
ἤπειγεν καὶ ἄτιζε θεόν, οὔθ' ἄζεθ' ἑορτήν.
τύμπανα δ' ἐξαπίνης βαρὺ ἔκτυπον ἐξ ἀοράτου,
καὶ κανάχησε κέρας ἐπικαμπὲς, καὶ πλατάγησε
χάλκεα κύμβαλ'· ἀὴρ δὲ κρόκου πνέεν ἠδ' ἅμα μύῤῥης.
Ἠνίδ', ἄπιστον χρῆμα! χλοανθεῖν ἤρξατο ἱστός,
φυλλοφορεῖν δ' αὖ ὕφασμα κατακρεμὲς ἠΰτε κισσός·
καί τι ἔγεντ' οἶναι· ἃ δ' ἔσαν μίτος, αὐτίκ' ἐτύχθεν
οἰναρίδες· κροκέων δ' αὖ ἐξέφυ οἴναρα χλωρά,
περκνῆς δὲ σταφυλῆς καλὸν ὤπασε πορφύρη ἄνθος.
ἦμαρ ἔληγ' ἤδη καὶ ἑσπερίη πέλεθ' ὥρη,
τὴν οὔκεν φαίης φάος ἔμμεναι οὔτε πω ὄρφνην,
ἀλλά τιν' ἀμφίβολον νυκτὸς καὶ ἤματος οὖρον.
σείεσθ' αἴφνης οἶκος ἐείσατο καὶ δαΐδες σφιν
αἴθεσθ', ἠδ' ἐρυθρῇ καταλάμπεσθαι δόμος αἴγλῃ,
βρύχεσθαι δ' ἀγρίων δεινὸν μάλα φάσματα θηρῶν.
δὴν κάσιες κρύπτοντ' ἐνὶ δώμασι τυφομένοισιν,
ἄλλη δ' ἄλλοθι πῦρ τε σέλας τε τρέουσαι ἄλυσκον.
κεύθεα δ' ὄφρα μάτευον, ὑμὴν ἐπὶ γυῖα τανύσθη
μικκύλα, καὶ πτερὰ λεπτὰ βραχίονας ἀμφεκάλυψεν·
οὐδὲ μαθεῖν, ὅππως εἶδος τὸ πάροιθεν ἄμειψαν,

ὄρφνη ἔασε· δέμας μὲν ἐκούφισεν οὐ πτίλα κείνων,
ἀλλὰ σφὸν πτερύγεσσι διαυγέσι σῶμ' ἐπέρειδον.
αὐδὰν πειρηθεῖσαι ἀβληχρὴν ὄσσαν ἔηκαν
καὶ ἔτ' ὀδύρονται λεπτὸν μάλα τετριγυῖαι·
ναίουσ' ἐν τεγέεσσ' αἰεὶ φέγγος στυγέουσαι.
πωτῶνταί τ' ἐν νυκτὶ καὶ οὔνομ' ἔχουσ' ἀπὸ νυκτός.

Ἰνὼ τὴν Κάδμου μὲν θυγατέρα, Ἀθάμαντος δὲ τοῦ ὀρχομενίων βασιλέως γυναῖκα διά τε τὴν ὑπερηφανίαν καὶ τὴν τοῦ Βάκχου ἀνατροφὴν ἡ Ἥρα ἐχθαίρουσα εἰς ᾅδου κάτεισι καὶ τὴν Τισιφόνην κατ' ἀμφοτέρων ἐξερεθίζει· ἡ δ' Ἐρινὺς προθύμως τῇ θεᾷ ὑπουργοῦσα, εἰς τὰ βασίλεια ἀνέρχεται τοῦ Ἀθάμαντος καὶ ἀμφοτέρους ἐκμαίνει. Καὶ Ἀθάμας μὲν τὸν ἑαυτοῦ παῖδα Λέαρχον ἀποκτείνει. Ἰνὼ δὲ σὺν τῷ ἑτέρῳ παιδὶ Μελικέρτῃ βάλλει ἑαυτὴν εἰς τὴν θάλασσαν. Ποσειδῶν δὲ κατ' αἴτησιν Ἀφροδίτης θαλασσίους τούτους ἀποδείξας θεούς, τὴν μὲν Ἰνὼ Λευκοθέην, τὸν δὲ Μελικέρτην Παλαίμονα μετονομάζει.

Θήβης ἐν πάσῃσιν ἔην κλυτὸν οὔνομα Βάκχου,
ἔνθα θεοῦ καινοῖο κράτος μέγα τηθὶς ἁπάντῃ
μυθολόγευε· τόσων δ' ἄρ' ἀδελφῶν μούνη ἐκείνη
ἄμμορος ἦν ἄλγευς, πλὴν οὗ παρέχεσκον ἀδελφαί.
τὴν δὲ μέγα φρονέουσαν ἑοῖς ἐνόησ' ἐπὶ τέκνοις
καὶ θαλάμῳ Ἀθάμαντος ἰδὲ τροφίμῳ θεῷ Ἥρη·
οὐδ' ἤνεικ', ἀλλ' εἶπε. " δυνάσθη μὲν νοθογεννὴς
» μηονίους τρέψαι καταδῦσαί τ' εἰς ἅλα ναύτας,
» μητρὶ δὲ δοῦναι σπλάγχνα διασπάσαι υἷος ἑοῖο
» τρεῖς τε νέοις ταρσοῖς κούρας Μινύαο καλύψαι.
» Ἥρη δ' οὐ δέδοτ' ἀλλ' ἢ ἄτιτ' αἰεὶ ἄλγεα θρηνεῖν;
» ἦ ῥ' ἀπόχρη μοι τοῦτο; τόσον σθένος ἐστὶν ἐμεῖο;
» δὴ μ' ὃ δίδαξεν, ὃ χρή· καὶ ἀπ' ἐχθροῦ ἔστι δαῆναι.
» λύσσ' ὁπόσον δύναται, Πενθῆος ἔδειξ' ἅλις οὕτω
» καὶ πλέον ἢ ἅλις ἄμμι· τί οὐκ ἐρεθίζεται ἦτορ
» οἰκείοις τ' οἰστρῶσ' ὑποδείγμασιν οὐχ ἕπετ' Ἰνώ;
Ἔστιν ὁδὸς πρηνὴς καὶ σμίλακι δάσκιος ὄρφνῳ
ἐς τὸν ὑποχθόνιον διὰ σιγῆς χῶρον ἄγουσα.

Στὺξ ἀνίησι νέφη νωθρή, κατὰ δὲ σκιαὶ αἰὲν ἴασι
κεῖσε νέαι, νεκύων τ' εἴδωλα τάφοιο λαχόντα.
ὦχρος ἔχει τρηχὺν χῶρον καὶ χεῖμα· νέοι δὲ
νεκροί, ὅπῃ Στυγίην ἰτέον πόλιν, ἀγνοέουσιν,
ὁππόθί τε Πλουτῆος ἀτερπέ' ἀνάκτορα κεῖται.
χίλιαι εὐρείῃ πρόσοδοι πόλει εἰσί· πύλαι δὲ
πέπτανται πάντῃ· ὡς δ' αἴης πάντα ῥέεθρα
δέχνυται εἷς πόντος, τὼς νεκροὺς χῶρος ἐκεῖνος·
οὐδέ ποτε στενός ἐστ', ἢ πληθύος αὔξῃ ὁρατή·
σαρκὸς ἄτερ σκιαὶ ἠδ' ὀστέων πλάζονται ἄναιμοι,
τῶν αἱ μέν ῥ' ἀγορήν, αἱ δ' οἶκον ἔχουσιν ἄνακτος,
ἄλλα δὲ ἔργ' ἄλλαι, οἷ' ἐν βιότῳ πάρος ἔρδον.
Ἐνθάδ' ἱκέσθαι ἔτλη Κρονιὰς πόλον ἐκπρολιποῦσα
Ἥρη· τόσσον οἱ ἔσθεν' ἐνὶ φρεσὶ μῆνις ἰδ' ἔχθος.
αὐτίκα δ' ὡς ἐσέβη, βηλός θ' ὑπὸ βρίθεϊ θείῳ
ἔβραχε, τρίσσ' ἐπάειρε καρήατα Κέρβερος αἰνός,
τρίς θ' ὑλακὴν ἀφέηκε· θεὰ δ' ἐκάλεσσεν ἀδελφὰς
ἐκφύσας Νυκτός, σεμνὸν γένος ἀπαράμυθον.
αἵ δ' εἱρκτῆς πρὸ πυλῶν συγκληΐστων ἀδάμαντι
εἵατο, κυανέους τ' ὄφιας πέκον ἐκ κεφαλῆφιν.
ὡς δ' Ἥρην αἴδαο κατὰ ζόφον εἰσενόησαν,
αἶψα θεαὶ ἀνέγροντο· ἕδρη ἐκεῖ ἔστιν ἀλιτρῶν·
ἔγκατα δαρδάπτειν Τιτυὸς παρέχει, πλέθρα γυίοις
ἐννέα γῆς ἐπέχων. σὺ δέ, Τάνταλε, νᾶμα
οὐχ ἑλέειν δύνασαι· φεύγει δέ σε δένδρε' ὕπερθε·
καὶ σὺ μέγαν μάρπτεις ἢ ὠθεῖς, Σίσυφε, λᾶαν·
Ἰξίων δὲ κύκλῳ δινεύμενος οὔ ποτε λήγει·
αὐτὰρ ἀνεψιοῖς λυγρόν ποτε Βηλίδες οἶτον
μησάμεναι, μογέουσιν ἐτώσιον ὑδροφορεῦσαι.
τοὺς δ' ἄρ' ἐπεὶ πάντας βλοσυροῖς ἴδεν ὄμμασιν Ἥρη
καὶ Ἰξίονα πρῶτον, ἔπειτα πάλιν προσιδοῦσα
Σίσυφον ἔννεπε· "τίπτε κασιγνήτων ὅγε μοῦνος

τίνει ἀεὶ ποινάς, Ἀθάμαντα δ' ἀγήνορα οἶκος
ὄλβιος ἔνδον ἔχει, ὅς ἀτίζει μ' ἢ σὺν ὁμεύνῳ; „
αἴτια δέ σφι τόσου πέφραδ' ἔχθεος ἠδὲ κελεύθου
καὶ ὃ χρηΐζοι· χρήϊζε δ' ἀνάκτορα ῥαῖσαι
Κάδμου, ἀδελφειάς τ' ἐπὶ τοῦτ' ὄρσαι Ἀθάμαντα·
ἐν δὲ λιτῇσιν ἔμισγεν ὑποσχεσίης τε κελευσμὸν
καὶ ὤρινε θεάς. Ὣς δ' Ἥρη πέφραδε ταῦτα,
λευκὰς Τισιφόνη περιπλέκτους σεῖσεν ἐθείρας,
ὦσέ τ' ὀπίσσω ὄφεις κατ' ὀπωπὴν ἀντιόωντας
καὶ φάτο “ οὐ μακρηγορίης χρεὼ ἔστιν ἑλικτῆς·
πεπρᾶχθαι πίστευ' ἅ τ' ἀνώγεις· κάλλιπ' ἀτερπῆ
χῶρον καὶ ἐπάνελθε πόλου ἐς ἀμείνονας αὔρας „
ἀσμένη Ἥρη ἀπῆλθε· πάρος δ' ἐσίμεν μιν Ὄλυμπον,
ἥγνισεν Ἶρίς μιν Θαυμαντιὰς ὕδατι φαιδρῷ.
αὐτίκα δ' ἐχθοδοπὴ δαΐδ' αἱμοφόρυκτον ἑλοῦσα
Τισιφόνη, φοινικοβαφὲς βρότῳ ἕσσατο φᾶρος,
εἱλικτόν τε δράκοντ' ἐζώσατο, ἐκ δὲ δόμοιο
ἤϊξ'· εἵπετο δ' αὖ Γόος οἱ καὶ Δεῖμος ἰούσῃ,
σύν τε Τρόμῳ Μανίη τεταραγμένον ὄμμα κυκλεῦσα.
στῆ δ' ἄρ' ἐπ' οὐδῷ· καὶ σταθμοὶ μεγάρου συνέσεισθεν
Αἰόλου, ἠδ' ὦχρος σφενδάμνιν' ἔχρωσε θύρετρα.
χῶρον δ' ἥλιος ἔκλιπ'· ἀνεπτοίησ' Ἀθάμαντα
καὶ ἄλοχον τέραα, τοί ῥ' ἐξίμεν οἴκου ὄροντο·
ἀλλὰ κακή σφ' ἤρυξε, θύρην τε κατέσχεν ἐρινύς·
ἀμφιπλεκεῖς δ' ἐχίεσσιν ἑὰς χέρας ἐκπετάσασα
σεῖσε κόμην· ὄφιες δὲ κλονεύμενοι ἦχον ἕηκαν·
οἱ μὲν γάρ τ' ὤμοις, ἄλλοι δὲ περὶ κροτάφοισι
σύριζον, καί ῥ' ἰὸν ἔβλυζον γλωσσίζοντες·
εἶτα κόμης ὄφιας δοιοὺς ἀπετίλατο μέσσης
λοιμοφόρου τ' ἀφέηκ' ἀπὸ χειρός· τοὶ δ' ἄρα κόλπον
Ἰνόος ἠδ' Ἀθάμαντος ἔσω δύντες περιεῖρπον
ἠδὲ βαρυφροσύνην σφιν ἐνέπνεον. οὔσφι τίτρωσκον

γυῖα· φρὴν μούνη δέχνυτ' ἔνδοθι τύμματ' ἐκεῖνα·
καὶ τιν' ὁμοῦ δ' ἐκόμισσεν ἐκείνη φάρμακα ῥευστά·
Κερβέρου ἐκ στομάτων ἀφρὸν καὶ ἰὸν Ἐχίδνης,
πρὸς δ' αὖ ἄλην τε νόου, ἀλαωτύν τ', ἔργα τ' ἀλιτρά,
καὶ λύσσαν, καὶ δάκρυ', ὁμοῦ τε φόνοιο μενοινήν,
τριβέντ' ἄμμιγα πάντα· τὰ φύρσασ' αἵματι θερμῷ
ἕψησ' ἐν χαλκῷ, κλαδὶ κωνείοιο κυκῶσα·
ὄφρα δ' ἔχε σφε τρόμος, θυμοφθόρα φάρμακ' ἔχευεν
ἐν στήθεσσ' ἀμφοῖν, καί σφιν κέαρ ἔνδον ὄρινε.
Πολλάκι δ' ἐς κύκλον δαΐδα στρωφῶσα τὸν αὐτὸν
καινῷ ἀεὶ ἔφεπε κραιπνῶς πυρὶ πῦρ τὸ πάροιθεν·
ὣς ἄρα νικήσασ' ἰδ' ἐφετμὴν ἐκτελέσασα,
βῆ πάλιν εἰς ἀΐδην ἀπεθήκατό τ' αἶψα δράκοντα.
Αὐτίκα δ' Αἰολίδης ἐν ἀνακτόρῳ ἤπυε μέσσῳ
μαινόμενος· "λίνα τῆς δ', ἐπέται, περιβάλλετε λόχμης·
ἐνθάδε σὺν δυσὶ νῦν τεκέεσσιν ὄπωπα λέαιναν·„
καί ῥα κατ' ἴχνι' ἑὴν ἔφεπ' εὐνέτιν ἠύτε θῆρα·
μητρὸς δ' ἐκ κόλποιο Λέαρχον προσγελόωντα
καὶ χέρας οἱ ὀρέγοντ' ἐξήρπασε· δὶς δ' ἄρα καὶ τρὶς
νηλὴς δινήσας μιν ἀν' ἠέρα μαλθακὰ θραῦσεν
ὀστέα πρὸς πέτρῳ τρηχεῖ· ἡ δ' ἄλγεϊ μήτηρ
θυμὸν ὀρινθεῖσ' ἢ καὶ φαρμάκῳ ἔγκατα δύντι
ἐξολόλυξε, λυτῇσι δ' ἄρ' ἔκφρων φεῦγεν ἐθείρῃς·
γυμνοῖς δ' αὖ, Μελικέρτα, φέρουσά σε πήχεσι τυτθὸν
ἤπυεν· εὐοῖ, Βάκχε· γέλασσε πρὸς οὔνομα Βάκχου
Ἥρη καὶ φάτο· τοῖα τεοῦ τροφίμου ἀπόναιο!
Ἔστ' ἐφ' ἁλὶ πρώων προβλής, ὃς κύμασι πυκνοῖς
κοιλανθεὶς ὑπένερθ' ὄμβρων ῥύεθ' ὕδατα πόντου·
τρηχὺ κάρη δ' ἀνέχων εἰς οἶδμα μέτωπον ἰάλλει.
τόνδ' Ἰνὼ ἀνέβη· τόσσον σθένος ὦπασεν οἶστρος·
αἶψα δ' ἄτερθε δέους βάλεν εἰς ἅλα δῖαν ἓ αὐτὴν
καὶ γλυκὺ ἄχθος ὁμοῦ· ἐπὶ δ' ἄφρισε κῦμα δονηθέν.

Κυπρογενὴς δὲ δύης ἐλέησεν ἀναίτιον Ἰνὼ
καὶ θώπτουσα πάτρων προσέφη τάδε· "ὦ ἁλικρεῖον
"ἄγχιμον εἰληχὼς Διὸς ἀρχὴν ἄμμι, Πόσειδον·
» ἦ μεγάλ' αἰτέομαι· σὺ δ' ἐμοὺς ἐλέαιρε κατ' εὐρὺ
» οἶδμ' ἁλὸς Ἰονίης ῥιπταζομένους ἐπιλεύσσων,
» σοῖς τε θεοῖς πρόσθες· καὶ ἐμοὶ χάρις ἔστ' ἐνὶ πόντῳ,
» εἰ δὴ ἀφρός ποτ' ἔην ἐνὶ βυσσῷ φῦσα πάροιθεν,
» οὔνομα δ' ἐκ κείνου ἀν' Ἑλλάδα μίμνει ἅπασαν.„
λισσομένῃ ἐπένευσε, καὶ ὃ θνητόν σφισιν ἔσκεν,
ἔξελε Ποντομέδων μεγαλεῖόν τ' ὤπασε σεμνόν,
καὶ ἀμφοῖν μετέτρεψ' ὁμοῦ οὔνομά τ' ἠδὲ καὶ εἶδος,
Λευκοθόην καλέσας μιν, ἔθεν δὲ Παλαίμονα παῖδα.

Αἱ θεράπαιναι τὰ τῆς Ἰνοῦς ἴχνη διώκουσαι πόῤῥωθεν αὐτὴν ἐπὶ τῆς εἰς θάλασσαν προεχούσης πέτρας ὁρῶσι καὶ τὸ γεγονὸς συμβαλόμεναι τὸν Κάδμου ἀποδύρονται οἶκον, ἄδικον δ' ἀποκαλοῦσι τὴν Ἥραν. Ἡ δ' ὀργισθεῖσα τὰς μὲν αὐτῶν ἀπολιθοῖ, τὰς δ' εἰς θαλασσίας ὄρνεις μεταμορφοῖ.

Σιδόνιαι θεράπαιναι, ὅσον σθένος, ἴχνεσιν Ἰνοῦς
ἑσπόμεναι, πρυμνῇ πύματόν μιν ἴδον ποτὶ πέτρῃ·
οὐδ' ἔτι δίζουσαι περὶ πότμου, οἶκον ἔκλαυσαν
κοπτόμεναι Κάδμου, σὺν θ' εἵμασι ῥῆσσον ἐθείρας·
οἷα πικρῇ δὲ λίην ἐς παλλακίδ' οὐδὲ δικαίῃ
Ἥρῃ ἔχθος ὄρινον· ὀνείδεα δ' οὐ θεὰ ἔνδον
φρεσσὶ φέρουσ' ηὔδα· μνημήϊα ὑμέας ὀργῆς
θήσω ἐμῆς ἀρίσημα· ἔπει δ' ἄφαρ ἕσπετο ἔργον·
ἦ γάρ τ' εὐσεβίῃ πρώτευ', ἔφη· ἕψομ' ἀνάσσῃ
εἰς ἅλα· βουλομένη δ' ἐσαλέσθαι, οὐκ ἐδυνάσθη
κινῆσαι δέμας· ἀλλὰ πέτρῃ συμφῦσα κατέστη.
στήθεα δ' αὖ ἑτέρη πειρωμένη, ὡς ἔθος ἦν οἱ,
τύψαι χερσί, πεπηγυίας χέρας αἶψ' ἐνόησεν·
ἐς δ' ἄρα κῦμ' ἄλλη τις ἑὰς χέρας ἐκπετάσασα,
χεῖρας ἑὰς ἐς κῦμα λιθωθεῖσ' ἔκτοτε τείνει·
ἐκ δ' αὖ κρατὸς ὕπερθεν ὀλοπτούσης τρίχας ἄλλης,

δάκτυλοι εἰνὶ κόμῃ σκληρὴν φύσιν αὐτίχ' ἕλοντο·
μεῖνέ θ' ἑκάστῃ σχῆμ', ὃ ῥ' ἔχουσ' ἔτυχεν τόθ' ἑκάστη·
ἐς δ' ὄρνεις τινὲς ἤλλαχθεν, καὶ νῦν δ' ὑπὲρ ἅλμης
ψαίρουσι πτερύγεσσ' Ἰσμηνίδες ὕδατα κείνης.

Κάδμος σὺν τῇ γυναικὶ Ἁρμονίᾳ τοσαύταις χρησάμενος συμφοραῖς τὴν ὑπ' αὐτοῦ κτισθεῖσαν πόλιν καταλιμπάνει καὶ εἰς χώρας πολλὰς πλανᾶται ἀπαλλαγὴν ζητῶν τῶν δεινῶν· τέλος δ' εἰς Ἰλλυρίαν ἔρχεται, ἔνθα ἀμφότεροι εἰς ὄφεις μεταμορφοῦνται.

Οὐ θύγατρ' οὔτ' ἄρα παῖδα θεοὺς ἁλίους γεγαῶτας
ἤδη Ἀγηνορίδης· πένθει δὲ καὶ ἄλγεσι πολλοῖς
δμηθεὶς καὶ τεράεσσιν, ὅσ' ἔδρακεν, ἔκλιπεν ἄστυ,
τοῦ ῥ' ἔπλετο κτίστης, ὡς εἰ χώρης μιν ἔτειρεν,
οὐχ ἑὴ αὐτοῦ μοῖρα· ἔπειτα δὲ πόλλ' ἐπαληθείς,
Ἰλλυρίης φεύγων σὺν ὁμεύνῳ τέρμονας ἷξεν·
εὖτ' οὖν οἶδε δύῃ βεβαρηότες ἠδ' ἐνιαυτοῖς
» ἄλγε' ἀνεσκόπεον σφέτερα προτέρην θ' ἅμα οἴκου
» αἶσαν, Κάδμος ἔφη· " ἦ ῥ' ἦν ὄφις ἱρὸς ἐκεῖνος,
» ὃν δορὶ πρὶν ἐλάσας, ὅτ' ἀπῆλθον Σιδόνος αἴης,
» καινὰ σπέρματ' ὀδόντας ἐχίδνης σπεῖρ' ἐν ἀρούρῃ.
» εἴγε θεοῖσι μέλει τιμωρεῖν τόσσον ἐκείνῳ,
» ἠΰτ' ὄφις ἕρποιμι καὶ αὐτὸς γαστρὶ τανυσθείς· ,,
εἶπε· καὶ ὡς ὄφιος ταναὴ γένεθ' αὐτίκα γαστήρ.
δέρμ' ὅγε τρηχὺ νόησε πυκαζόμενον φολίδεσσι,
στιζόμενόν τε δέμας ποικίλμασι κυανέοισι.
ῥίμφα δ' ἐπὶ στῆθος πρηνὴς πέσεν· ἦκα δὲ μηρὼ
συμφύντ', ἐς γυρὴν μίαν οὐρὴν ἄμφω ἕλιχθεν·
μίμνον ἔθ' οἱ χεῖρες· τείνας χέρας, αἵ οἱ ἔμιμνον,
εἰσέτι τε βροτέην καταδεύων δάκρυσιν ὦπα,
εἶπε " πρόσελθε, δάμαρ· δύσδαιμον δεῦρο πρόσελθε·
» ὄφρα δ' ἐμεῦ τι μένει, θίγε· καὶ χέρ' ἐμεῖο
» λάζεο, χεὶρ ὄφρ' ἔστιν, ὅλος δ' ὄφις οὔπω ἐτύχθην ,,
αὐδῆσαι κεῖνος πλέον' ἤθελεν· ἀλλά οἱ αἶφνης

ἐσχίσθη δίχα γλῶσσα· θέλων δέ περ οὐκ ἔχεν αὐδᾶν·
ὁσσάκι δὲ στόματος πειρήσατ' ἀφεῖναι ὀδυρμόν,
σύριζ'· αἰνομόρφῳ φύσις οἱ λίπε τήνδ' ὄπα μούνην.
Γυμνὸν χειρὶ δάμαρ στῆθος τύπτουσ' ἀνεφώνει·
“ μεῖνον, Κάδμε· τέρας τόδε, δύστην', ἐξαπόδυθι·
» Κάδμε, τί τοῦτο; πόδες ποῦ σοι; ποῦ χεῖρες ἰδ' ὦμοι;
» ποῦ χροιὴ καὶ ὀπωπή, ἰδ' ἃ τρέπετ' αὐδώσης μευ·
» τίπτ' οὐ καὶ αὐτήν με, θεοί, τρέπετ' εἰς ὄφιν ὧδε; „
ὣς φάτο· ἧς δ' ἀλόχου κεῖνος διέλειχε πρόσωπον·
ὡς δ' ἄρα γιγνώσκων, κόλπον φίλον εἴσω ἔδυνε
καί τε μιν ἀμφέβαλεν περὶ τ' ἠθάδ' ἑλίσσετο δειρήν.
ὅςτις ἐκεῖ παρέην, (πάρεσαν θεράποντες) ἐτάρβει·
ἣ δὲ δράκοντος ἄφασσεν ὀλισθήεντα τράχηλον·
αὐτίκα δ' οὖν δύ' ἔγεντο καὶ εἶρπον ὁμόπλοκοι ἄμφω,
εἵως ἀμφότεροι πέλας ἄλσευς κεύθε' ὑπῆλθον.
οἳ δ' οὐ νῦν φεύγουσι βροτῶν πάτον, οὐδὲ δάκνουσι·
μέμνηνται δ' ὅτ' ὄφεις πρηεῖς τὸ πάροιθε πέλοντο.
ἀλλὰ μέγ' ἀμφοτέροις παραμύθιον ἦν μεταφῦσιν
ἔγγονος, ὃν πολέμῳ δμηθεῖσα νέον θεράπευεν
Ἰνδίη, ὃν θ' Ἑλλὰς ναοὺς ἱδρύουσα σέβιζε.

Τοῖς περὶ Κάδμου καὶ τοῦ γένους αὐτοῦ μύθοις προσαρτῶνται πράξεις τινὲς τοῦ γοργοφόνου Περσέως, καὶ πρῶτον ἡ τοῦ Ἄτλαντος μεταμόρφωσις. Περσεὺς γὰρ μετὰ τὴν τῆς Μεδούσης ἀναίρεσιν πέδιλα πτερωτὰ ὑποδεδεμένος ἄλλας τε πολλὰς χώρας ἐπιπορεύεται διαέριος καὶ δὴ καὶ εἰς Λιβύαν παραγίγνεται, ἔνθα ὁ Ἄτλας ἐβασίλευε πολυκτήμων καὶ κῆπον ἔχων, ἐν ᾧ δένδρον ἦν χρυσᾶ μῆλα φέρον καὶ ὑπὸ δράκοντος φυλαττόμενον. Τοῦτον οὖν ξενίσαι αὐτὸν ἀναινόμενον εἰς τὸ ὁμώνυμον ὄρος ὁ Περσεὺς μεταβάλλει τὴν τῆς Μεδούσης κεφαλὴν ἐπιδείξας.

Μοῦνος Ἀβαντιάδης ξυνῆς ἐκφύς σφι γενέθλης
Ἀκρίσιος διέμιμνε θεὸν τειχέων ἀπεέργων
ἀργολικῶν, ὅπλα τ' ἀνταίρων, Ζηνός τε γενέθλης
οὔμιν ἔμεν φάσκων, οὐ γὰρ Διὸς εἶναι ἔφασκεν
οὐδ' ὅν περ χρυσέῳ Δανάη τέκε Περσέ' ὑπ' ὄμβρῳ.

ἀλλὰ μετέγνω ἔπειτα (τόσον σθένος ἐστ' ἀτρεκείης.)
εἰς θεὸν Ἀκρίσιος ἀλιτὼν καὶ υἷ' ἀθετήσας
κούρης· τῶν δ' ἄρ' ὃ μὲν πόλον ἤλυθ', ὃ δ' αὖ σκύλος αἰνὸν
χερσὶ δρακοντοκόμοιο φέρων κλεινοῖο πελώρου
ῥοιζηδὰ πτερύγεσσι διέπρησσ' ἠέρα λευρόν·
εὖτε δὲ νικητὴς Λιβύην ὑπερίπτατ' ἔψαμμον,
γοργείης κεφαλῆς σταγόνες πέσον αἱματόεσσαι,
ἃς χθὼν δεξαμένη πόλλ' εἴδεα φῦσε δρακόντων·
τοὔνεκα γαῖ' ὀφίων στυγερῶν πέπληστει ἐκείνη.
σπερχόμενος δ' ἄρ' ἔπειτα δι' ἠέρος ἀντιβίοισιν
πνεύμασιν, ὥστε νέφος φέρετ' ὄμβριον ἔνθα καὶ ἔνθα.
τηλόθι δ' ἀλλήλων διεχούσας ἄθρεε χώρας
ὑψόθεν αἰθέριος γαῖάν θ' ὑπερίπτατο πᾶσαν.
Τρὶς ψυχρὰς ἄρκτους, τρὶς Καρκίνου ἔδρακε χηλάς·
δὴ θάμ' ἐπὶ ζόφον ἠνέχθη, θαμὰ δ' αὖθις ἐπ' ἠώ.
ἦμαρ δ' ἡνίκ' ἔκλινεν, ἓ αὐτὸν νυκτὶ δεδοικὼς
πιστεῦσαι, ἔστη κατὰ δυσμὰς τῆλ' ἐνὶ χώρῃ
Ἄτλαντος· βαιὸν δ' ἀνεπαύσατο, εἰσόκεν Ἠῶ
Φωσφόρος ἐκκαλέσει', Ἠὼς δ' αὖτ' ἤματος ἅρμα.
ἐνθάδ' ἔναι' ἀνδρῶν μεγέθει πάντων ὑπερίσχων
Ἰαπετιονίδης Ἄτλας κλυτός· ἔσχατα γαίης
τῷ δ' ὑπ' ἄνακτι τέτακτο, θάλασσά τε, ᾗ Φαέθοντος
ἵπποις κῦμ' ὑπέχουσα κεκμηὸς δέχνυται ἅρμα.
μυρίαι οἱ ποῖμναι, τόσσαι δ' ἀγέλαι διὰ ποίην
πλάζοντ'. οὐδ' ἀγρὸν περιεῖργον γείτονες εὐρύν·
χρυσῷ λαμπροφαεῖ δένδρου φυλλὰς τεθαλυῖα
χρυσείους τε κλάδους καὶ χρύσεα μῆλα κάλυπτε.
εἶπε δέ οἱ Περσεύς· "ξένε, εἰ σέο κῦδος
» ἅπτεται εὐγενίης, Ζεύς μοι γενεὴν ἐφύτευσεν·
» εἰδ' αὖ ἔργ' ἄγασαι, θαύμαζ' ἅπερ αὐτὸς ἔοργα.
» αἰτῶ σε ξενίην ἠδ' ἄμπαυμ'·" ἀλλ' ὃ παλαιοῦ
μνῆστιν ἔχε χρησμοῦ, Παρνησίη ὃν Θέμις ἔχρα·

“ ἔσσεται ἦμαρ, ὅτε χρυσόν τις δένδρεον Ἄτλα,
σὸν συλήσει· παῖς δὲ Διὸς κλέος ἔργου ἀρεῖται. „
τοῦτ' Ἄτλας δείδων στερεοῖς περὶ κῆπον ἔερξε
τείχεσιν ἠδ' ἐκπάγλῳ ἔδωκε δράκοντι φυλάσσειν·
πάντας δ' ἀλλοδαποὺς χώρης ὁρίων ἀπέρυκε
καὶ Περσῆϊ ἔειπεν· “ ἀπόστιχε, μὴ κλέος ἔργων
ψευδῶν οὐ χραίσμῃ, Ζεὺς δ' αὖ σοι τῆλ' ἀπέῃσι. „
Πρὸς δὲ βίην ἐπάγων τάχ' ὁμοκλῇ, ἔκ μιν ἔλαυνε
δηθύνοντ' ἴδ' ἔπη κρατερὰ μιγνύντ' ἀγανοῖσι.
χερσὶ δ' ὁ βληχρότερος (τίς γὰρ σθένος ἶσος Ἄτλαντι;)
ἔννεπ'· “ ἐπεὶ δοκέει σοι ἐμὴ χάρις ἔμμεν ὀνοστή,
τῆ τόδε δέξαι δῶρον· „ ἀποστρέψας δὲ πρόσωπον
αὐσταλέην οἱ ἔδειξ' ἐπὶ λαιῇ ὦπα Μεδούσης·
Ὅσσος ἔην Ἄτλας μετέφυ ὄρος· ὗλαι ἔτυχθεν
πώγων ἠδὲ κόμη, ατάρ αἴπεα χεῖρες ἰδ' ὦμοι.
ὃ πρὶν ἔην κεφαλή, νῦν οὔρεός ἐστι κάρηνον·
ὀστέ' ἐπετρώθη· ὁ δ' ἀεξηθεὶς γυῖ' ἅπαντη
ἄσπετος ὠγκώθη· οὕτω, θεοί, ὔμμιν ἔδοξε.
Πᾶς δ' ἐπὶ οἷ σὺν τείρεσ' ἐρήρειστ' οὐρανὸς εὐρύς.

Ἐκεῖθεν ὁ Περσεὺς εἰς τὴν τῶν Αἰθιόπων ἀποπτὰς χώραν, Ἀνδρομέδᾳ τῇ Κηφέως καὶ Κασσιόπης κόρῃ ἐντυγχάνει παραλίῳ τινὶ πέτρᾳ προσπεπατταλευμένῃ καί τινι κήτει εἰς βρῶσιν ἐκτεθειμένῃ ὑπὸ τοῦ Ἄμμωνος τοῖς γονεῦσιν αὐτῆς χαλεπαίνοντος. Ἐλεήσας δὲ τὴν κόρην κτείνει τὸ κῆτος καὶ τοῦ γοργονείου αἵματος ἀπορρύψας τὰς χεῖρας εἰς θάλασσαν ἐκχεῖ τὸ ἀπόπλυμα, ᾧ δὴ θαλάσσια φυτὰ εἰς κοράλλια ἀπολιθοῦνται.

Ἱπποτάδης ἐνέερξεν ἀειδίῃ εἱρκτῇ ἀήτας·
ἐκκαλέων δ' εἰς ἔργα φαάντατος ἐν πόλῳ ἀστὴρ
φωσφόρος ἐξανέτειλεν· ὁ δὲ πτέρυγας περὶ ποσσὶ
δήσαθ' ἑλὼν αὖθις καὶ λάζετο καμπύλον ὅπλον,
ὀξύ τε κινήσας πόδας ἔτμαγεν ἠέρα ῥευστόν·
ἀνδρῶν δ' ἔθνεα πλεῖστα λιπὼν ὑπένερθ' ἰδὲ κύκλῳ,
λαοὺς Αἰθιόπων Κηφῆός τ' ἄθρεε χώρην.

ἐνθάδ' ἀλαζονίης μητρὸς τῖσαι ἐκέλευσε
ποινὴν Ἀνδρομέδαν ἀνυπαίτιον ἄγριος Ἄμμων·
τῆς δ' αὖ Ἀβαντιάδης πεπεδημένα ὡς ἴδε γυῖα
πρὸς πέτρῃ, εἰ μή γε κόμην κούφη ἀνέσειεν
αὔρα ἰδ' ἀμφοῖν οἱ τρέμον ἔῤῥεε δάκρυ ἀπ' ὄσσοιν,
μαρμάρεόν κεν ὀΐσαθ' ὁρᾶν τύπον· ἔνδοθι νῆϊς
θέρμετο καὶ θαύμαινε· καλῷ δ' ἕθεν εἴδεϊ θελχθεὶς
πὰρ βραχὺ ἐκλάθετο πτέρ' ἐν ἠέρι ὕψι τινάξαι·
στὰς δ' ἔφατ'· " οὔ τοίης σε πέδης ἐπέοικε δεδέσθαι,
» ἀλλ' οἵης ζεύγνυντ' ἀλλήλοις οἱ ἐράοντες·
» οὔνομά μοι πάτρην τε τεὴν λέγε· τίπτε δὲ ταῦτα
» δεσμὰ φέρεις; „ κείνη δ' ἔχε σιγήν, οὐδ' ἄρ' ἐθάρσει
ἄνδρα προσαυδᾶν κούρη· ἑὴν δέ κεν ὦπ' ἐκάλυψε
χείρεσιν αἰδομένη, εἰ μὴ χέρες οἱ πεπέδηντο·
ὄμμαθ', ὃ οἱ ἐνέην, δακρύων ἔπλησε βλυσάντων·
ὄφρα δὲ μὴ δόξειε θέλειν ἀλιτήματα σιγῇ
φρεσσὶν ἑὰ κρύπτειν, ἑὸν οὔνομα καὶ πατρίδ' αἶαν
ἔκφατο, καὶ ὅσον ηὔχει ἑῷ ἐπὶ κάλλεϊ μήτηρ·
πᾶν ἔπος οὐκ εἴρητο· ἄφνω ῥόχθησε δὲ κῦμα·
ἐκ δ' ἀναδὺν ἀμέτροιο πέλωρ ὑπερίσχε θαλάσσης,
πόντου τ' εὐρὺ ἑοῖσιν ἐπεῖχε στήθεσι χεῦμα.
παρθένος ἐξολόλυξε, πατὴρ δὲ προσήλυθεν οἰκτρὸς
καὶ μήτηρ, ἄμφω δυσδαίμονες, ἔνδικα δ' αὕτη·
οὐδ' ἔφερον οὗτοί τιν' ἀρωγήν, ἀλλ' ἐπίκαιρον
κλαυθμόν· πρὸς δ' ἔφυσαν πεπεδημένῃ αὐτόθι κούρῃ·
τοῖς δ' αὖ ξεῖνος ἔειπε· " μένει χρόνος ἐς δάκρυ' ὔμμι
» μακρός· βαιὴ ὅμως γ' ἐς ἀρωγὴν λείπεται ὥρη·
» ἦ που ἐγὼ Περσεύς, Ζηνός τε γόνος καὶ ἐκείνης,
» ἧς χρυσοῦ γονίμου Ζεὺς νηδὺν πλῆσεν ἐν εἱρκτῇ,
» Περσεύς, ὅς τε δάμασσα βίῃ ὀφιότριχα Γοργὼ
» καὶ πτέρυγας σείων ἔτλην ἴμεν αἰθέρος οἶμον,
» εἰ τήνδ' ἐμνώμην, ὑμόν κέ με γαμβρὸν ἕλεσθε·

» νῦν δ' ἕδνοις τοίοις πειρήσομαι ὔμμ' ἐπιθεῖναι
» καὶ χάριν· αἰτῶ δ' αὐτὸς ἔχειν, ἣν ῥύσομαι ἀλκῇ· „
συνθεσίην δέξαντο τοκῆες· τίς κ' ἀπέειπε;
καί οἱ ἀνακτορίην καθυπέσχοντ' ἠδ' ἐλίταινον.
Ἠνίδε, νηῦς ὅππως χαλκέμβολος, ὀξυκέλευθος,
χερσὶν ἐλαυνομένη κούρων διὰ κύματα τέμνει,
ὣς στέρνοισιν ὕδωρ ῥηγνὺς θοὸς εἰνάλιος θήρ,
χοιράδι τόσσον ἔπλητο, ὅσον περ δὴ βαλεαρὶς
σφενδόνη ἧκε μόλιβδον ἐν ἠέρι δινηθέντα·
τῆμος δ' ἠΐθεος ποσὶν αἴφνης γαῖαν ἀπώσας
πρὸς νέφε' ἠέρθη· ὡς δὲ σκιὴ ἀνδρὸς ἐφ' ὕδει
ὤφθη, ἐπ' ὀφθείσῃ σκιῇ ἐμμανὲς ὦρτο πέλωρον·
ὡς δὲ Διός ποτ' ἰδὼν ὄρνις κατ' ἄρουραν ἐρήμην
ἠελίῳ παρέχοντ' ὄφιν αἰνὸν νῶτα κελαινὰ
μάρψεν ὄπισθ', ἵνα δ' ὃ στόμα μὴ στρέψειε δαφοινόν,
ἁρπαλέους ὄνυχας φολιδωτῇ πῆξ ἐνὶ δειρῇ,
τὼς ὀξὺς κενεοῖο δι' ἠέρος αἶψα καταπτὰς
θηρὸς νῶτον ἔθλιψε καὶ ὀξὺν χαλκὸν ἐς ὦμον
δεξιὸν Ἰναχίδης γναμπτοῦ μέχρις ἤλασεν ὄγκου·
δεινὸν τραῦμα δ' ἔχων τοτὲ μὲν θὴρ ὑψόσ' ἔθρωσκεν,
ἄλλοθ' ὕδωρ κατέδυνεν. ἦ, ἄγριος ἠύτε κάπρος,
στρωφᾶθ', ὅν τε κύνες κύκλῳ φοβέουσ' ὑλάοντες·
δήγματα δὲ πτερύγεσσιν ἐκεῖνος ἄλυσκε ταχείης·
γυμνὰ δ' ὅπου περ ἔην, τοτὲ κόγχλοις τρηχέα νῶτα
ἢ πλευράς, τοτὲ δ' αὖ, ᾗπερ κατέληγεν ἐς ἰχθὺν
οὐρὴ λεπταλέη, ἄορι δρεπανώδεϊ θεῖνε.
Θὴρ δ' ἐρυθρὴν ἅλμην ἀπερεύγετο αἱματόφυρτον
ἐκ στόματος· πτέρυγες δὲ διανθεῖσαι βαρύθεσκον
Περσῆος· ταρσοῖσι δ' ὅ γ' οὐκέθ' ὑγροῖς ἐπεποίθει·
ἔδρακεν οὖν σκόπελον κάρη ἐξανέχοντα γαληνοῦ
πόντου, ὀρινομένου δὲ καλυπτόμενον ῥοθίοισι·
τῷ δ' ἐπερεισάμενος, λαιῇ τε πέτρης γνάθον ἴσχων,

τρὶς τετράκις τε σίδηρον ἐς ἔγκατα θηρὸς ἔωσεν.
Αἰγιαλὸς καὶ ὕπερθε θεῶν δόμοι αὐτίκ' ἰωῆς
ἠδὲ κρότου πλῆσθεν· χαῖρον, γαμβρόν τε προσηύδων,
κίκλησκόν τ' οἴκου μιν ἀρωγὸν ἰδ' εὔφρονα ῥύστην
Κασσιόπη Κηφεύς τε πατήρ· δεσμῶν δὲ λυθεῖσα
παρθενικὴ στεῖχεν πόνου αἰτίη ἠδ' ἅμ' ἄεθλον.
κεῖνος ὕδωρ δ' ἀρύσας εὐάθλους νίψατο χεῖρας·
ὄφρα δὲ μὴ ψάμαθος κεφαλὴν ὀφιότριχα κάρψῃ,
οὔδει φύλλ' ἐπέχευεν, ἁλιτρεφέας τ' ἐπὶ ῥῶπας
ἐστόρεσ', ἠδὲ κάρη Φορκυνίδος εἷσε Μεδούσης·
ἀρτίδροπος δ' ἄρα ῥὼψ καὶ ἔτ' ἔμβιος ἐντεριώνη
ἔσπασεν ἶνα πέλωρος, ἔθεν τε θιγοῦσ' ἐλιθώθη·
καινὴν δὲ στιφρότητα κλάδοι τε πέτηλά θ' ἕλοντο.
Νύμφαι ἁλὸς τέραος πολλῇσιν ἔπειτ' ἐνὶ ῥωψὶ
πειρηθεῖσαι ἔχαιρον, ὅτ' αἰεὶ γίγνεθ' ὁμοῖον·
ἐν δ' ὕδασιν πόντου διέχευαν σπέρματ' ἐκείνων·
κουραλίῳ κείνη μίμνει φύσις εἰσέτι καὶ νῦν,
ἠέρος εὖτε θίγοι, σκληρύνεσθαι· ὃ δ' ἄρ' ἔσκεν
εἰν ὑδάτεσσι λύγος, τρέπετ' ἐς λίθον ὕδατος ἐκτός.

Ὁ Περσεὺς ἄγεται γυναῖκα τὴν Ἀνδρομέδαν· τελουμένων δὲ τῶν γάμων, διηγεῖται, ὅπως ἀπελαιμοτόμησε τὴν Γοργὼ καὶ τοῦ αἵματος αὐτῆς ἐξέφυ ὁ Πήγασος.

Τρισσοὶ θεοῖς κεῖνος βωμοὺς τρεῖς δείματο πηλοῦ·
Ἑρμείᾳ λαιόν, σοὶ δεξιόν, ὄβριμε κούρη,
Ζηνὶ δὲ μέσσον· ἔθυσε δ' ἐπ' αὐτοῖς πόρτιν Ἀθήνῃ,
Ἀνδρομέδαν δ' ἄρ' ἔπειτα, τόσου δὴ ἀέθλιον ἔργου,
ἠγάγετ' ἄπροικον· δαΐδας δ' Ὑμέναιος ἔρως τε
προὔσειον, καὶ πῦρ θυέων ἐνεπίμπλατο πολλῶν·
ἤρτηντο στέφε' ἐκ τεγέων· λωτὸς δὲ λύρη τε
ἤχεε, σύν τ' αὐλὸς καὶ ἀοιδή, ὄλβια θυμοῦ
σήματα γηθομένου· θυρέτρων δ' οἴκου ἀνεθέντων,
αἴθουσαι χρυσαῖ πέπταντο· καλὴν δ' ἐπὶ δαῖτα,

ἣν ἀλέγυνεν ἄναξ, Κηφήνων ἦλθον ἄριστοι.
αὐτὰρ ἐπεὶ δαίσαντο, φρένας τ' ἴανθεν Ἰάκχου
δώρῳ, Λυγκείδης χώρης κομιδήν τε φύσιν τε
καὶ νόον αὖ ἀνδρῶν καὶ ἤθεα πεύθετ'· ἐπεὶ δὲ
Κηφεὺς πάντ' ἐδίδαξεν· " ἄγ', ἔννεπε, φέρτατε, νῦν μοι
ἐξαύδα λίτομαι· ἀρετῇ τίνι καὶ τίσι τέχνης
κρᾶτα δρακοντοκόμον διάμησας νηλέϊ χαλκῷ; „
εἶπε δ' Ἀγηνορίδης ψυχρῷ ὑπ' Ἄτλαντι κεκλίσθαι
χῶρον ἐϋδμήτοισι κύκλω τείχεσσιν ἐρυμνόν·
ἐνθάδ' ἐπ' εἰσίθμη δίδυμοι ἔχον οἰκί' ἀδελφαὶ
Φορκίδες, ἀνδοκάδην ἐνὶ χρώμεναι ὄμματι ἄμφω·
τοῦθ' ὅ γ' ὑφείλετο τέχνῃ ἐὴν χέρα λάθρῃ ὑποσχών,
κεῖναι ὅτ' ἀλλήλῃσιν ὀρέγνυσαν· εἶτα δὲ χῶρον
ἄστιβον, ὑλήεντα, καὶ αἴπεα παίπαλα βαίνων,
γόργειον δόμον ἶξε· κατ' ἀγροὺς δ' ἔνθα καὶ ἔνθα
καὶ ἀτραποὺς θηρῶν ἴδεν εἴδωλ' ἠδὲ καὶ ἀνδρῶν,
οἳ ῥα Μέδουσαν ἰδόντες ἀταρτηρὴν λελίθωντο.
ἐν δὲ σάκει χαλκείῳ, ὅ ῥ' αὐτὸς λαιῇ ἔχεσκε,
σμερδαλέης ἀνάκλαστον ἐσέδρακεν ὦπα Μεδούσης·
ὄφρα δ' ἄρ' εἶχεν ὕπνος βαρὺς αὐτήν τ' ἠδὲ δράκοντας,
δειρῆς ἔκταμε κρᾶτ'· ἐκ δ' αἵματος αὐτίκα μητρὸς
Πήγασος ἵππος ἔφυ πτερυγωκής, τοιό τ' ἀδελφός.
πρὸς δὲ καὶ οἴμου κινδύνους μυθήσατο μακροῦ·
ὅσσην εἶδε θάλασσαν ἰδ' ὅσσας ὑψόθε χώρας,
καὶ πτέρυγας σείων τίσι χρίμψατο αἰθέρος ἄστροις.
Τόσσ' εἰπὼν σίγησ' ἀδοκήτως· ἡγεμόνων δὲ
κεῖνόν τις διεδέξατ' ἰδ' ἤρετο· τίπτε Μέδουσα
μούνη ἀδελφῶν ἔσχε κόμην ὀφίεσσ' ἀνάμικτον;
Τὸν δὲ ξεῖνος ἀμείψατ'· " ἐπεὶ δή μ' ἄξι' ἐνισπεῖν
» εἴρεαι, αἴτι' ἄκουσον· ἐπίκλυτος εἶδος ἐκείνη
» καὶ μνηστήρων ἐλπὶς ἐπίφθονος ἔπλετο πολλῶν·
» ἀλλά γ' ὅλης μορφῆς μέρος οὔτι οἱ ἦεν ἐθειρῶν

» κάλλιον· ἔντυχον, ὅς μιν ἰδεῖν τὸ πάροιθεν ἔφασκε.
» τὴν δ' οὖν Ποντομέδοντ' αἰσχῦναί φασιν Ἀθήνης
» ἐν νηῷ· Ζηνὸς δ' αὖ κούρη ἀπέτραπεν ἁγνὴν
» αἰγίδι τ' ὦπα κάλυψ'· ἄτιτον δ' ἵνα μὴ τόδε μίμνοι,
» εἰδεχθεῖς ἐς ὕδρους Γοργοῦς ὄστλιγγας ἔτρεψε·
» καὶ νῦν δυσμενέεσσιν ὄφρα τρόμον ἐν φρεσὶ βάλλῃ,
» πρὸ στέρνου φορέει οὓς αὐτὴ τεῦξε δράκοντας.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΟ Δ'. ΒΙΒΛΙΟΝ

ΤΩΝ ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ.

Στίχ. 1). *Μινυηΐς*, θυγάτηρ Μινύου. Λέγεται δὲ Μινύας βασιλεὺς Ὀρχομενοῦ ἐν Βοιωτίᾳ γενέσθαι, περὶ οὗ ἴδε Παυσαν. Βοιωτ. σελ. 783. Ἔσχε δὲ υἱὸν Ὀρχομενὸν τὸν τῆς ὁμωνύμου πόλεως κτίστην, καὶ θυγατέρας τρεῖς, ὧν ἄλλα παρ' ἄλλοις ὀνόματα φέρεται. Παρὰ μὲν γὰρ Πλουτάρχῳ Λευκίππη, Ἀριστίππη καὶ Ἀλκιθόη καλοῦνται· παρ' Αἰλιανῷ δὲ Λευκίππη, Ἀρσίππη καὶ Ἀλκαθόη· Ὀβίδιος δὲ τὴν μὲν Ἀλκιθόην, τὴν δὲ Λευκονόην καλεῖ· τὴν δὲ τρίτην οὐκ ὀνομάζει.

4). *Ἱερεύς*, ὁ Τειρεσίας.

6). Οἱ τοῦ Βάκχου λατρευταὶ δορὰς εἰώθεσαν περιβάλλεσθαι, μάλιστα δὲ νεβρίδα, καὶ τὴν κόμην λύειν.

11). κ. ἑ. Εἴθιστο τῆς παλαιοῖς ἐπιθειάζουσι πάσας ἑκάστου θεοῦ καταλέγειν τὰς ἐπωνυμίας, ἵνα τὸ μέγεθος τῆς δυνάμεως αὐτοῦ καὶ τῶν ἐπιτηδευμάτων τὸ πλῆθος δηλῶσωσι, μηδὲν δὲ τῶν πρὸς θυμοῦ αὐτῷ παρασιωπήσωσιν. Ἐπικαλεῖται δ' ὁ Βάκχος *βρόμιος* μὲν διὰ τὸ τῶν ὀργίων θορυβῶδες· *λυαῖος* δὲ διὰ τὸ λύειν αὐτὸν τὰς μερίμνας τῷ οἴνῳ. Σημειωτέον δ' ὅτι ὁ στίχος οὗτος ἐν τῷ κειμένῳ ὑπέρμετρός ἐστι, μιᾶς συλλαβῆς τῆς τελευταίας πλεοναζούσης, ἧς τὸ σύμφωνον κατ' ἔκθλιψιν τοῦ τελικοῦ e μετὰ τοῦ ἀρκτικοῦ I τοῦ ἑπομένου στίχου συλλαβιστέον.

12). Ἴδε βιβλ. γ'. στ. 308 κ. ἑ.

13). Περὶ τῆς ἐπωνυμίας Νυσσεὺς ἴδε βιβλ. γ'. σημ. εἰς στ. 314, Θυωνεὺς δ' ἐπεκλήθη ὁ Βάκχος ἀπὸ τῆς μητρὸς Σεμέλης ἐπονομασθείσης *Θυώνης*· *ἄκαρτος* δὲ διὰ τὸ μὴ κείρεσθαι τὴν κόμην.

14). *Ληναῖος*, ἀπὸ τοῦ ληνοῦ, ἐν ᾧ ὁ οἶνος ἐκθλίβεται.

15). *Νυκτέλιος*, ἀπὸ τῶν νυκτερινῶν τελετῶν. Παραλέλειπται δ' ἐν τῇ μεθερμηνείᾳ τὸ ἐπωνύμιον Ἐλελεύς, ὃ παρ' Ἕλλησιν οὐχ εὕρηται.

19). *κεράων ἄτερθεν*. Οὐ πρότερον, ὡς ἔοικεν, οἱ πάλαι

κέρατα τῷ Βάκχῳ περιέθηκαν ἢ Σαβαζίῳ αὐτὸν τῷ Φρυγίῳ θεῷ συνέχεαν, ὃς ὁμοίας μὲν τῷ Βάκχῳ λατρείας ἐτύγχανε, κερασφόρος δ' ἀπεικονίζετο ταύρου κέρατα περικείμενος.

20). κ. ἑ. Νεαρὸς ὁ Βάκχος καὶ ἁβρὸς καὶ θηλύμορφος εἰκονίζετο· ὁ δὲ μῦθος τῆς ἐπ' Ἰνδοὺς νικηφόρου στρατείας αὐτοῦ μετὰ τοὺς χρόνους Ἀλεξάνδρου τοῦ μακεδόνος πλασθῆναι ἔοικε.

22). Περὶ μὲν *Πενθέως* ἴδε βιβλ. γ'. στ. 511 κ. ἑ. *Λυκοῦργος* δὲ βασιλεὺς ἦν Θρᾴκης, ὃς τὰς τοῦ Διονύσου τιθήνας ἐπὶ τῆς Νύσης, ὄρους θρᾳκικοῦ, *βουπλῆγι* τύπτων ἐδίωκε καὶ τῆς πρὸς τὸν θεὸν ἀσεβείας δίκην ἔτισε τυφλωθεὶς ὑπὸ τοῦ Διὸς (ἴδε Ὁμ. ζ'. στ. 130 κ. ἑ.) ἔστι δὲ *βουπλὴξ* κατά τινας μὲν τῷ *βουκέντρῳ* συνώνυμον, κατ' ἄλλους δὲ σημαίνει μάστιγα ἐκ βοείας πεποιημένην δορᾶς, ἢ πέλεκυν, ᾧ οἱ βόες παιόμενοι κτείνονται. Τοῦτον τὸν νοῦν ἀποδεξάμενος ὁ Ὀβίδιος, *bipenniferum* τὸν Λυκοῦργον καλεῖ· ἡμεῖς δὲ τὸ ἐπίθετον *βουπληγοφόρον* προειλόμεθα καὶ τὰς τρεῖς σημασίας ἔχον.

26). κ. ἑ. *οἰνοβαρής τε γέρων*, ὁ Σιληνός, πρεσβύτατος τῶν Σατύρων, παιδαγωγὸς καὶ πιστὸς τοῦ Βάκχου ὀπαδός, φαλακρὸς τὴν κεφαλήν, σιμὸς τὴν ῥῖνα, οἰνοβρεχής, συνήθως μεθύων, μόλις ὑπὸ τῆς μέθης βαδίζειν ἢ ἐπ' ὄνου ὀχεῖσθαι ἔχων, ὅμως δὲ σοφίας καὶ προφητικοῦ πνεύματος ἔμπλεως.

31). *Ἰσμηνίδες*· ἴδε βίβλ. γ'. σημ. εἰς στ. 734.

33). Ἐν τῷ κειμένῳ ἀναγιγνώσκεται *intempestiva Minerva*. Λέγεται δὲ μετωνυμικῶς *Minerva* ἡ ἐργασία διὰ τὸ τὴν θεὰν ταύτην κήδεσθαι καὶ προστατεῖν τῶν ἐργαζομένων, ἐξ οὗ καὶ Ἐργάνη ἐπονομάζεται.

36). *Τῶν δέ τις*, ἡ Ἀρσίππη ἢ Ἀριστίππη, ἢ Ἀρσινόη, ἧς τοὔνομα ὁ Ὀβίδιος σιωπᾷ. Σημειωτέον δὲ ὅτι οἱ δύο τοῦ κειμένου στίχοι 37 καὶ 38, ἀποδέδονται ἐν τῇ μεθερμηνείᾳ διὰ τριῶν ἤτοι τοῦ 37, τοῦ 38 καὶ τοῦ 39.

42). (κείμ. 41). *κενεῆς ἀκουῆς*, ὑπ' ἄλλων ἀκουσμάτων μὴ κατεχομέναις.

43). κ. ἑ. Ἐπιτηδείως ἐνταῦθα ὁ ποιητὴς τὴν τῆς πολλοὺς μύθους εἰδυίας Μινυάδος ἀμφιβολίαν σοφίζεται, ἵνα διὰ βραχέων μεταμορφώσεις τινὰς μνημονεύσῃ, ὧν τὴν διὰ μακρῶν διήγησιν παριέναι βούλεται.

47). (κείμ. 45). *Δερκέτις* ἢ *Δερκετώ*, τῇ συρικῇ φωνῇ *Ἀταργέτις* (ἴδε. Πλίν. hist. nat. 5, 23. 19) θεὰ ἦν ὑπὸ τῶν ἐν Παλαιστίνῃ Σύρων λατρευομένη. Αὕτη νεανίσκου καλοῦ ἐρασθεῖσα καὶ τὴν Σεμίραμιν ἐξ αὐτοῦ τεκοῦσα, αἰσχυνομένη τὸ πρᾶγμα

εἰς λίμνην εἰσήλατο καὶ εἰς ἰχθὺν μετεβλήθη. Εἰκονίζεται δὲ γυνὴ εἰς οὐρὰν ἰχθύος λήγουσα κάτω.

49—50). (κείμ. 47—48). Τὴν Σεμίραμιν βούλεται λέγειν ἐνταῦθα ὁ ποιητὴς τὴν μυθικὴν τῆς Βαβυλῶνος βασιλίδα, ἣ κατά τινας μετεμορφώθη εἰς περιστεράν. Ἰστέον δ' ὅτι ἡ λέξις Σεμίραμις τῇ καθ' Ἕλληνας περιστερᾷ ἴσον δύναται.

51—53). (κείμ. 49—51). Εἰς τὸν μῦθον ταῦτα ἔοικεν ἀναφέρεσθαι, ὃν Ἀῤῥιανὸς ἐν τοῖς Ἰνδικοῖς (31) κατὰ Νέαρχον τὸν Ἀλεξάνδρου ναύαρχον διηγεῖται τὸν ἀπὸ τῶν ἐκβολῶν τοῦ Ἰνδοῦ μέχρι τῶν τοῦ Εὐφράτου τὴν μεσημβρινὴν τῆς Ἀσίας παραπλεύσαντα παραλίαν· Φησὶ γὰρ ἐν τῇ θαλάττῃ ἐκείνῃ νῆσον κεῖσθαι, ἧς Νηρεΐδα τινὰ βασιλεύειν τοὺς καταίροντας εἰς ἰχθῦς μεταβάλλουσαν. Τὸ τῆς Νηρεΐδος ὄνομα οὐ μνημονεύεται παρ' Ἀῤῥιανῷ· καὶ παρ' Ὀβιδίῳ δὲ τοὔνομα *Naïs* οὐ κύριον ἔοικεν εἶναι, ἀλλὰ προσηγορικόν, ταὐτόσημον τῷ *Νηρεΐς*.

59—60). (κείμ. 57—58). Περὶ κτίσεως Βαβυλῶνος ὑπὸ Σεμιράμιδος ἴδε Διόδωρον Σικελιώτην (βιβλ. β'. 7), ὃς ἔγραψε περὶ αὐτῆς Κτησίᾳ τῷ Κνιδίῳ καὶ Κλειτάρχῳ ἑπόμενος. Παράβαλε καὶ Just. 1, 2, 7.

63). (κείμ. 61). *τοκῆες* (patres)· ἀμφοτέρων οἱ πατέρες τὸν γάμον ἐκώλυσαν.

83). (κείμ. 81). *πυρσοὺς νυχίους*· τὰ ἄστρα καλεῖ.

90). (κείμ. 88). *Νίνοιο*, τοῦ τῆς Σεμιράμιδος ἀνδρός, ᾧ αὕτη μνημεῖον παμμέγεθες κατεσκεύασεν, ἐννέα μὲν σταδίων τὸ ὕψος κατὰ Κτησίαν, δέκα δὲ τὸ εὖρος.

173—191). ἴδε Ὁμ. Ὀδυσ. θ. στ. 266—342.

154—155). (κείμ. 152—153). Ἐν τῇ μεθερμηνείᾳ τὸ τῆς ἀναδιπλώσεως σχῆμα παρῶπται.

175). (κείμ. 173). *ἀκοίτῃ, υἱεῖ Ἥρης*, τῷ Ἡφαίστῳ, ὃς ἀνὴρ μὲν Ἀφροδίτης, Ἥρας δὲ υἱὸς ἦν.

179). (κείμ. 177). Παράβαλε Ὁμ. Ὀδ. θ'. στ. 280 κ. ε.

δέσματα . . . . . .
ἠΰτ' ἀράχνια λεπτά, τά γ' οὔ κέ τις οὐδὲ ἴδοιτο
οὐδὲ θεῶν μακάρων.

187). (κείμ. 185). *Λήμνιος* ὁ Ἥφαιστος λέγεται· ἴδε βιβλ. β'. σημ. εἰς στ. 756.

192). (κείμ. 190). *Κυθέρεια* ἐπωνομάσθη ἡ Ἀφροδίτη ἀπὸ Κυθήρων πόλεως ἐν Κύπρῳ, ἢ ἀπὸ τῆς ὁμωνύμου παρὰ τὴν λακωνικὴν ἀκτὴν νήσου, ἐν ᾗ ἐλατρεύετο.

201). (κείμ. 199). Τῶν ἡλιακῶν ὡρονομίων (ὡρολογίων) ἐξευ-

ρεθέντων, οἱ Ῥωμαῖοι τὴν φυσικὴν ἡμέραν ἀπὸ τῆς τοῦ ἡλίου ἀνατολῆς μέχρι τῆς δύσεως εἰς δώδεκα ἴσας μοίρας ὥρας καλουμένας διῄρουν, αἵ, ὡς εἰκός, θέρους μὲν μακρότεραι, χειμῶνος δὲ βραχύτεραι ἦσαν. Ὁ οὖν Ἀπόλλων κατὰ θέαν τῆς Λευκοθέας μακρότερον τότε χρόνον ὑπὲρ γῆν διαμένων, τὰς χειμερινὰς ἡμέρας μακροτέρας ἐποίει.

206). (κείμ. 204). *Κλυμένη*, ἡ τοῦ Φαέθοντος μήτηρ· ἴδε βιβλ. ά. σημ. εἰς στ. 757. Περὶ δὲ Ῥόδου σημειωτέον τάδε· Κατά τινα μῦθον, ὃν Πίνδαρος ἐν τῇ ζ'. τῶν Ὀλυμπίων διέξεισιν, ὅτε κατ' ἀρχὰς οἱ θεοὶ τὸν Κόσμον πρὸς ἀλλήλους διεμερίζοντο, ἐπελάθοντο τοῦ Ἡλίου ἀπόντος ἐπὶ τὸ ἔργον· εἶτα δ' ἐπιμνησθέντων καὶ τοῦ Διὸς τὴν διακλήρωσιν πάλιν ποιήσεσθαι μέλλοντος, ὁ Ἥλιος οὐκ εἴα, τὴν νῆσον Ῥόδον ὑποβρύχιον ἔτι καὶ ἀόρατον οὖσαν καὶ κατὰ βραχὺ τοῦ βυθοῦ ἀναδυομένην νεμηθῆναι ἑαυτῷ μερίδα ἀγαπητὴν ἀξιῶν. Ἐπινευσάντων οὖν τῶν θεῶν, ἱερὰ ἡ νῆσος ἐγένετο τῷ Ἡλίῳ, ὃς τῇ νύμφῃ Ῥόδῳ ἔπειτα ὁμιλήσας ἑπτὰ ἐξ αὐτῆς ἔσχεν υἱούς.

207). (κείμ. 205). *Κίρκης γενέτειρα*, ἡ ὠκεανὶς *Πέρση* καθ' Ὅμηρον (Ὀδ. κ. στ. 136—139) ἢ *Περσηΐς* καθ' Ἡσίοδον (Θεογ. στ. 956). Ἡ δὲ Κίρκη, (περὶ ἧς ἴδε Ὅμ. Ὀδ. κ. στ. 135 κ. ἑ.) ἀδελφὸν μὲν ἔσχε τὸν Αἰήτην, ἀδελφὰς δὲ Ἑκάτην καὶ Πασιφάην τὴν Μίνωος γαμετήν. Καλεῖται δ' Αἰαία ἀπὸ *Αἴας* πόλεως ἐν Κολχίδι ἢ νήσου παρὰ τὴν Ἰταλίαν κειμένης.

208). (κείμ. 206). *Κλυτίη*, θυγάτηρ Ὠκεανοῦ καὶ Τηθύος.

211). (κείμ. 209). *θυοφόρου φύτλης*· ἡ τῆς χώρας ἰδιότης ἐπὶ τὸ γένος τῶν κατοίκων αὐτῆς μετενήνεκται. Χώρα δὲ θυοφόρος, ἤτοι ἀρωματοφόρος νοεῖται ἐνταῦθα ἡ Ἀσσυρία κατὰ τὴν εὐρυτέραν σημασίαν τῆς λέξεως.

212). (κείμ. 210). *Εὐρυνόμη*, Ὠκεανοῦ καὶ αὕτη καὶ Τηθύος θυγάτηρ (ἴδε Ἡσίοδ. Θεογ. στ. 358) Ὀρχάμου δὲ τοῦ τῶν Περσῶν βασιλέως γυνή.

214). (κείμ. 212). *Ἀχαιμενίῃς πολίεσσι* ταῖς Περσικαῖς ἀπὸ Ἀχαιμένους πρώτου τῶν Περσῶν βασιλέως.

215). (κείμ. 213). *Βῆλος*, μυθικὸς ἱδρυτὴς τῆς βασιλείας τῶν Ἀσσυρίων. Ἴσως δ' ἄλλον τινὰ Βῆλον νοητέον ἐνταῦθα· πλείους γὰρ μνημονεύονται τοὔνομα τοῦτο φέροντες, ὃ καὶ τῷ τοῦ *Βάαλ* συγγενὲς ἔοικεν εἶναι τοῦ τῶν Ἀσσυρίων θεοῦ.

222). (κείμ. 220). Διττὴ ἀναγιγνώσκεται ἐν τῷ κειμένῳ γραφή· ἡ μὲν *ad lumina*, ἣν μεθερμηνευτέον *ὑπὸ λύχνῳ* ἡ δὲ *ad limina*, ἣν ἐξελληνιστέον *ποτὶ φλιῇ*.

253). (κείμ. 251). *αἰθέρι κύρσεις*· ἅψει τοῦ αἰθέρος, ἤτοι

μεταβληθήσει εἰς λίβανον, οὗ ὁ ὀπὸς ἐν ταῖς θυσίαις καιόμενος εἰς τὸν αἰθέρα ἀνέρχεται.

271—272). (κείμ. 269—270). Ἡ Κλυτία μετεμορφώθη εἰς *ἡλιοτρόπιον*, οὗ τὸ ἄνθος ἀεὶ πρὸς τὸν ἥλιον τρέπεται.

275). (κείμ. 273). *ἀλλ' οὐ θεὸν ἔμμεν Ἴακχον*· τὰ ῥήματα ταῦτα ἀναμιμνήσκει ἡμᾶς τοῦ μύθου τοῦ Διονύσου, ὅθεν παρεξέβη ὁ ποιητής.

277). (κείμ. 275). *ὀρθοῖο δι' ἱστοῦ*. *Ἱστὸς* καλεῖται τὸ καθ' ἡμᾶς *ὑφαντικὸν ἐργαλεῖον* διὰ τὸ ὄρθιον ἵστασθαι παρὰ τοῖς ἀρχαίοις· ἔτι δέ, ὥσπερ ἐνταῦθα, οἱ ὁμοίως κατ' ὀρθὰς τεταμένοι *στήμονες*, δι' ὧν ὁ ὑφαίνων τὴν κρόκην τῇ κερκίδι διΐει· καὶ αὐτὸ δὲ τὸ ὕφασμα καλεῖται *ἱστός*. Διὰ πλειόνων περιγράφει τὴν ἱστουργίαν ὁ ἡμέτερος ποιητὴς ἐν βιβλίῳ ϛ' τῶν Μεταμορφώσεων στ. 53 κ. ἑ.

278 καὶ 279). (κείμ. 276 καὶ 277). Ἡ Ἀλκιθόη ὑπολαβοῦσα ἑξῆς τὴν διήγησιν μύθων τινῶν μνημονεύει ἐν προοιμίῳ, ὥσπερ ἡ τῆς διηγήσεως πρὸ αὐτῆς κατάρξασα. Τὰ δὲ περὶ τὸν Δάφνιν τὸν σικελικὸν ποιμένα, ὃν ἔνιοι Ἑρμοῦ καὶ νύμφης τινὸς υἱὸν γενέσθαι φασίν, οὐχ ὁμολογεῖται· οἱ μὲν γὰρ νύμφην τινὰ ἐρῶντι αὐτῷ τὸν ἑαυτῆς ἀνθυποσχέσθαι ἔρωτα λέγουσιν, ἐφ' ᾧ μηδέποτε μηδεμιᾷ ἄλλῃ αὐτὸν συνελθεῖν· ἐπειδὴ δ' ἐκεῖνος μεθυσθείς ποτε ἄλλῃ ὡμίλησεν, ὀργισθεῖσαν τὴν νύμφην τοῦ ἀπίστου ἐραστοῦ ἀφελεῖν τὴν ὄψιν. Ὁ δ' Ὀβίδιος ἄλλοις μυθοπλάσταις ἑπόμενος ἀπολιθωθῆναι αὐτὸν ὑπὸ τῆς νύμφης φησί. Διατὶ δ' ὁ ποιητὴς *Ἰδαῖον* τὸν Δάφνιν ἀποκαλεῖ, εἰ ἄρα ἀπὸ τοῦ ὄρους Ἴδης τοῦ ἐν Κρήτῃ ἢ ἐν Φρυγίᾳ, ἄδηλον. Ἴδε καὶ Διόδ. βιβλ. δ'. 84.

282). (κείμ. 280). Ὁ περὶ τοῦ Σίθωνος μῦθος ἄγνωστός ἐστι.

283). (κείμ. 281). Ἡ λέξις *ἀδάμας* ἐνταῦθα, ὥσπερ παρ' Ἡσιόδῳ (ἔργ. καὶ ἡμ. 149, Θεογ. 161) σημαίνει τὸν χάλυβα ἢ σίδηρον, εἰς ὃν ὁ Κέλμις μετεμορφώθη, θνητὸν εἶναι τὸν Δία διαφημίσας. Ἦν δ' ὁ Κέλμις εἷς τῶν Ἰδαίων Δακτύλων, ἤτοι Φρυγίων δαιμόνων, οἳ τῇ Κυβέλῃ ἐλάτρευον καὶ τὴν σιδηρουργίαν ἐξευρεῖν λέγονται· μετέθηκε δ' αὐτοὺς ὁ μῦθος εἰς Κρήτην, ὅπου ὁ Ζεὺς ἐγεννήθη. Εἰσὶ δ' οἳ τοῦτον οὐκ ἐπὶ τῆς ἐν Κρήτῃ Ἴδης, ἀλλ' ἐπὶ τῆς ἐν Φρυγίᾳ τεχθῆναί φασιν. Οἱ δὲ Κουρῆτες ἱερεῖς ἦσαν τῆς ἐν Κρήτῃ τοῦ Διὸς λατρείας, ἐν ᾗ ἀσπίδας καὶ κύμβαλα κρούοντες κρότον μέγαν ἐποίουν εἰς μνήμην τοῦ κατὰ τὸν τοκετὸν τοῦ Διὸς γενομένου· ἡ γὰρ Ῥέα ἐν τῷ τίκτειν τὸν Δία, δεδοικυῖα μὴ ὁ Κρόνος τοῦ βρέφους κλαυθμυριζομένου αἰσθόμενος, τοῦθ' ὃ τοὺς πρότερον τεχθέντας παῖδας ἐποίησεν, ἐπελθὼν καταπίει αὐτόν, προσέταξε τοῖς

Κουρῆσιν ἀσπίδας καὶ κύμβαλα κρούοντας ἀναίσθητον τῷ πατάγῳ ποιεῖν τὸν κλαυθμυρισμόν.

286). (κείμ. 283). *Κρόκος* νεανίσκος ἦν, οὗ Σμῖλαξ νεᾶνις ἠράσθη· μετεμορφώθησαν δὲ εἰς τὸ ὁμώνυμον ἑκάτερος φυτόν. Πλειόνων δὲ φυτῶν τοὔνομα *σμῖλαξ* φερόντων, *σμίλακα τὴν λείαν*, τὴν καθ' ἡμᾶς *περιπλοκάδα* καλουμένην νοητέον ἐνταῦθα.

293). (κείμ. 291). *καὶ οὔνομα δ' ἔσχεν ἀπ' ἀμφοῖν*. *Ἑρμαφρόδιτος* δηλονότι ἐκλήθη ἀπὸ τοῦ πατρὸς Ἑρμοῦ καὶ τῆς μητρὸς Ἀφροδίτης.

313). (κείμ. 311). *κυτωραίῳ*, ἤτοι πυξίνῳ μετωνυμικῶς· *Κύτωρον* γὰρ καὶ *Κύτωρα* ὄρος Παφλαγονίας ἐστὶ πύξοις δασύ, ἀφ' οὗ τὸ ἐπίθετον *Κυτωραῖος* ὡς ἀπὸ τοῦ *Πάταρα* τὸ *Παταραῖος*.

333 κ. ἑ.). (κείμ. 331 κ. ἑ.). Τὸ ἐρυθρὸν χρῶμα εὐφυῶς τῷ λευκῷ μεμιγμένον ἐμφαίνειν θέλων ὁ ποιητὴς παράδειγμα ποιεῖται τὸ τοῖς λευκοῖς μήλοις ἐπανθοῦν ἐρύθημα, ἢ τὸ τοῦ πορφύρᾳ ἐπικεχρωσμένου ἐλέφαντος ἢ τὸ τῆς ἐκλειπούσης σελήνης· ἀργυροφεγγὴς γὰρ αὕτη συνήθως οὖσα ἐπιεικῶς ἐν ταῖς ἐκλείψεσιν ἐρυθραίνεται. Ὑπεμφαίνει δ' ὁ ποιητὴς κατὰ μετάληψιν τὴν τῆς σελήνης ἔκλειψιν τῷ συνήθως κατ' αὐτὴν πραττομένῳ· ἔθος γὰρ ἦν τοῖς πάλαι, καὶ νῦν ἔτι τοῖς πολλοῖς τῶν Ἀσιατῶν, ὁπότ' ἀμαυρουμένην ἴδοιεν τὴν σελήνην, κύμβαλα καὶ ἄλλα χαλκᾶ σκεύη κρούοντας ἰσχυρῶς, κρότον μέγαν μάτην ποιεῖν, οἷον ἀμύνοντας αὐτῇ πρὸς τὸ πάθος· οἴονται γὰρ δαίμονας ἐναερίους τοῦ νυκτερινοῦ φωστῆρος ἐπικαλύπτειν τότε τὴν ὄψιν.

338). (κείμ. 336). *ἔνθα λιπών σε*. Κατ' ἔννοιαν μεθηρμήνευται τὸ χωρίον, ὅπερ καὶ ἐν ἄλλοις τισὶ γέγονεν· ἔδει γὰρ τὸν ἀκριβῶς μεθερμηνεύοντα λέγειν· *τὸν τόπον τοῦτον σὺν σοὶ λιπών*.

364). (κείμ. 362). *τὸν ἄναξ μάρψας πετεηνῶν*. ἄναξ πτηνῶν κατ' ἀντονομασίαν ὁ ἀετός· ἔστι δὲ καὶ ἄλλως τὸ τοῦ κειμένου *regia ales* (βασιλικὸς ὄρνις) ἐκδέξασθαι· εἰκότως γὰρ ἂν κληθείη οὕτως ὁ ἀετός, ἅτε τοῦ Διὸς ἱερὸς ὄρνις ὢν τοῦ ἀνδρῶν τε καὶ θεῶν βασιλεύοντος. Κατὰ ταύτην οὖν τῆς λέξεως τὴν ἐκδοχὴν ἔστι τὸν στ. 363 ὧδε μεταποιῆσαι·

ὡς ὄφις ἀμφεπλάκη, τὸν περ μάρψας Διὸς ὄρνις·

Παράβαλε καὶ Ὁμ. Ἰλ. μ. στ. 200 κ. ἑ.

370). (κείμ. 368). *Ἀτλαντιάδης* καλεῖται ὁ νεανίσκος ἅτε τοῦ Ἑρμοῦ υἱὸς ὢν τοῦ μητρόθεν τὸ γένος ἐξ Ἄτλαντος ἕλκοντος.

377—378). (κείμ. 375—376)· Ἡ ἰσχυρῶς τῷ Ἑρμαφροδίτῳ

περιπλακεῖσα νύμφη προσφυῶς παραβάλλεται πρὸς τὸν ἐνθεματιζόμενον καὶ συμφυόμενον τῷ δένδρῳ κλῶνα.

417). (κείμ. 415) *οὔνομ' ἔχουσ' ἀπὸ νυκτός*, ἤτοι καλοῦνται *νυκτερίδες*.

419). (κείμ. 417). *τηθίς*, ἡ τῆς Σεμέλης ἀδελφὴ Ἰνώ.

421). (κείμ. 419). *ἀδελφαί*· ἤτοι ἡ Σεμέλη, καταφλεγεῖσα ὑπὸ τοῦ Διὸς (ἴδε· βιβλ. γ'. στ. 308), ἡ Αὐτονόη, ἧς ὁ υἱὸς Ἀκταίων ὑπὸ τῶν ἑαυτοῦ κυνῶν διεσπάσθη (ἴδε βιβλ. γ'. στ. 250)· ἔτι δὲ αὐτὴ αὔτη καὶ ἡ Ἀγαύη, ἀποκτείνασαι τὸν Πενθέα· (ἴδε βιβλ. γ'. στ. 720 κ. ἑ.).

422). (κείμ. 420). *ἑοῖς ἐπὶ τέκνοις*, τῷ Λεάρχῳ καὶ Μελικέρτῃ.

423). (κείμ. 420). *καὶ θαλάμῳ Ἀθάμαντος*· ὁ γὰρ τῆς Ἰνοῦς ἀνὴρ Ἀθάμας βασιλεὺς ἦν Ὀρχομενοῦ, υἱὸς δ' Αἰόλου καὶ ἔγγονος Ἕλληνος· *ἠδὲ τροφίμῳ θεῷ*, ἤτοι τῷ Διονύσῳ. Τούτοις τῇ Ἰνοῖ ἐναβρυνομένῃ ἐχαλέπαινεν ἡ Ἥρα, ἅτε πρὸς πάντα τὸν τοῦ Κάδμου οἶκον τὸν τῇ Εὐρώπῃ συγγενῆ ἀπεχθῶς ἔχουσα.

425). (κείμ. 423). *μηονίους ναύτας*· ἴδε βιβλ. γ'. σημ. εἰς στ. 584.

426). (κείμ. 424). *υἷος ἑοῖο*, τοῦ Πενθέως.

432—433). (κείμ. 430—431). *ὑποδείγμασιν οἰκείοις*, ἀντὶ ὑποδείγμασιν οἰκείων, ἤτοι τῶν αὐτῆς ἀδελφῶν, αἳ τοῦ φρονεῖν ἐξεστήκεσαν.

434). (κείμ. 432). Τὴν εἰς ᾅδου ὁδὸν σμίλακι κατεσκιασμένην ποιεῖ ὁ Ὀβίδιος διὰ τὸ τὸν καρπὸν τοῦ φυτοῦ δηλητηριώδη νομίζεσθαι.

436). (κείμ. 434). Τὸ ἐπίθετον *νωθρὴ* τὴν βραδεῖαν τῆς Στυγὸς ἐμφαίνει ῥοήν· *σκιαὶ δὲ νέαι* νοείσθωσαν ἐνταῦθα αἱ τῶν ἀρτίως τεθνηκότων ψυχαί.

437). (κείμ. 435). Μόνοις τοῖς εἰδώλοις ἤτοι ταῖς ἀναίμοις καὶ ἀσάρκοις καὶ ἀνοστέοις σκιαῖς τῶν ταφῆς τυχόντων νεκρῶν ἐφεῖτο διαπλευσάσαις τὴν Στύγα εἰς ᾅδου ἐλθεῖν· ἴδε Ὅμ. Ἰλ. ψ. στ. 71.

439 κ. ἑ.). (κείμ. 436 κ. ἑ.). Αἱ μὲν πύλαι καὶ οἱ οἶκοι τοῦ ᾅδου ὁμηρικαί εἰσι φαντασίαι· ἡ δὲ ὑποχθόνιος πόλις ἔοικεν ἐπινενοῆσθαι ὑπ' Ὀβιδίου.

445). (κείμ. 443) παράβαλε Ὅμ, Ὀδ. λ. στ. 219 κ. ἑ.

446—447). (κείμ. 444—445) *ἀγορὰν* ἐν ᾅδου καλεῖ ὁ ποιητὴς τὸν τόπον ὅπου ἀθροίζονται οἱ νεκροὶ καὶ ὁ Μίνως δικάζει· πρβλ. Ὅμ. Ὀδ, λ. στ. 568—571· *οἶκον δὲ ἄνακτος* τὸ τοῦ Μίνω ἀνάκτορον, ὅπου πολλοὶ φοιτῶσι τῷ ἄρχοντι ἐντευξόμενοι,

ὥσπερ οἱ Ῥωμαῖοι εἰώθεσαν ζῶντες ἐν Ῥώμῃ ποιεῖν. Ποιεῖ δ' ὁ Ὀβίδιος τοὺς νεκροὺς κατὰ μίμησιν Ὁμήρου καὶ κατὰ τὴν ἐπικρατοῦσαν παρ' Ἕλλησι καὶ Ῥωμαίοις δόξαν περὶ τὰ αὐτὰ ἐν ᾅδου ἀσχολουμένους, ἃ καὶ ζῶντες ἐπὶ γῆς ἐπετήδευον. Ὅμηρος μὲν γὰρ ποιεῖ (Ὀδ. λ. στ. 572 κ. ἑ.) τὸν θηρευτὴν Ὠρίωνα·

θῆρας ὁμοῦ εἰλεῦντα κατ' ἀσφοδελὸν λειμῶνα,
τοὺς αὐτὸς κατέπεφνεν ἐν οἰοπόλοισιν ὄρεσσι.

Κατὰ δὲ Οὐϊργίλιον (Aen. VI. στ. 651 κ. ἑ.) χαίρουσιν ἐν ᾅδου οἱ ἥρωες, ὡς πρότερον ἐν τῷ βίῳ, ὅπλοις καὶ ἵπποις καὶ ἅρμασι. Δῆλός δ' ἐστὶ τούτοις καὶ Πλάτων ὁμοδοξῶν ἐν οἷς λέγει. « Ταύτην γὰρ δή, ἔφη, τὴν θέαν ἀξίαν εἶναι ἰδεῖν, ὡς ἕκασται αἱ ψυχαὶ ᾑροῦντο τοὺς βίους· ἐλεεινήν τε γὰρ ἰδεῖν εἶναι καὶ γελοίαν καὶ θαυμασίαν· κατὰ συνήθειαν γὰρ τοῦ προτέρου βίου τὰ πολλὰ αἱρεῖσθαι (πολιτ. βιβλ. Ι′. 619). Τούτοις καὶ ὁ Τεύτων ποιητὴς Σχίλλερος ἠκολούθησεν ἐν τῷ ἄσματι αὐτοῦ, οὗ ἡ ἐπιγραφὴ *die Goetter griechenlands* στρ. 13.

Σημειωτέον ἔτι ὅτι μετὰ τὸν ἐν τῷ κειμένῳ 445 στίχον ἀναγιγνώσκεται παρά τισιν ὁ παρεμβόλιμος στίχος·

exercent, aliam partem sua poena coercet.

ἀλλ' οὗτος λείπει ἐν τοῖς ἀρίστοις χειρογράφοις· δοκεῖ δ' ἀληθῶς περιττεύειν καὶ ὑπ' ἀντιγραφέως τινὸς νεωτέρου παρεντεθεῖσθαι, ἀγνοοῦντος ἴσως ὡς ἔστι τό,τε *forum* καὶ τὸ *tecta* εἰς τὸ αὐτὸ ῥῆμα *celebrant* κατὰ τὸ συντακτικὸν σχῆμα τὸ καλούμενον *ζεῦγμα* ἀνενεγκεῖν. Χάριν δὲ τῶν καὶ τοῦ παρεμβολίμου στίχου ἀντεχομένων προστεθείσθω ἐνταῦθα καὶ ἡ ἑξῆς τούτου μεθερμηνεία·

ἄλλαι δ' αὖτε δίκην ἔργων τίνουσιν ἀλιτρῶν.

451). (κείμ. 450). *Κέρβερος*. Ὁ τοῦ ᾅδου πυλωρὸς κύων μνημονεύεται δὶς παρ' Ὁμήρῳ (Ἰλ. θ. 368 καὶ Ὀδ. λ. 623) ἄνευ ὀνόματος. Κατὰ δὲ τὴν Ἡσιόδου Θεογονίαν (στ. 310) καλεῖται Κέρβερος· ἦν δὲ κατὰ τὸν μῦθον πεντηκοντακάρηνος γόνος τῆς Ἐχίδνης καὶ τοῦ Τυφῶνος.

452 καὶ 453). (κείμ. 450 καὶ 451). *ἀδελφὰς ἐκφύσας νυκτὸς* τὰς Ἐριννῦς λέγει, αἳ καθ' Ἡσίοδον (Θεογ. 185) ἐκ τῆς Γῆς, κατ' Αἰσχύλον δὲ (Εὐμεν. 321) ἐκ τῆς Νυκτὸς ἐγεννήθησαν.

454 καὶ 455). (κειμ. 452 καὶ 453). Ὁ *Τάρταρος*, ἐν ᾧ οἱ κατακεκριμένοι ἐν ᾅδου ἐκολάζοντο, σιδηραῖς πύλαις ἐκέκλειστο· *ἀδάμας* δ' ἐνταῦθα, ὡς καὶ ἐν στ. 283, τὸν σίδηρον σημαίνει ἢ χάλυβα. Παρὰ Οὐϊργιλίῳ τὰς σιδηρᾶς τοῦ ᾅδου πύλας φυλάττει ἡ Τισιφόνη (Aen. VI στ. 552 κ. ἑ.). Πρῶτος δὲ ὁ Αἰσχύλος (Χοηφ. 1048) δρακοντοκόμους τὰς Ἐριννῦς, ὥσπερ τὰς Γοργόνας, ἐποίησε.

458 κ. ἑ.). (κείμ. 456 κ. ἑ.). Ὁ μὲν *Τιτυὸς* υἱὸς τῆς Γῆς, (Ὀδ. ἠ. 324) ἔρωτι ἁλοὺς τῆς Λητοῦς καί ποτε πειράσας αὐτὴν εἰς Πυθὼ ἐρχομένην, κατετοξεύθη ὑπὸ τοῦ Ἀπόλλωνος· ἦν δ' οὕτω μέγας τὸ σῶμα, ὥστ' ἐπὶ δέκα πλέθρα κεῖσθαι αὐτὸν τετανυσμένον ἐν ᾅδου, ἔνθα τὸ ἧπαρ ἀεὶ ὑπὸ γυπῶν δύο ἠσθίετο· ὁ δὲ *Τάνταλος*, υἱὸς μὲν Διὸς (κατ' ἄλλους δὲ Τμώλου), βασιλεὺς δὲ Λυδίας ἢ Φρυγίας, ἐπὶ λίμνῃ τινὶ ἐν ᾅδου κατὰ τὴν Ὀδύσσειαν (λ. 582 κ. ἑ.) ἕστηκε δίψει πολλῷ συνεχόμενος καὶ τοῦ ὕδατος πιεῖν μάτην πειρώμενος· φεύγει γὰρ τοῦτο ἀεί, ὥστε μηδ' ἅψασθαι αὐτὸν τοῖς χείλεσιν ἔχειν· καὶ καρπῶν δὲ τῆς κεφαλῆς αὐτοῦ ὑπεραιωρουμένων οὐ δύναται γεύσασθαι, ἀναρπαζομένων καὶ τούτων ὑπὸ θυελλῶν καὶ ἀναῤῥιπτουμένων εἰς ὕψος. Κατ' ἄλλον δέ τινα μῦθον, ᾧ Εὐριπίδης ἐν Ὀρέστῃ (στ. 970 κ. ἑ.) ἀκολουθεῖ, πέτρα μεγάλη τῇ κεφαλῇ τοῦ Ταντάλου ἐπεκρεμάσθη, ἣν αὐτὸς φυλασσόμενος ἀεὶ φόβῳ μεταπηδᾷ. Ἡ δὲ τῆς κολάσεως αἰτία, περὶ ἧς οὐδὲν μνημονεύεται ἐν τῇ Ὀδυσσείᾳ, οὐχ ὁμολογεῖται· οἱ μὲν γὰρ αὐτὸν φασὶ σύνδειπνον γενόμενον τοῖς θεοῖς τὰ θεῖα μυστήρια εἰς τοὺς ἀνθρώπους ἐξενεγκεῖν καὶ διὰ τοῦτο ἐν ᾅδου κολάζεσθαι· οἱ δὲ ποινὴν αὐτὸν ἀσεβείας τίνειν· τολμῆσαι γὰρ αὐτὸν τοὺς θεοὺς παρ' ἑαυτῷ ξενιζομένους ποτὲ πειρᾶσαι, τὸν υἱὸν Πέλοπα κρεουργήσαντα καὶ ἑψήσαντα καὶ ἐκείνοις παραθέντα εἰς δεῖπνον (ἴδε Πίνδ. Ὀλυμπ. ά. ἀντιστρ. β'.)· οἱ δὲ κλοπῆς δίκην αὐτὸν ὑπέχειν, νέκταρ ἐξ οὐρανοῦ καὶ ἀμβροσίαν κλέψαντα καὶ τούτων μεταδόντα ἐπὶ γῆς τοῖς συμπόταις (ἴδε Πινδ. Ὀλυμπ. ά. στρ. γ'.). Ὁ δὲ Σίσυφος πατρὸς Αἰόλου γενόμενος τοῦ βασιλεύσαντος ἐν Ἐφύρᾳ (ἴδε Ἰλ. ζ'. στ. 152) ἐκολάζετο ἐν ᾅδου λίθον παμμεγέθη εἰς τὸ ἄναντες ὄρους τινὸς ἀεὶ ἀνωθῶν, ὃς ἀπὸ τοῦ ὑψηλοῦ πάλιν πολλῇ τῇ ῥύμῃ κατεκυλίετο. Καὶ τούτου δὲ τῆς ποινῆς αἰτία, ἧς οὐδεμία ἐν Ὀδυσσείᾳ γίγνεται μνεία, ἄλλη παρ' ἄλλοις ἀναγιγνώσκεται. Ὁ δὲ Ἀπολλόδωρος τοιαύτην αὐτῷ φησι δίκην ἐπιθεῖναι τὸν Δία, ὅτι τὴν ὑπὸ τούτου τῆς Αἰγίνης ἁρπαγὴν τῷ πατρὶ Ἀσωπῷ ἀγνοοῦντι ἐμήνυσε.

462). (κείμ. 460). Ἰξίων βασιλεὺς ἐν Θεσσαλίᾳ, εἰς οὐρανὸν ἀναχθεὶς ὑπὸ τοῦ Διός, συμπότης ἐγένετο τοῖς θεοῖς. Ὑπὸ δὲ τῆς εὐτυχίας ἰλιγγιάσας τῶν ὑπὲρ αὐτὸν ἐπεθύμησε, τῆς Ἥρας αὐτῆς ἐρασθείς. Ὁ δὲ Ζεὺς ὀργισθεὶς παρέστησεν αὐτῷ ἐξεικάσας τῇ Ἥρᾳ νεφέλην, καὶ ταύτῃ, ὡς δὴ θεᾷ, συγγενέσθαι τολμήσαντος ἀϊδίαν αὐτοῦ κατέγνω ποινὴν τροχηλατεῖσθαι ἐν ᾅδου.

463 καὶ 464). (κείμ. 462 καὶ 463). *Βηλίδες*· οὕτως ὀνομάζονται ἀπὸ Βήλου τοῦ πάππου, βασιλέως Αἰγύπτου, αἱ ἀπὸ τοῦ πατρὸς Δαναοῦ *Δαναΐδες* καλούμεναι· ἦσαν δ' αὗται πεντή-

κοντα, τοῖς Αἰγύπτου τοῦ πατραδέλφου υἱέσι καὶ ἑαυτῶν μνηστῆρσιν ἰσάριθμοι, αἳ τοῦ πατρὸς κελεύσει τὸν ἑαυτῆς ἑκάστη νυμφίον ἐν τῇ κοίτῃ ἀπέκτειναν πλὴν μιᾶς τῆς Ὑπερμνήστρας, ἣ Λυγκέως τοῦ ἑαυτῆς νυμφίου ἐφείσατο. Ταύτης οὖν ἕνεκα τῆς ἀνοσιουργίας αἱ Δαναΐδες ἐν ᾅδου κολάζονται, εἰς τετρημένον λίθον ἀεὶ ἀντλοῦσαι.

467). (κείμ. 466). *κασιγνήτων*· ἀδελφοὶ Σισύφου εἰσὶν Ἀθάμας, Κρηθεύς, Σαλμωνεὺς καὶ ἄλλοι τοῦ Αἰόλου υἱοί.

475). (κείμ. 474). *Τισιφόνη*, μία τῶν Ἐριννύων, ἣ φόνου πράσσεται ποινάς.

481). (κείμ. 480). *Ἶρις*· ὑπηρέτις αὕτη τῆς Ἥρας οὖσα, θυγάτηρ δὲ Θαύμαντος (υἱοῦ Πόντου καὶ Γῆς) καὶ Ἠλέκτρας τῆς Ὠκεανίδος (ἴδε Ἡσιόδ. Θεογ. 265) καθαρτικῷ ὕδατι καταῤῥαίνουσα τὴν Θεὰν ἐξ ᾅδου ἐπανιοῦσαν ἁγνίζει πρὸ τῆς εἰς οὐρανὸν εἰσόδου, ἵνα μὴ ἡ κατοικία τῶν θεῶν μιανθῇ. Τὴν αὐτὴν συμβολικὴν πρᾶξιν ἴδε παρ' Οὐϊργιλίῳ (Aen. VI στ. 229) παρ' ᾧ οἱ τοῦ Αἰνείου ἑταῖροι μετὰ τὸ θάψαι τὸν Μισηνὸν καταῤῥαίνονται.

482). (κείμ. 481). *δαΐδα ἑλοῦσα*· δᾷδας ἐν χερσὶ φέρουσαι αἱ Ἐριννῦς διώκουσι τοὺς ἀνόσια πράξαντας.

487 καὶ 488). (κείμ. 486 καὶ 487). Εἰκότως ὁ ποιητὴς *σταθμοὺς Αἰόλου* ἢ Αἰολίους καλεῖ τοὺς τοῦ οἴκου τοῦ Ἀθάμαντος· οὗτος γὰρ Αἰόλου υἱὸς ἦν.

502). (κείμ. 501). *Ἐχίδνης*. Κατὰ τὴν Ἡσιόδου Θεογονίαν ἡ Ἔχιδνα Χρυσάορος καὶ Καλλιῤῥόης, κατ' ἄλλους δὲ Ταρτάρου καὶ Γῆς ἦν θυγάτηρ.

509—510). (κείμ. 508—509). Οὕτω ταχέως, φησί, τὴν καιομένην δᾷδα ἡ Τισιφόνη περιεδίνει, ὥστε κύκλον πυρὸς συνεχῆ ὁρᾶσθαι, ὥσπερ διωκόντων ἄλληλα κύκλῳ τῶν φωτεινῶν σημείων, ἐξ ὧν ἡ τοῦ κύκλου φωτεινὴ περιφέρεια σύγκειται.

512). (κείμ. 511). *βῆ πάλιν εἰς ἀΐδην*· οὕτως ἁπλῶς μεθηρμήνευται ἐκ μετρικῆς ἀνάγκης τὸ ἐν τῷ κειμένῳ διὰ πλειόνων κεκαλλιεπημένον· *ad inania magni regna redit Ditis* εἰς τὴν κενὴν τοῦ μεγάλου Πλούτωνος βασιλείαν ἐπάνεισι· καλεῖται δὲ ὁ ᾅδης *βασιλεία κενὴ* ὡς ὑπὸ σκιῶν μόνον οἰκούμενος.

526). (κείμ. 525). Ἡ ἐπὶ τῆς μεσημβρινῆς ἀκτῆς τῆς Μεγαρικῆς κειμένη *Μολουρὶς πέτρα* ἐνομίζετο ὑπὸ τῶν ἀρχαίων ἐκείνη εἶναι, ἀφ' ἧς ἡ Ἰνὼ ἑαυτὴν μετὰ τοῦ Μελικέρτου εἰς θάλασσαν ἔῤῥιψε. Διὸ Λευκοθέᾳ καὶ Παλαίμονι τοῖς ἐναλίοις θεοῖς καθιέρωτο, εἰς οὓς ἡ Ἰνὼ μετὰ τοῦ παιδὸς ἐπιστεύετο μεταμορφωθῆναι.

532 κ. ἑ.). (κείμ. 531 κ. ἑ.). Ἡ Ἀφροδίτη μητρομήτωρ ἦν τῆς

Ἰνοῦς, ἧς τὴν μητέρα Ἁρμονίαν ἐξ Ἄρεως ἔτεκεν. (ἴδε βιβλ. γ'. σημ. εἰς στ. 132). Εἰκότως οὖν ὑπὲρ ταύτης ἱκετεύει τὸν ἑαυτῆς πατράδελφον Ποσειδῶνα.

534). (κείμ. 533). Ὁ μὲν Ζεὺς ἄρχει τοῦ Οὐρανοῦ καὶ τῆς γῆς· ἔγγιστα δ' αὐτῷ κεῖται ἡ θάλασσα, ἡ τοῦ Ποσειδῶνος ἀρχή. Πορρωτέρω δ' ὑπὸ γῆν ὁ ᾅδης ἐστίν, ἐν ᾧ τὰ τοῦ Πλούτωνος βασίλεια ἵδρυται.

536). (κείμ. 534). *Ἰόνιον* μὲν πέλαγος τὸ μεσημβρινὸν τῆς Ἀδριατικῆς θαλάσσης μέρος καλεῖται· ὁ δὲ Σαρωνικὸς κόλπος, εἰς ὃν ἀπὸ τῆς Μολουρίδος πέτρας ἡ Ἰνὼ ἑαυτὴν μετὰ τοῦ Μελικέρτου ῥίψαι μεμύθευται, πόρρω τοῦ Ἰονίου πελάγους κεῖται, εὐρυτάτοις ὁρίοις, τῇ τε Πελοποννήσῳ πάσῃ καὶ τῷ κορινθιακῷ κόλπῳ, ἐκείνου διοριζόμενος. Τί οὖν; τοσαύτην περὶ τὴν Γεωγραφίαν ἄγνοιαν τοῦ Ὀβιδίου κατηγορήσομεν; Οὐκ ἔμοιγε δοκεῖ· ἀλλ' ἐκεῖνο μᾶλλον ἐνθυμητέον, ὅτι οὐδαμοῦ παρὰ τῷ ποιητῇ ἀκριβῶς ἡ θάλασσα ὥρισται, εἰς ἣν ἥλατο ἡ Ἰνὼ μετὰ τοῦ παιδός· ὥστ' ἔξεστιν ἡμῖν ὑποθέσθαι οὐ τὸν Σαρωνικὸν κόλπον κατὰ νοῦν ἔχειν αὐτόν, ἀλλ' ἄλλην τινὰ γείτονα θάλασσαν, οἷον τὸν κορινθιακὸν κόλπον, τὸν τῷ Ἰονικῷ πελάγει συνεχόμενον.

538 καὶ 539). (κείμ. 537 καὶ 538). *Ἀφροδίτη* καὶ *Ἀφρογένεια* ἐκλήθη ἡ Ἀθηνᾶ ἀπὸ τοῦ τῆς θαλάσσης ἀφροῦ, ἐξ οὗ καθ' Ἡσίοδον (Θεογ. 155) ἐγεννήθη. Ἀνωτέρω δὲ (στ. 533) ἀδελφιδῆν τοῦ Ποσειδῶνος, ἤτοι τοῦ Διὸς θυγατέρα τὴν Ἀφροδίτην ποιεῖ ὁ Ὀβίδιος τῷ Κρητικῷ μύθῳ ἑπόμενος· οὐ θαυμαστὸν δὲ τὸ μὴ ὁμολογεῖν ἀεὶ τοὺς ποιητὰς ἑαυτοῖς.

543). (κείμ. 542). Οἱ παρ' Ἕλλησι Λευκοθέα καὶ ὁ Παλαίμων τοῖς παλαιτάτοις ἰταλικοῖς Θεοῖς Ματούτα καὶ Πορτούμνῳ παρὰ Ῥωμαίοις συγκέχυνται, ὡς ὁ αὐτὸς Ὀβίδιος λέγει·

Leucothea Graeis, Matuta vocaberis nostris
in portus nato jus erit omne tuo,
Quem nos Portumnum, sua lingua Palaemona dicet.
Fast. 6, στ. 545 κ. ἑ.

544). (κείμ. 543). *Σιδονίας* ἐνταῦθα τὰς *Θηβαίας* ὀνομάζει ὁ ποιητὴς διὰ τὸ Κάδμον τὸ τῶν Θηβῶν κτίστην ἐκ Φοινίκης εἰς Ἑλλάδα μετοικῆσαι.

545). (κείμ. 544). *Πρυμνῇ πέτρῃ*, τῇ ἐσχάτῃ πρὸς τὴν θάλασσαν· ἡ αὐτὴ δ' αὕτη ἐστὶ τῷ ἐν τῷ κειμένῳ primo saxo, ἤτοι τῇ πρώτῃ ἀπὸ τῆς θαλάσσης.

548). (κείμ. 547). *Παλλακίδα* τὴν Σεμέλην νοείτω ὁ ἀναγνώστης.

563). (κείμ. 562). *Ἰσμηνίδες* λέγονται ἐνταῦθα αἱ ὄρνεις, εἰς ἃς αἱ τῆς Ἰνοῦς θεράπαιναι μετεβλήθησαν, ἅτε Θηβαῖαι οὖσαι.

609). (κείμ. 608 κ. ἑ). *Ἀκρίσιος* υἱὸς μὲν ἦν Ἄβαντος, ἔγγονος δὲ Λυγκέως, δισέγγονος δὲ Δαναοῦ, Ἄργους δὲ βασιλεύς. Ὁ δὲ Δαναὸς πατρὸς Βήλου ἐγένετο, οὗ ἀδελφὸς ἦν Ἀγήνωρ ὁ τοῦ Κάδμου πατήρ, Βάκχου δὲ πρόπαππος. Κατὰ τὸν Ἀπολλόδωρον (3, 5, 3) ἐπειδὴ ὁ Βάκχος ἑαυτὸν τοῖς Θηβαίοις θεὸν ἐδήλωσεν ὄντα, εἰς Ἄργος ἀφίκετο. Τιμῆς δὲ θείας ἐκεῖ οὐ τυχὼν, μανικὸν πάθος ταῖς γυναιξὶν ἐνεποίησε· τὰ γὰρ θηλάζοντα ἑαυτῶν βρέφη κατήσθιον.

612). (κείμ. 611). *Περσεὺς*, υἱὸς Διὸς καὶ Δανάης θυγατρὸς Ἀκρισίου, ᾗ ὁ θεὸς ὡμίλησεν, ἐν εἴδει χρυσοῦ ἀετοῦ εἰς τὸν θάλαμον εἰσελθὼν, ἐν ᾧ ἐκέκλειστο ὑπὸ τοῦ πατρὸς δεδιότος τὸ θέσφατον· ἐκέχρηστο γὰρ ἐκπεσεῖσθαι αὐτὸν τῆς ἀρχῆς ὑπὸ τοῦ ἐγγόνου.

615). (κείμ. 614 κ. ἑ). *ὁ μὲν* (ὁ Βάκχος) *πόλον ἤλυθ'*. Ὁ Βάκχος μετὰ τὸ καταφανῆ ἐπὶ γῆς τὴν θείαν ἑαυτοῦ δύναμιν καταστῆσαι καταβὰς εἰς ᾅδου τὴν μητέρα Σεμέλην ἐκεῖθεν ἀνήγαγε καὶ Θυώνην αὐτὴν ὀνομάσας συνανέβη εἰς οὐρανόν. Ἀπολλόδ. 3, 5, 3.—*Ὁ δὲ σκύλος χερσὶ φέρων* κ. τ. ἑ). Ὁ Περσεὺς νοεῖται ἐνταῦθα, ὃς τὴν δρακοντοκόμον Μέδουσαν ἔκτεινε· *σκύλος* δὲ ἢ *σκύλον* ἡ ταύτης κεφαλή. Τὸν περὶ τοῦ φόνου τῆς Μεδούσης μῦθον ὕστερον ἐπάγει ὁ Ὀβίδιος στ. 774. κ. ἑ. Τὰ δὲ περὶ βλαστήσεως τῶν πολλῶν ἐν Λιβύᾳ ὄφεων ἐκ τῶν Ἀπολλωνίου Ἀργοναυτικῶν ἀπεμάξατο ὁ ἡμέτερος ποιητής· ἐκεῖνος γὰρ (Ἀργον. δ' στ. 1513 κ. ἑ). ᾄδει περὶ τοῦ πράγματος τάδε·

Εὖτε γὰρ ἰσόθεος Λιβύην ὑπερέπτατο Περσεὺς
Εὐρυμέδων (καὶ γὰρ τὸ κάλεσκέ μιν οὔνομα μήτηρ)
Γοργόνος ἀρτίτομον κεφαλὴν βασιλῆϊ κομίζων,
ὅσσαι κυανέου στάγες αἵματος οὖδας ἵκοντο,
αἳ πᾶσαι κείνων ὀφίων γένος ἐβλάστησαν.

617). (κείμ. 616). Τῷ Περσεῖ ἐπὶ τὸν τῆς Γοργόνος ὁρμωμένῳ φόνον πέδιλα πτερωτά, οἷα ὁ Ἑρμῆς ὑποδεδεμένος εἰκονίζεται, αἱ νύμφαι παρέσχον· ἴδε Ἀπολλόδ. 2, 4, 2.

626). (κείμ. 625). *Ὁ Καρκίνος* κείμενος ἐπὶ τῆς Ἐκλειπτικῆς νοτιωτέραν τῶν Ἄρκτων ἐν τῷ οὐρανῷ ἔχει θέσιν καὶ διὰ τοῦτο χώρας νοτιωτέρας τῶν ὑπὸ τὰς Ἄρκτους σημαίνει.

639). (κείμ. 638). *Χρύσεα μῆλα*, τὰ τῶν Ἑσπερίδων, ὧν ὁ τόπος οὐχ ὁμολογεῖται ὑπὸ τῶν μυθογράφων. Ἐδρέψατο δ' αὐτὰ ὁ Ἡρακλῆς τὸν φυλάττοντα δράκοντα κτείνας, ὃ δὴ ἐνταῦθα (στ. 645 καὶ 646) διὰ χρησμοῦ προμηνύεται.

644). (κείμ. 643). *Θέμις Παρρασία*· ἴδε βιβλ. ά. σημ. εἰς στ. 321.

650 καὶ 651). (κείμ. 648 καὶ 649). *ἀπόστιχε* κτλ. Ἄπιθι ἐντεῦθεν μὴ οὐδὲν ὠφελήσῃ σε τῶν ψευδῶν σου ἔργων τὸ κλέος καὶ ὁ πατήρ σου Ζεύς.

657). (κείμ. 656). *ἐπιστρεφθείς*, ἵνα μὴ καὶ αὐτὸς τὴν τῆς Μεδούσης ἰδὼν κεφαλὴν ἀπολιθωθῇ.

664). (κείμ. 663). *Ἱπποτάδης* ὁ Αἴολος λέγεται, ὅτι τὸν Ἱππότην ἔσχε πατέρα· ἦν δ' ὁ Αἴολος κατὰ τὸν μῦθον τῶν ἀνέμων ταμίας, ὁτὲ μὲν αὐτοὺς καθειργνύς, ἄλλοτε δ' ἀπολύων· ἴδε Ὅμ. Ὀδ. κ. στ. 21—22.

666). *Πτέρυγας* τὰ πτερωτὰ πέδιλα.

667). *καμπύλον ὅπλον*, ἤτοι τὴν ἅρπην, ᾗ ὁ Περσεὺς ὅπλῳ ἐχρῆτο.

670). (κείμ. 664). *Κηφεὺς* υἱὸς ἦν Βήλου καὶ Ἀγχινόης, ἀδελφὸς δὲ Αἰγύπτου, Δαναοῦ καὶ Φινέως, βασιλεὺς δὲ Αἰθιοπίας ἢ κατά τινας τῆς ἐν Φοινίκῃ Ἰόππης. Κατὰ τούτους τὰ περὶ Ἀνδρομέδας μυθολογούμενα περὶ τὴν Ἰόππην ἐγένετο, ὅπου ἔτει νη'. πρὸ Χριστοῦ ὀστᾶ ἀπολελιθωμένα ἀνορυχθέντα εἰς Ῥώμην ἐκομίσθη κατὰ τὸν Πλίνιον (nat. hist. 9, 5) τοῦ κήτους πιστευθέντα εἶναι ἐκείνου, ὃ Περσεὺς τῇ τῆς Μεδούσης κεφαλῇ εἰς λίθον πάλαι μετέβαλε.

672). *Κασσιόπη* ἢ *Κασσιόπεια* τοῦ Κηφέως γυνὴ τὰς Νηρεΐδας ὑπερβάλλεσθαι τῷ κάλλει ἐκόμπαζεν· ὀργισθεὶς δ' ἐπὶ τούτῳ ὁ Ποσειδῶν καὶ τὴν ἀλαζονευσαμένην κολάσαι βουλόμενος ἐνάλιόν τι τέρας τὴν χώραν λυμαίνεσθαι ἔπεμψεν. Ἐπειδὴ δὲ τὸ ἐν Λιβύῃ μαντεῖον τοῦ Ἄμμωνος πυνθανομένῳ ἀπεθέσπισεν ὁ θεὸς ἀπαλλαγὴν οὐκ ἔσεσθαι τοῦ κακοῦ, εἰ μὴ Ἀνδρομέδαν τὴν θυγατέρα βορὰν τῷ κήτει προθείη, τὰ ὑπὸ τοῦ μαντείου κελευόμενα ἐπιτελέσαι ἀναγκασθείς, τὴν παρθένον ἐπὶ τῆς ἀκτῆς πέτρᾳ τινὶ προβλῆτι προσεπαττάλευσε.

673). *Ἀβαντιάδης* καλεῖται ἔτι ὁ Περσεύς, ἅτε γεννηθεὶς ἐκ Δανάης τῆς Ἀκρισίου θυγατρός, ἐγγόνου δὲ Ἄβαντος.

676). (κείμ. 675). *μαρμάρεόν κεν ὀϊσαθ' ὁρᾶν τύπον*. Ἐν τούτοις ἔοικεν ὁ Ὀβίδιος τὸν Εὐριπίδην ἀπομιμήσασθαι, οὗ χωρίον τι ἐκ τῆς Ἀνδρομέδας εἰς ἡμᾶς περισέσωσται ἔχον ὧδε·

ἔα, τίν' ὄχθον τόνδ' ὁρῶ περίρρυτον ἀφρῷ θαλάσσης
παρθένου τ' εἰκὼ τίνα ἐξ αὐτομόρφων λαΐνων τυκισμάτων
σοφῆς ἄγαλμα χειρός;

696). (κείμ. 695). *μένει χρόνος ἐς δάκρυ ὔμμι*· μένει

ὑμῖν μακρὸς χρόνος εἰς τὸ τὴν κόρην δακρύειν; ἐὰν νῦν μὴ σωθῇ.

703). *ἕδνα* ἐνταῦθα ὁ Περσεὺς τὰ ἑαυτοῦ πλεονεκτήματα ὀνομάζει.

710—711). (κείμ. 709). *βαλεαρὶς σφενδόνη*· ἴδε βιβλ. β'. σημ. εἰς στ. 727.

712). (κείμ. 711). *γαῖαν ἀπώσας*· ἴδε βιβλ. β'. σημ. εἰς στ. 786.

721). (κείμ. 720). *Ἰναχίδης* καλεῖται ὁ Περσεύς. Δύναται δ' ἐνταῦθα τὸ Ἰναχίδης ἴσον τῷ *Ἀργεῖος*. Ἴναχος γὰρ Ἄργους ἐγένετο παλαίτατος βασιλεύς, ἀφ' οὗ καὶ ὁ παραῤῥέων τὸ Ἄργος ποταμὸς Ἴναχος ἀπεκλήθη, πρότερον κατακλύζων τὸ πεδίον, εἶτα δ' εἰς μίαν κοίτην συσταλεὶς ὑπ' ἐκείνου. Τί δὲ σημαίνει τὰ ῥήματα *γναμπτοῦ μέχρις ὄγκου*, δι' ὧν ἐξηλλήνισταί μοι τὰ τοῦ κειμένου *curvo tenus hamo*; Ὅτι μὲν τὸ τοῦ Περσέως ὅπλον ξίφος ἦν δρεπανοειδῶς κεκαμμένον (ensis falcatus) ἅρπη καλούμενον, δῆλον· ἀλλὰ τὸ *hamus* ἐνταῦθα οὐ δοκεῖ μοι σημαίνειν τὴν τοῦ ξίφους καμπήν, ἀλλ' *ὄγκον* τινὰ (ἐξ οὗ τὸ ἐπίθετον *ὀγκινος*), ἤτοι ἀγκιστρώδη τινὰ αὐτοῦ ἐξοχὴν ἢ ἀκίδα, ἥπερ εἰς τὰς σάρκας εἰσωθουμένη εὐρύτερον τὸ τραῦμα καὶ δεινότερον ἀπειργάζετο.

744). (κείμ. 743). *Φορκυνίδος*, τῆς τοῦ *Φόρκυνος* θυγατρός. Ἦν δ' ὁ Φόρκυς ἢ Φόρκυν κατὰ τὸν Ἡσίοδον (Θεογ. στ. 237 καὶ 270 κ. ἑ.) υἱὸς Πόντου καὶ Γῆς, Νηρέως δὲ καὶ Θαύμαντος ἀδελφός, βασιλεύων ἐν τῇ θαλάσσῃ· μιγεὶς δὲ Κητοῖ τῇ ἑαυτοῦ ἀδελφῇ ἐγέννησε τὰς Γοργόνας, τρεῖς τὸν ἀριθμόν, ὧν αἱ μὲν δύο, ἡ Σθενὼς καὶ ἡ Εὐρυάλη ἀθάνατοι ἦσαν· ἡ δὲ τρίτη ἡ Μέδουσα καλουμένη, θνητή. Ὤκουν δ' αὗται ἐπὶ τῆς δυτικῆς τῆς γῆς ἐσχατιᾶς ἐγγὺς τοῦ κήπου τῶν Ἑσπερίδων. Ἀδελφαὶ δὲ τῶν Γοργόνων, Φορκυνίδες καὶ αὗται, αἱ καλούμεναι γραῖαι ἐγένοντο, δύο τὸν ἀριθμόν, ὧν ἡ μὲν Παφρηδώ, ἡ δὲ Ἐνυὼ ἐκαλεῖτο, αἷς καὶ τρίτη ὕστερον ὑπὸ τῶν μυθογράφων ἡ Δεινὼ προσετέθη· πᾶσαι γραῖαι ἐκ γενετῆς. Ποιεῖ δ' αὐτὰς ὁ Αἰσχύλος διὰ τὴν τῆς κόμης λευκότητα κυκνομόρφους, ἕνα κοινὸν ὀφθαλμὸν καὶ ὀδόντα ἐχούσας. Ἐγένοντο δ' ἔτι ἐκ Φόρκυνος καὶ Κητοῦς αἱ καλούμεναι Ἑσπερίδες καὶ Λάδων ὁ τὰ χρυσᾶ τούτων μῆλα φυλάσσων δράκων, καὶ Ἑκάτη, καὶ Σκύλλα (ἴδε Ἡσιοδ. Θεογ. 270 καὶ 333 κ. ἑ.).

754). (κείμ. 753) κ. ἑ. Βωμοὺς τρεῖς τρισὶ θεοῖς ἀνίδρυσεν ὁ Περσεύς· τῷ μὲν Ἑρμῇ, ὅτι τὴν ἅρπην ἐδεδώκει αὐτῷ· τῇ δ' Ἀθηνᾷ ὅτι τὴν χεῖρα αὐτοῦ ἐν τῷ κτείνειν τὴν Μέδουσαν κατεύθυνεν, ἢ ὅτι τὸ ἔσοπτρον παρεσχήκει, ἐν ᾧ ἐκεῖνος τὴν τῆς Μεδούσης εἰκόνα

ὁρῶν ἀκινδύνως αὐτὴν ἀπεδειροτόμησε· τῷ δὲ Διΐ ἄτε ἀνδρῶν τε καὶ θεῶν πάντων ἄνακτι.

757 κ. ἑ.). Τὸ ἐν τῷ κειμένῳ *Andromedam et tanti praemia facti* σχῆμά ἐστι συντακτικόν, τὸ καλούμενον *ἓν διὰ δυοῖν*. *Ἄπροικον* δὲ λέγει τὴν Ἀνδρομέδαν διὰ τὸ τὸν Περσέα τὴν ὡς προῖκα ὑπεσχημένην αὐτῷ παρὰ Κηφέως βασιλείαν ἀπείπασθαι.

765). *Κηφήνων*, τῶν Αἰθιόπων· ἴδε περὶ Κηφήνων Ἡροδ. βιβλ. ζ'. 61.

766—770). Τὸ κείμενον οὐκ ἔῤῥωται ἐν τοῖς χειρογράφοις. Ἔντισιν αὐτῶν (καὶ τούτοις ἀλλήλων κατὰ λέξιν τινὰ διαφέρουσι) κεῖνται οἱ ἑξῆς στίχοι·

766). . . . . . cultusque genusque locorum
767). quaerit Abantiades. Quaerenti protinus unus
768). narrat Lyncides, moresque animumque virorum.

ἀλλ' αἱ λέξεις Abantiades — narrat παρέγγραπτοι φαίνονται οὖσαι· ἔοικε δ' αἰτία γένέσθαι τῆς παρεγγραφῆς ἡ λέξις *Lyncides*, ἥν τινες παρανοήσαντες οὐ τὸν Περσέα, ἀλλὰ τῶν Κηφήνων τινὰ σημαίνειν ᾠήθησαν. Ἀλλὰ δῆλον ὅτι *Lyncides* (Λυγκείδης) αὐτός ἐστιν ὁ Περσεύς· ὁ γὰρ πάππος αὐτοῦ Ἀκρίσιος υἱὸς μὲν Ἄβαντος, ἔγγονος δὲ Λυγκέως ἦν. Καὶ ἀλλαχοῦ δὲ Ὀβίδιος (βιβλ. ε. στ. 99 καὶ 185) τῷ παππωνυμικῷ ὀνόματι *Lyncides* κέχρηται τὸν Περσέα δηλοῦν βουλόμενος. Ἄτοπον δ' ἐστὶ κατὰ τὰ παρεγγεγραμμένα τὸν Λυγκείδην, ἤτοι τὸν Περσέα ἑαυτῷ ἐρομένῳ διηγεῖσθαι τὰ περὶ τῆς χώρας τῶν Κηφήνων καὶ τῶν ἠθῶν τῶν κατοίκων. Ἐξοβελίσας οὖν τὴν παρεγγραφὴν ἐν δὲ τῷ στίχῳ 770 ἀντὶ τῆς κλητικῆς *Perseu* τὴν ὀνομαστικὴν *Cepheus* γράψας, ὡς ὀρθῶς ὁ *M. Haupt* ἐν τῇ ἐκδόσει τῶν Μεταμορφώσεων τοῦ Ὀβιδίου ἐποίησε, μεθηρμήνευσα ἑλληνιστὶ τὸ εἰρημένον χωρίον οὕτω διωρθωμένον·

766). . . . . . cultusque genusque lororum
quaerit Lyncides moresque animumque virorum.
768). quae simul edocuit· *nunc, o fortifsime,* dixit
fare precor, Cepheus, *quanta virtute quibusque*
artibus abstuleris crinita draconibus ora.

772). *Ἀγηνορίδης* ὁ Περσεὺς ἐνταῦθα λέγεται κατ' εὐρυτέραν τοῦ παππωνυμικοῦ σημασίαν. Ὁ γὰρ Ἀγήνωρ ἀδελφὸς ἦν Βήλου (ἴδε σημ. εἰς στ. 463), ὁ δὲ Περσεὺς ἀπὸ Βήλου τὸ γένος ἕλκων ἀπόγονος μὲν οὐκ ἦν Ἀγήνορος, ὅμως γένει προσῆκεν αὐτῷ. Οὐκ ἀπίθανον δὲ δοκεῖ *Agenorides* ἀντὶ τοῦ ὀρθοῦ *Abantiades* ἀντιγραφέως τινὸς ἀβλεψίᾳ ἐκ παλαιοῦ εἰς τὸ κείμενον παρεισφρῆσαι.

775). *Φορκίδες καὶ Φορκυνίδες αἱ Γραῖαι·* ἴδε σημ. εἰς στίχ. 744.

782—783). Ταῦτα συνῳδὰ τοῖς Ἀπολλοδώρου λέγοντος περὶ τοῦ Περσέως ὅτι, *κατευθυνούσης τὴν χεῖρα Ἀθηνᾶς, ἀπεστραμμένος καὶ βλέπων εἰς ἀσπίδα χαλκῆν, ἐν ᾗ τὴν εἰκόνα τῆς Γοργόνος ἑώρα, ἐκαρατόμησεν αὐτήν.*

785—786). Καθ' Ἡσίοδον (ἐν Θεογονίᾳ στ. 278) ὡμίλησε τῇ Μεδούσῃ ὁ Ποσειδῶν· ὅτε δ' αὐτὴν ἀπεδειροτόμησεν ὁ Περσεύς,

ἔκθορε Χρυσάωρ τε μέγας καὶ Πήγασος ἵππος.

Εἰδ' ὁ Ἡσίοδος πτερωτὸν ὑπέλαβε τὸν Πήγασον, ὥσπερ οἱ ὕστερον, ἄδηλον· οὐδὲν γὰρ περὶ τούτου σαφὲς τὸ εἰρημένον χωρίον δηλοῖ. Τῷ Πηγάσῳ χρώμενος ὁ Βελλεροφῶν τὴν Χίμαιραν ἔκτεινεν (ἴδε Ἡσιόδ. Θεογ. στ. 325). Ὁ αὐτὸς δὲ Πήγασος τῇ ὁπλῇ τὴν πέτραν πλήξας τὴν Ἱπποκρήνην ἐπὶ τοῦ Ἑλικῶνος ἀναβλύσαι ἐποίησεν (ἴδε Ὀβίδ. Μεταμ. βιβλ. έ. στ. 256 κ. ἑ.). Τὸ δὲ τὸν Πήγασον Μουσῶν εἶναι ἵππον ἐπτερωμένον, ᾧ οἱ ποιηταὶ ἐποχούμενοι εἰς ὕψος αἴρονται, τῶν νεωτέρων ἐστὶν ἐπίνοια, παρ' οὐδενὶ τῶν ἀρχαίων κείμενον. Ἀδελφὸς δὲ Πήγασος λέγεται (ἐν στ. 786) τοῦ Χρυσάορος, ὅτι ἅμα τούτῳ τῆς Μεδούσης ἐξέθορε. Κατὰ δὲ τὴν Ἡσιόδου Θεογονίαν Καλλιῤῥόῃ τῇ Ὠκεανίδι ὁ Χρυσάωρ μιχθεὶς τὸν Γηρυόνην ἐγέννησε καὶ τὴν Ἔχιδναν, περὶ ἧς ἴδε καὶ σημ. εἰς στ. 451.

788). Πρβλ. στ. 625 κ. ἑ.

797—798). Οὐ πάνυ συνῳδὰ ταῦτα τοῖς ἡσιοδείοις (Θεογ. 278 κ. ἑ.).

. . . . . Τῇ δὲ μιῇ παρελέξατο Κυανοχαίτης
ἐν μαλακῷ λειμῶνι καὶ ἄνθεσιν εἰαρινοῖσι.

802—803). Οἱ τελευταῖοι οὗτοι στίχοι οὐχ ὡς παρ' ἑαυτοῦ ὑπὸ τοῦ ποιητοῦ τῇ τοῦ Περσέως διηγήσει ἐπάγονται, ἀλλὰ μέρος ταύτης εἰσὶ συνεχές· δηλοῖ δὲ μάλιστα τοῦτο ἡ τοῦ ἐπομένου έ. βιβλίου ἀρχή, ἐν ᾗ αὐτὸς ὁ ποιητὴς παρίσταται λέγων. Ἄπορον ἄρα, διατὶ ὁ Περσεύς, ὃς αὐτὸς ἔτι τὴν τῆς Μεδούσης κεφαλὴν κατέχει καὶ σμικρῷ ὕστερον αὐτῇ ἐν τῇ κατὰ τοῦ Φινέως μάχῃ (βιβλ. έ. στ. 182—235) ἔτι δὲ κατὰ τοῦ Προίτου (αὐτόθι στ. 240—241) καὶ κατὰ τοῦ Πολυδέκτου (αὐτόθι στ. 249) χρήσεται, τῇ δ' Ἀθηνᾷ οὐ πρότερον ἀνέθηκε πρὶν τιμωρήσασθαι τοῦτον, ἐνταῦθα ὅμως φορεῖσθαι ἤδη φησὶν αὐτὴν ὑπὸ τῆς θεᾶς. Εἰ οὖν γνήσιοι οἱ εἰρημένοι δύο στίχοι εἰσίν, ὑποθετέον πρὸς λύσιν τῆς ἀπορίας ὅτι ὁ Ὀβίδιος οὐκ αὐτὴν ἐνταῦθα τὴν τῆς Μεδούσης κεφαλὴν φορεῖσθαι λέγει ὑπὸ τῆς Ἀθηνᾶς, ἀλλά τινα αὐτῆς εἰκόνα, οἵαν οἱ Κύκλωπες ἐν Αἰνειάδι (βιβλ. ή. στ. 435 κ. ἑ.) χαλκεύουσιν, ἣν πρότερον ἤδη ἔοικε κατασκευάσασθαι ἡ θεά, ὅτε τὴν τῆς Μεδούσης κόμην εἰς ὄφεις μετέβαλε.

ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ

ΒΙΒΛΙΟΝ Ε′.

ΠΕΡΙΛΗΨΙΣ.

Τελουμενων τῶν τοῦ Περσέως καὶ τῆς Ἀνδρομέδας γάμων, αἴφνης βοῆς καὶ θορύβου τὰ τοῦ Κηφέως πίμπλαται βασίλεια. Φινεὺς γὰρ ὁ τούτου μὲν ἀδελφὸς τῆς δ' Ἀνδρομέδας μνηστὴρ σὺν ὄχλῳ ἀνδρῶν ἐνόπλων πολλῷ ἐπελθών, κτεῖναι τὸν Περσέα καὶ βίᾳ τὴν μνηστὴν ἀπαγαγέσθαι πειρᾶται· συμβολῆς δὲ γενομένης, ἐν ᾗ οὐκ ὀλίγοι ἑκατέρωθεν ἔπεσον, συχνοὺς ὁ Περσεὺς κτείνας τῶν πολεμίων, ἐπειδὴ τὸ τούτων πλῆθος ἑώρα τῆς ἑαυτοῦ ἀρετῆς καθυπέρτερον ὄν, ὅπλῳ ἀμάχῳ τῇ τῆς Μεδούσης κεφαλῇ κατ' αὐτῶν χρήσασθαι ἔγνω· καὶ δὴ ταύτην ἐπιδεικνὺς πανταχῇ, ἄλλους τε πολλοὺς καὶ τὸν Φινέα αὐτὸν δείσαντα καὶ συγγνώμην αἰτούμενον μεταβάλλει εἰς λίθον. Εἶτα δὲ τὴν Ἀνδρομέδαν ἀγόμενος εἰς τὴν πατρίδα ἐπάνεισι Ἀκρισίῳ τῷ πάππῳ τιμωρός, καὶ τὸν Σερίφου βασιλέα Πολυδέκτην ἀπολιθοῖ ὀλιγωροῦντα αὐτοῦ καὶ τὰς πράξεις φαυλίζοντα. Ἡ δ' Ἀθηνᾶ, παραστάτις τέως καὶ βοηθὸς πανταχόσε ἀκολουθήσασα τῷ Περσεῖ, εἰς Ἑλικῶνα παρὰ τὰς Μούσας ἔρχεται, αἳ διηγοῦνται αὐτῇ τὰ κατὰ Πυρηνέα τὸν Δαυλίδος βασιλέα, βιάσασθαι σφᾶς βουληθέντα καὶ δίκην τῆς ἀσεβείας τίσαντα. Ἐπειδὴ δ' ἄφνω ἐπιπτᾶσαι ἐννέα κίσσαι φθογγὴν τῇ ἀνθρωπίνῃ παραπλησίαν ἀφιέναι ἐδόκουν, θαυμάσασα ἡ θεά, τὰς Μούσας περὶ τοῦ πράγματος ἐρωτᾷ· αἱ δὲ θυγατέρας ἐκείνας Πιέρου γενέσθαι δηλοῦσι καὶ ἀρτίως τὸ εἶδος εἰς ὄρνεις μεταβαλεῖν, ἐπὶ κριταῖς ταῖς κατὰ τὸν Ἑλικῶνα νύμφαις περὶ

ᾠδῆς σφισι τολμησάσας ἐρίσαι. Πρῶτον μὲν γὰρ τὴν πρώτην ἐκείνων περὶ ᾠδῆς πρὸς τὰς Μούσας διαγωνιζομένην τὴν γιγαντομαχίαν καὶ τὰ κατὰ τὸν Τυφῶνα ᾆσαι, ὃν δείσαντες οἱ θεοὶ εἰς Αἴγυπτον ἔφυγον κἀκεῖ μορφὴν ἄλλος ἄλλην ὑπέδυσαν, ἵνα πολέμιον οὕτω φοβερὸν διαλάθοιεν. Εἶτα δὲ τὴν Καλλιόπην, ἣ μόνη τὸν πρὸς τὰς Πιερίδας ἀγῶνα ἀνεδέξατο, τὰ κατὰ τὴν Δήμητραν καὶ τὴν Κόρην ἐν ᾠδῇ ὧδε διεξελθεῖν. Περὶ τὴν λίμνην Πέργον ἐν Σικελίᾳ ἄνθη δρεπομένη ἡ Περσεφόνη καὶ συμπαίζουσα ταῖς ὁμήλιξιν ὑπὸ τοῦ Πλούτωνος ἀνηρπάγη· ἡ δὲ νύμφη Κυάνη τὴν τῆς Κόρης ἀπαγωγὴν βουλομένη κωλῦσαι εἰς τὴν ὁμώνυμον μετεβλήθη πηγήν· ἡ δὲ Δημήτηρ ἀφανῆ γενομένην τὴν Κόρην κατὰ γῆν καὶ θάλασσαν πλανωμένη περιεζήτει· ὑπέρκοπος δὲ γενομένη καὶ δίψει συνεχομένη πολλῷ ἐπί τινα καλύβην ἐν Ἀττικῇ ἐλθοῦσα, παρὰ τῆς ἐνοικούσης γραὸς πιεῖν ᾔτησε καὶ τὸν παῖδα ὑπὸ λαμυρίας αὐτὴν ἐν τῷ πίνειν διαμυλλαίνοντα καὶ μωκώμενον εἰς εἶδος σαύρου μετέτρεψεν ὀργισθεῖσα. Εἶτ' ἐπὶ τὴν Κυάνην ἀφικομένη καὶ τὴν τῆς θυγατρὸς ζώνην τῷ ῥείθρῳ ἐπινηχομένην ἰδοῦσα τὴν ἁρπαγὴν ἐτεκμήρατο· διὸ ἐκείνην ὀδυρομένη τά τε γεωργικὰ σκεύη καὶ τοὺς ἀροτῆρας βοῦς ὑπ' ὀργῆς καὶ ὀδύνης διέφθειρε καὶ τὴν γῆν καρποὺς φύειν καὶ τρέφειν ἐκώλυσε. Τέλος δὲ παρὰ τῆς Ἀρεθούσης ἡ θεὰ πυθομένη ἐν Ὀρτυγίᾳ ὅτι ἡ Κόρη εἰς ᾅδου ἀπῆκτο ὑπὸ τοῦ Πλούτωνος, εἰς οὐρανὸν ἀνελθοῦσα, δεινὰ τούτῳ ἐπὶ Διὸς ἐνεκάλει ποτνιωμένη καὶ ἀποδοθῆναί οἱ τὴν ἁρπαγεῖσαν ἠξίου. Οὗτος δὲ τὴν θεὰν πραΰνων καὶ τὴν λύπην παραμυθούμενος, τὴν κοινὴν θυγατέρα ἀποδοθήσεσθαι ὑπισχνεῖτο, εἰ μηδεμιᾶς πω αὕτη ἐν ᾅδου βρώσεως ἥψατο· οὕτω γὰρ ταῖς Μοίραις δεδόχθαι. Ἐπειδὴ δ' Ἀσκάλαφος ὁ Ὄρφνης υἱὸς καὶ Ἀχέροντος κόκκων ῥοιᾶς ἔφασκε τὴν Περσεφόνην ἐν ᾅδου ἀπογευσαμένην ἰδεῖν καὶ τῇ μηνύσει τὸν νόστον ἀφεῖλεν, ἡ μὲν θεὰ τοῦτον

εἰς βύαν μετεμόρφωσεν ὀργισθεῖσα, ὁ δὲ Ζεὺς τῷ τε ἀδελφῷ καὶ τῇ ἀδελφῇ ἴσα νέμων, εἰς δύο τὸν ἐνιαυτὸν ἴσας μοίρας διελών, ἓξ μὲν μοίρας τὴν Κόρην ἐν τοῖς ὑποχθονίοις παρὰ τῷ Πλούτωνι, ἓξ δ' ὑπὲρ γῆς παρὰ τῇ μητρὶ μένειν διέγνω. Ἐνύφηνε δ' ἡ Μοῦσα τῇ ᾠδῇ καὶ τὴν τῶν συμπαιστριῶν τῆς Περσεφόνης Σειρήνων εἰς ὄρνεις κατὰ τὸ ἥμισυ μεταμόρφωσιν καὶ προσέθετο τάδε. Ἡ Δημήτηρ κουφισθεῖσα τῆς λύπης τὴν Ἀρέθουσαν ἤρετο, τίνι τύχῃ χρησαμένη εἰς Σικελίαν ἦλθε καὶ πηγὴ ὕδατος ἐγένετο· ἡ δὲ τὸν πρὸς αὐτὴν τοῦ Ἀλφειοῦ ἔρωτα διηγήσατο, ὃν φεύγουσα εἰς ὕδωρ μετεβλήθη καὶ δι' ὀχετῶν ὑπογείων εἰς τὴν Ὀρτυγίαν νῆσον ἀφίκετο. Εἶτα δ' ἡ θεὰ ὄχημα κοῦφον ὑπ' ὄφεων ἑλκόμενον ποιήσασα τῷ Τριπτολέμῳ ἐν Ἀττικῇ ἐδωρήσατο, ᾧ δὴ ἐποχούμενος οὗτος εἰς Σκυθίαν διαέριος παρεγένετο, ἔνθα ὁ βασιλεὺς Λύγκος ἐπιβουλεύσας αὐτῷ εἰς τὸ ζῷον τὸν λύγκα μετεμορφώθη. Ταῦτα τῇ Πιερίδι ἀντᾳσάσης τῆς Καλλιόπης, ἔδοξε ταῖς νύμφαις τὰς Μούσας νικᾶν. Ἐπειδὴ δ' αἱ Πιερίδες τῇ ᾠδῇ νικηθεῖσαι εἰς λοιδορίας ἐτράποντο, εἰς κίσσας μετεβλήθησαν πᾶσαι.

ΕΜΜΕΤΡΟΣ ΜΕΘΕΡΜΗΝΕΙΑ

ΤΟΥ Ε΄. ΒΙΒΛΙΟΥ ΤΩΝ ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ.

Φινεὺς ὁ τοῦ Κηφέως ἀδελφός, ᾧ ἡ Ἀνδρομέδα κατηγγύητο, αἴφνης σὺν πλήθει ἐνόπλων ἐπιφανεὶς τὴν ἑορτὴν διαταράσσει τῶν γάμων. Συμβολῆς δὲ γενομένης καὶ πολλῶν ἑκατέρωθεν ἀποθανόντων, ὁ Περσεὺς τῇ τῆς Μεδούσης κεφαλῇ τόν τε Φινέα καὶ τοὺς λοιποὺς τούτου ἑταίρους ἀπολιθοῖ.

Ὄφρα μέσῳ Δανάης κλυτὸς ἥρως ταῦτ' ἐν ὁμίλῳ
Κηφήνων μυθεῖτο, θρόου βασιλήϊος αὐλὴ
ἀνδρῶν ἐπλήσθη· οὐδ' ἔσκε γαμήλιος ᾠδὴ
ἢ βοή, ἀλλ' οἵη περ ἀρήϊα μηνύει ὅπλα.
τύρβην δ', ἥτ' αἴφνης ἐκ δαιτύος ὤρετο κείνης,
πόντῳ κ' ἠρεμέοντι παρείκασας, ὅν περ ἀητῶν
ἄγριον ἐτρήχυνε μένος, βαθέ' ὕδατ' ὀρῖναν.
Πρῶτος δὴ Θρασύφρων Φινεύς, μόθου αἴτιος αἰνοῦ,
πάλλων μείλινον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ,
ἔννεπεν· " ἠνὶ πάρειμ' ἁρπασθείσης ἀλόχοιο
τιμωρός· πτέρυγες δ' οὐ ῥύσοντ', οὐδέ σε χρυσῷ
Ζεὺς πρὶν ἐεισάμενος. „ Κηφεὺς δὲ βαλεῖν οἱ ἑτοίμῳ
ἔκραγε· " Τί δρᾷς; τίς σε φρήν, κάσι, ἐς τόθ' ἀλιτρὸν
» ἔργον ἄγει; ἧδε χραίσμης χάρις ἐκ σέθεν ἀνδρὶ
» τόσσης; τοῖα σὺ δὴ κούρης σωτήρια τίνεις;
» τἄτρεκὲς εἰ ζητεῖς, οὐ τήνδε σ' ἀφείλετο Περσεύς,
» ἀλλ' Ἄμμων κερόεις, καὶ Νηρῆδες βαρύθυμοι,
» καὶ θὴρ ἐκ πόντου φοιτῶν, ἵν' ἐμῶν κορέσηται
» σπλάγχνων· ἦ ῥ' ἐτεῇ τότ' ἀφηρπάσθη σοι ἐκείνη,
» ἡνίκ' ἔμελλεν ὀλεῖσθ', εἰ μὴ ἄρα, νηλεές, αὐτὸ
» τοῦτ' ἐθέλεις, ὀλέσαι μιν, ἐμῷ δ' ἐπὶ πένθεϊ χαίρεις.
» οὐχ ἅλις ὅττι σέθεν κείνη ἐδέθη ὁρόωντος,
» οὐδὲ πάτρως μελέῃ ἢ μνηστήρ οἱ ἐπάμυνας,

» ἀλλὰ καὶ ἀλγήσεις ὅθ' ὑπ' ἄλλου ἐξεσαώθη,
« καί μιν ἄεθλον ἀφαιρήσῃ; ἐι δὴ δοκέει σοι
» τοῦτο μέγ', ἐκ πέτρης ἀνελεῖν σ' ἔδει, ᾗ πεπέδητο·
» νῦν δέ γ' ἔασον ἔχειν ὃς ἀνεῖλε, δι' ὅν μοι ἐρῆμον
» οὐ μίμνει γῆρας, ὃς ἔπει κεῖν' ἤρατ' ἰδ' ἔργοις·
» οὐ σέθεν, ἀλλ' ὀλέθροιο προκέκριται οὗτος ἀφύκτου.
Οὐδὲν ἀμείψατο κεῖνος· ἀμοιβηδὸν δ' ἄρα λεύσσων
Κηφέα καὶ Περσῆ, πότερον βάλοι, ἐν φρεσὶ δίζε·
δηθύνας δὲ βραχύ, σθένει, ὁππόσον ὤπασε μῆνις,
ἐγχείην πῆλας ἐπὶ Περσέα μὰψ ἀφέηκεν.
ὡς δ' ἄρ' ἐνὶ στρωμνῇ σκίμφθη δόρυ, ἄνθορε Περσεὺς
καὶ κείνῳ δηΐου στέρν' αἰνῶς ῥῆξέ κεν ὅπλῳ,
εἰ μήγε τρέσσας Φινεὺς φύγεν αἶψ' ὑπὸ βωμόν,
ἀνδρὶ δ' ἀλιτρονόῳ μάλ' ἀεικῶς βωμὸς ἄρηξεν.
οὐ μήν μὰψ αἰχμὴ Ῥοίτοιο μετώπῳ ἐνέσχεν,
ἀλλ' ὃ γ' ἐπεὶ πέσεν ἔκ τ' ὀστοῦ οἱ χαλκὸς ἐρύσθη,
ἤσπαιρ', ἠδ' ἐρυθρῷ πέλας αἵματι ῥαῖνε τραπέζας.
Ἀνδρῶν οὖν τῆμος χόλῳ ἀσχέτῳ ἔζεσ' ὅμιλος,
ἴαλλόν τε βέλη· κτάμεναι δέ τινες βοάασκον
σὺν γαμβρῷ δεῖν Κηφέ'· ὃ δὲ φθὰς ἐκ μεγάροιο
ἔσσυτ', ἐπεὶ μαρτύραθ' ὁμοῦ Πίστιν τε Δίκην τε
ἠδὲ θεοὺς ξενίους τά δ' ἔθεν πρήσσεσθ' ἀέκοντος.
Παλλὰς δ' ἦλθε φέρασπις, ὑπ' αἰγίδι τ' ἔσκεπ' ἀδελφὸν
καὶ μένος οἱ ἔμβαλλεν. Ἔην δ' Ἄθις Ἰνδός, ὃν ἄντροις
φασὶν ὑφ' ὑαλέοις τεκέειν Γάγγαο θύγατρα
Λιμνᾶτιν καλὸν εἶδος, ὃ λαμπρῷ κόσμῳ ὄφελλεν,
ἀκμαῖος, δέκατον καὶ ἕκτον ἄγων ἐνιαυτόν.
Ἕστο δὲ πορφυρέην ὤμους χλαμύδ', ἣν περιθεῖε
χρυσείη παρυφή, χρύσεον δὲ οἱ εἶχε δέραιον
δειρήν, μίτρη δ' αὖτε διύγρους μύῤῥῃ ἐθείρας.
ᾔδεε δὴ κεῖνος καὶ ἑκὰς μάλα παλτὸν ἰάλλων
βάλλειν· μᾶλλον ὅμως ἠπίστατο τόξα τιταίνειν.

καὶ τότε νωχελέως κάμπτοντα κέρας μιν ἔθεινε
Περσεὺς πρέμνῳ, ὃ μέσσῃ ἐτύφετο τῆμος ἐν αὐλῇ·
σὺν δ' ὀστέα θραύσας καλὸν συνέφυρε πρόσωπον.
τὸν δ' αἰνητὴν εἶδε κυλίνδοντ' ὦπ' ἐνὶ λύθρῳ
ἀσσύριος Λυκάβας, ὅς ῥ' οἱ κήδιστος ἑταίρων
ἔσκε, καὶ ἀτρεκέ' οἱ ἁγνόν τ' ἐνέφαινεν ἔρωτα.
αὐτὰρ ἐπεὶ ὅγ' Ἄθιν ὑπὸ τραύματι δεινῷ ἔκλαυσε
θυμὸν ἀποπνείονθ', ἅπερ οὗτος τόξ' ἐτίτηνε,
λάζετο καὶ φάτο· "νῦν δὴ ἐμοὶ χρή σ' ἄντα μάχεσθαι·
οὐδὲ φόνῳ παιδὸς σύγε δὴν κεχαρήσεαι, ἐξ οὗ
οὐ κλέος, ἀλλ' ἔχθος πλέον ἕξεις." τοῦτ' ἔπος οὔπω
πᾶν εἴρητο· θοὸς δ' ἀπὸ νευρῆς ἔπτατ' ὀϊστὸς
καὶ φάρει κολπωτῷ ἀλευαμένου περ ἐνέσχεν.
αἶψ' ἐπὶ οἷ κλεινὴν Γοργοῦς φόνῳ ἔτραπεν ἅρπην
Ἀκρισιωνιάδης, ἐς στέρνον τ' ἤλασεν· αὐτὰρ ἐκεῖνος
θνήσκων, νηχομένοις ἐν ἐρεμνῇ ὄμμασι νυκτὶ
ὃν πάπτηνεν Ἄθιν, καλῷ δ' ἐπεκλίνθη ἑταίρῳ
καὶ τοῦτ' εἰς ἀΐδην παραμύθιον ἠγάγετ' οἴτου.
Ἠνὶ συηνίτης Φόρβας, Μητίονος υἱός,
καὶ λίβυς Ἀμφιμέδων, συνάγειν μεμαῶτες Ἄρηα,
λύθρῳ ὀλισθόντες, τῷ γαῖα πέριξ πεπάλακτο,
ἤριπον οὔδει, ἐγειρομένω δὲ σφ' ἆορ ἔρυξε,
Φόρβαντος δειρήν, τοῦ δὲ πλευρὴν διαπεῖραν.
Ἀκτορίδην δ' Ἔρυτον, πέλεκυν ἀμφήκεα χερσὶ
νωμῶντ', οὐχ ἅρπῃ Περσεὺς βάλεν, ἀλλὰ μέγιστον
κρητῆρ', ἀγγλύπτοις ἠσκημένον εἰκόσι πάντῃ,
βριθὺν ἑλὼν χείρεσσιν ἄειρ' ἄφαρ ἀμφοτέρῃσι,
θραῦσέ τ' ἐπ' ἀνδρὶ βαλών· ὁ δὲ φοίνιον ἤμεεν αἷμα,
ἀγχιθανεῖ τ' ἔπλησσε καρήατι ὕπτιος οὖδας·
εἶτα Σεμιράμιδος Πολυδαίμονα φύντα γενέθλης,
καυκάσιόν τ' Ἄβαριν, Σπερχειονίδην τε Λυκητόν,
σὺν δ' ἄρ' ἀκερσεκόμην Ἐλύκην, Φλεγύαντε, Κλυτόν τε

κάββαλε, καὶ νεκύων ἐπινήσας ἔστιβε θῖνας·
Φινεὺς δ' ἀντιπάλῳ συμμίξαι συσταδὸν οὐ τλάς,
δινήσας δόρυ ἧκε· τὸ δ' ἄρ παρεπλάγχθη ἐπ' Ἴδαν
μὰψ ἄμορον πολέμου καὶ σύμμαχον οὐδετέροισι.
δεινὸν ὅ δ' ἐμβλέψας Φινεῖ ἀγρίῳ φάτο τοῖα·
δεῦρ' ἄγ', ἐπεὶ μ' ἕλκεις ἐπὶ δῆριν, δέχνυσο, Φινεῦ,
δήϊον, ὅν τ' ὤρσας, καὶ τραύματι τραῦμ' ἀπότισον.
μέλλων δ' ἔγχος ἀφεῖναι, ὅ τ' ἐξειρύσσατο σαρκός,
ἤριπ' ἐπ' ἐξαίμοισι ῥυεὶς γυίοισι χαμᾶζε.
Καὶ σὺ πέσες Κλυμένου τόθ' ὑπ' ἄορι πρῶτος, Ὀδῖτα,
Κηφήνων μετ' ἀγόν· Προθοήνορα δ' ἔκτανεν Ὑψεύς,
Ὑψέα Λυγκείδης· μετὰ τοῖς δ' ἔπλε καὶ δολιχαίων
Ἠμαθίων, ῥέζων τε δίκαια, θεούς τε σεβίζων·
τὸν δ' ἐπεὶ ἴσχε μάχης γῆρας, δηρίετο μύθοις
καὶ ῥ' ἐπιὼν ὅπλοισι κατηρᾶτ' οὐχ ὁσίοισι.
τοῦ δὲ Χρόμις τρομερὰς θυμέλῃ χέρας ἀμφιβαλόντος
ἄορι κρᾶτ' ἀπέκερσεν· ὅδ' ἔμπεσεν αὐτίκα βωμῷ,
ἔνθα περ ἡμιθνῆτι κακὰς ἐφθέγξατο γλώσσῃ
ἀράς, καὶ θυμόν μέσσῃς ἀπέπνευσ' ἐνὶ φλοξίν.
εἶτα δ' ἀδελφειοὶ δίδυμοι, Βροτέας τε καὶ Ἄμμων
πυγμῇ ἀνίκητος, εἰ νικᾶν ἔστι μαχαίρας
πυγμῇ, χειρὶ θάνον Φινῆος, ἠδ' Ἄμπυκος ἱρεὺς
Δηοῦς, ἀργυφέην μίτρην φορέων περὶ κρατί·
καὶ σὺ δέ, Λαμπετίδη πρὸς τοῖ' οὐ χρήσιμε ἔργα,
ἀλλ' εἰρηναίην κρούειν φόρμιγγα πρὸς ὄσσαν,
δαῖτα γάμον τε τέταξο καλῇ σεμνῦναι ἀοιδῇ.
τῷδ' ἑκὰς ἑσταότι πλῆκτρόν τ' ἀσινὲς κατέχοντι
Πέτταλος ἐγγελόων ηὔδα· ἐνέροις ἴθ' ἄειδε
τἆλλα· καί οἱ κροτάφῳ λαιῷ ξίφος αἶψ' ἐνέπηξεν·
ἤριπε δ' ἄρ κεῖνος, νευρῆς τ' ἔπι δάκτυλ' ἐκίνει
ἀγχιθανῆ κιθάρης· γοερὸν δ' ἀπέληξε μέλισμα.
ἀλλά μιν οὐκ ἄτιτον κεῖσθ' αἰνὸς ἔασε Λυκόρμας·

δεξιτεροῦ δὲ μέγαν ἀπερύσσας σταθμοῦ ὀχῆα
αὐχένος ὀστέοισι προσέαξε μέσοις· ὃ δὲ πρηνὴς
ἠΰτε θυόμενος μόσχος πέσεν ἐν κονίῃσι.
λαιοῦ δ' αὖ πειρῆτο μοχλὸν σταθμοῦ ἀφελέσθαι
Κινύφιος Πελάτης· πειρητίζοντι δέ οἱ χεὶρ
πρὸς μοχλῷ ἐπάγη Κορύθου δορὶ Μαρμαρίδαο.
Πλειρὴν δ' ἰσχομένοιο τέτρηνεν Ἄβας· ὃ δὲ θνήσκων
οὐ πέσεν· ἐκ σταθμοῦ δ' ἐκρεμάσθη χειρὶ παρείσῃ.
ἔκτατο καὶ Μεναλεύς, Περσῆος σύμμαχος ἥκων,
καὶ Δορύλας χώρης ἀφνειότατος Νασαμώνων·
ἀφνειὸς γαίης Δορύλας, τοῦ ῥ' οὐκ ἔχεν ἄλλος,
πλείον' ἀγρόν, θωμοὺς τ' οὐ τόσσους νήεε σίτου.
τοῦδ' ἐπὶ βουβῶνι πτὰς χαλκὸς λέχριος ἔστη,
καίριος ἔνθ' ὁ τόπος· τόν δ' ὡς τόθι εἶδεν ὁ τρώσας
θυμὸν ἀΐσθοντα στροβέοντά τε φάεα κύκλῳ
βάκτριος Ἀλκυονεύς, ἀγροῦ, φάτο, νῦν ἔχε τόσσον,
ὅσσον πέρ τ' ἐπέχεις· καὶ νεκρὸν κάλλιπε σῶμα.
τῷ δ' αὖ ἀπ' ὠτειλῆς θερμῆς ἐρύσας ἐφέηκεν
ἔγχος Ἀβαντιάδης, ὃ μέσην κατὰ ῥῖνα τυχῆσαν
ἰνίον ἀντετόρησε. παρὲν δ' ἑκάτερθε προεῖχε·
δαίμονα δ' εἶτ' ἐπίκουρον ἔχων, Κλυτιόν τε Κλάνιν τε
μητρὸς ὁμῆς φύντας, ἀνομοίῳ τραύματι πέφνε·
τοῦ μὲν γὰρ στιβαρῇ χερὶ μείλινον ἔγχος ἰήλας
ἄμφω μηρὼ ἔπειρε· Κλάνις δ' αὖτ' ἔνδακ' ἄκοντα.
Ἔκτατο καὶ Κελάδων Μενδήσιος, ἔκτατο δ' Ἀστρεύς,
μητρὸς φὺς συρίης, ἐνδοιαστοῦ δὲ τοκῆος,
Αἰθίων τε πάροιθε τὰ ἐσσόμεν' ὀξὺς ἰδέσθαι,
ψευδέϊ δ' οἰωνῷ τόθ' ὑπαχθείς· σὺν δὲ Θοάκτης
κοιράνου ὁπλοφόρος, πατροφόντης τ' αἰσχρὸς Ἀγύρτης.
Πλεῖον ἔμιμν' ἔργον κεκμηότι· τὸν γὰρ ἅπαντες
καββαλέειν μέμασαν· στίφη δὲ συνώμοτα πάντη
πίστιος ἀντιμάχοις ἀγαθῶν τ' ἔργων ἐπάμυνε.

τοῖς δ' ἑτέροις φίλα μὰψ ἐφρόνει ἑκυρὸς τ' ἰδὲ νύμφη
καὶ μήτηρ· πᾶσαν δ' ὀλολυγμοῦ πίμπλασαν αὐλήν·
Ἀλλ' ὅπλων πάταγος καὶ κτεινομένων στόνος ἀνδρῶν
ἐκράτει· ἀνδροφόνος δὲ μιήνασ' οἶκον Ἐνυὼ
αἵματι πολλῷ ῥαῖνε, μάχας τε νέας συνέμισγε.
μυρίοι ἀμφέσταν ἕν' ὁμοῦ, Φινεὺς καὶ ὀπηδοί·
χειμερίης δ' ἐπέτοντο χαλάζης πλείονες ἰοὶ
κείνου πὰρ πλευράς τε καὶ οὔατα, φάεά τ' ἄμφω.
κίονος οὖν μεγάλης ὤμους λᾶϊ προσερείσας
ἠδὲ καλύψας νῶτα, τετραμμένος ἀντί' ὁμίλου
ὀρνυμένους ἤμυν'· ὤρνυντο δὲ λαιῇ ἐπ' αὐτῷ
χαόνιος Μολπεύς, ἑτέρῃ Ναβαταῖος Ἐθήμων.
Ὥς ποτ' ὀρινομένη λιμῷ τίγρις αἰολόνωτος,
δισσαχῇ αἰσθομένη ἀγέλης μύκημ' ἐνὶ βήσσῃ,
δίζει ὅποι μεταΐξῃ, ὅμως δ' ἵεται ἀμφοτέρωσε,
τὼς Περσεὺς δίζων τότ' ἐφ' ὁππότερ' ἰθύσειεν,
ὦσατο Μολπέ', ἔθεν διὰ μηρὸν δουρὶ τορήσας·
στέρξε δὲ τοῖο φυγῇ· οὐ γάρ μιν ἔασεν Ἐθήμων,
θῦε δέ· καὶ μεμαὼς δειρὴν ἔθεν ἄορι τρῶσαι,
εἰκαίῃ συνέαξε βίῃ ξίφος ὀξὺ κραδάνας·
κίονα δὲ πλήξας πρὸς ἄκρῳ τόθι χαλκὸς ἐκλάσθη,
ἔν τ' ἐπάγη κύρσας κατὰ λαιμὸν κυρίου αὐτοῦ·
Ἀλλ' οὐ κεῖνο τραῦμ' οἱ ἀπέχρη πότμον ὀπάσσαι·
τῷ μιν ἀλυκταίνοντα μάτην τ' ἀόπλους ὀρέγοντα
χεῖρας Ἀβαντιάδης κυλληνίῃ ἤλασεν ἅρπῃ.
Περσεὺς δ' ὡς ἐνόησε μένος ἐὸν ἧσσον ἀριθμοῦ,
ἔννεπ'· „ ἐπεί μ' ἐς τοῦτο βιάζεσθ', ἠνίδ' ἀρωγὴν
λήψομαι ἐξ ἐχθροῦ περ· ἀποτράπετ' ὄμματα ὅσσοι
ἔνθα πάρεστε φίλοι. „ Γοργοῦς δ' ἐξεῖλε πρόσωπον.
τῷ δ' αὖ Θέσκελος εἶπε· „ μάτευέ τιν' ἄλλον, ὅς αὔτως
θαύματα σὰ τρέσσει· „ μέλλων δ' ἄρα χειρὸς ἀφεῖναι
δεινὸν ἄκοντ', ἔστη κείνῳ ἐν σχήματι λᾶας.

αὐτίκ' ἔπειτ' Ἄμπυξ ἐνίπλεια στήθεα θυμοῦ
ἵετο Λυγκείδαο βαλεῖν ξίφει· ἱεμένῳ δὲ
δεξιτερὴ πάγη, οὐδὲ πρόσω κινεῖτ' ἢ ὀπίσσω.
Νειλεὺς δ' ὃς γενεὴν ἐπταῤῥόου ἐκ ποταμοῖο
ψεύδετο Νείλου, τοῦ οἱ ἐπ' ἀσπίδι δαιδαλοέσσῃ
ἀργύρου ἑπτὰ ῥέεθρα ἠδὲ χρυσοῦ τετόρευτο,
ἔννεπε. „ δεῦρ' ἄγ' ἐμῆς, Περσεῦ, γενεῆς ἴδε ῥίζαν·
εἰς ἀΐδην μέγα δὴ θανάτου παραμύθιον οἴσεις
τοίῳ ὑπ' ἀνδρὶ δαμείς· „ μέρος ὕστατον ἔνδον ἐέρχθη
ἡμιτελῶν ἐπέων· στόμ' ἔφης κεν ἰδὼν ὑποχαῖνον
αὐδῆσαι ἐθέλειν, οὐ μὴν ἔπε' ἤϊεν ἔξω.
τοὺς δ' ἄρα νείκεσ' Ἔρυξ· „ δειλανδρίῃ, οὐχ ὑπ' ἐθείρῃς
γοργείῃς ναρκᾶτ', ἔφη. ὄρνυσθ' οὖν σὺν ἐμοὶ νῦν
καὶ βάλετ' εἰς οὖδας μαγίκ' ἔντεα κοῦρον ἔχοντα. „
ἤδη ὀροῦσαι ἔμελλ', ἀλλ' ἴχνια γαῖ' ἐπέδησε·
λᾶας δ' ἔμπεδος ἔστη, ἔνοπλός τ' ἀνέρος εἰκών.
οἳ μὲν ποινὴν τῖσαν ἐπάξιον· ἦν δ' ἐπέτης τις
Περσῆος τόθι οὔνομ' Ἀκοντεύς, ὃς οἱ ἀμύνων,
κρᾶτ' ἐσιδὼν Γοργοῦς μετέφυ, στυφλὸς αὐτίκα λᾶας.
τὸν δ' ἔτ' ὀϊόμενος ζώειν ξίφει ἤλασε μακρῷ
Ἀστυάγης· κλάγξαν δ' ὀξὺν ξίφος ἦχον ἕηκεν·
ὄφρα δὲ θάμβαιν' οὗτος, ὁμῶς φύσιν εἵλετο λᾶος·
μεῖνε δέ τ' ἐν λιθίνῳ θαμβεῦντος σχῆμα προσώπῳ.
μακρὸν ἔοι κε μέσους ἀνέρας στρατοῦ ἐξονομῆναι·
δὶς ἑκατὸν λείποντ' ἀνέρες σόοι ἐκ πολέμοιο,
δὶς δ' ἑκατὸν λελίθωντο Μεδούσης κρᾶτ' ἐσιδόντες.
Φινῆ' ὀψὲ τόθ' εἷλεν ὅπλων ἀδίκων μετάνοια·
ἀλλά τί δὴ ῥέξῃ; εἴδωλ' ἄλλ' ἄλλῃ ἔλευσσεν·
οὓς δ' ἑτάρους γίγνωσκ', ὀνομακλήδην τε ἕκαστον
φωνῶν, ἤτε' ἄρηξιν· ἀπιστῶν δ' ἥπτετο χερσὶ
τῶν ἔμπλην· λίθοι ἦσαν· ὃ δ' αὐτίκ' ἀπέτραπεν ὄσσε·
εἴκων δ' ὥς θ' ἱκέτης λεχρίας τότε χεῖρας ὀρεγνύς,

“ νικᾷς, Περσεῦ, ἔειπεν· ἀπόστησον τέρας αἰνόν,
» σῆς τ' ἄφελ' ἥςτινοσοῦν λιθοποιοῦ ὦπα Μεδούσης·
» ναί, λίτομ'· οὐκ ἔχθος μ' ἐπὶ δῆριν τήνδ' ὀρόθυνεν,
» οὐδὲ ποθὴ ἀρχῆς· μνηστῆς ἕνεκ' ἤραμεν ὅπλα·
» Ἔργοις σὸν κρεῖσσον, τὸ δ' ἐμὸν χρόνῳ ἔσκε δίκαιον·
» ἄχθομαι οὐκ εἴξας· μή μοι δῷς, καρτερόθυμε,
» πλὴν τήνδε ψυχήν· τεὰ δ' ἔστω τἄλλ ἅμα πάντα· ,,
Κεῖνος τοῖ' αὐδῶντι καὶ ὃν μύθῳ λιτάνευεν
οὐ θαρσεῦντ' ἐσιδεῖν. “ Φινεῦ, φάτο, δειλότατ' ἀνδρῶν·
» δώσω ὅ σοι δύναμαι, μὴ δείδιθι, καὶ ὃ μέγ' ἐστὶ
» δῶρον ἀφαυρῷ· οὐ χαλκῷ τρωθήσεαι ὀξεῖ,
» ἀλλά σευ αἴδιον στήσω μνημήϊον ἔνθα,
» ἡμετέρου θ' ἑκυροῦ ὀφθήσεαι αἰὲν ἐν οἴκῳ,
» μνήστορος ὄφρ' εἰκὼν παραμύθιον ᾖ μευ ὁμεύνῳ· ,,
ἔννεπε· κρᾶτα δ' ἐκεῖθι μετέστησ' αὐτίκα Γοργοῦς,
ὅπποι δὴ Φινεὺς ἑὸν ἔτραπεν ἔντρομος ὄμμα.
καὶ τότε οἱ αὐγὰς πειρωμένῳ ἄλλοσε τρέψαι
αἶψ' αὐχὴν ἐπάγη, χυμός τ' ὄσσων ἐλιθώθη.
δειλὴ δ' ἔμπης ὄψις ἰδ' ὄμμ' ἐνὶ λᾶϊ λιταῖνον
καὶ χέρες ἱκέσιαι καὶ σχῆμ' οἱ ἔμεινε ταπεινόν.

Μετὰ τὴν νίκην ἐπανέρχεται ὁ Περσεὺς εἰς Ἄργος καὶ εἰς λίθον μεταβάλλει τὸν Προῖτον, ὃς τὸν ἀδελφὸν Ἀκρίσιον τῆς ἀρχῆς ἀνοσίως ἐξεβεβλήκει· εἶτα δ' εἰς Σέριφον παραγενόμενος τὸν ταύτης βασιλεύοντα Πολυδέκτην ὁμοίως ἀπολιθοῖ φιλαπεχθῶς πρὸς αὐτὸν διακείμενον καὶ τῷ τῆς Γοργοῦς ἀπιστοῦντα φόνῳ, ὃν αὐτῷ ἆθλον ἐτετάχει ἐπικίνδυνον καὶ ὀλέθριον.

Νικητὴς σὺν ὁμεύνῳ Ἀβαντιάδης πόλιν ἦλθε
πατρίδα καὶ πάππῳ τιμωρῶν ἠδ' ἐπαμύνων.
Προίτῳ ἐφωρμήθη· ὃ γάρ Ἀκρίσιον κάσιν ὅπλοις
ἐξελάσας, κείνου αἰπεινὴν εἷλε πόληα·
οὐ μὴν ὅπλοις οὔτ' ἄκρῃ ὑπὲρ αἶσαν ἁλούσῃ
ὄμμα δρακοντοκόμου δεινὸν νίκησε πελώρου.
ἀλλὰ σέ, ὦ μεδέων βαιῆς Πολύδεκτα Σερίφου,

οὔτ' ἀρετὴ κούροιο τόσοις δειχθεῖσ' ἐν ἀέθλοις,
οὔτε δύαι μείλιξαν· ἀμείλικτον δ' ἐνὶ θυμῷ
ἔχθος ἔχων, ὀργῆς οὔτοι μετέληγες ἀθέσμου·
φαυλίζων δ' ἑὸ ἔργα, Μεδούσης οἶτον ἔφασκες
ψευδέ' ἔμεν. Περσεὺς δ' ηὔδα· "δὴ τέκμαρ ἀληθοῦς
ἕξεις· ἄλλοι δ' ὄσσε φυλάξατε·" ὦπα δ' ἄνακτος
αὐτίκα λᾶαν ἄναιμον ὀπωπῇ θῆκε Μεδούσης.

Ἡ Ἀθηνᾶ, ἣ μέχρι τοῦδε μόνιμος ἦν πανταχοῦ τῷ Περσεῖ συνοδῖτις καὶ παραστάτις, εἰς τὸν Ἑλικῶνα ἔρχεται τὴν νέαν πηγὴν ὀψομένη τὴν Ἱπποκρήνην. Αἱ δὲ Μοῦσαι ἐκεῖ παροῦσαι πολλὰ αὐτῇ ἑξῆς διηγοῦνται ἀκοῆς ἄξια: Μία οὖν τῶν Μουσῶν πρῶτον τὸν κακὸν τοῦ Πυρηνέως θάνατον διὰ βραχέων διέξεισι, τὰς θεὰς βουλευσαμένου βιάσασθαι.

Τείως χρυσοπάτρῳ Τριτὼ ἅμ' ὀπήδει ἀδελφῷ·
κοίλῳ δ' εἶτα νέφει εἰλυμένη αἶψα Σέριφον
ἔκλιπε, δεξιόφιν Κύθνον, Γύαρόν τε λιποῦσα·
ᾗ δ' ἄρ' ὑπὲρ πόντου ὁδὸς εἶναι δόξε βραχίστη,
Θήβας, παρθένιόν θ' Ἑλικῶν' ἔβη· ἔνθ' ἐπ' ὄρεσφιν
ἔστη, καὶ ἴδριας τοῖα προσέειπεν ἀδελφάς·
» Πίδακος ἵκετ' ἐμὰς νεοφάντου φῆμις ἀκουάς,
» ἥν περ ὁπλὴ ἔῤῥηξε Μεδουσείου πετεηνοῦ.
» κεῖν' ὁδοῦ ἐστι τέλος μοι· ἰδεῖν τέρας ἔλδομ' ἐκείνου·
» φύντα γὰρ αὐτὸν ἴδον μητρωΐου αἵματος ἵππον.
Οὐρανίη δ' οἱ ἔφη· „ ὅ,τι κέν σ' ἐς δώματ' ἄγῃσι
» ταῦτα, θεά, φρεσὶν ἡμετέρης κεχαρισμένη ἥκεις.
» φήμη ἔστ' ἐτεή· ναί, Πήγασος αἴτιός ἐστι
» πηγῆς·" ἱρὸν δ' οὖν ἡγήσατο Παλλάδι νᾶμα.
ἣ δ' ὡς δὴν ἠγάσσαθ' ὕδωρ ποσὶν ἀμβλύσαν ἵππου,
τάρφεα ὑλάων τριπαλαίων ἄθρεεν κύκλῳ,
ἄντρα τε καὶ βοτάνας, τὰς νήριθμ' ἄνθε' ἐκόσμει.
Μνημοσύνης δ' ὤλβιζε κόρας ἔργων θ' ἕνεκα σφῶν
καὶ ἕδεος· τὴν δ' αὖ κασίων μία ὧδε προσεῖπε·
"ὦ Τριτώ, ἥπερ κ' ἐναρίθμιος ἄμμιν ἔησθα,

» εἰ μὴ σὴ ἀρετὴ ἐφ' ὑπέρτερα ἔργα σ' ἔπειγε.
» φὴς ἀτρεκῆ· αἰνεῖς δ' ἄρ' ἔδος καὶ ἔργα δικαίως·
» αἶσά κ' ἔην ἐσθλή, εἴ γ' ἦν βίος ἄμμι βέβαιος.
» ἀλλ' οὐδὲν γ' ἐσεβάσσατ' ἀλιτρός· τῷ φρένα πάντα
» παρθενικὴν πτοέει· ὁράαν δὲ Πυρηνέ' ὀΐω
» καὶ νῦν· οὐδὲ δέους ἀνενήνεγμαί πω ἐκείνου·
» Δαυλίδος εἷλ' ὃ γύας καὶ Φωκίδος ἀγριόθυμος
» θρηϊκίοισιν ὅπλοις καὶ ἐνώμα σκῆπτρ' ἀθέμιστα·
» νηὸν δ' ἐρχομένας Παρνήσιον εἶδέ ποτ' ἄμμε,
» ἀντιάσας τε θεὰς προσποιητοῖσι σεβασμοῖς
» ἔννεπεν· "ὦ Μοῦσαι, (γνῶ γὰρ νόῳ) ἴσχετε οἶμον·
» μὴ δ' ὑπ' ἐμῇ, λίτομαι, στέγῃ ὀκνήσητ' ἀλέασθαι
» χεῖμά τε καὶ ὄμβρον· (ὗεν γάρ)· ἐλάσσονας οἴκους
» πολλάκι θεοὶ ἐσέβαν·" καννεύσαμεν οὖν, ἐπέεσσιν
» ὄμβρῳ τ' εἴξασαι, πρόδομόν τ' εἰσήλθομεν ἀνδρός.
» Παύσατο χεῖμα· νότοιο δ' ὑπαὶ βορέαο δαμέντος,
» ὀρφνήεντα νέφη φεῦγον πόλον εὐδιόωντα·
» ὡρόμεθ' οὖν ἴμεναι· οἴκους δ' ἔκλεισε Πυρηνεὺς
» καὶ πόρσυνε βίην· τὴν δ' ἐκφύγομεν πτερόεσσαι.
» ὡς δ' ἄρ' ἐφεψόμενος πύργον ἀναβὰς φάτο κεῖνος·
» "ὅπποι γ' ὔμμι κέλευθος, ἐσεῖται καὶ ἐμοὶ αὐτή·"
» αὐτίκα δ' ἠλεὸς ἄκρου ἓ αὐτὸν ῥίψ' ἀπὸ πύργου·
» κακκεφαλῆς δ' ἐριπὼν ὀστέοισι ῥαγεῖσι προσώπου
» θνήσκων γαῖαν ἄραξε φορυκτὴν αἵματ' ἀλιτρῷ.

Κισσῶν τινων ἀνθρωπομίμως φθεγξαμένων ἀπὸ τῶν δένδρων καὶ τῆς θεᾶς ἐπιστραφείσης πρὸς τὴν φθογγήν, ἀφορμῆς ἐπιλαβομένη ἡ Μοῦσα κόρας ποτὲ αὐτὰς τοῦ Μακεδόνος Πιέρου φησὶ γενέσθαι ἰσαρίθμους ταῖς Μούσαις καὶ ταύταις ἐρίσαι περὶ πρωτείων ᾠδῆς ἐπὶ κριταῖς ταῖς νύμφαις τολμῆσαι.

Μοῦσ' ἐφθέγγετ' ἔτι· πτέρυγες δ' ἤχησαν ὕπερθε,
καί τις ἀπ' ἀκρεμόνων προσφθεγκτικὴ ἤρχετο γῆρυς.
Δίζετο δ' ἀμβλέψασα Διὸς κόρη, ὅθεν ηὔδων

ὧδε σαφῆ γλῶσσαι· ἄνθρωπον οἴσατο αὐδᾶν,
αἳ δ' ὄρνιθες ἔσαν· μιμηλαὶ ἐννέα κίσσαι
αἶσαν ὀδυρόμεναι σφετέρην ὄζοισιν ἐφῖζον.
Θαμβεύσῃ δ' ἄρ' ἔειπε θεὰ θεῇ. "ἄρτι ἀμίλλῃ
» αἵδ' ἡσσηθεῖσαι πτηνῶν γένος ἐπλήθυναν.
» Πίερος ἐν Πέλλῃ ταύτας τέκε πουλυάρουρος·
» μήτηρ δ' Εὐΐππη σφ' ἦν παιονίς· ἣ δὲ λοχείῃ
» ἐννεάκις ἐπίτεξ τοσσαυτάκις ηὔξατ' Ἐλευθοῖ.
» ἠλεαὶ ὠγκώθησαν ἐπὶ σφῷ πλήθει ἀδελφαί·
» ἐνθάδε δ' Αἱμονίων καὶ Ἀχαιϊάδων διὰ τόσσων
» ἱκόμεναι πολίων, ὧδ' ἤρξαντ' ἄμμιν ἐρίζειν·
» Αἱμυλίῃ παύσασθ' ἐλεφαίρεσθ' ὄχλον ἄϊδριν
» μαψιδίῃ, καὶ θέσθ', εἰ δὴ ὀπὶ θάρσυνοί ἐστε,
» ἄμμι θεαὶ δῆριν· ὀπὶ γὰρ τ' οὐ δευόμεθ' ὑμῶν,
» οὐ τέχνῃ, οὔτ' ἄρ πλήθει· τῷ ῥ' εἴξατε πηγῆς
» Πηγάσου ἡσσηθεῖσαι Ὑαντείης τ' Ἀγανίππης,
» ἢ ἡμεῖς πεδίων εἰς Παιονίην νιφόεσσαν
» εἴξομεν Ἠμαθίων· νύμφαι δὲ δίκην διέλοιεν.
» Αἰσχρὸν ἐριζέμεν ἄμμιν ἔδοξ', ἀτὰρ αἴσχιον εἶξαι·
» ὤμοσαν οὖν νύμφαι, τὰς εἱλόμεθ', ὕδατα ῥείθρων
» καὶ στυφελῆς πέτρης τυκτοῖς ἕζοντ' ἐπὶ θώκοις.

Μία τῶν τοῦ Πιέρου θυγατέρων πρώτη ἄρχεται ᾄδειν ταῖς Μούσαις ἐρίζουσα· ᾄδει δὲ τὴν τῶν γιγάντων πρὸς τοὺς θεοὺς μάχην, ἐν ᾗ φησι τούτους ἀποδειλιάσαντας εἰς Αἴγυπτον φυγεῖν κἀκεῖ ἄλλον εἰς ἄλλου ζώου εἶδος μεταβαλεῖν.

» Τῆμος ἄτερ κλήρου πρώτη ἐθέλουσ' ἐρίσασθαι,
» δῆριν ἄεισε θεῶν, ψευδῆ δὲ γιγάντεσι θῆκε
» τιμήν, ἠδὲ θεῶν μεγάλων κατεφαύλισαν ἔργα.
» ἐκ νεάτων δ' αἴης θεμέθλων Τυφῶ προθορόντα
» δεῖμ' ἔφατ' οὐρανίωσιν ἐνεῖναι, νῶτα δὲ πάντας
» φύγδην τρέψαι, ἕως Αἰγύπτου γαῖα καμόντας
» δέξατο καὶ Νεῖλος τετμημένος ἐς στόμαθ' ἑπτά.

» Πρὸς δ' αὖ ἔειπεν ἐκεῖσε Τυφωέα γηγενέ' ἐλθεῖν,
» πάντας δ' οὐρανίδας μορφὰς ψευδεῖς ὑποδῦναι,
» ποίμνης θ' ἡγήσασθ' οἴων Δία· τῷ κεράεσσι
» νῦν ἔτι καμπυλόεσσι λίβυς εἰκάζεται Ἄμμων·
» Φοῖβος ἔγεντο κόραξ, Σεμέλης δὲ γόνος τράγος ὤφθη,
» Φοίβου ἀδελφειὴ γαλέη, βοῦς ἄργυφος Ἥρη,
» ἰχθὺν Κύπρις ἔδυ, Κυλλήνιος εὔπτερον ἶβιν.
» Χείλεα πρὸς κίθαριν κινεῦσα κόρη τόσ', ἄεισεν.
» εἶθ' ἡμᾶς ἐκέλοντ'· ἀλλ', ὦ θεά, οὐ σχολὴ ἴσως
» " ἔστι σοι ἡμετέρῃσιν ἀοιδῆς οὔατ' ὑποσχεῖν.
Παλλὰς δ' ἀντηύδα· " μὴ δίζ', ἀλλ' ἔκφερ' ἀοιδὴν
ἑξῆς ὑμετέρην ,, ὑπὸ δὲ σκιῇ ἕζετο ἄλσευς.

Διαδέχεται τὴν Πιερίδα ἡ Καλλιόπη, μόνη παρὰ πασῶν τῶν Μουσῶν τὸν ἀγῶνα ἐπιτραπεῖσα. Πολλοὺς δὲ πρὸς ἐκείνην ἐρίζουσα συνείρει μύθους· τήν τε γὰρ Περσεφόνης ὑπὸ Πλούτωνος ἁρπαγὴν ᾄδει καὶ τὴν τῆς νύμφης Κυανῆς εἰς πηγὴν μεταμόρφωσιν, καὶ τὴν πλάνην της Δήμητρος, πανταχοῦ τὴν ἀφανῆ γενομένην κόρην ἀναζητούσης, καὶ τὴν τῆς θεᾶς ὀδύνην τε καὶ ὀργήν, δι' ἣν τῇ γῇ ἀπεῖπε μηκέτι φέρειν καρπούς, καὶ τὴν ἀγγελίαν τῆς Ἀρεθούσης τῇ Δήμητρι μηνυσάσης τὸν ἅρπαγα, καὶ τὴν τῆς κόρης εἰς ᾄδου ἀπαγωγήν:

Μοῦσα δ' ἔνισπεν· " Ἀγῶνα μιῇ ἐπετρέψαμεν οἴῃ.
» ἔγρετο Καλλιόπη, περὶ δ' εἴρξασ' εὖ μάλ' ἐθείρας
» κισσῷ, ἀντίχερι λιγυρῶν πειρήσατο νευρῶν,
» καὶ κίθαριν πλήσσουσα καλῇ ὀπὶ τοιάδ' ἄεισε.
» " Πρώτη Δημήτηρ κυρτῷ τάμε βῶλον ἀρότρῳ·
» πρώτη καρπὸν ὄπασσε καὶ ἥμερα σιτία γαίῃ·
» πρώτη ἔθηκε νόμους· Δηὼ πάντ' ἄμμιν ἔδωκε.
» μελπτέον οὖν κείνην με· θεῆς δ' αἴθ' ἄξι' ἀείδειν
» εἴη μοι· κείνη γάρ τ' ἀξίη ἔπλετ' ἀοιδῆς·
» Νῆσος ἀπειρεσίη ἐπίκειτ' ὀστέοισι γίγαντος
» Τρινακρίη, θλίβει δ' ὑποκείμενον ἀσπέτῳ ὄγκῳ
» Τυφῶ, αἰθερίους ἀναβῆναι τλάντα ποτ' οἴκους.
» ἦ ῥ' ὅ γ' ἐρειδόμενος θαμάκις πειρῆται ἐγρέσθαι,

» ἀλλ' οἱ δεξιτερὴ ἴπουται νέρθε Πελώρῳ,
» λαιὴ δ' αὖτε Παχύνῳ, ἀτὰρ μηροὶ Λιλυβαίῳ,
» κρᾶτα πιέζει δ' Αἴτνη, ὑφ' ᾗ δὴ ὕπτιος ἄμμον
» ἐκ στόματος δεινοῖο φλόγας τ' ἀνίησι Τυφωεύς.
» πολλάκι μαιμάσσει βρῖθος χθονὸς ἀμφιτινάξαι,
» ὧν τ' ἀποκυλῖσαι πτολίεθρα καὶ οὔρεα γυίων.
» τῷ δὴ γαῖα τρέμει καὶ ἀναύδων ταρβεῖ ἀνάκτωρ
» μή τι διαστὰν ὕπερθε πέδον χθονὸς εὐρὺ χάνῃσιν,
» ἠέλιος δ' εἴδωλα νεκρῶν πτοιήσῃ ἐπεισδύς.
» Τοῖον πῆμα τρέων ποθ' ἕδους ἐξέσσυτ' ἐρεμνοῦ
» κοίρανος, ἠδὲ δίφρῳ μελάνων ἐποχούμενος ἵππων,
» Σικανίης ἕδεθλα σκοπέων περίηϊε πάντῃ.
» Πάντα δ' ἐπεὶ σκοπέων ἅλις ἔδρακεν ἔμπεδ' ἐόντα
» καὶ φρενὸς ἔκβαλε δεῖος, ἀπ' οὔρεος οὗ Ἐρυκίνη
» πλαζόμενόν μιν ἴδε· πτηνὸν δ' υἷ' ἀμφιβαλοῦσα,
» ἔννεπεν· "ὦ τέκνον, ἐμὴ ἰσχὺς χείρ τε καὶ ὅπλον·
» λάζευ, Ἔρως, χείρεσσι βέλη, τοῖς πάντα δαμάζεις,
» ἐς στῆθος δὲ θεοῦ πτερόεντας ἴηλον ὀϊστούς,
» ὃς κλῆρον τριμεροῦς εἴληχε τὸν ὕστατον ἀρχῆς.
» οὐρανίους σὺ θεοὺς σύμπαντας σὺν Διῒ αὐτῷ
» νικᾷς καὶ ἁλίους, πάντων θ' ἁλίων μεδέοντα.
» Τάρταρα τίπτ' ἀτρεμεῖ; τίπτ' οὐ μητρός τε τεήν τε
» ἀρχὴν εὐρύνεις; Κόσμου τριτάτης περὶ μοίρης
» ἡ κρίσις ἐστίν· ὅμως δ' ἡμέων ἀνοχὴν διὰ τόσσην
» οὐδὲ πόλος ἀλέγει· σὺν ἐμῇ δ' ἴς φθίνει Ἔρωτος·
» οὐχ ὁράας ὅτι μευ Παλλάς τ' ἠδ' ἰοχέαιρα
» κούρη ἀφεστήκασ'; εἰ ἀνεξόμεθ', ἔσσετ' ἄνυμφος
» καὶ Δηοῦς θυγάτηρ· φέρβει γάρ τ' ἐλπίδ' ὁμοίην·
» ἀλλὰ σύ γ', εἴ τις ἐμεῦ χάρις ἀρχῆς εἵνεκα κοινῆς,
» κούρην πάτρωϊ ζεῦξον" Κύπρις ἔννεπ'· ὃδ' ᾦξεν
» ἰοδόκην, μητρός τε καθ' αἵρεσιν ἔξελεν ἰῶν
» αὐτίχ' ἕνα πλείστων, οὗ ῥ' οὔτε τομώτερος ἄλλος,

» οὔτε βεβαιότερος, ἢ τόξῳ ὁμῶς ἐπιπειθής·
» εὐκαμπὲς δὲ κέρας ποτὶ γούνατι κάμψεν ἐρείσας,
» Πλουτῆός τε κέαρ καλάμῳ βάλεν ὀγκίνῳ αἶψα.
» Ἔστι τις Ἐνναίων τειχέων ἄγχιστα βαθεῖα
» λίμνη, οὔνομα Πέργος· ἐκείνης οὔποτε κύκνων
» πλείον' ἐνὶ ῥεέθροισι μελίσματ' ἄκουσε Καΰστρος·
» ἀμφιπεριστέφει ὕλη ὕδωρ, φύλλοισί θ' ἑοῖσιν
» ὥστε καλύμματι Φοίβου ὀϊστοὺς αἰὲν ἐέργει·
» ἀκρέμονες ψῦχος, διερὴ χθὼν ἄνθεα τίκτει·
» αἰὲν ἔαρ πέλεται. Εὖτ' οὖν ἐν ἐκείνῳ ἔπαιζεν
» ἄλσεϊ Περσεφόνη, ἴα δ' ἔδρεπεν ἢ κρίνα λευκά,
» οἷά τε παῖς σπουδῇ καλάθους καὶ κόλπον ἐπίμπλη,
» πρὸς τ' ἄλλας ἐρίδαινεν ὁμήλικας ἀνθολογεῦσα,
» εἶδέ μιν, ἠδ' ἅμ' ἰδὼν ἐπόθησε καὶ ἥρπασε Πλουτεύς·
» οὕτως ὀξὺς ἔρως πέλεται. δείσασα δ' ἐκείνη,
» μητέρ' ἰδ' ἀμφιπόλους γοερῇ ὀπί, πυκνότερον δὲ
» μητέρ' ἐβώστρει· ἐπεὶ δέ οἱ ἐσθὴς σχίσθη ἄνωθεν,
» ἄνθε', ἅπερ τ' εἵλεκτο, χιτῶνός οἱ ἔκχυτο πάντα.
» Παιδνῇ δ' ἡλικίῃ ἁπλότης τόση ἔπλετο κείνης,
» ὥστε καὶ ἥδε βλάβη κούρης φρένας ἠνίασεν.
» Ἅρπαξ δ' ἦγεν ὄχον, ὀνομακλήδην τε κικλήσκων
» ὤτρυνεν πώλους, τῶν ῥ' αὐχενίην παρὰ χαίτην
» ἰῷ κραιπνὰ τίνασσε κελαινιόωντα χαλινά·
» ἧε δὲ πὰρ λίμνας θείου τ' ὄζοντα Παλικῶν
» τίφεα, χαινούσης ζείοντ' αἰεὶ πυρὶ γαίης,
» καὶ ὅθι Βακχιάδαι, γένος ἀμφιάλοιο Κορίνθου
» μεσσηγὺς λιμένων δύ' ἀνίσων τείχε' ἔθεντο.

Τοῖς νῦν εἰρημένοις συνείρει ἡ Μοῦσα τὴν τῆς νύμφης Κυάνης μεταμόρφωσιν· αὕτη μὲν γὰρ τῷ Πλούτωνι τὴν δίοδον ἀποφράξαι πειρᾶται· ὁ δὲ κατὰ μέσον τὸ ὕδωρ τὴν γῆν διαῤῥήξας σὺν τῇ ἁρπαγείσῃ κόρῃ διὰ τῆς ῥωγμῆς εἰς τὰ ὑποχθόνια καταδύνει· (Πρβλ. Διόδ. Σικελ. έ. 49)· ἡ δὲ νύμφη δάκρυσι διαλειβομένη εἰς πηγὴν μεταβάλλεται.

» Ἔστι μέσον Κυάνης καὶ Πισαίης Ἀρεθούσης

» χεῦμ' ἅλιον στεινοῖσιν ἐεργόμενον κεράεσσιν·
» ἐνθάδε κλεινοτάτη νυμφῶν Κυάνη πάρος ᾤκει
» Σικελίδων, ἐξ ἧς γε καὶ εἴληχ' οὔνομα τέλμα.
» Ἧδ' ἀναδῦσα μέσης ἄχρι γαστέρος ἐξ ἁλός, ἔγνω
» αἶψα θεὸν καὶ ἔφη· “ οὐ πόρσιον ὔμμι πορευτόν·
» οὔ σοι ἔνεστιν ἔμεν γαμβρῷ Δηοῦς ἀεκούσης·
» χρῆν σε λιτῇς χρήσασθ', ἀλλ' οὐ βίῃ· εἰ δὲ θέμις μοι
» βαιὰ παρακρῖναι μεγάλοις, καὶ ἐμεῦ πρὶν Ἄναπις
» ἠράσατ'· ἀλλά μ' ἔγημ' ἀναπείσας, οὐ φόβον ἐνθείς.
» Εἶπε καὶ ἀμπετάσασα βραχίονας ἀμφοτέρωσε
» ἀντέστη· Κρονίδης δ' οὖν οὐκέτ' ἐρήτυε θυμόν·
» δεινοὺς δ' ὀτρύνας ἵππους, βριαρῇ χερὶ πῆλε
» σκῆπτρον ἀνακτόρεον, βυσσῷ λίμνης τ' ἐνέπηξε·
» χθὼν δ' ὤϊξε τυπεῖσ' ἐς Τάρταρον οἶμον ἀϊδνόν,
» μέσσῳ δ' ἐν κρητῆρι προπρηνεῖς δέξατο ἵππους.
» ἀλλὰ θεῆς Κυάνη ἁρπαγμόν, ἑοῦτε ῥεέθρου
» ὕβριν ὀδυρομένη, σιγῇ φέρεν ἀπαράμυθον
» ἐν θυμῷ ὀδύνην καὶ φθῖνεν δάκρυσι πᾶσα·
» ἧκα δ' ἄρ' εἰς φαιδρόν, τοῦ δὴ μεγάλη θεὸς ἦεν,
» νᾶμα διέῤῥει· ἴδες κε μαλασσόμεν' αὐτόθε γυῖα,
» ὀστέα καμπτόμεν', οὐδ' ὀνύχων στυφλότητα μένουσαν.
» Τήκετό οἱ πρώτισθ' ὅσα λεπτότατ' ἔπλετο πάντων,
» κυάνεοι πλόκαμοι καὶ δάκτυλα, κῶλ' ἰδὲ μηροί·
» λεπτῶν γὰρ γυίων ἐς ὕδωρ τροπή ἐστι ταχίστη·
» εἶτα δ' ἐκείνης νῶτα καὶ ὦμοι, στέρνα τε πρόσθε
» καὶ πλευραὶ φθίνουσαι ἐς ὑγρὰ τρέποντο ῥέεθρα·
» ὕστατα δ' αὖτε φλέβας ζωοῦ ἀνθ' αἵματος ὕδωρ
» ψυχρὸν ἔδυ· κείνης δ' οὐ λείπετο χερσί τι ληπτόν.

Προστίθησιν ἡ Μοῦσα ὅτι τὴν κόρην ἡ Δημήτηρ ζητοῦσα πᾶσαν γῆν καὶ θάλασσαν διοδεύει· παῖδα δέ τινα ἐν Ἀττικῇ τωθάζοντα αὐτὴν καὶ διαμωκώμενον μετατρέπει εἰς σαῦρον.

» Τόφρα δ' ἐὴν δείδουσα μάτην κούρην ἐμάτευε

» μήτηρ πᾶσαν ἀν' αἶαν, ἁλὸς τ' ἐνὶ βένθεσι πάσης.
» Τὴν δ' οὔτ' ὀρνυμένη τόφρ' Ἠὼς ὑγροέθειρος
» εἶδ' ἀναπαυομένην, οὔθ' Ἕσπερος· ἀλλὰ χέρεσσιν
» ἀμφοτέρῃσι θεὰ φλογερῆς δαΐδ' ἧψεν ἀπ' Αἴτνης
» καὶ φέρ' ἀλυκταίνουσα διὰ ψυχρῆς σκοτομήνης·
» ἡνίκα δ' ἄστρα πόλου πάλιν ἤμβλυν' ἱερὸν ἦμαρ,
» ἑσπερίηθε θύγατρ' εἰς Ἠῶ δίζετο πάντῃ·
» ἀδδηκυῖα πόνῳ δίψησ'· οὐ γάρ ποθι πῖδαξ
» χείλεά οἱ ἐδίηνε· τότ' οὖν ἀχύροις ὀροφωτὸν
» ηὐγάσατ' οἰκίδιον καὶ κόψε θύρην· πρὸ δ' ἔκυψε
» γρηῢς, ἴδεν τε θεὰν καὶ αἰτεύσῃ ποτὸν ὕδωρ
» φρυκτοῦ ἀλφίτου ἑψητὸν γάνος ἡδὺ ἔδωκεν.
» ὄφρα δ' ἐκείνη πῖνε, πάϊς θρασὺς ὄμμα τ' ἀναιδὴς
» πρόσθε θεῆς ἔστη, γέλασέν τε, λίχνην τ' ἐκάλει μιν.
» Χώσατο φρεσσὶ θεὰ καὶ φθεγγομένου κατέχευεν
» ὅσσον λοιπὸν ἔτ' ἔσκε μεμιγμένον ἀλφίτῳ ὕδωρ.
» στίχθη παιδὶ πρόσωπον· ὅπου δ' οἱ πρὶν χέρες ἦσαν,
» μηροὶ ἔφυν· γυίοις τ' οὐρὴ μεταφῦσι προσήφθη·
» ὄφρα δὲ μὴ ὃ δύναιτο λίην σίνεσθ', ἐβραχύνθη
» ἐς δέμας ἠβαιὸν καὶ σαύρῃ τυτθὴ ἐτύχθη.
» γρῆυς τάφεν ἠδ' ἀνέκλαιε· τέρας δ' ἅψασθ' ἐθέλουσαν
» ὀξὺ φύγε, τρώγλην τ' ἐσέδυ, χροιῇ δέ τ' ἀρηρὸς
» ἔσχ' ὄνομ', ἄστροισι στικτὸν χρόα ποικιλόνωτον.

Ἐχομένως ᾄδει ἡ Μοῦσα, ὡς ἡ Δημήτηρ ἐν τοῖς ὕδασι τῆς Κυάνης τὴν τῆς Περσεφόνης ζώνην εὑροῦσα, ὑποτοπήσασα ἐν τῇ γῇ που κρύπτεσθαι αὐτὴν ἁρπαγεῖσαν, ὀργισθεῖσα φθείρει τὴν γεωργίαν καὶ τὴν γῆν ἀφαιρεῖται τὸ φέρειν καρπούς· ἡ δὲ νύμφη Ἀρέθουσα τὴν θεὰν ἱκετεύουσα πραΰνειν πειρᾶται καὶ μηνύει αὐτῇ τὴν κόρην βασιλεύειν ἐν ᾅδου.

» Μακρὸν ἔοι κ' ἐνέπειν, χώρας τίνας ἠδὲ θαλάσσας
» Δηὼ ἐπεπλάγχθη· διζήσατ' ἐς ἔσχατα γαίης.
» Σικανίην δ' ἄψ ἦλθε, μάτευέ τε πανταχῇ, εἴως
» ἵκετο καὶ Κυάνην· ἦδ', εἰ μὴ εἶδος ἄμειψε,

» πάντα κέ οἱ ἐξεῖπ'· ἀλλ' οὐ στόμ' ἔην ἐθελούσῃ
» αὐδᾶν, οὐδὲ γλῶσσ', οὐδ' ᾧ κ' ἐφθέγξατο ἄλλο.
» δῶκεν ὅμως τέκμωρ ἀρίδηλον· μητέρι γάρ τε
» γνωτὴν Περσεφόνης ζώνην, ἣ κεῖθι ῥεέθροις
» ἱροῖς ἐμπεπτώκει, ἐπ' ἄκροις ὕδασι δεῖξε.
» τὴν δὲ γνοῦσα θεά, ὡς εἰ φράσαθ' ἁρπαχθεῖσαν
» ἣν κούρην τότε πρῶτον, ἀκόσμους τίλατ' ἐθείρας,
» στήθεά τ' ἐπλατάγησεν ἐπασσύτερον παλάμῃσιν,
» οὐδ' ᾔδη ὅπου ἦεν· ἐμέμφετο δὲ χθόνα πᾶσαν
» καὶ κίκλησκ' ἀχάριστον, ἀνάξιον ὧν οἱ ὄπαζε
» καρπῶν, Τρινακρίην δὲ μάλισθ', ὅθι πήματος εὗρε
» τέκμωρ. Τῷ δὴ ἐκεῖ βωλοστρόφα χερσὶν ἄροτρα
» χωομένη κατέαξεν· ὁμῶ δ' ἄρα γειοπόνους τε
» καὶ ἀρότας βοῦς δῶκε μόρῳ· ἐκέλευσε δ' ἀρούρας
» καρπὸν ἀνήνασθαι καὶ φθῖσε σπέρματα πάντα.
» Εὐφορίη χώρης ἀρίδηλος πᾶσαν ἀν' αἶαν
» μαψιδίη ἔπλε· θνῆσκ' ἐνὶ πρώτῃ λήϊα βλάστῃ,
» καί ῥ' ὁτὲ μὲν τάδε καῦμα μέγ' αἴνυτο, ἄλλοτε δ' ὄμβρος.
» πνοιαὶ δ' αὖ δηλεῦντ' ἰδὲ τείρεα· καὶ βοροὶ ὄρνεις
» σπέρματ' ἀγροῖσι λέγον· τρίβολοι δὲ καὶ αἶρα
» καὶ βοτάναι ἄμαχοι κατ' ἀρούρας πυρὸν ἔπνιγον.
» κρᾶτα τότ' ἐξ ὑδάτων Ἀλφειῒς νύμφη ἀνέσχεν,
» ὑδρολιβῆ τε κόμην ἀποκινήσασα μετώπου
» ἔννεπεν· “ ὦ κούρης, ἥν περ διζήσαο πάντῃ,
» καὶ ὀμπνῶν γενέτειρα, πόνων ἀπόληξον ἀπλήτων
» μηδ' ἄρα πιστῇ σοι ὧδ' αἰνῶς χώεο γαίῃ.
» οὐ χθὼν ἤλιτέ σοι· χάνε δ' ἅρπαγι οὔτοι ἑκοῦσα·
» οὐδέ σ' ὑπὲρ πατρίδος λίτομαι· ξένη ἐνθάδ' ἀφῖγμαι.
» Πῖσά μοί ἐστι πάτρη· γενεὴν ἐξ Ἤλιδος ἕλκω·
» ναίω Σικανίην ἀλλοτρίη· ἥδε μοι ἔμπης
» πασῶν ἐσθ' ἡδίστη· ἔχω γάρ τῇδ' Ἀρέθουσα
» οἶκον ἰδ' ἑστίην, ἣν δὴ σάω, ἠπιόθυμε.

» Ἀνθ' ὅτεο χθόν' ἐμὴν προλιποῦσα δι' οἴδματος ἥκω
» Ὀρτυγίην τόσσου, μυθήσομαι, ὁππότε καιρὸς
» ἥξει μοι ἐνέπειν, σὺ δὲ τόσσων μερμηράων
» ἔκτοθεν ὄμμ' ἕξεις ἱλαρώτερον· οἶμον ἔμοιγε
» χθὼν παρέχει· σήραγγας γὰρ καταδῦσα βαθίστας
» ἐνθάδ' ἀείρω κρᾶτ' ἰδ' ἀήθεα τείρεα λεύσσω.
» Εὖτ' οὖν δὴ στυγίῳ ῥόῳ εἰκέλη εἷρπον ὑπ' αἴῃ,
» ὄμμασι Περσεφόνην σὴν αὐτόθι εἶδον ἐμοῖσι.
» δύσθυμος μὲν κείνη ἔτ' ἐστὶ καὶ ἔμφοβος ὦπα,
» ἀλλ' ἔμπης βασιλίς, ζοφεροῦ Κόσμου μεδέουσα,
» εὐδύνατός τε σύνευνος ὑποχθονίοιο τυράννου.

Ἑξῆς ἡ Μοῦσα προστίθησιν ᾄδουσα τάδε. Ἡ Δημήτηρ τὸν Δία ποτνιωμένη ἱκέτευσε τὴν κόρην κελεῦσαι ἐκ τῶν ὑποχθονίων εἰς τὸ φῶς τῆς ἡμέρας ἐπαναχθῆναι· ὁ δὲ Ζεὺς ποιήσειν τοῦτο κατὰ τὰ δεδογμένα τῇ Μοίρᾳ ὑπέσχετο, εἴγ' εὑρεθείη ἡ κόρη μηδενός πω ἐν ᾅδου ἐδέσματος ἁψαμένη. Τοῦ δ' Ἀσκαλάφου μαρτυρήσαντος ἑωρακέναι αὐτὴν κόκκους ῥοιᾶς προσενεγκαμένην, τοῦτον εἰς βύαν ἡ θεὰ μετέβαλεν ὀργισθεῖσα. Αἱ δ' Ἀχελωΐδες αἱ τῆς Περσεφόνης συμπαίστριαι μάτην ταύτην ἀναζητήσασαι ἐπὶ γῆς ηὔξαντο ἐκγενέσθαι αὐταῖς καὶ ἐπὶ τῶν κυμάτων πορεύεσθαι· οἱ δὲ θεοὶ τῆς εὐχῆς ἐπακούσαντες εἰς ὄρνεις αὐτὰς μετεμόρφωσαν, παρθένοις ὅμοια τηρούσας ἔτι τὸ πρόσωπον καὶ τὰ ἄνω τοῦ σώματος. Τέλος ὁ Ζεὺς ἴσα τῷ Πλούτωνι καὶ τῇ Δήμητρι χαριζόμενος, ἓξ μὲν μῆνας ἐν ᾅδου, ἴσους δ' ἐπὶ γῆς τὴν Περσεφόνην μένειν διέγνω.

» Μήτηρ δ' ὡς τάδ' ἄκουσεν, ἐνάρκησ' ἠΰτε λᾶας,
» δὴν τ' ἐμβροντήτῳ στῆ εἰκέλη· αἰνὸν ἐπεὶ δὲ
» ἄλγος ἀπήλασ' ἄλην φρενὸς αἰνήν, ἠέρ' ὄχεσφιν
» ἤρθη ἐς αἰθέριον· τόδι δ' οὖν νενεφωμένη ὦπα,
» λυσίθριξ ἔστη πρὸ Διὸς φρεσὶ μεμφομένη οἱ
» καὶ φάτο. ,, Ἱκνεῦμαί σ' ὑπὲρ αἵματος, ὦ Ζεῦ, ἐμοῖο
» καὶ τεοῦ· εἰ μή τις μητρὸς παρὰ σοὶ χάρις ἐστίν,
» ἀλλὰ τεήν γε θύγατρ' ἐλέησον, μηδὲ σὺ ταύτης,
» λίσσομαι, ἧσσον κήδευ, ὅτ' ἐξ ἐμέθεν λελόχευται.
» δηθὰ φίλην κούρην διζησαμένη εὕρηκα,
» εἴ γ' εὑρεῖν λέγεται τὸ προδηλοτέρως μιν ὀλέσσαι,

» ἢ τὸ πυθέσθ' ὅθι μίμνει· ἐσεῖται δ' ἁρπαγὴ οἰστή,
» ἥν γ' ἅρπαξ ἀνέῃ· οὐ γὰρ σῇ ἔοικε θυγατρὶ
» ληΐστῇ συνέμεν, καὶ εἰ ἐμῇ οὐκ ἀπέοικε.
» Τῇ δ' αὖ ἔειπε Ζεύς· ξυνὸν πίστευμα καὶ ἄχθος
» ἄμμι πέλει θυγάτηρ· ἀλλ' εἴ γε χρὴ οὔνομ' ἀληθὲς
» πράγματι παντὶ τί θεσθ', οὐκ ἔστ' ἀδίκημ' ὃ πέπρακται,
» ἀλλ' ἔρος· οὐδ' ἔσετ' ἄμμιν ὄνειδος γαμβρὸς ἐκεῖνος,
» ἤν σύ, θεά, ἐθέλῃς. ἵν' ἐάσω τἆλλ', ὅσον ἐστὶ
» Ζηνὸς ἀδελφὸν ἔμεν! τί δέ, εἰ καὶ τἆλλα πρόσεστι,
» μούνῃ δ' αἴσῃ ὃ δεύετ' ἐμεῦ; εἰ δ' αὖ τόσον ἔλδωρ
» ἐστὶ διαζυγίης. εἰς οὐρανὸν αὖθις ἱκέσθω
» κούρη, εἰ μή πω θίγ' ἐδωδῆς εἰν ἀΐδαο·
» οὕτω γὰρ Μοίρῃς βουλευσαμένῃσι δέδοκται· „
» ὣς φάτο· Δημήτηρ δὲ θύγατρ' ἔθελ' ἐξαγαγέσθαι,
» ἀλλ' οὐ μόρσιμον ἦεν· ἀσιτίην γὰρ ἔλυσε
» κούρη, πλαζομένη δὲ καλοῖς ἀφελῶς ἐνὶ κήποις
» ῥοιὴν βριθομένου καρποῖς ἀπεδρέψατο δένδρου·
» κόκκους δ' ἐξ ὠχροῦ λεπύρου χερὶ ἑπτὰ ἑλοῦσα
» πρὸς στόμα θλῖψε φέρουσα· τὸ δ' ὄμμασι μοῦνος ἁπάντων
» ἔδρακεν Ἀσκάλαβος, τὸν μητέρα φασί ποτ' Ὄρφνην,
» οὔτοι ἀδηλοτάτην ἐν Ἀορνίσιν εἴδεϊ νύμφῃς,
» ἐν ζοφεροῖς ἄντροισιν ἑῷ τεκέειν Ἀχέροντι·
» ἔδρακε, καὶ νηλὴς μηνύσας νόστον ἀφεῖλεν.
» Ἐστονάχησεν ἄνασσ' Ἐρέβευς καὶ ἔθηκε βέβηλον
» ὄρνιν μηνυτήν· Φλεγέθοντος δ' ὕδασι κρᾶτα
» ῥάνασα, πτίλα τεῦξε, σὺν εὐρέσι τ' ὄμμασι ῥάμφος,
» ἐκ δ' ἀποδὺς ὃ φύσιν, πτέρυγας περιέσσατο πυῤῥάς,
» καὶ κάρη ηὐξήθη, γαμψούς τ' ὄνυχας ποσὶ φῦσε·
» κινεῖν δ' εἶχε μόγις ταρσοὺς περὶ χείρεσι φύντας,
» καὶ γένετο βδελυρός, πένθους τε προάγγελος ὄρνις,
» νωθὴς βύας, οἰωνὸς κακόθρους μερόπεσσιν.
» Ἀλλ' ὃ δίκην δοκέει μηνύσιος ἠδέ τε γλώσσης

» τῖσαι ἐοικυῖαν· πτερὰ δ' ὔμμιν τίπτε πέφυκε
» καὶ κῶλ' ὀρνίθει', Ἀχελωΐδες, ὄμμα δὲ κουρῶν;
» ἦ ῥ' ὅτι Περσεφόνης, ὅτε εἴαρος ἔδρεπεν ἄνθη,
» Σειρῆνες, πάρος ἦτ' ἐναρίθμιοι ἀμφιπόλοισι;
» Τὴν γὰρ ἐπεί γε μάτην χθόνα διζήσασθ' ἀνὰ πᾶσαν,
» καὶ ἁλὶ ὑμετέρην φῆναι μελεδῶν' ἐθέλουσαι,
» ηὔξασθ' εἰρεσίῃ πτερύγων ἐπὶ κῦμα δύνασθαι
» νήχεσθ'· ἀθανάτων δ' ἄρ' ἐπήκοον ἔσχεθ' ὅμιλον,
» καὶ ξανθὰ πτέρ' ἴδεσθε καλύπτοντ' αὐτίκα γυῖα.
» Ὄφρα δ' ἀοιδοσύνῃ γε πεφυκυῖ' οὔατα κηλεῖν,
» τόσσον δὴ δῶρον, μὴ γλώσσης ὔμμι χατίζοι,
» ὄψις παρθενική, μεροπηΐς τ' αὐδὴ ἔμεινε.
» Ζεὺς δὲ κάσει τ' ἐς μέσσον ἀδελφειῇ τε δικάζων
» ἀχνυμένῃ, λυκάβαντα κυλινδόμενον τάμε διχθά.
» Τῷ ῥα θεὰ νῦν, ἀμφοτέροις ξυνὴ βασιλείοις,
» ᾗ παρὰ μητρὶ μένει ἴσους μῆνας καὶ ἀκοίτῃ.
» αὐτίκα δὴ κείνης ἐτράπη φρὴν ἠδὲ πρόσωπον·
» ὄψις γάρ τε θεῆς, ἣ καὶ Πλουτῆϊ πάροιθε
» δόξε κ' ἔμεν σκυθρή, φαιδρὴ γένετ', ἠΰτε Φοίβου,
» ὁππόθ' ὑγρῶν νεφέων ἐξέρχεται, οἷς πεπύκαστο.

Τοῖς εἰρημένοις μύθοις προσφυῶς προσυφαίνει ἡ Μοῦσα τὸν τῆς νύμφης Ἀρεθούσης καὶ τὸν τοῦ Τριπτολέμου καὶ Λύγκου. Ἡ μὲν Ἀρέθουσα τὸν Ἀλφειὸν ἐν Ἤλιδι ἐρῶντα καὶ διώκοντα φεύγουσα τὴν τῆς Ἀρτέμιδος ᾐτήσατο ἀρωγήν· ὑπὸ δὲ ταύτης εἰς ὕδωρ μεταβληθεῖσα καὶ καταδῦσα εἰς γῆν φεύγει ἀφανὴς δι' ὑπογείων ῥωγμῶν· ὑπὸ δὲ τὴν νῆσον Ὀρτυγίαν ἀφικομένη ἐκ τῆς γῆς αὖθις ἀναφαίνεται· ὁ δὲ Τριπτόλεμος σπείρειν τὴν γῆν καὶ καρποῦσθαι ὑπὸ Δήμητρος διδαχθείς, ἀεροπόρῳ ἔποχος ἅρματι εἰς Σκυθίαν ἀπέρχεται τοῖς ἐκεῖ λαοῖς τὰ τῆς θεᾶς δῶρα κομίζων· ὁ δ' ἐν Σκυθίᾳ βασιλεύων Λύγκος ἐπιβουλεύσας αὐτῷ διὰ φθόνον εἰς λύγκα τὸ ζῶον μεταμορφοῦται.

» Ἀσμένη οὖν Δηώ, ὅτ' ἀνεῦρε θύγατρ', Ἀρέθουσαν
» ἤρετο·,, "τίπτ' ἔνθ' ἵκευ ἰδ' ἱρὸν νᾶμα τέτυξαι;,,
» Σίγησ' αἶψα ῥέεθρα· θεὰ δ' ἀνάειρε κάρηνον

» πίδακος ἐκ βαθέης, χερὶ τερσήνασά τ' ἐθείρας,
» ἠλείου ποταμοῦ προτέρους μυθήσατ' ἔρωτας·
» " Νυμφάων μί', ἔφη, ἐν Ἀχαιΐδι γαίῃ ἔγωγε
» ἦν πάρος· οὐκ ἄλλη ξυλόχους ἐπενίσσετ' ἐμεῖο
» πλείονι σὺν σπουδῇ, οὔθ' ἕρκεα θήρεσιν ἵστη·
» ἀλλ' εἰ καὶ καλοῦ κλέος εἴδεος οὐκ ἐμάτευσα,
» εἰ καὶ ἔην εὔσαρκος, ὅμως γ' ἔχον οὔνομα καλῆς·
» ἀλλ' οὔ μ' ὄψις ἔτερφ', ἣν λίην ᾔνεον ἄλλοι,
» ᾗ τε γεγήθασ' ἄλλαι· ἐγὼ δ' ἐπὶ δώρῳ ἀγροῖκος
» σαρκὸς ἐφοινίχθην· ἀσεβές δέ μοι εἴσατ' ἀρέσκειν.
» Στυμφαλίδος νεόμην κεκοπωμένη ἔκποτε ὕλης·
» μέμνημ'· ἦν ἀλέη· κάματος δ' ἀλέην ἐπάεξεν·
» ἀψόφῳ οὖν ἤντησα μάλ' ἧκα ῥέοντι ῥεέθρῳ
» φαιδρῷ, πυθμένος ἄχρι διειδέϊ, ᾧ ἔνι πᾶσαν
» ἦν ὁράαν κροκάλην, καὶ ὃ ἠρεμέειν κεν ἔφησθα·
» ἰτεῖαι πολιαί, ὑδατοτρεφέες τ' αἴγειροι
» αὐτοφυεῖς ἔρεφον πρηνεῖς ὄχθας ῥεέθροιο·
» ἐμπέλασα, πρῶτον τ' ἄκρους πόδας ὕδατι δεῦσα,
» εἶτα δέ γ' εἰς ἰγνύν· τῷ δ' αὖ πάλιν οὐκ ἀγαπῶσα
» κυφῇ ἐπ' ἰτείῃ ἀποδῦσ' ἐμὰ εἵματα θῆκα,
» γυμνή θ' ὕδατ' ἔδυν· τὰ δ' ὄφρ' ἔπλησσον καὶ ἔλαυνον
» πουλυτρόπως πλείουσα, χέρας τ' ἐῤῥίπτεον ἀμφίς,
» οὐκ οἶδ' ὅν τιν' ἄκουσα μέσοισιν ὑφ' ὕδασιν ἦχον,
» καὶ δείσασ' ἐπέβην ταχεῖ ἅλματι γείτονος ὄχθης.
» " Ποῖ σπεύδεις, Ἀρέθουσ'; „ Ἀλφειὸς φθέγξατο βραγχῇ
» φωνῇ ἀπὲκ ῥεέθρου· " ποῖ δὴ σπεύδεις, Ἀρέθουσα; „
» φεῦγον δ' ὥσπερ ἔην, γυμνή· ἑτέρῃ γὰρ ἐπ' ὄχθῃ
» εἵματ' ἔκειτ' ἐμέθεν· ὃ δ' ἐδαίετο καὶ ἐνέκειτο
» μᾶλλον· ἐοῦσα δὲ γυμνή, ἑτοιμοτέρη οἱ ἔδοξα·
» τὼς δὴ ἔγωγ' ἔθεον, κεῖνος δ' ἐδίωκεν ὄπισθεν,
» ὡς τρήρωσιν ἔθος φεύγειν ἴρηκα πελείῃς,
» ὡς τρήρωνας ἔθος μεθέπειν ἴρηκι πελείας·

» μέχρις ὑπ' Ὀρχομενόν, Ψωφῖδά τε, Κυλλήνην τε,
» Μαιναλίας τε νάπας, ψυχρόν τ' Ἐρύμανθον ἰδ' Ἦλιν
» ἔσθενον ὠκυδρομεῖν, οὐδ' ὠκύτερος θέε κεῖνος·
» ἀλλά γ' ἀφαυροτέρη δὴν θείειν οὐκ ἐδυνάσθην·
» πουλὺ δ' ἐμεῦ κρείσσων ὀτλέειν πόνον ἦεν ἐκεῖνος·
» ἀλλ' ἔμπης πεδίων, ὀρέων τε διὰ σκιοέντων
» ἔδραμον ἠδὲ πετρῶν, καὶ ὅπου οὐκ ἔσκε κέλευθος·
» ἥλιος ἦν κατὰ νῶτα· ποδοῖν δὲ πάροιθεν ὁρᾶτο
» μακρὴ μοι σκιή, εἰ μὴ ἔμοιγ' ὡρᾶθ' ὑπὸ δείους·
» ἀλλ' ἐτεῇ δοῦπός με ποδῶν ἐφόβει, καὶ ἀϋτμὴ
» ἐκ στόματος κείνοιο κατέπνεε ταινί' ἐθειρῶν·
» κεκμηκυῖα φυγῆς καμάτῳ ἔκραγον· κιχάνει με·
» σῇ, Δίκτυνν', ἐπάρηξον ὀπηδῷ, τῇ θαμὰ δῶκας
» τόξα φέρειν τεὰ καὶ φαρέτρῃ περίκλειστα βέλεμνα·
» εἷλε θεὰν οἶκτος· πυκινῶν δὲ μίαν νεφελάων
» ἀμφ' ἐμὲ χεῦε φέρουσα· καλυφθεῖσαν δέ μ' ὁμίχλῃ
» ἰχνεύων ποταμός, κοῖλον νέφος ἀμφὶς ἐρεύνα.
» δὶς χῶρον νῆϊς περιήλυθεν ἔνθα κεκρύμμην,
» καὶ δίς, ἰὼ 'Αρέθουσα, ἰὼ 'Αρέθουσ', ἐβόησε.
» Τίς μοι θυμὸς ἔην τότε δυσμόρῳ; οὐχ ὅ,τις ἀμνῇ,
» ἥ τε λύκους ἤκουσ' ὠρυομένους περὶ αὖλιν,
» ἢ λαγῷ, ὅς τε βάτοις ὑποπεπτηὼς στόματ' ἐχθρὰ
» εἶδε κυνῶν, κινεῖν δ' οὐ θαρσεῖ γυῖ' ἀλαπαδνά;
» Οὐχ ὅ γ' ἀπέστιχ' ὅμως· οὐ γάρ τ' ἴμεναι προτέρωσε
» ἴχνια λεῦσσε ποδῶν· χῶρον δὲ νέφος τ' ἐφύλασσεν.
» ἐκ ῥεθέων ψυχρός μοι ἐεργμένῃ ἔῤῥεεν ἱδρώς,
» ἐκ δὲ χροὸς πάντῃ γλαυκαὶ στάζον ῥαθέμιγγες·
» ὅππoι δὴ ποσὶ βαῖνον, ὕδωρ νάεν· ἐκ δ' ἄρ' ἐθειρῶν
» στάζε δρόσος· τάχιον δ' ἢ μυθέομ' ἅσσα τελέσθη,
» εἶδος ἄμειψ' ἐς ὕδωρ· ποταμὸς δὲ φίλ' ὕδατ' ἐπέγνω,
» καὶ ῥ' ἀποδυσάμενος ἀνέρος εἶδος, τὸ ἕεστο,
» ὄφρα μιγείη μοι, πάλιν ἐτράπη εἰς ἑὰ ῥεῖθρα.

» Δηλία ἔῤῥηξ' αἶαν· ἐγὼ δ' ἄντρ' ὄρφνια δῦσα
» ἤλυθον Ὀρτυγίην, ἥ μοι φίλη οὖσα θεαίνης
» εἵνεκ' ἐπωνυμίης, ἐξήγαγέ μ' αὖθις ἐς αὔρας.
» Τόσσ' Ἀρέθουσα ἔειπε· θεὰ δ' ἔζευξ' ὑπ' ὄχεσφι
» καρποδότις δύ' ὄφεις καί σφι στόματ' εἶρξε χαλινοῖς·
» μέσσον δ' ἄρ' γαίης τε καὶ οὐρανοῦ ἠέρ' ἔτεμνεν.
» Αὐτὰρ κοῦφον ὄχον Τριτωνίδος ἤγαγ' ἐς ἄστυ
» Τριπτολέμῳ· καὶ δοῦσα, τὰ μὲν γ' ἐκέλευ' ἐν ἀεργεῖ
» σπέρματα γῇ σπείρειν, τὰ δ' ἀχρήστῳ δὴν ἐνὶ νειῷ.
» Εὐρώπης Ἀσίης θ' ὑπερέπτατο ἅρματι γαίας
» ἠΐθεος, καὶ ὄχον Σκυθίης ἴθυνεν ἐπ' ἀκτάς,
» ἔνθ' ἦν Λύγκος ἄναξ· ὃ δ' ἐσήλυθεν οἶκον ἄνακτος.
» τοῦ δ' ἄρ' ἀνειρομένου, πῶς ἤλυθ' ἐφ' ὅ,ττι τε χρεῖος,
» οὔνομά τ' ἠδὲ πάτρην· "πατρίς ἐστί μοι, ἔννεπ', Ἀθῆναι·
» Τριπτόλεμος δὲ κέκλημαι· ἐλήλυθα δ' οὔτ' ἐπὶ πόντου.
» οὔτ' ἄρα πεζός· ἔγεντο δέ μοι διοδεύσιμος ἀήρ·
» δῶρα φέρω Δηοῦς, ἅ τ' ἐν εὐρείῃσιν ἀρούρῃς
» σπειρόμεν' ὄμπνας ἄμμι καὶ ἥμερα εἴδατ' ὀπάζει·
» Βάρβαρός οἱ ἐμέγηρ'· ὄφρα δ' αὐτὸς ὅγ' αἴτιος εἴη
» δώρου τόσσου, ξείνισσεν· βεβαρηότι δ' ὕπνῳ
» χαλκῷ ἐπῶρτο, θέλοντα δ' ἐκείνου στήθεα πεῖραι
» λύγκα θεά μιν ἔθηκε καὶ ἠΐθεον κέκλετ' αὖθις
» μοψόπιον θοὸν ἅρμα δι' ἠέρος ἱρὸν ἐλαύνειν.

Τοσαῦτα ἀντᾳσάσης τῆς Καλλιόπης, ταῖς δικαζούσαις νύμφαις ἔδοξε τὰς Μούσας νικᾶν. Ἐπειδὴ δ' αἱ Πιέρου θυγατέρες νικηθεῖσαι εἰς ὕβρεις ἐτράποντο, εἰς κίσσας μεταμορφοῦνται.

» Ὧδ' ἡμείων πρώτη ἀοιδῆς λῆξε λιγείης·
» νικῆσαι δὲ θεὰς ἑλικωνιάδας ἐβόησαν
» πᾶσαι ὁμῶς νύμφαι· κεῖναι δ' ἐπεὶ ἵεσαν ὕβρεις
» νικηθεῖσαι, ἔφη· ,, ἐπεὶ οὐχ ἅλις ὅττ' ἐρίσασθαι
» ποίνιμον ἔργον ἔτλητ', ἀλλὰ πρὸς ἁμαρτάδι κείνῃ
» βάζετε λοίδορ' ἔπη, τὰ δ' ἄρ' οὐκ ἔστ' ἄμμιν ἀνεκτά,

» τισσόμεθ' ὔμμε, χόλῳ τε μάλ' ἑψόμεθ', ᾗ κεν ἄγῃσιν.
Ἠμαθίδες γέλασαν καὶ ἀπειλῶν οὐκ ἀλέγιζον.
πειρηθεῖσαι δὲ φθέγξασθ', ἰταμάς τε κεκραγμῷ
χεῖρας ἐφεῖναι, ὄνυξ' ἐπιφυόμενα πτερὰ εἶδον
καὶ πτίλα πάγχυ χέρας περιβάλλοντ', ἀλλήλων τε
ὦπα συνελκομένην εἰς σκληρὸν ῥάμφος ἔλευσσον
καὶ γίγνοντο νέαι ὑλῶν ὄρνιθες ἅπασαι.
κόψασθ' ἱέμεναι, χειρῶν πιτύλῳ ἐπάερθεν,
ἠέριαί τ' ἔνεον στόμαθ' ὑλῶν λοίδορα, κίσσαι.
καὶ νῦν στωμυλίη μένει ὀρνίθεσσι παλαιὴ
καὶ βραγχὴ λαλιὴ καὶ φθογγῆς ἄσπετον ἔλδωρ.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΟ Ε΄ ΒΙΒΛΙΟΝ

ΤΩΝ ΟΒΙΔΙΟΥ ΜΕΤΑΜΟΡΦΩΣΕΩΝ.

Στίχ. 2). *Κηφήνων*. Ἔθνος Αἰθιόπων εἰσὶν οἱ Κηφῆνες, περὶ ὧν ἴδε Ἡρόδοτον βιβλ. ζ΄. 61.

12). ἴδε βιβλ. δ΄. σημ. εἰς στ. 670.

18—19). *ἐμῶν σπλάγχνων*· τῆς θυγατρός μου. Πρβλ. βιβλ. ς΄. 656, ή. 478.

21). *ἐμῷ δ' ἐπὶ πένθεϊ χαίρεις*· ἐν τῇ ἐμῇ συμφορᾷ παραμυθίαν εὑρίσκεις.

25). *ἄεθλον*· τὴν Ἀνδρομέδαν, ἣν ὁ Περσεὺς ἆθλον τῆς σωτηρίας ἐκτήσατο.

28). *ὅς ἔπει κεῖν' ἤρατ' ἴδ' ἔργοις*· ὃς ἐκτήσατο αὐτὸ τῇ πρὸς ἐμὲ συνθήκῃ (ἔπει) καὶ αὐτῷ τὸ τοῦ κήτους φόνῳ (ἔργοις).

35). *τῷ αὐτῷ ὅπλῳ*· αὐτὸ ἐκεῖνο τὸ τοῦ Φινέως δόρυ πάλιν ἀφείς, ὃ τοῦ Περσέως ἀστοχῆσαν τῇ στρωμνῇ ἀνερήριστο.

36). *ὑπὸ βωμόν*· τὸν τῶν ἑστιούχων θεῶν.

46). *ἀδελφόν*· ἀδελφὸς τῆς Ἀθηνᾶς λέγεται ἐνταῦθα ὁ Περσεύς, ἅτε καὶ αὐτὸς πατρὸς τοῦ Διός, ὥσπερ ἐκείνη, γεγονώς·

48). *ὑαλέοις*· στιλπνοῖς ἢ διαυγέσιν, οἷα ἡ ὕαλος.

49). *Λιμνᾶτιν*. Τὸ ὄνομα *Λιμνάτη* τῆς τοῦ Γάγγου θυγατρός, ὃ ἐν πολλοῖς χειρογράφοις φέρεται, οὐκ ὀρθῶς ἐσχηματίσθαι δοκεῖ· διὸ κρεῖττόν μοι ἔδοξε *Λιμνᾶτις* γράφειν.

55). *κέρας*· τὸ τόξον καλεῖται, ὥσπερ καὶ ἐν βιβλ. ά. 455.

58). Πρβλ. τὸ τοῦ Θεοκρίτου. εἰδ. κβ΄. στ. 111.

> ὁ δ' ἀεικέσι πληγαῖς
> πᾶν συνέφυρε πρόσωπον ἀνίκητος Πολυδεύκης.

59). *αἰνητὴν ὦπα*· τὸ καλὸν πρόσωπον.

67). *θοός*· ἀντὶ τοῦ ὀξύς. (penetrabile).

70). *Ἀκρισιωνιάδης* ὁ Περσεύς, ἔγγονος Ἀκρισίου (ἴδε βιβλ. δ΄. στ. 611).

73). *καὶ τοῦτο*· τὸ συναποθανεῖν τῷ ἑταίρῳ ἐπὶ τοῦ νεκροῦ αὐτοῦ σώματος ἐρεισθείς.

74). *Συηνίτης*· ἐκ Συήνης πόλεως αἰγυπτιακῆς ἐν τοῖς μεθορίοις τῆς Αἰθιοπίας.

86). *Καυκάσιον Ἄβαριν*· Παράδοξον ὅτι ὁ καυκάσιος Ἄβαρις ἐν Αἰθιοπίᾳ μένει καὶ τοῖς αἰθίοψι συμμαχεῖ· ἀλλ' ἱστορικὴν ἀκρίβειαν οὐ χρὴ ζητεῖν ἐν ποιήματι μυθικῷ. Τὸ τοπικὸν *καυκάσιος* καὶ τὸ ἑπόμενον πατρωνυμικὸν *Σπερχιονίδης* καὶ τὰ ὅμοια χρήσιμά ἐστιν εἰς τὸ ποικίλλειν τὴν λέξιν καὶ ἀληθείας χροιὰν τῇ διηγήσει παρέχειν.

87). Τὸ ὄνομα *Elycen* ἐν ἄλλαις ἐκθέσεσιν εὕρηται γεγραμμένον *Helicen*.

99). *Λυγκείδης*· ὁ Περσεύς ἴδε σημ. εἰς βιβλ. δ'. 768.

111 κ. ἑ.). *Καὶ σὺ δὲ Λαμπετίδη* κ.λ.π. Ἐτήρησα τὴν ἐν τῷ κειμένῳ ἀήθη τοῦ λόγου τροπήν· ἄρχεται γὰρ οὕτως ὁ λόγος, ὡς εἰ τὸ ῥῆμα *ἔπεσες* ἢ ἄλλο τι ἰσοδύναμον ἔψεσθαι ἔμελλεν. Ἀλλ' αἴφνης, τρεπομένου τοῦ λόγου, τὸ ῥῆμα *τέταξο* ἐπάγεται.

124). *Κινύφιος*· ὄνομα τοπικὸν ἀπὸ τοῦ *Κῖνυψ*· καὶ ἀρσενικῶς μὲν ὁ *Κῖνυψ* ὄνομά ἐστι ποταμοῦ τῆς Λιβύης· θηλυκῶς δὲ *Κῖνυψ* ἡ χώρα κέκληται, δι' ἧς ὁ ποταμὸς ῥέει ἐκεῖνος.

125). Τῷ πατρωνυμικῶς ἐσχηματισμένῳ ὀνόματι *Μαρμαρίδης* τὸν τῆς Μαρμαρικῆς κάτοικον σημαίνει ἐνταῦθα ὁ ποιητής. Ἔστι δ' ἡ Μαρμαρικὴ χώρα τῆς Ἀφρικῆς παράκτιος, μεταξὺ Κυρηναϊκῆς καὶ Αἰγύπτου κειμένη.

129). Οἱ Νασαμῶνες τὸ μὲν παλαίτατον δυσμικωτέραν χώραν πρὸς λίβα ἄνεμον ᾤκουν, ἐν δὲ τοῖς ῥωμαϊκοῖς χρόνοις πρὸς τὰ ἑωθινώτερα μέχρι τῆς Μαρμαρικῆς παρεώσθησαν.

133). *καίριος ἔνθ' ὁ τόπος*· τὸ περὶ τοῦ τραύματος συνήθως λεγόμενον εἰς τὸν τόπον μετενήνεκται.

135). *Βάκτριος*· ἀπὸ Βάκτρων μητροπόλεως τῆς ἐν Ἀσίᾳ Βακτριανῆς.

143). *ἔνδακ' ἄκοντα*· πρβλ. τὸ τοῦ Ὁμήρου· *ψυχρὸν δ' ἕλε χαλκὸν ὀδοῦσιν* (Ἰλ. ε. 75).

164). *Μενδήσιος*· κάτοικος Μένδητος, πόλεως αἰγυπτιακῆς ἐπὶ τοῦ Δέλτα κειμένης.

145). τὸ ἐν τῷ κειμένῳ *Palaestina* ἐπίθετόν ἐστιν εἰς τὸ οὐσιαστικὸν *matre* ἀναφερόμενον· ἀντὶ δὲ τοῦ ἐπιθέτου *Palaestina* τέθεικα τὸ ἰσοδύναμον *συρία*· ἐὰν δὲ θῶμεν κύριον ὄνομα γυναικὸς εἶναι τὸ *Palaestina* μεταποιητέον τὸν στίχον ὧδε.

ὅντε Παλαιστίνη ὑπ' ἀδήλῳ γείνατο πατρί.

149). Ἔστι τῆς ἐν τῷ κειμένῳ μετοχῆς *exhausto* οὐσιαστικὸν τὸ *Perseo* ἢ τὸ *labore* ἐξυπακοῦσαι. ἐπειδὴ δέ μοι ὁ στίχος κατὰ

τὴν πρώτην ἐκδοχὴν μεθηρμήνευται, εἴτις τὴν δευτέραν προκρίνει, μεταβαλέτω τὸν στίχον ὧδε·

ἔργον ἔμιμνε πλέον τετελεσμένου· ἔνθ' ἄρα πάντες
κτεῖναι ἕνα μέμασαν.

163). *χαόνιος Μολπεύς*· Χαονίας πόλεως ἐν Κομαγηνῇ τῆς Συρίας κειμένης μνείαν ποιεῖται ὁ Πτολεμαῖος (έ. 15). *Ναβαταῖοι* δὲ Ἀραβίας ἦν λαός.

173). *κυρίου* αὐτοῦ· ἤτοι τοῦ κυρίου τοῦ ξίφους.

176). *κυλληνίην* καλεῖ τὴν τοῦ Περσέως ἅρπην, ἅτε δεδωρημένην αὐτῷ ὑπὸ τοῦ Ἑρμοῦ, ὃς ἐν Κυλλήνῃ ὄρει τῆς Ἀρκαδίας ὑπὸ Μαίας ἐτέχθη, ἢ γοῦν ἐλατρεύετο ἐν ἐκείνῳ.

179). *ἐξ ἐχθροῦ περ*· τῆς Μεδούσης.

215). τὸ ἐν τῷ κειμένῳ *confessas manus* σημαίνει κυρίως τὰς χεῖρας τὰς τῷ κακοπῶσθαι τὴν ἧτταν ὁμολογούσας· μεθηρμήνευται δ' ὁ στίχος ἐλευθέρως.

220). *τὸ ἐμοὶ δίκαιον προὔφερε χρόνῳ*· ἤτοι ὑπερεῖχε τοῦ σοῦ κατὰ τὴν ἀρχαιότητα. Πρότερος γὰρ σοῦ ἐγενόμην τῆς Ἀνδρομέδας μνηστήρ.

225—229). Πικρὰ ταῦτα εἰρωνεία καὶ χλεύη.

248 καὶ 249). Τὴν τοῦ Πολυδέκτου ἀπολίθωσιν διὰ μακροτέρων διηγεῖται ὁ Ἀπολλόδωρος βιβλ. β΄. 4. 3.

250). *Τριτὼ* καὶ *Τριτωνία* καὶ ἔτι *Τριτογενὴς* καὶ *Τριτογένεια* ἐπονομάζεται ἡ Ἀθηνᾶ, κατά τινας μὲν διὰ τὸ τεχθῆναι ἐκ τῆς κεφαλῆς τοῦ Διός· *Τριτὼ* γὰρ κατὰ τὴν βοιωτικὴν ἢ αἰολικὴν διάλεκτον ἐκαλεῖτο ἡ κεφαλή· κατ' ἄλλους δὲ ἀπὸ τοῦ ἐν Βοιωτίᾳ ποταμοῦ *Τρίτωνος*, ἔνθα ἐκ παλαιτάτου ναὸς αὐτῇ ἵδρυτο· κατ' ἄλλους δὲ πάλιν ἀπὸ τῆς ἐν Λιβύῃ *Τριτωνίδος* λίμνης, ἔνθα χρόνῳ ὑστέρῳ ἡ τῆς θεᾶς λατρεία ὑπὸ Μινυῶν μετηνέχθη

255). *Ἴδριας ἀδελφὰς* τὰς Μούσας λέγει.

257). *Μεδουσείου πετεηνοῦ*· τοῦ πτηνοῦ ἵππου τῆς Μεδούσης, ἤτοι τοῦ *Πηγάσου*, ὃς κατὰ τὴν Ἡσιόδου Θεογονίαν (στ. 278—281) ἐκ τῆς Μεδούσης ἐγεννήθη ὁμιλησάσης τῷ Ποσειδῶνι· ἐξέθορε δὲ τῆς μητρός, ὅτε αὐτὴν ἐκαρατόμησεν ὁ Περσεύς.

303). *Παιονίς*· ἐκ Παιονίας χώρας πρὸς ἄρκτον τῆς Μακεδονίας κειμένης.

304). *Ἐλευθώ*· ἡ Εἰλήθυια, θεὰ τοῦ τόκου, ταῖς τικτούσαις ἀρωγὸς παραγιγνομένη.

306). *Αἰμονίων*· ἴδε βιβλ. ά. σημ. εἰς στ. 568. Αἱ τοῦ Πιέρου θυγατέρες πορεύονται ἀπὸ τῆς Μακεδονίας εἰς τὸν ἐν Βοιωτίᾳ Ἑλικῶνα διὰ Θεσσαλίας καὶ Ἀχαΐας. Καλεῖται δ' Ἀχαΐα ἐν-

ταῦθα ἡ Ἑλλὰς κατὰ τὴν παρὰ Ῥωμαίοις ἐκδοχὴν τῆς λέξεως.

310). *Θεσπιάδες* θεαὶ αἱ Μοῦσαι λέγονται ἀπὸ Θεσπιῶν, πόλεως βοιωτικῆς, ἔνθα αἱ Μοῦσαι τὸ παλαίτατον ἐλατρεύοντο.

311). *οὔτ' ἄρ' πλήθει*· ἐννέα γὰρ ἦσαν αἱ τοῦ Πιέρου θυγατέρες, ὅσαι δὴ καὶ αἱ Μοῦσαι, ὧν τὰ ὀνόματα καταλέγει ὁ Ἡσίοδος ἐν Θεογονίᾳ (στ. 77. κ. ἑ.).

312). *Πηγὴν Πηγάσου* τὴν Ἱπποκρήνην καλεῖ ἐνταῦθα ὁ ποιητής, ἅτε ἀνατείλασαν ἐκ τῆς πέτρας, ἔνθα ὁ Πήγασος τῇ ὁπλῇ τὸ ἔδαφος ἔπληξεν· ἡ δ' Ἀγανίππη ἑτέρα ἐστὶν ἐπὶ τοῦ Ἑλικῶνος πηγή. *Ὑαντεία* δὲ λέγεται αὕτη ἀπὸ τῶν Ὑάντων, φυλῆς πελασγικῆς οἰκησάσης ἐν Βοιωτίᾳ.

314). *Ἠμαθίων πεδίων*· τῶν μακεδονικῶν· *Ἠμαθία* γὰρ χώρα ἐστὶ μακεδονική, ἡ μεταξὺ τῶν ποταμῶν Ἁλιάκμονος καὶ Ἀξιοῦ· συνεκδοχικῶς δὲ καὶ ἡ Μακεδονία ὅλη Ἠμαθία καλεῖται.

316). *ὤμοσαν αἱ νύμφαι* ὡς ἀγωνοδίκαι δικάσαι κατὰ συνείδησιν.

318). *ἄτερ κλήρου*· ἄηθες τοῦτο· ἔθος γὰρ ἦν τοὺς ἀγωνιζομένους κληροῦσθαι.

319). *δῆριν θεῶν* νοητέον τὴν πρὸς τοὺς γίγαντας μάχην, περὶ ἧς ἴδε βιβλ. ά. στ. 151 κ. ἑ.

321 κ. ἑ.). Ἐπειδὴ ἐν τῷ ὅλῳ ποιήματι μεταμορφώσεις προὔθετο ᾆσαι ὁ ποιητής, διὰ τοῦτο καὶ αἱ τοῦ Πιέρου θυγατέρες συμφώνως τῇ τοῦ ποιήματος προθέσει μεταμορφώσεις εἰσάγονται ᾄδουσαι. Κατὰ τὸν Πορφύριον ἐν τῷ *περὶ ἀποχῆς ἐμψύχων* (κεφ. γ'.) τὴν τῶν θεῶν μεταμόρφωσιν τὸν Τυφωέα ἢ Τυφῶνα φευγόντων ᾖσε καὶ Πίνδαρος ἔν τινι προσοδίῳ· κατὰ δὲ Ἀντωνῖνον τὸν Λιβεράλιν καὶ Νίκανδρος ἐν τῷ δ'. βιβλίῳ τῶν *ἑτεροιουμένων*. Ὁ δ' Ἀπολλόδωρος (ά. 6, 3) λέγει περὶ αὐτῆς τάδε· πρὸς δέ, ὡς εἶδον αὐτὸν (τὸν Τυφῶνα) ἐπ' οὐρανὸν ὁρμώμενον, εἰς Αἴγυπτον φυγάδες ἐφέροντο, καὶ διωκόμενοι τὰς ἰδέας μετέβαλον εἰς ζῶα. Δοκεῖ δ' ὁ τῆς μεταμορφώσεως τῶν θεῶν μῦθος ἐκ συγχύσεως τοῦ παρ' Ἕλλησι Τυφωέως ἢ Τυφῶνος καὶ τοῦ παρ' Αἰγυπτίοις προελθεῖν, ἅμα δ' ἐκ τῆς συμβολικῆς τῶν θεῶν παρὰ τούτοις ἐν μορφῇ ζώων ἐξεικονίσεως.

327). Τὴν τοῦ Διὸς μεταμόρφωσιν εἰς κριὸν ἡγεμόνα ποιμνίου οὐ μνημονεύει Ἀντωνῖνος ὁ Λιβεράλις ἐν τῇ *μεταμορφώσεων συναγωγῇ*, ἣ ἐκλογή ἐστι τῶν *ἑτεροιουμένων* Νικάνδρου. Ἴσως οὖν αὐτὴν ὁ Ὀβίδιος ἢ τῶν προγενεστέρων τις ἐπενόησεν, ὑπὸ τῆς μορφῆς τοῦ λιβυκοῦ θεοῦ Ἄμμωνος ὑπαχθείς, ὃν Δία οἱ Ἕλληνες ἐνόμιζον εἶναι· κριοῦ γὰρ κέρα εἰκονίζετο ἔχων.

329). Τῷ Δηλίῳ Ἀπόλλωνι ὁ κόραξ ἦν ἱερὸς (ἴδε βιϐλ. ϐ΄. 544 καὶ 545). Ὁ δὲ Νίκανδρος μεταμορφωθῆναί φησι τὸν Ἀπόλλωνα εἰς ἱέρακα· οὗτος δὲ ἱερογλυφικόν ἐστι σύμϐολον τοῦ Ὥρου, θεοῦ τοῦ ἡλίου παρ' Αἰγυπτίοις· υἱὸς δὲ Σεμέλης ὁ Βάκχος ἐστί. Τράγου δὲ μορφὴν εἶχεν ὁ αἰγύπτιος θεὸς Μένδης, ὃν οἱ Ἕλληνες παρείκαζον τῷ Διΐ.

330). Τῇ αἰγυπτιακῇ θεᾷ *Βουϐάστει*, ἣ τῇ Ἀρτέμιδι παρ' Ἕλλησιν ἐταυτίζετο, ἱερὰ ἦν ἡ γαλῆ· ἡ δὲ τῆς Ἥρας εἰς βοῦν μεταμόρφωσις ὑπομιμνήσκει ἡμᾶς τὴν αἰγυπτίαν θεὰν Ἶσιν, βοὸς κέρατα ἔχουσαν.

331). Κατὰ τὸ βιϐλίον ϐ΄. στ. 461 κ. ἑ. τοῦ ποιήματος Ὀϐιδίου, ὃ ἐπιγέγραπται *Fasti*, ἡ Ἀφροδίτη καὶ ὁ Ἔρως φεύγοντες τὸν Τυφῶνα εἰς Εὐφράτην ἀφίκοντο κἀκεῖ εἰς ἰχθῦς τὸ εἶδος μετέϐαλον. Συρικὴν οὖν τὴν πηγὴν ὁ ἐνταῦθα μῦθος ἔοικεν ἔχειν. Παράϐαλε τούτοις τὴν ἐν βιϐλίῳ δ΄. στ. 45 κ. ἑ. εἰς ἰχθὺν μεταμορφωθεῖσαν Δερκέτιν.—*Κυλλήνιος* ὁ Ἑρμῆς λέγεται· τοῦτον οἱ Ἕλληνες τῷ αἰγυπτιακῷ θεῷ Θὼθ τὸν αὐτὸν ἐνόμιζον εἶναι, ᾧ ἶβις ἱέρωτο.

336). Κιττῷ οἱ βακχεύοντες κυρίως ἐστέφοντο. Ἐπειδὴ δὲ ὁ βακχικὸς ἐνθουσιασμὸς τῷ ποιητικῷ ἐστι παραπλήσιος, διὰ τοῦτο καὶ οἱ ποιηταὶ ἐν τῷ ᾄδειν ἐκιττοφόρουν.

343). Ἐπειδὴ ἡ γεωργία μόνιμον τοῖς ἀνθρώποις κατοικίαν καὶ πολιτικὸν βίον παρασκευάζει, διὰ τοῦτο ἡ Δημήτηρ ὡς θεσμοφόρος ἐλατρεύετο.

346 κ. ἑ.). Κατὰ τὸν Ἡσίοδον ἐν Θεογονίᾳ (στ. 820 κ. ἑ.) ὁ Τυφωεὺς οὐ γίγας τίς ἐστιν, ἀλλὰ Γῆς υἱὸς καὶ Ταρτάρου, μετὰ τὴν τῶν Τιτάνων ὑπὸ Διὸς καταταρτάρωσιν γεννηθείς. Καὶ οὗτος δὲ πληγεὶς ὑπὸ Διὸς κεραυνοῖς εἰς Τάρτατον ἐρρίφθη (αὐτόθι στ. 862). Καθ' Ὅμηρον δὲ (Ἰλ. ϐ. 782) ἐν Ἀρίμοις τῆς Κιλικίας κεῖται ὁ Τυφωεὺς κατακεχωσμένος· στένει δ' ἡ κατέχουσα αὐτὸν γῆ ὑπὸ τοῦ Διὸς πληττομένη. Ὁ τοῦ Τυφωέως μῦθος φυσιολογικός ἐστι, τοὺς γηγενεῖς ἀτμούς, καὶ τὰς ἀναθυμιάσεις, καὶ τοὺς σεισμούς, καὶ τὰς ἀναδιδομένας ἐκ τῆς γῆς φλόγας ἐν εἰκόνι ἐμφαίνων· διὸ ἡ ὑπόγειος τοῦ Τυφωέως εἱρκτὴ εἰς τὴν πυρίπνουν Αἴτνην μετετέθη ὑπ' Αἰσχύλου ἐν Προμηθεῖ (στ. 364).

347). *Τριναχρίη* ἡ Σικελία κέκληται ἀπὸ τῶν τριῶν αὐτῆς ἀκρωτηρίων, ὧν τὸ μὲν τῇ νοτίᾳ τῆς Ἰταλίας ἄκρᾳ ἐγγύτατον *Πέλωρος* ἢ *Πελωρὶς* ἢ *Πελωριὰς* ἄκρα, τὸ δὲ πρὸς νοταπηλιώτην ἄνεμον νεῦον *Πάχυνος*, τὸ δὲ πρὸς δυσμὰς *Λιλύϐαιον* παρ' Ἕλλησιν ὀνομάζεται.

356). *ἀναύδων ἀνάκτωρ* ὁ τῶν νεκρῶν βασιλεύς, ἤτοι ὁ Ἅδης.

363). *Ἐρυκίνη*, ἐπωνύμιον τῆς Ἀφροδίτης ἀπὸ Ἔρυκος, ὄρους Σικελικοῦ, ὅπου ἱερὸν ἵδρυτο τῇ θεᾷ.

364). *Πτηνὸν υἷα* τὸν Ἔρωτα κατ' ἀντονομασίαν λέγει ὁ ποιητής. Ὁ Θεὸς οὗτος ἐν Ἰλιάδι καὶ Ὀδυσσείᾳ οὐχ εὕρηται· καθ' Ἡσίοδον δ' ἐν Θεογονίᾳ (στ. 116 κ. ἑ.) πρώτιστον ἐν ἀρχῇ τοῦ παντὸς τὸ χάος ἐγένετο· εἶτα ἡ Γῆ καὶ ὁ Ἔρως. Εἰκὸς δὲ τὸν πρωτογενῆ τοῦτον Ἔρωτα τὴν δημιουργικὴν ἐκείνην ἐμφαίνειν δύναμιν, ὑφ' ἧς συνεργίᾳ τοῦ νείκους κατὰ τὸν Ἐμπεδοκλέα τὰ ὄντα συνίσταταί τε καὶ διακρίνεται καὶ ὁ Κόσμος παράγεται. Κατὰ δὲ τὸν ὕστερον μῦθον, ὃς παρὰ πᾶσι διατεθρύλληται, υἱὸς ὁ Ἔρως ἐστὶ τῆς Ἀφροδίτης καὶ τοῦ Διός, ἢ κατ' ἄλλους τῆς Ἀφροδίτης καὶ τοῦ Ἑρμοῦ ἢ τοῦ Ἄρεως. Πτερὰ δὲ τῷ Ἔρωτι τούτῳ περιῆψαν οἱ ποιηταὶ καὶ οἱ εἰκαστικοὶ τεχνῖται, τήν τε δύναμιν αὐτοῦ καὶ τὴν κουφότητα ἐμφαίνειν βουλόμενοι.

379). *Κούρην πάτρωϊ ζεῦξον*. Παρακαλεῖται ὁ Ἔρως γάμῳ συνάψαι τὴν Περσεφόνην τῷ Πλούτωνι, ὃς πρὸς πατρὸς αὐτῇ θεῖος ἦν, ἅτε ἀδελφὸς τοῦ Διὸς τοῦ γεννήσαντος αὐτὴν ἐκ τῆς Δήμητρος.

385 κ. ἑ.). Ἐν τῇ Ἰλιάδι καὶ Ὀδυσσείᾳ γαμετὴ τοῦ Πλούτωνος ἡ Περσεφόνη γιγνώσκεται καὶ τοῦ Ἅδου βασίλισσα· οὐδὲν δὲ περὶ ἁρπαγῆς αὐτῆς μνημονεύεται. Ὁ δ' Ἡσίοδος (ἐν Θεογονίᾳ στ. 913) ποιεῖται μνείαν τῆς ἁρπαγῆς. Μακροτέρα δὲ ταύτης διήγησις εὕρηται ἔν τινι ἀρχαίῳ εἰς Δήμητρα ὕμνῳ τῶν καλουμένων ὁμηρικῶν, ἔτι δ' ἐν ἀτελεῖ τινι ἔπει *de raptu Proserpinae*, ὃ ἐν τρισὶ βιβλίοις ἐποιήθη ὑπὸ τοῦ λατίνου ποιητοῦ Κλαυδιανοῦ περὶ τὸ τέλος τῆς δ'. ἀπὸ Χριστοῦ ἑκατονταετηρίδος. Περὶ δὲ τοῦ τόπου τῆς ἁρπαγῆς οὐ συνᾴδουσιν οἱ ἀρχαῖοι· οἱ μὲν γὰρ ἐν Ἀττικῇ, οἱ δ' ἐν Ἀργολίδι, οἱ δ' ἐν Ἀρκαδίᾳ, πολλοὶ δ' ἐν Σικελίᾳ τὴν κόρην ἁρπαγῆναι λέγουσιν· ὁ δ' Ὀρφεὺς ἐν Ἀργοναυτικοῖς (στ. 1194 κ. ἑ.) ἐν τῇ δυτικῇ τῆς Ἱσπανίας παραλίᾳ ἔοικε τιθέναι τὴν ἁρπαγήν. Πρόσθες τούτοις Προπέρτιον καὶ Τζέτζην, ὧν ὁ μὲν (βιβλ. γ'. στ. 4) ἐν Μυσίᾳ περὶ τὴν Κύζικον, ὁ δὲ (εἰς Ἡσιόδου ἔργα καὶ ἡμέρ. 33) ἐν Κρήτῃ τὴν ἁρπαγὴν γενέσθαι φησίν. Ὁ δὲ ποιητὴς τοῦ ὁμηρικοῦ εἰς Δήμητρα ὕμνου πρὸς πάντας τοὺς εἰρημένους διαφωνῶν τόπον τῆς ἁρπαγῆς τὸ *Νύσιον πεδίον* ἐποίησεν (στ. 17). Ἐπειδὴ δὲ οὐ μία πόλις Νύσα καλεῖται, ἀλλὰ πολλαὶ τοὔνομα τοῦτο φέρουσιν, ἄδηλον, τίνα τῶν πολλῶν σημαίνει ὁ ποιητής, πιθανὸν δ' ὅτι τὴν ἐν Καρίᾳ, ἔνθα κατὰ Στράβωνα (βιβλ. ιδ') καὶ τὸ Πλουτώνιόν ἐστι καὶ ναὸς Πλούτωνός τε καὶ Κόρης.

394). *Ὁμήλικας*. Ἐν τῷ ὁμηρικῷ εἰς Δήμητρα ὕμνῳ Ὠκεανίδας ἀναγιγνώσκομεν εἶναι τὰς συμπαιζούσας τῇ Περσεφόνῃ. Ἐν δὲ στ. 555, ὁ Ὀβίδιος καὶ Σειρῆνας ἀκολούθους τῆς Κόρης ποιεῖ.

405 καὶ 406). *Παλικῶν τίφεα*. Λίμνη τις μικρά, ἀλλὰ βαθεῖα ἐγγὺς τῆς πόλεως Παλικῆς μεταξὺ Ἕννης καὶ Συρακουσῶν. Ἐνταῦθα πηγαὶ δύο θερμοῦ ὕδατος σὺν ῥοίζῳ πολλῷ καὶ ὀσμῇ θείου ἀναδιδόασι, *κρατῆρες* ὑπὸ τῶν πάλαι προσαγορευόμεναι. Δελλοὺς δ' ὠνόμαζον αὐτοὺς ἐκεῖνοι καὶ δαιμονίους τῶν Παλικῶν ἀδελφοὺς ἐνόμιζον, οἳ Διὸς καὶ Θαλείας, ἢ Ἡφαίστου καὶ τῆς ὠκεανίδος Αἴτνης ἦσαν υἱοὶ θείων ἠξιωμένοι τιμῶν.

407). *Βακχιάδαι* καλοῦνται οἱ Βάκχιδος τοῦ Ἡρακλείδου ἀπόγονοι, γένος βασιλικὸν ἐν Κορίνθῳ, οὓς Κύψελος ἐξήλασε τῆς ἀρχῆς καθ' Ἡρόδοτον (βιβλ. ἑ. 92). Ἵδρυσε δ' ἐν Σικελίᾳ Ἀρχίας βακχιάδης τὸ γένος πόλιν Κορινθίων ἀποικίδα τὰς Συρακούσας.

408). *Μεσσηγὺς λιμένων δύ' ἀνίσων*. Τὸ παλαιότατον τῶν Συρακουσῶν μέρος ἐκτίσθη ἐπὶ τῆς νήσου Ὀρτυγίας· συνήφθη δ' ὕστερον τῇ ἀντιπέραν Ἀχραδινῇ διὰ χώματος. Ἔκειτο δ' ἡ πόλις μεταξὺ δύο λιμένων ἀνίσων· τοῦ πρὸς Μέσην ἄνεμον Λακκίου καὶ τοῦ πρὸς Νοταπηλιώτην μεγάλου λιμένος τοῦ μεταξὺ τῆς Ὀρτυγίας καὶ τοῦ Πλημμυρίου ἀκρωτηρίου.

409 καὶ 410). Ἡ ἐν Σικελίᾳ πηγὴ *Κυάνη*, (ἣ νῦν Πίσμα καλεῖται) τέλματός τινος ἐκπροῤῥέουσα τῷ ποταμῷ Ἀνάπῳ τὸ ὕδωρ συμμίγνυσιν, ὃς εἰς τὸν μέγαν λιμένα παρὰ ταῖς Συρακούσαις ἐκβάλλει. Περὶ δὲ Ὀρτυγίας καὶ Ἀρεθούσης μυθολογεῖται ὅτι ὁ ἐν Ἤλιδι ποταμὸς Ἀλφειὸς εἰς τὴν Ἰόνιον θάλατταν ἐκδιδούς, βύθιος ὑπὸ τὸ κῦμα διανηχόμενος ἀμιγὲς φέρει τὸ ῥεῖθρον εἰς Σικελίαν, κἀκεῖ πάλιν ἐκ βάθους ἀνατέλλων τὴν Ἀρέθουσαν παράγει πηγήν. Ὁ δ' Ὀβίδιος (ἐν στ. 577 κ. ἑ.) ποιεῖ τὴν Ἀρέθουσαν φεύγουσαν διὰ θαλάττης τὸν Ἀλφειόν, ὃς ἔρωτι αὐτὴν ἐδίωκε, καὶ εἰς Σικελίαν διαπορθμεύουσαν καθαρῷ καὶ ξενεστηκότι τῷ ῥεύματι. Τὸ δ' ἐν στίχῳ 410 δηλούμενον *ἅλιον χεῦμα* ὁ μέγας ἐστὶ λιμήν, οὗ οἱ πρὸς τὸ στόμιον ἐκτεινόμενοι βραχίονες κέρασι παρωμοίωνται.

442). Κἀν τῷ ὁμηρικῷ ὕμνῳ τὴν ἑαυτῆς κόρην ζητεῖ ἡ Δημήτηρ

αἰθομένας δαΐδας μετὰ χερσὶν ἔχουσα·

Ἴδε καὶ Διόδωρον βιβλ. ἑ. 4.

445). Προειλόμην τὴν ἐν τῷ κειμένῳ γραφήν·

Solis ad occàsum Solis quaerebat ab ortu.

Εἰ δέ τις προαιρεῖται τὴν ἑτέραν γραφὴν ἔχουσαν ὧδε

Solis ab occasu Solis quaerebat ad ortum,

ἐκδεκτέον τὰς λέξεις *occasu* καὶ *ortum* οὐ χρονικῶς, ἀλλὰ τοπι-

κῶς. Κατὰ ταύτην γὰρ τὴν γραφὴν βούλεται λέγειν ὁ ποιητὴς ὅτι ἀπὸ τῶν ἑσπερίων τῆς γῆς μερῶν ἀρξαμένη, ἔνθα καὶ ἡ ἁρπαγὴ τῆς Κόρης ἐγένετο, καὶ ἐπὶ τὰ ἑωθινώτερα χωροῦσα ἀνεζήτει ἡ Δημήτηρ τὴν ἁρπαγεῖσαν· ὁ δὲ στίχος μεθερμηνευτέος ἂν εἴη ὧδε·

Ἑσπερίηθε θύγατρ' εἰς Ἠῶ δίζετο πάντῃ.

449). *Γρῆΰς* αὕτη παρὰ Νικάνδρῳ καλεῖται *Μίσμη*, οἰκοῦσα ἐν Ἀττικῇ.

450). Τὸ τῇ θεᾷ δοθὲν ποτὸν εἶδός τι κυκεῶνος ἦν, ἐξ ἀλφίτων παρασκευαζόμενον, ἁπλούστερον ὅμως τοῦ ἐν Ἰλιάδι (λ. στ. 638 κ. ἑ.). Ὡς γὰρ ἐκεῖ ἡ Ἑκαμήδη *ἐπὶ ἄλφιτα λευκὰ πάλυνεν*, οὕτως ἐνταῦθα ἡ Μίσμη *ἄλφιτον φρυκτὸν ἕψουσα* τὸ ποτὸν παρασκευάζει.

460 κ. ἑ.). *οὔνομά τ' ἔσχεν ἀρηρὸς χροιῇ* κτλ. Ταῦτα ὀρθῶς λέγεται περὶ τοῦ ῥωμαϊκοῦ τοῦ ζώου ὀνόματος, ὃ κατὰ νοῦν εἶχεν ὁ Ὀβίδιος γράφων· ὁ γὰρ παῖς εἰς εἶδος σαύρου (κατὰ τὸν Νίκανδρον εἰς ἀσκάλαβον) μετεμορφώθη, ὃ *stellio* (=stellatus) παρὰ Ῥωμαίοις καλεῖται. Ποικιλόδερμος δ' ἐστὶν ὁ ἀσκάλαβος καὶ οἷον εἰπεῖν *ἀστερόνωτος*.

464). *Σικανίην*· τὴν νῦν Σικελίαν. Ἐκλήθη δ' ἡ νῆσος οὕτως ἀπὸ τῶν πάλαι οἰκησάντων αὐτὴν Σικανῶν ἢ Σικελῶν, οὓς τὸν αὐτὸν εἶναι λαὸν οὐκ ἂν ἀπιθάνως τις εἴποι.

474 κ. ἑ.). Κἀκ τοῦ ὁμηρικοῦ ὕμνου μανθάνομεν, ὡς ἡ Δημήτηρ λύπῃ συνεχομένη καὶ τῇ γῇ ὀργιζομένη καρπῶν ἀφορίαν ἐπήνεγκεν. Ὁ δὲ Ὀβίδιος τὴν συμφορὰν ταύτην εἰς τὴν Σικελίαν μόνην συνέστειλεν, ἵν' οὕτω προπαρασκευάσῃ τὴν περὶ Ἀρεθούσης διήγησιν.

487). *Ἀλφειΐδα* νύμφην προσαγορεύει ὁ ποιητὴς τὴν Ἀρέθουσαν τῷ πατρωνυμικῷ τῶν ὀνομάτων παραχρώμενος τύπῳ· τοπικοῦ γὰρ ἐνταῦθα ἔδει ὀνόματος.

494). *Πῖσα*. Ἴδε Θεοκρ. Εἰδυλ. δ'. στ. 29.

499). *μυθήσομαι, ὁππότε καιρός*· ἡ ἐνταῦθα προαγγελλομένη διήγησις ἕπεται ἐν στίχῳ 572, κ. ἑ.

503). *καὶ ἀήθεα τείρεα λεύσσω*· ἀήθη ἑαυτῇ τὰ ἄστρα καλεῖ ἡ Ἀρέθουσα· διότι χρόνον πολὺν ὑπὸ γῆν ῥέουσα ἀπεθίζεται ἀστέρας ὁρᾶν, ἢ διότι ὑπ' ἄλλον οὐρανὸν γεννηθεῖσα καὶ τῆς πατρίδος πόῤῥω ἐρχομένη εἰς Σικελίαν, ἀήθεις ἐκεῖ ἀστέρας ὁρᾷ.

510 καὶ 511). Ἐπειδὴ δὲ τὸ μέγα ἄλγος (ὃ ἡ ἀγγελία τῆς εἰς ᾅδου καταγωγῆς τῆς Περσεφόνης ἐνεποίησε τῇ μητρὶ) τὴν πρώτην τῶν φρενῶν ἔκστασιν ἐξήλασε καὶ διεδέξατο, ἤρθη κτλ.

520 κ. ἑ.). Ἀδελφὰ τούτοις ᾄδει ὁ ποιητὴς καὶ ἐν *Fastis* (βιβλ. δ'. 591 κ. ἑ.).

at neque Persephone digna est praedone marito
nec gener hoc nobis more parandus erat.—
verum impune ferat; nos haec patiemur inultae.
reddat, et emendet facta priora novis

525 κ. ἑ.). Καὶ τούτοις ὅμοια ἀναγιγνώσκομεν ἐν *Fastis* (αὐτόθι στ. 597 κ. ἑ).

Juppiter hanc lenit factumque excusat amore·
« nec gener est nobis ille pudendus ait.
non ego nobilior: posita est mihi regia coelo,
pofsidet alter acquas, alter inane chaos.

539). *Ὄρφνην*. Παρὰ Ἀπολλοδώρῳ ἡ τοῦ Ἀσκαλάβου μήτηρ καλεῖται *Γοργύρα*.

540). *Ἀορνίσιν*. Ἄορνοι λέγονται τόποι δηλητηριώδεις ἀναπέμποντες ἀναθυμιάσεις, ὑφ' ὧν τοὺς ὑπεριπταμένους ὄρνεις θνήσκειν ἐπιστεύετο. Ἐκ τοῦ ἑλληνικοῦ ὀνόματος Ἄορνος προῆλθε τὸ ρωμαϊκὸν *avernus*, ὅθεν τὸ ἐπίθετον *avernalis*. Λίμναι τοιαῦται καὶ σπήλαια πολλαχοῦ ἦσαν, ἔνθα δὴ οἱ πάλαι κάθοδον εἰς ᾅδου εἶναι ἐπίστευον. Ὀνομαστοτάτη δὲ τούτων ἐστὶν ἡ λίμνη *avernus* παρὰ τὴν Κύμην ἐν Καμπανίᾳ, ὅπου Οὐϊργίλιος ἐν Αἰνειάδι (βιβλ. ς'. στ. 339 κ. ἑ.) τὴν εἰς ᾅδου κατάβασιν τίθησιν. Οἱ δὲ ρωμαῖο. ποιηταὶ τὴν τοῦ ὀνόματος σημασίαν ἐκτείνοντες *avernum* καλοῦσι καὶ τὴν ἐν ᾅδου λίμνην καὶ τὸν ᾅδην αὐτόν. Κατὰ ταύτην δὲ τὴν σημασίαν τὸ ἐπίθετον *ἀορνίδες* ἴσον δύναται τῷ *ὑποχθόνιοι*.

541). *Ἀχέρων*. Ἐνταῦθα οὐκ αὐτὸν τὸν ὑποχθόνιον ποταμὸν Ἀχέροντα, ἀλλὰ τὸν θεὸν αὐτοῦ σημαίνει τὸ ὄνομα.

544). Φλεγέθων καὶ Πυριφλεγέθων ὁ αὐτὸς ἐν ᾅδου ποταμός, ρεῦμα πυρὸς καὶ φλογῶν.

552). *Ἀχελωΐδες*· θυγατέρες τοῦ ἐν Αἰτωλίᾳ ποταμοῦ Ἀχελώου. Καὶ παρ' Ἀπολλοδώρῳ δὲ (ά, 3, 4). καὶ ἔτι παρ' Ὑγίνῳ θυγατέρες Ἀχελώου αἱ Σειρῆνές εἰσι.

554—563). Ἄλλως τὰ περὶ Σειρήνων μυθολογεῖται παρ' Ὁμήρῳ. Ἐν γὰρ Ὀδυσσείᾳ (μ. 39, κ. ἑ.) παρθένοι εἰσὶν αὗται δύο ἐν νήσῳ τινὶ τῆς ἑσπερίας θαλάσσης οἰκοῦσαι καὶ τοὺς παραπλέοντας ἡδυτάτῃ ᾠδῇ ἐφελκόμεναι καὶ διαφθείρουσαι. Οἱ δ' ὕστερον τρεῖς Σειρῆνας ὠνόμαζον· Ἀγλαοφήμην, Θελξιέπειαν καὶ Ἀγλαόπην. Αἰτίαν δὲ τῆς μορφῆς αὐταῖς ἄλλοι ἄλλην γενέσθαι λέγουσιν, ὧν οὐ πολύ τι τῆς παρ' Ὀβιδίῳ ἡ παρ' Ὑγίνῳ (Fabul. 141) διενένοχε· φησὶ γὰρ οὗτος ὑπὸ Δήμητρος αὐτὰς μεταμορφωθῆναι διὰ τὸ μὴ βοηθῆσαι τῇ Περσεφόνῃ ἁρπαζομένῃ.

565—567). Κατὰ τὸν ὁμηρικὸν εἰς Δήμητρα ὕμνον (στ. 425 κι

ἑ.) οὐκ ἴσον ὁ Ζεὺς χρόνον τῷ τῆς Περσεφόνης γαμέτῃ καὶ τῇ μητρὶ ἐχαρίσατο, ἀλλὰ τὴν μὲν τρίτην τοῦ ἔτους μοῖραν (τὴν τοῦ χειμῶνος) ἐν ᾄδου τὴν Κόρην οἰκεῖν διέγνω· τὰς δ' ἄλλας δύο μοίρας ἐκεῖθεν ἀνιοῦσαν ἐπὶ γῆς ἀναφαίνεσθαι.

583 καὶ 584). *δῶρον σαρκός* ἢ προτέρημα τὸ κάλλος ἐνταῦθα λέγεται.

585). *Στυμφαλὶς ὕλη* ἡ περὶ τὴν λίμνην Στύμφαλον, ἣ κατὰ τὴν πρὸς Μέσην ἄνεμον ἄκραν τῆς Ἀρκαδίας κεῖται. Ἐκ τῆς λίμνης ταύτης τὸ ὕδωρ δι' ὑπογείου αὐτοποιήτου ὀχετοῦ ὑπὸ τὸ Ἀρτεμίσιον ὄρος φερόμενον ἐν τῇ Ἀργολίδι αὖθις ἀναδίδωσι κατὰ τοὺς ἀρχαίους κἀκεῖ τὸν ποταμὸν Ἐρασῖνον παράγει.

607 καὶ 608). Ἐν τῷ καταλέγειν ἐνταῦθα τὰς πόλεις καὶ τὰ ὄρη τῆς Ἀρκαδίας, δι' ὧν ἡ Ἀρέθουσα ὑπὸ τοῦ Ἀλφειοῦ ἐδιώκετο, οὔτε τῆς θέσεως, οὔτε τῆς ἀποστάσεως αὐτῶν φροντίζει ὁ ποιητής, ὥσπερ δὴ καὶ ἀνωτέρω (στ. 585 κ. ἑ.) τῆς Στυμφαλίδος ὕλης ἐγγὺς τὸν Ἀλφειὸν ἔθηκε.

633). Διατί γλαυκαὶ λέγονται αἱ ῥανίδες τοῦ ἱδρῶτος τῆς Ἀρεθούσης; ἢ ὅτι τῷ ὕδατι ταὐτίζονται, εἰς ὃ ἡ νύμφη μεταμορφοῦσθαι ἤρξατο.

639). *Δηλία* καλεῖται ἡ Ἄρτεμις ἅτε ἐπὶ τῆς νήσου Δήλου τεχθεῖσα.

640 καὶ 641). *ἦ μοι φίλη οὖσα θεαίνης εἵνεκ' ἐπωνυμίης*· ἢ μοι φίλη καὶ ἡδεῖα ἐστίν, ἅτε τὴν αὐτὴν ἔχουσα τῇ θεᾷ Ἀρτέμιδι ἐπωνυμίαν· καὶ αὕτη γάρ, ὡς ἡ νῆσος, Ὀρτυγία καλεῖται.

642 κ. ἑ.). Οὐδὲν παρὰ τοῖς παλαιτέροις ἀναγιγνώσκεται περὶ ἅρματος τῆς Δήμητρος ὑπ' ὄφεων ἑλκομένου, οὗ ἡ θεὰ ἐποχουμένη διηέριος φέρεται· ἀλλ' ἐπίνοια τοῦτο τῶν μετὰ τοὺς τραγικοὺς χρόνων εἶναι δοκεῖ.

645). *Τριτωνίδος εἰς ἄστυ*· εἰς Ἀθήνας.

646). *Τριπτολέμῳ*. Ἐν τῷ παλαιῷ εἰς Δήμητρα ὕμνῳ (στ. 153 κ. ἑ.) εἷς τῶν τοῦ δήμου προὐχόντων ἐστὶν ὁ Τριπτόλεμος τῶν Κελεῷ τῷ Ἐλευσῖνος βασιλεῖ ἐν βουλαῖς καὶ δίκαις παρεδρευόντων, οὓς ἡ θεὰ (στ. 474, ἢ 451 κ. ἑ.) τὰ ἑαυτῆς ἱερὰ καὶ τὰς τελετὰς ἐδίδαξεν. Οὐδὲν δὲ περὶ τοῦ γένους τοῦ Τριπτολέμου μνημονεύεται ἐν τῷ ὕμνῳ, οὐθ' ὅσον οὗτος συνεβάλετο εἰς τὴν φυτοσπορίαν καὶ τὴν τῶν δημητρίων καρπῶν θεραπείαν. Ὕστερον δὲ πρωτεῦον πρόσωπον ἐν τοῖς περὶ Δήμητρος μύθοις καὶ τοῖς ἐλευσινίοις μυστηρίοις φαίνεται ὁ Τριπτόλεμος. Καθ' ἃ αὐτὸς ὁ Ὀβίδιος ἐν τοῖς *Fastis* (δ'. 549 κ. ἑ.) διηγεῖται, εἰς ζέουσαν τέφραν ἐνέβαλεν ἡ Δημήτηρ τὸν τοῦ Κελεοῦ παῖδα Τριπτόλεμον, ἀθάνατον

αὐτὸν ἀπεργάσασθαι βουλομένη. Ἐπειδὴ δ' ὑπὸ τῆς μητρὸς Μετανείρας τὸ τῆς θεᾶς ἔργον διεταράχθη, θνητὸς μὲν ὁ παῖς διέμεινεν, ἠξιώθη δ' ὑπ' ἐκείνης ἀντὶ τῆς ἀθανασίας εἰσηγητὴς τῆς γεωργίας τοῖς ἀνθρώποις γενέσθαι. Ὁ δὲ Ἀπολλόδωρος (ά. 5, 1, 2,) ἔσθ' ἃ συμφωνότερα πρὸς τὸν εἰρημένον ὕμνον διηγούμενος, τὴν Δήμητρά φησι Δημοφῶντα τὸν νεώτερον τοῦ Τριπτολέμου ἀδελφὸν τῇ καθαρτικῇ τοῦ πυρὸς δυνάμει ἀθάνατον βουληθεῖσαν ποιῆσαι ὑπὸ τῆς μητρὸς Μετανείρας κωλυθῆναι τὸ μυστήριον ἀγνοούσης. Ὁ μὲν οὖν παῖς ὑπὸ τοῦ πυρὸς κατεφλέχθη· ἡ δὲ θεὰ ἅρμα τε τῷ Τριπτολέμῳ ὑπὸ πτερωτῶν ἑλκόμενον ὄφεων καὶ πυροὺς δωρεῖται, οὓς οὗτος κατὰ γῆς πανταχοῦ σπείρει.

661). *Μοψόπιον* ἅρμα, ἀττικόν. Μοψοπία γὰρ ἐκλήθη ἡ Ἀττικὴ τὸ παλαίτατον ἀπὸ Μόψοπος, ἀρχαίου αὐτῆς βασιλέως.

665). *ἔφη*· ἡ Καλλιόπη δῆλον ὅτι.

669). *Ἠμαθίδες*. αἱ ἐξ Ἠμαθίας κόραι τοῦ Πιέρου.

Π. ΟΒΙΔΙΟΥ ΗΡΩΙΔΩΝ.

ΕΠΙΣΤΟΛΗ Α′.

ΠΗΝΕΛΟΠΗ ΟΔΥΣΣΕΙ.

ΥΠΟΘΕΣΙΣ.

Ἁρπαγείσης ὑπὸ Πάριδος τῆς Ἑλένης καὶ τῶν καθ' Ἑλλάδα ἡγεμόνων τῷ ἀδικουμένῳ Μενελάῳ κατὰ τὴν ὑπόσχεσιν διαγνόντων ἀμῦναι, πόλεμος ὑπ' αὐτῶν ἐξηνέχθη κατὰ τῆς Τροίας, ὃν καὶ Ὀδυσσεὺς συμπολεμῆσαι ἀναγκασθεὶς εὐβουλίᾳ τε καὶ ἀνδραγαθίᾳ ἠρίστευσεν. Ἁλούσης δὲ τῆς Τροίας, οἱ Ἕλληνες νικηταὶ οἴκαδε παλινοστῆσαι ὥρμησαν· ἀλλὰ τῆς Ἀθηνᾶς αὐτοῖς ὀργισθείσης, εἰς ἣν ἄλλως τε καὶ τῇ τοῦ Παλλαδίου ἁρπαγῇ ἠσεβήκεσαν, δεινῶς χειμασθέντες ἐν τῷ ἀνάπλῳ καὶ συμφοραῖς ποικίλαις χρησάμενοι· οἱ πλεῖστοι ἀπώλοντο· ὀλίγοι δὲ μετὰ πλάνην μακρὰν εἰς τὴν ἑαυτῶν διεσώθησαν. Τούτων ἦν καὶ Ὀδυσσεὺς δεκαετίαν πλανηθεὶς ἐπὶ τῆς θαλάσσης καὶ χώρας πολλὰς ἐπελθών. Ἔτι οὖν αὐτῷ πλανωμένῳ ἡ γυνὴ Πηνελόπη τὴν ἐπιστολὴν ταύτην γράφει, ἐν ᾗ οἴκαδε αὐτὸν ἀναστρέψαι προτρέπεται, τῆς μὲν Τροίας ἤδη ἐκπεπορθημένης, τῶν δ' ἄλλων Ἑλλήνων ἐπανεληλυθότων οἴκαδε, οὐδεμιᾶς τοῦ βραδύνειν ἔτι ὑπολειπομένης αἰτίας.

ΕΜΜΕΤΡΟΣ ΜΕΘΕΡΜΗΝΕΙΑ
ΤΗΣ Α'· ΕΠΙΣΤΟΛΗΣ ΤΩΝ Π. ΟΒΙΔΙΟΥ ΗΡΩΙΔΩΝ.

ΠΗΝΕΛΟΠΗ ΟΔΥΣΣΕΙ.

Σοὶ τάδε δηθύνοντι· Ὀδυσσεῦ, πέμπει ἄκοιτις.
δεῦρ' ἐπάνηκ' αὐτός, μηδέ μοι ἀντίγραφε.
Ἴλιον ἤδη κεῖται ἀχαιϊάδεσσιν ἀπεχθές·
οὐ Πρίαμος τόσου ἦν ἄξιος οὐδ' Ἴλιον.
Αἴθ', ὅτε νηυσὶν ἔπλει λακεδαίμονα μοιχὸς ἐς αἶαν,
κύματά μιν πελάγευς ἀμφεκάλυψ' ἄγρια.
οὐ γὰρ ἐγὼ ψυχρή κ' ἐνὶ λέκτροις δηρὸν ἐκείμην,
οὔτ' ἄρ' ἐπὶ βραδέεσσ' ἦμασ' ἐδυσφόρεον,
οὐδέ κε βουλομένη δολιχὴν μάλα νύκτα βραχῦναι,
ἱστουργεῦσα χέρας κάμνον ἐνὶ μεγάροις.
πολλάκι δείν' ἤϊσκον ἔμεν πολὺ μεῖζον' ἀληθῶν·
ἔμπλειος γὰρ ἀεὶ δείματός ἐστιν ἔρως.
σοὶ ἀεὶ ὠϊόμην Τρῶας ὀβρίμους ἐπορούειν.
καὶ ἀκοῇ μούνῃ δ' Ἕκτορος ὠχρίαον.
εἴτε τις Ἀντίλοχον δεδμῆσθαι ὑφ' Ἕκτορι φάσκε,
γίγνετό μοι δείους αἴτιος Ἀντίλοχος·
εἴτε Μενοιτιάδην δολίοις θανέειν ἐν ὅπλοισι,
κλαῖον, ὅτ' ἔστι δόλους μὴ πέρας εὐκτὸν ἔχειν.
Τληπόλεμος λυκίην διεθέρμην' αἵματι λόγχην·
Τληπολέμου πότμος καινὸν ἔγειρε δέος.
ἑλλήνων ὅς τις ποτ' ἐνὶ στρατῷ οὐτηθείη,
γίγνετό μοι στῆθος ψυχρότερον χιόνος.
ἀλλ' ἀγαθὸς θεὸς εὖ βουλεύσατο ἁγνῷ ἔρωτι·
Τροίη ἔγεντο τέφρη, σωζομένου πόσιος.
Ἀργεῖοι νόστησαν ἀγοί, καπνιῶσι δὲ βωμοί,

καί τε θεοῖς ληῒς βάρβαρος ἀντίθεται.
νύμφαι δῶρα φέρουσιν ὁμεύνων εἵνεκα νόστου,
σφῇ δέ τ' ἀείδουσ' οἶδ' Ἴλιον αἴσῃ ἁλόν.
θάμβος ἔχει κούρας δειλὰς πινυτούς τε γέροντας
ἀνδρὶ δ' ὅλη προςέχει μυθολογεῦντι δάμαρ.
Ἦ τις ἐπὶ προθέτοισι μάχας δείκνυσι τραπέζῃς,
Σημαίνει τ' οἴνῳ Πέργαμα πάντ' ὀλίγῳ.
» ἔνθα ῥέει Σιμόεις· Σίγειον δ' αὖ κέκλιτ' ἔνθα·
» ὑψόροφα Πριάμου δ' ἵστατ' ἐκεῖ μέγαρα.
» ἔνθ' ἔσαν Αἰακίδου κλισίαι, ἀτὰρ ἔνθ' Ὀδυσῆος.
» ἔπτυρεν ἵπποι τῇ δ' Ἕκτορος ἀμφὶ νέκυι·
πάντα γέρων Νέστωρ μυθήσατο τῷ κατὰ πύστιν
Βάντι Πύλονδ' υἱεῖ· τοῦ δ' αὖ ἐγὼ πυθόμην.
εἶπε καὶ ὡς Ῥῆσός τε Δόλων τε κατέκτατο χαλκῷ·
κεῖνος ὕπνῳ δμηθείς, οὗτος ἁλοὺς ἀπάτῃ.
ὦ σὺ λίην, οἴκοιο λελησμένε, ὃς στρατὸν εἴσω
θρηΐκιον δῦναι νυκτὸς ὑπ' ὄρφνῃ ἔτλης,
τόσσους κτεῖνάς τ' ἄνδρας, ἕν' οἶον ἔχων ἐπίκουρον!
ἀλλὰ πρὶν οὐ θρασὺς ἧς, μνῆστιν ἔχες τ' ἐμέθεν.
Πάλλετο κῆρ μοι, ἕως ἵπποις νικήτορα σ' ἐλθεῖν
ἰσμαρίοις φιλίην ἐς στρατιὴν πυθόμην.
Ἀλλὰ τί μοι κέρδος σῇς χείρεσι Τροίη ἁλοῦσα,
ἠδὲ καταβληθὲν τεῖχος ἔραζε μέγα,
εἰ μένω ὡς τὸ πάροιθεν, ὅθ' ἵστατο τείχεα Τροίης,
καὶ στέρομαι πόσιος αἰὲν ἀπεσσομένου;
ἦ ῥ' ἄλλοισιν ἐρήριπ', ἐμοὶ δ' ἔτι Πέργαμα μίμνει,
βουσὶν ἃ πορθητὴς ἁρπαγίμοις ἀρόει·
ληΐα γαῖα φύει, ἔνθ' ἦν πόλις· ἔς τε θερισμὸν
χορτομανεῖ φρυγίῳ αἵματι πιαλέῃ.
Ἡμίταφ' ἀνδρῶν θρύπτετ' ἀρότροις ὀστέα κυρτοῖς,
Κρύπτετ' ὑπαὶ βοτάνης δώματ' ἐρηριπότα.
νικητής περ ἄπει· οὐδ' οἶδ', ὅτευ εἵνεκα μέλλεις,

οὐδὲ γ' ὅπου κεύθῃ, χάλκεον ἦτορ ἔχων.
νηὸς ἐπ' ἀλλοτρίης ὅς τις ποτ' ἄρ' ἐνθάδ' ἵκοιτο,
πολλά μιν εἰρωτῶ, πρὶν πάλιν ἔνθεν ἴῃ.
καὶ χερὶ δέλτον ἐμῇ γράψασα δίδωμι κομίσσαι,
ἥν που ἐποιχόμενος γαῖαν ἴδῃ σε, πόσι.
Πέμψα Πύλονδ', αἶαν νηληϊάδαο γέροντος,
πευσομένους· πυθόμην δ' οὔτι σαφὲς πυλόθεν.
πέμψα καὶ ἐς Σπάρτην· οὐδ' αὕτη τἀτρεκὲς οἶδε,
ποῦ χθονὸς οἰκεῖς νῦν, ἢ ποῦ ἐρυκάνεαι.
Κρεῖσσον, εἰ ἵστατ' ἔτι Τροίης φοιβήϊα τείχη·
νῦν δ' εὐχὰς προτέρας αὐτὴ ἐγὼ στυγέω.
ᾔδεα κ' ἔνθα μάχοιο, μάχας τε μόνας ἐδεδοίκειν,
μέμψεσί τ' ἄρ πολλῶν μίγνυτο μέμψις ἐμή.
Ὅ,ττι τρέω, οὐκ οἶδ'· ἔμπης ἔκφρων κακὰ τρείω
πάντ', ἰδὲ παντοίῃς τείρομ' ἔσω μελέδῃς.
Ὁππόσα δείν' ἐπὶ πόντῳ, ἐπὶ χθονί θ' ὅσσα πέλονται,
τόσσ' αἰεὶ ὑφορῶμ' αἴτια σοῖο βράδευς.
Μωρὰ τοῖ' ἐννοέουσα, δέδοικα μή, οἵη ἐν ὑμῖν
φρήν ἐστ', ἀλλοδαπῆς τῆλέ σ' ἔρως κατέχῃ·
καὶ τάχ' ἂν οἱ ἐνέποις, ὅσσον δάμαρ ἔστ' ἀγρίη σοι,
ἥτε σοι εἰροκομεῖν ἐν δόμῳ οἶδε μόνον.
Ψευδοίμην· αὖραι δὲ τόδε ψεῦδος κεδάσειαν!
νοστήσαις δὲ σύ μοι, μηδάμ' ἐρυκόμενος!
Ἰκάριός με πατὴρ χηρήϊα λέκτρα κελεύων
Ἐκλιπέειν, μακρὴν μέμφεται ἀμβολίην.
Μεμφέσθω· τεή εἰμι· τεὴν δέ με χρὴ καλέεσθαι.
αἰὲν Ὀδυσσῆος Πηνελόπη ἔσομαι.
Κεῖνος δ' εὐσεβίῃ τ' αἰδήμοσί θ' ἱκεσίῃσι
κάμπτετ' ἐμῇσι γέρων, οὗ θ' ὑφίῃσι κράτους.
Δουλιχιεῖς, Σάμιοί θ', οὕς τ' αἰπὴ φῦσε Ζάκυνθος,
μνηστήρων ὅδε μοι λάγνος ἐπόρνυτ' ὄχλος·
ὅςπερ ἀκωλύτως κατὰ δώματα σεῖο ἀνάσσει,

ἠδὲ σπλάγχν' ἐμέθεν, σὸν κατέδει βίοτον.
Πείσανδρον τί λέγω, Πόλυβόντε, Μέδοντά τ' ἀπηνῆ
Εὐρυμάχου τ' ἀκρατεῖς 'Αντινόου τε χέρας,
ἄλλους θ' οὓς ἀπεὼν πάντας φέρβεις κτεάτεσσι
σοῖσι, τά θ' αἵματι σῷ κτήσαο, φίλτατ' ἄνερ;
Πρὸς δ' ἄρα τοῖς Ἶρός τε, νομεύς τε Μελάνθιος αἰγῶν
πῆμά σοι ἠδ' αἶσχος γίγνεται ὑστάτιον.
Τρεῖς ἔνθ' ἀπτόλεμοι μένομεν· παράκοιτις ἀφαυρή,
Λαέρτης τε γέρων, Τηλέμαχός τε πάϊς.
Τὸν δ' ὀσονού μ' ἄφελον πρώην ἐνέδρης, ὅτε, πάντων
πόλλ' ἀεκαζομένων, ἐς Πύλον ἵετ' ἴμεν.
Τοῦτο θεοί μοι δοῖεν, ἵν', ᾗ μερόπων πέλετ' αἶσα,
κεῖνος ἐμοὶ καθέλῃ σοί τε νέκυι βλέφαρα.
Τοῦτ' ἄρα καὶ βουφορβὸς ἀρᾶται μαῖά τε γρῆϋς,
πιστὸς ὁμοῦ τε φύλαξ ἡμετέρου συφεοῦ.
'Αλλ' οὐ Λαέρτης, ὃς νῦν ἐς ὅπλ' ἐστὶν ἀχρήεις,
κραίνειν ἐν δηΐοις σκῆπτρά τ' ἔχειν δύναται.
Τηλέμαχος ζώοι· μέτρον δὲ τάχ' ἵξεται ἥβης.
'Αλλὰ πατρὸς φρουροῦ νῦν πάϊς ὢν χατέει.
Οὐδ' αὖ ἐγὼ δύναμαι μεγάρων ἐχθροὺς ἀπελάσσαι,
ἀλλὰ σὺ οἰκείοις βωμὸς ἰδ' ὅρμος ἵκοις!
ἔστι σοι ἠδ' εἴη υἱὸς φίλος, ὃν ῥα διδάξαι
παῖδ' ἔτ' ἐόντ' ἐχρῆν τεχνοσύνας πατρίους.
Μνῆσαι Λαέρτου, ὄφρα συγκλείσῃς ἔθεν ὄσσε·
μοίρης γάρ τ' ἀνέχει ἦμαρ ὃ γ' ὑστάτιον.
Ἦπου ἐγών, ἡ κούρη ἀπορνυμένου σέθεν ἔσκον,
γρῆϋς, ἐπεί κ' ἔλθῃς, αὐτίκα δόξω ἔμεν.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΗΝ Α'. ΕΠΙΣΤΟΛΗΝ ΤΩΝ Π. ΟΒΙΔΙΟΥ ΗΡΩΙΔΩΝ.

Ἡ ἐπιστολὴ αὕτη τοῦ Ὀβιδίου εὕρηται ἐμμέτρως εἰς τὸ ἑλληνικὸν ἰδίωμα μεθηρμηνευμένη ὑπὸ Καρόλου Ὑτενοβίου, Βέλγου τὸ γένος κατὰ τὸν ις'. αἰῶνα ἀκμάσαντος, ἱκανὰ δὲ καὶ ἄλλα ἑλληνιστὶ ποιήσαντος καὶ μεθερμηνεύσαντος. (ἴδε Ὀβίδ. ἔκδ. *Burmanni* τόμ. ά. 13). Ἐγὼ δ' ἐπεβαλόμην μετενεγκεῖν αὐτὴν εἰς τὴν Ἑλλάδα φωνήν, οὔπω τὸ τοῦ Ὑτενοβίου ἔργον ἰδών.

Ἰστέον δ' ὅτι οὐκ ὀλίγα ἡ ἐπιστολὴ ἔχει τὰ ἄπορα ἢ ἀδόκιμα, δι' ἃ καὶ ὑπό τινων νεωτέρων νοθεύεται· ἀλλὰ τούτοις αὐτὸς οὐ συντίθεμαι, λίαν φιλαιτίως αὐτοὺς ἐκεῖνα ὁρῶν ἐξετάζοντας καὶ δριμύτερον ἢ δικαιότερον κρίνοντας. Ῥητέον δέ μοι βραχέ' ἄττα περὶ τοῦ πράγματος.

Εἴ τις τὰ τοῦ κειμένου τῶν ἀρχαίων συγγραφέων καὶ ποιητῶν ἁμαρτήματα ἐξετάσειεν, εὕροι ἂν αὐτὰ ἐκ διττῆς πηγῆς ἀπορρέοντα· τὰ μὲν γὰρ ἀντιγραφέων ἐστὶ παροράματα, γράμματα παραπλήσια τὸ σχῆμα πολλαχοῦ συγχεόντων ἀλλήλοις, ἢ ἀρχαίους τινὰς γραμμάτων τύπους καὶ συντομογραφικά, ὡς εἰπεῖν, σημεῖα παρανοούντων, ἢ ἡμαρτημένως ἀλλήλοις τὰ γράμματα ἢ τὰς συλλαβὰς συναπτόντων, ἢ ἀπὸ λέξεως εἰς λέξιν ὁμοίαν μεταπηδώντων καὶ ὑπερβαινόντων τὰ μεταξύ, ἤτι παραλελειμμένον ἔπειτα προστιθέντων ἐν οὐ προσήκοντι τόπῳ; Πάντα ταῦτα τὰ ἁμαρτήματα ἐκ πλάνης τινὸς περὶ τὸ σχῆμα καὶ τὴν θέσιν τῶν γραμμάτων τικτόμενα φαίνεται. Τὰ δ' οὐ τοιαύτην ἔχει τὴν ἀρχὴν καὶ αἰτίαν, μεταβολαὶ δὲ τοῦ κειμένου εἰσί, παραλείψεις τινές, παρεγγραφαὶ καὶ προσθῆκαι πρὸς διασάφησιν σκοτεινῶν τινων χωρίων ἐν τοῖς μεσοστιχίοις ἢ ἐπὶ τοῦ ἀγράφου κρασπέδου τῶν φύλλων ὑπὸ τῶν ἀναγνωστῶν προσγραφεῖσαι, εἶτα δ' ἀμαθίᾳ ἀντιγραφέων ἢ ἀμελείᾳ ἐκδοτῶν εἰς αὐτὸ παρεισαχθεῖσαι τὸ κείμενον· Τούτοις προστεθείσθωσαν, καί τινες τοῦ κειμένου νοθεύσεις. ἢ ὀνθυλεύσεις πεποιημέναι ἐπίτηδες.

Οἱ ἀπὸ τῆς ἀναγεννήσεως τῶν γραμμάτων κριτικοὶ περὶ τὴν διόρθωσιν τοῦ πρώτου τῶν ἁμαρτημάτων εἴδους ἀσχοληθέντες οὐ πάνυ τι τοῖς ἐκ τῆς δευτέρας πηγῆς ἀποῤῥέουσι προσέσχον τὸν νοῦν. Οἱ δὲ καθ' ἡμᾶς καὶ τούτοις ἐφιστάναι τὴν διάνοιαν ἤρξαντο,

πάντα τὰ κακῶς ἔχοντα τοῦ κειμένου πειρώμενοι ἐξιάσασθαι καί, εἴτι αὐτῷ ἀλλότριον, ἐκτεμεῖν, χρώμενοι κανόνι τῷ λόγῳ, καθ' ὃν νόθον καὶ παρέγγραπτον καὶ ἀποβλητέον κρίνεται πᾶν ὅ,τι νοῦν οὐκ ἔχει ἢ ἄλογόν ἐστιν ἢ ἀπροσφυὲς ἢ ἀπίθανον καὶ τῇ ἀληθείᾳ ἀπᾴδει. Οἶμαι δ' οὐ παντάπασιν ὀρθῶς ἔχειν τὸν εἰρημένον κανόνα, ἀλλ' ὅροις τισὶ περιλαμβανόμενον. Εἰκὸς γὰρ καὶ τοὺς πάλαι ποιητάς τε καὶ συγγραφεῖς, ἀνθρώπους γε ὄντας ὁμοίως ἡμῖν ἀσθενεῖς, μὴ παντάπασι καθαρεύειν ἁμαρτημάτων περὶ τὰ πράγματα, ἀλλὰ πολλὰ μὲν καὶ αὐτοὺς ἀγνοῆσαι, ἔσθ' ὧν δὲ μνήμης ἀσθενείᾳ ἐπιλαθέσθαι, ἄλλα δ' ἀκροθιγῶς ἐπιδραμεῖν ἢ ἀμελέστερον ἐρευνῆσαί τε καὶ συνθεῖναι, ἔσθ' ὅτε δὲ καὶ τὰ ἀπίθανα καὶ ἀδύνατα ἡγήσασθαι ἀληθῆ. Διὸ οὐκ ἂν εὐλόγως τις ἰσχυρίσαιτο πᾶν τοῦ κειμένου νενοθεῦσθαι ἢ παρεγγεγράφθαι χωρίον, ἐν ᾧ τι τῶν εἰρημένων ἁμαρτημάτων εὑρίσκεται.

Ἀλλ' ὁ ἔναγχος (αωξθ'. ἐν Λειψίᾳ) τὰ τοῦ Ὁρατίου κριτικῶς διαττήσας καὶ ἐκδοὺς Κ. Λήρσιος. ἀνὴρ τἄλλά τε σοφὸς καὶ τῶν ἑλληνικῶν καὶ ῥωμαϊκῶν γραμμάτων ἐγκρατέστατος, ἐν σελίδι CCXXXV κ. ἑ. τῶν κριτικῶν ἑαυτοῦ προσημειώσεων τὴν ά. τῶν Ὀβιδίου Ἡρωΐδων ἐπιστολὴν ἐν πολλοῖς νοθεύει καὶ πολλοὺς αὐτῆς στίχους ὡς παρεγγράπτους ἐξοβελίζει, τῷ εἰρημένῳ κριτικῷ κανόνι, ὡς ἔμοιγε δοκεῖ, καταχρώμενος. Συγγνώτω μοι ὁ σοφὸς ἀνὴρ εἰ θαῤῥῶ ἐνταῦθα ὑπεναντίαν αὐτῷ ἀποφήνασθαι γνώμην, εὐλαβέστερον δεῖν εἶναι οἰόμενος τὸν περὶ γνησιότητος ἢ νοθείας τῶν ἀρχαίων συγγραμμάτων καὶ ποιημάτων κρίνοντα.

Πρῶτον μὲν οὖν ὁ Λήρσιος νοθείας ἢ παρεγγραφῆς καὶ ὀνθυλεύσεως ἡγεῖται τεκμήριον τὸ μόνον τῶν ἐκ Δουλιχίου καὶ Σάμης καὶ Ζακύνθου μνηστήρων μνείαν ἐν τῇ ἐπιστολῇ ποιεῖσθαι τὴν Πηνελόπην (στ. 87), μηδαμῶς δὲ τῶν ἐξ Ἰθάκης. Ἐγὼ δὲ παντάπασιν ἀσθενῆ τὸν λόγον τοῦτον νομίζω. Τί γὰρ ἔδει τὴν ἡρωΐδα, τὰς ἄλλας ὀνομάσασαν νήσους, ἐξ ὧν αὐτῇ μνηστῆρες παραγεγένηντο, καὶ αὐτὴν τὴν Ἰθάκην προσθεῖναι ὀνομαστί, ἐξ ἧς δὴ Ἀντίνοον καὶ Εὐρύμαχον καὶ ἄλλους ἑξῆς μνημονεύει γνωρίμους τῷ Ὀδυσσεῖ; Ἆρ' οὐχ ἱκανὰ ἦν τὰ τῶν ἰθακησίων τούτων ὀνόματα πρὸς τὸ δηλῶσαι τῷ ἀπόντι βασιλεῖ τῆς Ἰθάκης ὅτι κἀκ ταύτης πολλοὶ τὴν γαμετὴν ἐμνηστεύοντο καὶ τὸν οἶκον κατέτρυχον; Σκόπει δ' ὡς καὶ ἡ ἐπιστέλλουσα οὐκ ἀναγκαῖον ἡγεῖται τοὺς μνηστῆρας μνημονεῦσαι πάντας, ἀλλὰ τάδε φησί.

Quid tibi Pisandrum, Polybumque, Medontaque dirum
Eurymachique avidas Antinoique manus
atque alios referam? (στ. 91—93).

Ἔπειτα κἀκεῖνο κατὰ τὸν Λήρσιον τὴν ἐπιστολὴν οὐ κατὰ πάντα τὰ μέρη γνησίαν οὖσαν ἐλέγχει, ὅτι Μέδων ὁ κῆρυξ ὁ τῷ οἴκῳ τοῦ Ὀδυσσέως εὐνούστατος τοῖς τούτῳ δυσμενῶς διακειμένοις μνηστῆρσι συγκαταλέγεται ἐν αὐτῇ (στ. 91) καὶ *dirus* προσαγορεύεται. Ἀλλ' εὐλόγως ἄν τις τοῦτο, ὥσπερ ἤδη ἀνδράσι σοφοῖς σεσημείωται, μνημονικὸν θείη τοῦ Ὀβιδίου ἁμάρτημα, ἀντὶ τοῦ *Ἀμφιμέδοντα Μέδοντα* γράψαντος. Καὶ ἀλλαχοῦ δὲ τοιαῦτα ἐξ εὐπετείας πλημμελῶν εὕρηται ὁ Ὀβίδιος. (ἴδε σημ. εἰς στ. 155 καὶ εἰς στ. 581 τῆς ἐμῆς μεταφράσεως τοῦ ά. βιβλ. τῶν Μεταμορφώσεων· ἔτι σημ. εἰς στ. 296—297 τοῦ β'. βιβλίου). Τοιοῦτό ἐστι καὶ τὸ περὶ Ἀντιλόχου ἐν στ. 15 ἀναγιγνωσκόμενον, ὅνπερ Ὅμηρος (Ὀδ. δ. στ. 188) οὐχ ὑφ' Ἕκτορος, ὥσπερ ἐν τῇ ἐπιστολῇ κεῖται, ἀλλ' ὑπὸ Μέμνονος τεθνάναι φησίν· ἢ γὰρ μνημονικὸν καὶ τοῦτο θετέον τοῦ Ὀβιδίου ἁμάρτημα, ἢ τῶν ἀντιγραφέων τινὸς παρόραμα, ἀντὶ Ἀμφιμάχου (Ἰλ. γ. στ. 185) ἢ Ἀγχιάλου (Ἰλ. ε. στ. 609) Ἀντίλοχον γράψαντος.

Κἀκεῖνα δὲ τῆς ἐπιστολῆς ὁ σοφὸς Λήρσιος ἀλλήλοις ἀπῳδὰ εἶναι οἴεται καὶ παραποίησιν ἢ παρεγγραφὴν ἐμφαίνειν· ἡ γὰρ Πηνελόπη ἐν μὲν στ. 15—22 ἔνια τῶν ἐν τῷ τρωϊκῷ πολέμῳ συμβεβηκότων διέξεισιν, ὥσπερ ἐκ φήμης, ἔτι διαμένοντος τοῦ πολέμου, ἢ παρὰ τῶν ἑκάστοτε ἐκεῖθεν ἐπανιόντων οἴκαδε πυθομένη αὐτά. Εἶτα δ' ἡ αὐτὴ ἐν στ. 37—38 πάντα φησὶ μαθεῖν παρὰ Νέστορος διὰ τοῦ υἱοῦ Τηλεμάχου ἐκ Πύλου ἀναστρέψαντος οἴκαδε. Ἀλλ' ἔγωγ' οὐδὲ τούτοις ἀντίφασίν τινα ἐνορῶ. Τί γὰρ ἔχει παράλογον τὸ ὑποθέσθαι τὴν Πηνελόπην ἔνια μὲν τῶν ἐν τῷ πολέμῳ γενομένων πρότερον ἤδη, ἕως οἱ Ἕλληνες τοῖς Τρωσὶν ἐπολέμουν, ἐκ φήμης ἢ δι' ἀγγέλων ἀκοῦσαι καὶ ὑπὸ τῶν ἑκάστοτε ἀγγελλομένων δεινῶν ὑπὲρ τοῦ φιλτάτου ἀνδρὸς εἰς δέος καθίστασθαι, σύμπαντα δὲ τὰ τοῦ πολέμου μετὰ τὸ τέλος αὐτοῦ παρὰ Νέστορος διὰ Τολεμάχου πυθέσθαι;

Παράλογον ἔτι καὶ ὕποπτον τῷ σοφῷ Λησρίῳ δοκεῖ τὸ λέγειν τὴν Πηνελόπην, ὡς ὁ Ὀδυσσεὺς ἀπὼν τρέφει τοὺς μνηστῆρας τοῖς ἑαυτοῦ κτήμασιν, *ἃ τῷ ἰδίῳ ἐκτήσατο αἵματι. Πῶς τοῦτο*; ἐρωτᾷ. Ἀλλ' οὐ χαλεπὸν πρὸς τὸ ἐρώτημα ἀποκρίνασθαι· δῆλον γὰρ ὅτι οἱ ἥρωες τὸ πάλαι, ὥσπερ δὴ καὶ οἱ Γερμανοὶ ἱππόται κατὰ τὸν μέσον αἰῶνα, ῥᾳδίως πρὸς λῃστείαν ἐτρέποντο καὶ ὅπλοις ἐπιόντες τὴν ἀλλοτρίαν ἐλῄζοντο χώραν· (ἴδε Θουκ. ά. 5.) ὥστ' οὐδὲν ἂν εἴη ἄτοπον ὑποθέσθαι πολλὰ τῶν ἑαυτῷ ὑπαρχόντων τὸν Ὀδυσσέα ὅπλοις καὶ αἵματι κτήσασθαι. Ἥκιστα δ' ἂν ἡμῖν εἴη τοῦτο παράδοξον, εἴγε μνησθείημεν ὅτι Ὅμηρος (Ὀδ. φ. στ. 16 κ. ἑ.) τὸν Ὀδυσ-

τέα ποιεῖ τοῖς Μεσσηνίοις ἐπιστρατεύοντα, ἵνα *τριακόσια πρόβατα* ὑπὸ τούτων λαφυραγωγηθέντα τοῖς Ἰθακησίοις ἀνακομίσηται.

Καὶ ἄλλην ἀντίφασιν ἐν τῇ ἐπιστολῇ ἀνευρίσκει ὁ Λήρσιος. Ὁ γὰρ Τηλέμαχος ἐν μὲν στίχῳ 37 εἰς ζήτησιν τοῦ Ὀδυσσέως *πεμφθῆναι* λέγεται· ἐν δὲ στίχῳ 100 *πάντων ἀκόντων εἰς Πύλον ἀπελθεῖν* πρὸς τὸν Νέστορα. Ἀλλ' ἔμοιγε οὐδὲ ταῦτα ἀντικεῖσθαι ἀλλήλοις δοκεῖ· τὴν μὲν γὰρ πέμψιν τοῦ Τηλεμάχου εἰς τὴν Ἀθηνᾶν ἀνενεκτέον, ἣ δὴ (Ὀδ. ά. στ. 99) τά δε φησὶ τῷ Διΐ.

Πέμψω δ' ἐς Σπάρτην τε καὶ ἐς Πύλον ἠμαθόεντα
νόστον πευσόμενον πατρὸς φίλου, ἤν που ἀκούσῃ.

Τὸ δ' *ἀκόντων πάντων* ἀποδημῆσαι αὐτὸν περὶ τῶν φίλων καὶ οἰκείων νοείσθω, ὑπὲρ τῆς ψυχῆς αὐτοῦ δεδιότων. Τῇ ἑρμηνείᾳ ταύτῃ ἔοικεν ὑπεναντιοῦσθαι τὰ ἐν στίχ. 63 καὶ 65. *Nos Pylon misimus . . . . . Misimus et Sparten*· ἀλλ' ἀληθῶς οὐκ ἀντίκειται· ἄλλην γάρ τινα πολλῷ προτέραν ταῦτα δοκεῖ μοι ἐμφαίνειν εἰς Πύλον καὶ Σπάρτην ἀποστολήν· οὐδ' εἰκὸς τὴν Πηνελόπην ἔτη τοσαῦτα μετὰ τὸν νόστον τῶν τῆς Τροίας πορθητῶν ἐν ἀπραγμοσύνῃ διαγαγεῖν, μηδένα δὲ τῶν οἰκείων πρός γε τοὺς ἐκ γειτόνων οἰκοῦντας πέμψαι περὶ τοῦ Ὀδυσσέως πευσόμενον.

Τὸ δὲ δίστιχον 107—108 τὸ μεταξὺ τοῦ ἐν στίχῳ 105 *neque* καὶ τοῦ ἐν στίχῳ 109 *nec* κείμενον ἐν παρενθέσει ἀναγνωστέον. Δοκεῖ γάρ μοι ἀπόκρισις *κατὰ πρόληψιν* εἶναι πρὸς τοιάνδε τινὰ ἔνστασιν. *Τίς ἂν ἐκ τοῦ γήρως τοῦ Λαέρτου τῷ Ὀδυσσέως οἴκῳ γένοιτο βλάβη; ἆρ' οὐ πάρεστιν ὁ Τηλέμαχος ἀντ' αὐτοῦ τὸ βασιλικὸν σκῆπτρον κατέχειν δυνάμενος;*

Καὶ τοὺς στίχους δὲ 113 καὶ 114 ἀποδοκιμάζει ὁ Λήρσιος· δοκιμασθέντες γὰρ οὗτοι, φησίν, εἰς συμπέρασμα ἄτοπον ἄγουσιν, ὅτι προσῆκε τῷ Ὀδυσσεῖ τῆς τοῦ πατρὸς προνοουμένῳ ζωῆς τὸν νόστον ἀεὶ ὑπερτίθεσθαι, ἵνα μακρότερον οἱ ὁ γέρων βιῴη χρόνον. Ἀστεῖον πάνυ καὶ εὐφυές μοι δοκεῖ τὸ συμπέρασμα, οὐ μέν τοι καὶ ἀναγκαῖον. Ὁ γὰρ πόθος τοῦ ἐπανιδεῖν τοὺς φιλτάτους μέγα μέν τι συμβάλλεται εἰς διατήρησιν τῆς τοῦ ποθοῦντος ζωῆς· ἀλλ' ἡ δύναμις αὐτοῦ οὐχ οἵα ἐστὶν ἐν πᾶσι πάντως καὶ ἐπὶ μήκιστον τῆς ζωῆς τείνειν τὸ νῆμα. Τί δ' ἔπεται; Πᾶν τοὐναντίον ἢ ὁ Λήρσιος συμπεραίνει· ὅτι προσῆκε, φημί, τῷ Ὀδυσσεῖ τὴν οἴκαδε ἐπάνοδον ἐπισπεῦσαι, ἵν' ἔμπνουν ἔτι τὸν φίλτατον καταλάβοι πατέρα.

Τὸ τελευταῖον τῆς ἐπιστολῆς δίστιχον ὑπὸ πάντων ὁμολογεῖται τῷ τῆς Πηνελόπης ἤθει ἀπᾴδειν· διὸ καὶ ὑπὸ πολλῶν νοθεύεται· ἀλλ' ἔγωγε τῷ τῆς διανοίας τοῦ ἡμετέρου ποιητοῦ εὐπετὲς ἐννοῶν, κἂν τοῖς ἐπικοῖς ποιήμασι πολλάκις ἀπὸ τοῦ ὑψηλοῦ εἰς τὸ ταπεινὸν καὶ χαμαίζηλον καὶ ἀπὸ τοῦ σοβαροῦ εἰς τὸ γελοῖον ἐξολισθαίνοντος (ἴδε Quintil. Inst. X. I. 83. ἔτι καὶ τὸν ἐμὸν πρόλογον εἰς τὰς Ὀβιδίου Μεταμορφώσεις) ἀποδοκιμάζω μὲν τὸ χωρίον καὶ τῇ Πηνελόπῃ ἀπρεπὲς ἀποφαίνομαι, ἀλλὰ νόθον αὐτὸ καὶ τῆς τοῦ Ὀβιδίου διανοίας ἀλλότριον οὐκ ἂν εἴποιμι εἶναι. Θαυμάζω δέ, ὅτι οἱ νεώτεροι τῶν κριτικῶν οἱ μόνον τὸ ἔλλογον ἡγούμενοι γνήσιον κατὰ τῆς γνησιότητος τῆς προκειμένης ἐπιστολῆς οὐκ ἐκεῖνο μᾶλλον προβάλλονται, ὅτι ἀπίθανον ὅλως καὶ ἄλογόν ἐστι τοιαύτην ἐπιστολὴν ὑπὸ Πηνελόπης γραφῆναι. Ποῦ γὰρ καὶ διὰ τίνος εἶχεν ἡ ἡρωῒς τῷ ἀνδρὶ ἐπιστεῖλαι, ὅλως ἀγνοοῦσα εἰ ἔτι ἐν τοῖς ζῶσίν ἐστιν ἐκεῖνος καὶ ὅπου μένει; Τίνι δὲ καὶ ποῦ ἀποπλέοντι ἐξ Ἰθάκης ἔδει αὐτὴν τὰ γράμματα παραδοῦναι;

Β′.

4). *οὐ Πρίαμος τόσον ἦν ἄξιος, οὐδ' Ἴλιον*, ὥστε σε τῆς πατρίδος καὶ τοῦ οἴκου ἀπεῖναι τοσοῦτον χρόνον.

5). Δικαίως ταῦτα ἡ Πηνελόπη καταρᾶται τῷ Πάριδι.

15). Περὶ *Ἀντιλόχου* ἴδε τὰ ἀνωτέρω εἰρημένα.

17). *Μενοιτιάδην*, τὸν τοῦ Μενοιτίου υἱὸν Πάτροκλον, ὃς *ἀλλότρια* ἐνδυσάμενος ὅπλα τὰ τοῦ Ἀχιλλέως, (τοῦτο γὰρ τὸ *δολίοις* σημαίνει ἐνταῦθα) καὶ μαχόμενος τοῖς Τρωσὶν ἀπέθανεν ὑφ' Ἕκτορος.

19). *Λυκίην λόγχην* λέγει τὴν τοῦ Σαρπηδόνος βασιλέως τῆς Λυκίας, ὃς τὸν Τληπόλεμον ἔκτεινεν (Ἰλ. έ. 658). ἦν δὲ Τληπόλεμος Ἡρακλέους ἐξ Ἀστυόχης υἱός. (ἴδε περὶ αὐτοῦ Ἰλ. β′. στ. 653 κ. ἑ.).

25). *Ἀργεῖοι νόστησαν ἀγοί* ἤτοι ὁ Νέστωρ, ὁ Ἀγαμέμνων καὶ ὁ Μενέλαος, ὧν ἡ ἐπάνοδος μεῖζον τῇ Πηνελόπῃ ὑπὲρ τοῦ ἀνδρὸς ἐνειργάσατο δέος, μετὰ δεκαετίαν ἤδη ἀπὸ τῆς πτώσεως τῆς Τρῳάδος οὔπω οἴκαδε ἐπανήκοντος.

27). *Νύμφαι δῶρα φέρουσι. Νύμφας* ἐνίοτε ὁ ἡμέτερος καλεῖ ποιητὴς τὰς εὐγενεῖς τοῦ ἡρωϊκοῦ αἰῶνος νεάνιδας, τάς τε ἀγάμους ἔτι καὶ τὰς ἀνδρὶ συνοικούσας. Νοείσθωσαν τοίνυν ἐνταῦθα αἱ τῶν ἑλλήνων ἡγεμόνων καὶ ἀρίστων γυναῖκες, ὧν τῇ εὐτυχίᾳ τὴν ἑαυτῆς δυστυχίαν προσφυῶς παραβάλλει ἡ Πηνελόπη.

[29]). Τῆς γραφῆς *trepidantque puellae* προήρημαι νῦν τὴν *trepidaeque puellae.*

[32]). *σημαίνει τ' οἴνῳ Πέργαμα* κτλ. Ἔθος ἦν τοῖς Ἕλλησι καὶ Ῥωμαίοις μετὰ τὸν δεῖπνον πλήρεις οἴνου κρατῆρας φέρειν καὶ τούτου πίνοντας ἐπιχεῖν τῇ τραπέζῃ καὶ πολλὰ ἀστειορρημονοῦντας καὶ παίζοντας πλεῖστον τῆς νυκτὸς ἀγρυπνεῖν. Τὸ ἔθος τοῦτο μνημονεύουσα ἐνταῦθα ἡ Πηνελόπη προστίθησιν, ὅτι οἱ τοῦ τρωϊκοῦ μετεσχηκότες πολέμου τῷ τῇ τραπέζῃ ἐπικεχυμένῳ οἴνῳ τοὺς τόπους παρεσημείουν, ἔνθα τι αὐτοῖς ἐπέπρακτο λόγου ἄξιον. Τοιοῦτό τι καὶ παρὰ Τιβούλλῳ (βιβλ. ά. Eleg. XI. 31) ἀναγιγνώσκεται

Ut mihi potanti possit sua dicere facta
miles, et in mensa pingere castra mero.

[33]). *Ἔνθα ῥέει Σιμόεις* κτλ. Ὁμοίως καὶ Οὐϊργίλιος (Αἰν. β'. 29).

Hic Dolopum manus: hic saevus tendebat Achilles.
Classibus hic locus; hic acies certare solebant.

[36]). *Ἐπτυρεν ἔνθ' ἵπποι Ἕκτορος ἀμφὶ νέκυι.* Πεσόντος τοῦ Ἕκτορος πανταχόθεν πρὸς αὐτὸν συνέδραμον οἱ Ἕλληνες, τὸν φοβερώτατον τῶν πολεμίων ἐγγύθεν ὀψόμενοι.

Οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη,

ὥς φησιν Ὅμηρος (Ἰλ. χ. στ. 371). Οὔκουν θαυμαστὸν εἰ τὸ οὕτω διεσπαραγμένον τοῦ Ἕκτορος πτῶμα οἱ τοῦ Ἀχιλλέως ἵπποι ἐν τῇ προσελάσει ἐγγύθεν ἰδόντες ἐπτύρησαν.

[38]). Ἔγραψα *βάρτι* μεθερμηνεύων τὸ ἐν τῷ κειμένῳ *misso* =πεμφθέντι, ᾧ προσυπακουστέον *a Minerva.* Οὐ γὰρ ἡ Πηνελόπη εἰς Πύλον ἀπέστειλε τὸν Τηλέμαχον, ἀλλ' αὐτόν, τῆς μητρὸς ἀγνοούσης, ἀπελθεῖν ἐκεῖσε εἴρηκεν Ὅμηρος (Ὀδ. β'. στ. 373). Οὕτως αἴρεται ἡ ἀντίφασις, ἥν τινες τῶν κριτικῶν ἐνταῦθα εὑρίσκουσι.

[39]). Ὁ μὲν Ῥῆσος βασιλεὺς ἦν Θράκης· σύμμαχος δὲ παραγενόμενος τοῖς Τρωσί, τῇ πρώτῃ νυκτὶ ἐν τῇ ἑαυτοῦ σκηνῇ κεκμηκὼς καὶ καθεύδων ὑπὸ Διομήδους ἀνῃρέθη (ἴδε Ὁμ. Κ. στ. 495). Ὁ δὲ Δόλων, Τρὼς τὸ γένος κατάσκοπος ἐπὶ τὰς ναῦς τῶν Ἑλλήνων πεμφθεὶς καὶ καθ' ὁδὸν ζωγρηθεὶς ὑπ' Ὀδυσσέως ἐσφάγη· (ἴδε Ὁμ. Κ. στ. 314—457).

[40]). Ἀπάτην ἐνταῦθα νοητέον τὴν τοῦ Ὀδυσσέως ἐπίνοιαν· μικρὸν γὰρ οὗτος τῆς ὁδοῦ μετὰ τοῦ Διομήδους ἐβουλεύσατο ἀποστῆναι καὶ κατακλιθῆναι ἐν τοῖς νεκροῖς, ἕως ὁ Δόλων τὸν τόπον ἐκεῖνον παραδράμοι εὐθὺ τῶν νεῶν κατατείνων· εἶτα δ' ἀναστὰς

Π. ΟΒΙΔΙΟΥ ΗΡΩΙΔΩΝ·

ΕΠΙΣΤΟΛΗ Ζ'.

ΔΙΔΩ ΑΙΝΕΙΑ.

ΥΠΟΘΕΣΙΣ.

Της Τροίας ἄρδην ὑπὸ τῶν Ἑλλήνων ἀνατραπείσης, τοὺς ἐφεστίους θεοὺς τῶν φλογῶν ὁ Αἰνείας ἐκσώσας, ναυσὶν εἴκοσιν εἰς ζήτησιν ἄλλης χώρας ἀπέπλευσε. Χειμασθεὶς δὲ παρὰ τὸν πλοῦν εἰς Λιβύην ὑπ' ἐξωστῶν ἀνέμων παρεξηνέχθη, ἔνθα ἡ Διδὼ ἐν τῷ τότε χρόνῳ τὴν Καρχηδόνα ἔκτιζεν. Ἀρίστης δ' ὑποδοχῆς μετὰ τῶν ἑταίρων παρὰ τῆς βασιλίδος τυχὼν καὶ ἐπιεικῶς φιληθείς, πάνυ οἰκείως αὐτῇ ἐχρήσασο. Ἐπειδὴ δ' ἔπειτα κελεύσει θεῶν εἰς Ἰταλίαν ἐβουλεύετο ἀπελθεῖν, ἔνθα εἵμαρτο αὐτῷ μετὰ τῶν συμφυγάδων οἰκῆσαι καὶ βασιλεῦσαι, τὴν τοῦ ἐρωμένου βουλὴν ἡ Διδὼ αἰσθομένη τῇ ἐπιστολῇ ταύτῃ τοῦ ἀπόπλου αὐτὸν ἀποκωλῦσαι πειρᾶται καὶ προλέγει αὐτόχειρ θανεῖσθαι, εἰ μηδὲν αἱ δεήσεις δυνήσονται καὶ τὰ δάκρυα. Τοιαύτη μὲν ἡ τῆς ἐπιστολῆς ὑπόθεσις. Ἰστέον δ' ὅτι τὰ περὶ τῆς ἀφίξεως τοῦ Αἰνείου εἰς Καρχηδόνα καὶ περὶ τοῦ ἔρωτος τῆς Διδοῦς πρὸς αὐτὸν καὶ τῆς αὐτοχειρίας μῦθός ἐστιν ὑπὸ Οὐϊργιλίου πλασθείς. Ἐλίσσα δὲ πρότερον κατὰ τὸν Σερούϊον (εἰς βιβλ. ά. Αἰνειάδος) ἡ Διδὼ ἐκαλεῖτο· μετὰ δὲ τὴν τελευτὴν Διδὼ ὑπὸ τῶν Καρχηδονίων διὰ τὸ ἀνδρεῖον ἦθος μετωνομάσθη· δύναται γὰρ ἐν τῇ φοινικικῇ φωνῇ τοὔνομα ἴσον τῷ ἑλληνικῷ ἀντιάνειρα. Περὶ δὲ τοῦ πλάσματος τοῦ Οὐϊργιλίου ἴδε καὶ τὸ καλὸν ἐν τῇ τοῦ Πλανούδου Ἀνθολογίᾳ (βιβλ. δ'. 151) ἐπίγραμμα εἰς εἰκόνα Διδοῦς, ἀρχόμενον ὧδε

Ἀρχέτυπον Διδοῦς ἐρικυδέος, ὦ ξένε, λεύσσεις.

ΕΜΜΕΤΡΟΣ ΜΕΘΕΡΜΗΝΕΙΑ
ΤΗΣ Ζ΄. ΕΠΙΣΤΟΛΗΣ ΤΩΝ Π. ΟΒΙΔΙΟΥ ΗΡΩΙΔΩΝ.

ΔΙΔΩ ΑΙΝΕΙΑΙ.

Ὡς, ὅτε μιν καλέει Μοῖρ᾽ ἀργὸς κύκνος ἀείδει
Μαιάνδρου παρ᾽ ὕδωρ κείμενος ἐν βοτάνῃς.
Οὔ σε προσεννέπω, ὅττι λιτῇς σ᾽ ἐπιγνάμψαι ἔολπα·
οἶδ᾽ οὐ σὺν βουλῇ δρῶσα θεοῖο τόδε·
ἀλλ᾽ ἐπεὶ ὤλεσ᾽ ἐμὰς εὐεργεσίας τ᾽, ἀρετήν τε,
αἰδῶ τ᾽, οὐ βαρύ μοι γίγνετ᾽ ὀλέσαι ἔπη.
Ἦ ῥα δέδοκται ἴμεν· Διδὼ δὲ σὺ τλήμονα λείπεις.
λαίφεα δὲ πνοιὴ πίστιν ὁμοῦ τε φέρει.
ἦ ῥα δέδοκταί σοι σὺν νήεσσ᾽ ὅρκια λῦσαι,
χώρην τ᾽ οὐ γνωτὴν ἐλθέμεν Ἰταλίην·
Οὐδ᾽ ἀλέγεις καινῆς Καρχηδόνος, οὐδ᾽ ἄρα τειχῶν
αὐξομένων, ἀρχῆς θ᾽, ἣν νέον ὤπασά σοι.
Ὅσσ᾽ ἔῤῥεκται ἐᾷς καὶ ῥεκτέα ἄλλα διώκεις·
ἄλλην δ᾽ ἐξ ἄλλης δίζεαι αἶαν ἰών.
Κἢν δέ τινα χθόν᾽ ἵκῃ, τίς σοι κατέχειν μιν ὀπάσσει;
τίς δώσει κεκτῆσθ᾽ ἀλλοδαποῖσι γύας;
Ἄλλου δεῖ σοι ἔρωτος, ἰδ᾽ ἄλλης αὖ πάλι Διδοῦς,
καὶ δόμεναι πίστιν ψευδέα χρή σε πάλιν·
Ὦ! πότε δωμήσεις Καρχηδόνι εἴκελον ἄστυ
καὶ σὸν λαὸν ἄκρης ὄψεαι ἐκ πόλιος;
Εἰ δ᾽ εὖ σοι ἀποβαίη, ἅτ᾽ ηὔξαο πάντα γένοιτο,
ποῦ σὺ δάμαρθ᾽ ἕξεις ἶσα φιλεῦσαν ἐμοί;
Αἴθομαι ὥς τε δαῒς κεχρισμένη ἔκτοθι θείῳ,
ὥς τε θύωμ᾽ ἱερὸν ἐν πυρὶ βαλλόμενον.
Αἰνείας μευ ἀεὶ ὄσσοισι παρίστατ᾽ ἀΰπνοις·

ἐς νόον Αἰνείαν νύξ τε φάος τε φέρει·
αὐτὰρ ὃ κωφεύει πρὸς δῶρ' ἐμὰ πάντ' ἀχάριστος,
τοῦ κ' ἐθέλοιμ' οὐ δεῖσθ', εἴ μοι ἔνεισι φρένες.
Οὐ στυγέω μιν ἔγωγε κακοφρονέοντά περ ἔμπης·
μέμφομ' ἄπιστον· ἀτὰρ μεμψαμένη φιλέω.
Φεῖσαι, Κύπρι, νυοῦ· σὺ δ', Ἔρως, ἀτέραμνον ἀδελφὸν
ἄμπλεξαι· στρατιῇ σῇ δ' ἐνάριθμος ἔοι!
ἢ γοῦν ὃν προτέρη ἐφίλησ', (οὐ γάρ μιν ἀτίζω·)
οὗτος ἀφορμήν μοι τοῦ φιλέειν παρέχοι!
Σφάλλομαι· οὐκ ἐτεὸν στρέφετ' ἐν φρεσὶ τοῦτο νόημα·
οὔτι ἑῇ κεῖνος μητρὶ ἔοικε νόον.
οὔρεα καὶ λᾶές σε καὶ αἰπεινῆς ἐπὶ πέτρης
φυόμενοι πρῖνοι, θηρία τ' ἐξέτεκον,
ἢ πόντος, τὸν ὁρῶν νῦν καὶ μάλα κυμαίνοντα
πλεῦσαι ὅμως ἵεσαι κύμασιν ἀντίδρομος.
Ποῖ φεύγεις; χεῖμ' εἴργει· ὄνησις χεῖμά μοι εἴη!
αὔγασαι, ὡς κυκόων Εὖρος ὀρίνει ὕδωρ.
Δός μ' ὀφλεῖν ἀνέμοις ὃ γ' ὀφείλειν σοί κεν ἑλοίμην·
πνεύμαθ' ὕδωρ τε πέλει σεῖο δικαιότερα.
Οὐ τοίη σοι ἐγών, ὥστ', εἰ καὶ ἄξιός ἐσσι,
δεῖν φεύγοντά μ' ὀλέσθ' εἰν ἁλί σ' εὐρυπόρῳ.
Ἦ με λίην στυγέεις ἠδ' ἔμπεδον, εἴγε παρ' οὐδὲν
κατθανέειν σὺ τίθης, ἤν με μόνον προλίπῃς.
Πνεύματα δὴ λήξει· κοιμήσεται ὕδατα· Τρίτων
κυανέοις ἵπποις λαῖτμα καθιππάσεται.
καὶ σὺ δὴ αἴθε τρεπτὸς ὁμῶς εἴης ἀνέμοισιν·
ἔσσῃ δ', εἰ πρίνου σκληρότερος μὴ ἔφυς.
Τί, σθένος εἰ μήπω ἁλὸς ᾔδης ἀγριοέσσης;
Πειρηθεὶς θαμάκις κύμασι πίστιν ἔχεις;
ἢν δ' ἄρα καὶ πελάγει πιστεύσας πείσματα λύσῃς,
εὐρὺς ὅμως γε πλεῖστ' ἄλγεα πόντος ἔχει.
οὐδ' ὀνίησι πλέουσιν ἁλὸς πόρον ὅρκια λῦσαι·

χῶρος γὰρ κεῖνος τίννυτ' ἀπιστοσύνην,
ἤν τις ἔρωτα μάλιστ' ἀδικήσῃ· δὴ γὰρ Ἔρωτος
μήτηρ γυμνὴ ἁλός, ὡς φάτις, ἐξανέδυ·
Δείδια μὴ βλάψω βλάψαντ', ὀλέσω τ' ὀλέσαντα,
ναυηγὸς δὲ πίῃ πόντιον ἐχθρὸς ὕδωρ.
Ζῆθί μοι· ἢ μᾶλλόν σ' ὀλέσω ζῶντ' ἠὲ θανόντα.
κρεῖσσον ἐμοῦ σε κλύειν αἴτιον οἴτου ἔμεν·
Θὲς δὴ ὅτι κραιπνῇ (κενὴ οἴχοιθ' ἥδε κλεηδὼν)
κῦρσας ἀέλλῃ ἄφαρ· τίς σέο φρὴν ἔσεται;
Μεμνήσῃ τότε σῆς γλώσσης, ἀχάριστ', ἐπιόρκου
καὶ Διδοῦς φθιμένης ἐξαπάτῃ φρυγίῃ·
στήσετ' ἐνωπαδίως ἀλόχου, ἣν ἤπαφες, εἰκὼν
σκυθρήτ' ἠδὲ λυτοὺς αἱμοβαφὴς πλοκάμους.
Ὅ,ττι τόδ' ἔστ', ἐρέεις, σύγγνωθ', ὅλου ἄξιός εἰμι·
πάντα δ' ἴεσθ' ἐπὶ σὲ σκηπτὰ βέλη νομίσεις.
Δὸς βραχύν, ὦ ξεῖνε, χρόνον ὁρμῇ σῇ τ' ἰδὲ πόντου.
κέρδος γ' ἀμβολίης ἔσθ' ὁδοῦ ἀσφαλίη.
Μὴ φείσῃ ἐμέθεν· φεῖσαι δ' ἄρα παιδὸς Ἰούλου·
δὴ γὰρ ἅλις σε καλεῖσθ' αἴτιον οἴτου ἐμοῦ.
Ἀσκάνιος τί παΐς; τί σε θεοὶ σίναντο πατρῷοι;
κῦμα θεοὺς κρύψει, τοὺς πυρὸς ἐξερύσω;
ἀλλὰ σύ γ' οὔ σφε φέρεις, οὐδ', ὡς αὐχεῖς, ἐπὶ νώτων
βάστασας ἱρὰ θεῶν καὶ γενέτην, δολόφρον.
Πάντα τάδε ψεύδῃ· οὐδ' ἤρξατο σή γ' ἀπ' ἐμεῖο
γλῶσσ' ἀπατᾶν· πρώτη δ' οὐκ ἐμοὶ ἄλγος ἔφυς.
εἴρεαι, ἡ γενέτειρα καλοῦ πόθι μίμνει Ἰούλου;
ἔκτατ', ἐπεὶ μούνην ὠμὸς ἀνὴρ λίπε μιν·
Ταῦτα πάρος σευ ἄκουσ' ἀπαθὴς φρένα· τῷ φλέγε νῦν με
ἔνδικ'· ἐλάσσον' ἐμῆς πείσομαι ἀμπλακίης.
Οἶδα σάφ' ὅττι δίκην ἔργων τίνεις ἀθεμίστων·
ἑβδόματόν σ' ἤλαυν' ἀγ χθόνα χεῖμ' ἰδ' ἅλα.
Κύμασί σ' ἐξωσθέντα βεβαίῳ δέχνυμ' ἐν ὅρμῳ·

οὔνομα δ' ὡς ἔκλυον, σκῆπτρ' ἐμὰ ὤπασά σοι·
Αἴθε δὲ σοί γ' ἔστερξα χαρισσαμένη τάδε μοῦνα,
μηδ' ὤλεσσα κλέος σοὶ παραλεξαμένη!
Ἦμαρ ἐκεῖνό μ' ἄασ', ὅτ' ἐπιβρίσας μέλας αἴφνης
ὄμβρος ὑπ' αἰπὺ ὁμοῦ ἤλασεν ἄμμε γλάφυ.
Φωνῆς ἤκουσ'· ᾠίσθην νύμφας ὀλολύξαι·
σήμηναν δ' ἄρ' ἐμὸν μόρσιμον Εὐμενίδες.
Ὦ αἰδοῖ χρανθεῖσα, δίκας πρᾶξόν με Σιχαίῳ.
πρὸς τὸν γ' αἰσχύνης δύσμορος εἶμι πλέη.
Λαΐνῳ εἰν ἱερῷ μοι ἀνίδρυται ἔνθα Σιχαῖος,
ἔστεπται δὲ κλάδοις ἀργυφέοις τ' ἐρίοις.
Κεῖθεν ἐγὼν ἔκλυον φωνῆς τετράκις με καλεύσης·
λεπτὸν ἀφεὶς ὃ φθέγμ' „ἐλθέ, Ἐλίσσα„ φάτο.
Οὐ δηθύνω· ἔρχομ' ὀφειλομένη σοι ἄκοιτις,
ὀκνεῦσ' αἰδοῖ ὅμως πρήξιος εἵνεκ' ἐμῆς.
Ἀμπλακίην μοι ἄφες· παρά μ' ἤπαφεν ἄξιος ἀνήρ,
καὶ μ' ὅ γ' ἀφαιρεῖται μέμψιν ὑπερβασίης.
Ἀθανάτη γενέτειρα, πατὴρ πρέσβυς, φίλον ἄχθος
υἷϊ, δόσαν πιστοῦ ἐλπίδα μοι πόσιος.
Εἴ γ' ἀλιτέσθαι ἔμελλον, ἀμεμφὴς αἰτίη ἐστίν·
ἥν πίστιν προσθῇς, οὐ μετάνοι' ἕπεται.
Πρὸς βωμοῖς ἔνδον κτάμενος πόσις ἤριπεν ἱροῖς·
τόσσης δ' ἔσχε κάσις μισθὸν ἀλιτροσύνης.
Κάλλιπον ἐξόριος σποδιὴν πάτρην τε συνεύνου·
λυγρὰ κέλευθα δ' ἔβην ἔχθει ἐλαυνομένη·
Κέλσα παρ' ἀγνώτοισι φυγοῦσα κάσιν τε καὶ οἶδμα,
ἀκτήν τ' ἐπριάμην, ἥν σοι, ἄπιστ', ἔπορον,
ἔνθ' ἄρα ἄστυ τ' ἵδρυσα καὶ εὐρέα τείχε' ἔδειμα,
ἀγχούροις Λιβύων ἐχθόμενα πτόλισιν.
ᾧδε' ἄρης· ἄρηα γυναικὶ ξείνῃ ἐπῶρσαν·
ἄρτι δὴ ἤρτυον ὅπλ' ἠδὲ πύλας πόλιος.
Πολλοί με μνώονθ', οἵ μ' ἀγρόμενοι μέμφοντο

οττι σφεων προέτισ' ἀλλότριον θάλαμον.
Τίπτε με συνδήσας ὀκνέεις παραδοῦναι Ἰάρβᾳ;
Παρσχοίην κε πρόφρων ἐς τεὸν ἔργμα χέρας.
Καὶ κάσις ἔστι μοι, οὗ δή χεὶρ ῥανθεῖσα συνεύνου
αἵματι ῥανθείη κ' αὖ πάλιν ἡμετέρῳ·
Μὴ σὺ θεοὺς λέγε, μήθ' ἃ γ' ἀφάσσων ἱρὰ μιαίνεις·
οὔποτε χεὶρ ἀσεβὴς εὖ σέβει ἀθανάτους.
Εἰ σὺ θεῶν μέλλες λάτρις ἔμμεν πῦρ προφυγόντων,
νῦν σφε μεταγνώμη πῦρ προφυγόντας ἔχει.
Καλλείψεις τάχ', ἄθεσμε, καὶ ἔγκυον ἐνθάδε Διδώ,
μοῖρά τε σῆς σαρκὸς λήσει ἐν ἡμετέρῃ·
πότμῳ γειναμένης προσθήσεις τλήμονα παῖδα,
καὶ ἔτ' ἀγεννήτῳ αἴτιος οἴτου ἔσῃ.
Μητρὶ ἑῇ μέλεος σύμφθίσετ' Ἰούλου ἀδελφός,
καὶ τίσις ἀμφοτέρους ἁρπάσει ἄμμε μία —
Ἀλλὰ θεὸς κέλεται νεῖσθαι — αἴθ εἶρξέ σ' ἱκέσθαι!
μηδ' αἴης Τεῦκροι τῆς Τυρίων ἐπέβαν!
Ἦ σε θεοῦ του ἄγοντος ἐλαύνεαι ὧδ' ὑπ' ἀήταις
καὶ δολιχὸν τρίβεις ἐν πελάγεσσι χρόνον.
Μόχθῳ ἴσως τόσσῳ ἐς Πέργαμα χρῆν σ' ἀναπλώειν,
εἰ τάδ' ἔπλ' οἷα πρὶν Ἕκτορος ἐν βιότῳ.
Οὐ πάτριον Σιμόεντ', ἀλλ' ὕδατα Θύμβριδος ἔρχῃ·
ἢν δ' ἄρ' ἵκηαι, ὅπου ἵεσαι, ἐχθρὸς ἔσῃ.
Κρυπτομένην, νῆάς τε τεὰς φεύγουσαν ἀφίξῃ
οὐ πρότερον γαῖαν, πρίν κέ σε γῆράς ἕλῃ·
Μᾶλλον ἀλητὺν ἔα καὶ λαοὺς τούς δε δέδεξο
προῖκα, κασιγνήτου τ' ὄλβον, ὃν ἔνθ' ἄγαγον.
Ἴλιον ἐς τυρίην μᾶλλον μετένειε πόληα,
ἣν βασίλειον ἔχοις, σκῆπτρα νέμων ἱερά.
Εἰ πολέμου ἔρασαι, τυτθὸς δέ σοι ἄχθετ' Ἴουλος
ὡς μὴ ἔχων ὁπόθεν τῇδε θρίαμβον ἄγῃ,
ὄφρα παρῇ οἱ πάντα, παρέξομεν, ᾧ πολεμήσει.

εἰρήνης δὲ νόμους ἄστυ τόδ' ὅπλα τ' ἔχει.
Ἀλλὰ σὺ πρὸς μητρὸς πρὸς σοῖό θ' ἐμαίμου ὀϊστῶν,
πρὸς θ' ἱερῶν Τροίης συμφυγάδων τε θεῶν,
(ὣς σόοι εἶεν ὅσοι γ' ἐκ σῆς γενεῆς σοι ἕπονται,
σῆς δ' ἄρης λήξας τέρμα γένοιτο δύης!
ὣς τεὸς Ἀσκάνιος βιότου πλήσει' ἐνιαυτοὺς
καὶ μαλακὴν εὐνὴν Ἀγχίσου ὀστέ' ἔχοι!)
φεῖσαι ἐμοῦ, λίτομαι, ὃς δή σοι παραδίδοτ', οἴκου.
Ἐν τίνι φής μ' ἀλιτεῖν, πλὴν ὅτι γ' ἠρασάμην;
Οὐ φθιὰς τελέθω, οὐ γείνατό μ' ἄστυ Μυκηνῶν·
οὐ πόσις, οὐ γενέτης ἀντίος ἤλυθέ σοι.
Ξεινοδόκον με κάλει, εἴ σοι φέρω αἶσχος ὅμευνος·
ἥν τεὴ ᾖ Διδώ, στέρξει ὃ βούλει ἔμεν.
Οἶδμ' εὖ γιγνώσκω, ὃ πρὸς ἀκτῇ ῥήγνυται Ἄφρων·
σὺν καιρῷ πλωτὸν γίγνεται ἠδ' ἄπλοον.
Εὖτ' ἔσετ' εὐπλοΐη, πετάσεις τότε κάρβασ' ἀήταις·
νῦν δ' ἔκβλητον ἔχει φυκία κοῦφ' ἄκατον.
Δός μοι καιρὸν τηρῆσαι· σόος οἶδμα περήσεις·
οὐ τότ' ἐάσω ἐγώ σ' οὐδ' ἐθέλοντα μένειν.
Καὶ ἕταροι ποθέουσ' ἀνάπνευσιν· νηυσὶ δὲ σῇσι
δεῖ ἀρτυνομένης παυριδίοιο χρόνου.
Ἀντ' εὐεργεσιῶν, καὶ πόρσιον εἴτι παρέξω,
ἀντὶ γάμων αἰτῶ νῦν ὀλίγον σε χρόνον·
Σὺν πόντῳ καὶ ἔρως πρηΰνεται· αὐτὰρ ὀτλεύειν
σὺν χρόνῳ εὐψύχως λυγρὰ διδάσκομ' ἔθει.
Εἰδὲ μή, ἀλλ' ἔξω τόλμην ἐκχεῦαι ἀϋτμήν·
νηλὴς οὐκ ἐπ' ἐμοὶ δηρὸν ἔμεν δύνασαι.
Αἴθε μευ εἰκόν' ἔλευσσες ὁποίη γ' ἐστὶ γραφούσης·
φάσγανον ἐν κόλπῳ τρώϊον ἐνθάδ' ἔχω,
καδδὲ παρειάων ἐπὶ γυμνὸν λείβεται ὅπλον
δάκρυ', ὃ καὶ δεύσει αἷμ' ἐμὸν ἐκ δακρύων.
Ὡς ἐμῇ αἴσῃ ἄρηρε τεὸν τόδε δῶρον ἀτερπές!

οὐ πολλῇ τεύξεις τύμβον ἐμὸν δαπάνῃ.
οὐδ' ἄρα νῦν πρῶτον στέρνον τρωθήσετ' ἐμεῖο·
χώρη ἤδ' αἰνοῦ τραύματ' ἔρωτος ἔχει·
Ἄννα κάσις, κάσις Ἄννα, ἐμὴν σὺ δὴ οὐ πάνυ ἄτην
εἰδυῖ', οἶσε νέκυι λοίσθιά μοι κτέρεα·
μηδὲ πυρὶ σμυχθείσῃ ἐπίγραφ'· Ἐλίσσα Σιχαίου.
ἀλλ' ἔστω ἐπ' ἐμοῦ γράμμα τάφοιο τόδε·
" Οἴτου ἀφορμὴν Αἰνείας πόρεν ἠδὲ μάχαιραν·
χειρὶ δ' ἑῇ Διδὼ κάτθανε χρησαμένη „

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΗΝ Ζ'. ΕΠΙΣΤΟΛΗΝ ΤΩΝ Π. ΟΒΙΔΙΟΥ ΗΡΩΙΔΩΝ.

Καὶ ταύτην τὴν ἐπιστολὴν νόθον ἡγεῖται ὁ Λήρσιος, εἰκάζων τοῦτο ἐξ ὧν ὁ Ὀβίδιος ἀλλαχοῦ τῶν ἑαυτοῦ ποιημάτων (amor. lib. II. eleg. 18. vers. 21—26) φησίν, ἐχόντων ὧδε.

aut, quod Penelopes verbis reddatur Ulixi
  scribimus, aut lacrimas, Phylli relicta, tuas:
quod Paris et Macareus et quod male gratus Iason
  Hippolytique parens Hippolytusque legant:
quod tenens strictum Dido miserabilis ensem
  dicat, et aeoliae Lesbis amica lyrae.

δῆλον γὰρ ὅτι τούτοις ἐπιστολάς τινας τῶν Ἡρωΐδων πεποιημένας αὐτῷ περιφραστικῶς σημαίνειν βούλεται ὁ Ὀβίδιος, ἐν αἷς καὶ ἐπιστολὴ τῆς Διδοῦς. Ἐπειδὴ δὲ τὴν τῆς Διδοῦς ὁ ποιητὴς περιφραστικῶς σημαίνει τοῖς δε τοῖς ῥήμασι,

quod tenens s t r i c t u m Dido miserabilis ensem
  dicat.

συμπεραίνει ὁ Λήρσιος ὅτι αὕτη οὐχ ἡ νῦν σωζομένη ζ'. τῶν Ἡρωΐδων ἐπιστολή, ἀλλ' ἑτέρα τίς ἐστιν εἰς ἡμᾶς οὐ περισωθεῖσα, ἥν περ ἡ Διδὼ παρ' αὐτὴν τὴν αὐτοχειρίαν (strictum tenens ensem) ὑποτίθεται γράψασα. Ἐν δὲ τῇ νῦν σωζομένῃ παρὼν ἔτι σημαίνεται ὁ Αἰνείας, ὃν ἡ Διδὼ δεομένη τε καὶ τοὺς κατὰ θάλασσαν κινδύνους καὶ τὰς ἄλλας τοῦ πράγματος δυσχερείας ὑποτυποῦσα τοῦ ἀπόπλου ἀποκωλῦσαι πειρᾶται. Συλλογίσαιτο δ' ἄντις ἐκ τούτων εἰκότως πολὺ πρὸ τῆς αὐτοχειρίας τὴν εἰρημένην γραφῆναι ἐπιστολήν. Τοιαῦτα μέν, καθόλου εἰπεῖν, τὰ τὸν σοφὸν Λήρσιον ἀναπείσαντα οὐ γνησίαν εἶναι τὴν ζ'. τῶν Ἡρωΐδων ἐπιστολήν.

Ἀλλ' ἔμοιγε τὰ ῥήματα ἐκεῖνα τοῦ Ὀβιδίου, ἃ ἐν τῇ εἰρημένῃ Ἐλεγείᾳ ἀναγιγνώσκεται, πᾶν τοὐναντίον τὴν τῆς ζ'. ἐπιστολῆς γνησιότητα δοκεῖ μαρτυρεῖν· οὐδὲ πρὸς τὰ τῆς ἐπιστολῆς ἀντιφάσκει, πλὴν εἰμή τις τὴν ἀντίφασιν εἴποι ἐν τούτῳ κεῖσθαι, ὅτι ἡ μὲν ἐπιστολὴ ἐν τῷ κόλπῳ, ἡ δὲ Ἐλεγεία ἐν τῇ χειρὶ ἐσπασμένον τὸ ξίφος ἐμφαίνει ἔχουσαν τὴν Διδώ. Ἀλλ' αἱ δύο αὗται ἔννοιαι· *τὸ ἐν κόλπῳ ἐπ' αὐτοχειρίᾳ ἔχειν τὸ ξίφος* καὶ *τὸ ἐσπασμένον αὐτὸ κατέχειν* ἐν τῇ χειρὶ οὕτως ὁμοροῦ-

σιν ἀλλήλαις, ὥστε ῥᾳδία ἡ τῆς ἑτέρας ἀντὶ τῆς ἑτέρας ἐν τῷ λόγῳ μετάληψις. Ἔπειτα δὲ τί ἄτοπον ὑποθέσθαι, ὅτι ὁ Ὀβίδιος τὴν Ἐλεγείαν γράφων καὶ τῆς ζ΄. ἐπιστολῆς μνείαν ποιούμενος ἐν αὐτῇ, τὴν μὲν ὑπόθεσιν ταύτης καθόλου εἶχεν ἐν νῷ, τῆς δὲ λέξεως, ᾗ ἐκέχρητο, οὐκέτι ἐμέμνητο ἐκ πολλοῦ αὐτὴν οὐκ ἀνεγνωκώς; ἢ ἔδει ἄρα τὸν ποιητήν, ὁππότε τι περὶ τῶν πρότερον αὐτῷ πεποιημένων πρόθοιτο γράφειν, πρὸ ὀφθαλμῶν ταῦτα ἔχειν ἀεὶ καὶ ἀναγιγνώσκειν, ὥστε μηδ' ἐν τοῖς ἐλαχίστοις, μηδ' ἐν τοῖς ἀδιαφόροις διαφέρειν τὰ ὕστερον γραφόμενα τῶν προτέρων;

Καὶ ἄλλα δὲ τῆς ζ΄. ἐπιστολῆς ἀπῳδὰ ἀλλήλοις ἢ τῷ ὅλῳ, ἢ ἀπίθανα καὶ διὰ τοῦτο ὀβελιστέα τῷ Ληρσίῳ δοκεῖ, ἐν οἷς τακτέον τὸ πρῶτον δίστιχον· οὐ γὰρ εἰκός, φησί, τὴν Διδώ, αὐτίκα θανεῖσθαι μέλλουσαν, ἀκαίροις τοῦ λόγου χρῆσθαι κοσμήμασι τῷ ᾠδικῷ κύκνῳ ἐν τῷ θνήσκειν ἑαυτὴν παραβάλλουσαν. Ἐγὼ δ' ὁμολογῶ μὲν τὸν Ὀβίδιον ἐν τούτῳ οὐ τηρῆσαι τὸ πιθανόν, οὐ μέντοι γε διὰ τοῦτο νενοθεῦσθαι ἂν εἴποιμι τὴν ἐπιστολήν. Ἴσμεν γὰρ καὶ τοὺς ἀρίστους καὶ ἀκριβεστάτους τῶν ποιητῶν ἔσθ' ὅτε περὶ τὴν πιθανότητα πλημμελοῦντας· ἀλλ' οὐ διὰ τοῦτο τὰ ποιήματα αὐτῶν νόθα κρινόμεθα ὀβελίζεται· δῆλον γάρ, ὡς κατ' ἄλλους μὲν κανόνας ἡ περὶ τῆς γνησιότητος κρίσις, κατ' ἄλλους δ' ἡ τεχνολογικὴ τῶν ποιημάτων ἐξέτασις γίγνεται· ὥστ' οὔτ' ἂν πάντα τὰ τεχνολογικῶς ἄμεμπτα εἴη γνήσια, οὔτε τὰ γνήσια πάντα τεχνολογικῶς ἐξεταζόμενα ἐν πᾶσιν ἀνεπίληπτα δείκνυται. Συγγνώτω κἀνταῦθα ὁ σοφὸς Λήρσιος ὑπεναντίαν αὐτῷ ἀποφήνασθαι γνώμην τολμῶντί μοι.

1—2). Κοινὴ παρὰ τοῖς ἀρχαίοις ἐκράτει δόξα τὸν κύκνον ᾠδικὸν εἶναι καὶ μικρὸν πρὸ τῆς τελευτῆς θρηνῶδές τι καὶ ἀψίθυμον ᾄδειν· ἀλλ' οἱ συνήθεις ἡμῖν κύκνοι οὐ φαίνονται τοῦτο ποιοῦντες. Οἱ δὲ νεώτεροι τῶν περὶ τὴν φυσικὴν ἱστορίαν ἀσχολουμένων ἐν ταῖς ὑπαρκτίαις χώραις εἶδός τι κύκνου διαιτᾶσθαί φασιν, ὃν *μουσικὸν* καλοῦσι· τούτων γὰρ τῶν κύκνων πολλοὶ ὁμοῦ εἰς ὕψος αἰρόμενοι καὶ πετόμενοι θρηνώδη τινὰ ἦχον παρέχουσιν οἷον πόῤῥωθεν ἀκουομένων σαλπίγγων.

4). *Θεὸν* τὸν ἔρωτα λέγει ἐνταῦθα, ὃν ἑαυτῇ οὐκ εὐμενῶς ἔχοντα ἡ Διδὼ εἰδυῖα, ὅμως γ' ἐπιστέλλει τῷ Αἰνείᾳ, τὰ μὲν μεμφομένη, τὰ δὲ δεομένη.

10). Ὁμοίως καὶ Οὐϊργίλιος Αἰν. δ΄. 311.

> . . . . quid sinon arma aliena, domosque
> ignotas peteres!

21). Προήρημαι τὴν γραφὴν *omnia utveniant*. Ἐπειδὴ δὲ δυ-

νατὸν τὸ μόριον *ut* ὡς *τελικὸν* ἢ *ὑποθετικὸν* ἐνταῦθα ἐκδέξασθαι, δυνατὸν καὶ τὸν στίχον διττῶς μεθερμηνεῦσαι.

α΄. ὑποθετικῶς, ὥς μοι γέγραπται ἤδη.

β΄. τελικῶς ὧδε·

ὄφρα δέ γ' εὖ ἀποβῇ, ἅ τ' ηὔξαο πάντα γένηται,

23—24). Ἀπᾴδει ταῦτα τῷ τῆς Διδοῦς ἤθει, οὐ μὴν τῷ ἔθει τοῦ Ὀβιδίου· πολλὰ γὰρ τοιαῦτα (ὡς καὶ ἐν ταῖς εἰς τὴν α΄. ἐπιστολὴν σημειώσεσιν ἡμῖν εἴρηται) ἐξ εὐπετείας ὁ Ὀβίδιος εὕρηται πλημμελῶν καὶ τὰς ψυχικὰς ἑαυτοῦ διαθέσεις ἢ τὰ διανοήματα τοῖς τῶν προσώπων συγχέων, ἃ φθεγγόμενα εἰσάγει ἐν τοῖς ποιήμασι.

25). Παράβαλε τὸ τοῦ Οὐϊργιλίου·

. . . illum absens absentem auditque viditque.

31—32). Τὴν Κύπριν ἐπικαλεῖται ἡ Διδὼ ἅτε θεὰν οὖσαν τοῦ γάμου· ἑαυτὴν δὲ τῆς Κύπριδος *νυὸν* ὀνομάζει ὡς γαμετὴν τοῦ Αἰνείου, ὃς Ἀγχίσου καὶ Ἀφροδίτης ἦν υἱός. Δι' αὐτὸ δὲ τοῦτο καὶ *ἀτέραμνον* τοῦ Ἔρωτος ἀδελφὸν τὸν Αἰνείαν καλεῖ.—*Στρατιῇ σῇ δ' ἐνάριθμος ἔοι!* γένοιτο τῶν ἐρώντων!

35). *Τοῦτο νόημα*· ἡ ἐλπὶς τοῦ ἀποστῆναι τὸν Αἰνείαν τοῦ ἀπόπλου καὶ καινοῦ ἔρωτος ἀφορμὴν τῇ Διδοῖ παρασχεῖν.

37—38). Παραπλήσια ταῦτα τοῖς τοῦ Οὐϊργιλίου (Aen. iv. 366—367).

. . sed duris genuit te cautibus horrens
Caucasus, Hyrcanaeque admorunt ubera tigres.

45—46). Οὐ τοσούτου, φησίν, ἐγὼ ἀξία, εἰμί, ὥστε σε ἀπολέσθαι φεύγοντα ἐπὶ τῶν κυμάτων! Τοιοῦτος ὁ ἔρως· ὁτὲ μὲν γὰρ ἐπιτείνει, ὁτὲ δὲ ἀνίησιν, ὥσπερ ἐνταῦθα, τῆς ὀργῆς τὸν κόλλοπα· ἡ γὰρ τοῦ ἐν θαλάσσῃ ἀπολλυμένου Αἰνείου εἰκὼν ταραχὴν καὶ φόβον τῇ τῆς ἐρώσης ψυχῇ ἐνεργάζεται· διὸ ἀπὸ τῶν καταμέμψεων εἰς δεήσεις τρέπεται αὕτη, τῶν ἐν χειμῶνι κινδύνων τῆς θαλάττης ὑπομιμνήσκουσα τὸν ἐρώμενον.

54). Μεθηρμήνευσα τὸν στίχον κατὰ τὴν παρὰ Βουρμάννῳ γραφήν·

expertae toties tam male credis aquae?

Εἰσὶ δ' οἳ τὸν στίχον ἄνευ ἐρωτηματικοῦ ὧδε γραπτέον εἶναί φασιν·

expertae toties te male credis aquae·

κατὰ δὲ ταύτην τὴν γραφὴν μεταποιητέος ἂν εἴη ὧδε.

πειρηθεὶς δέ, κακῶς νῦν σὺ πέποιθας ἁλί.

61). Συχνοτάτη παρ' Ὀβιδίῳ ἡ χρῆσις κενῶν ἀντιθέσεων, αἳ δή, ὥσπερ παίγνια, οὐκ ὀλίγον τὴν τῆς ποιήσεως δύναμιν φθείρουσι.

64). Μεθηρμήνευσα καὶ ἐνταῦθα κατὰ τὴν γραφὴν *ferere*. Τῷ δὲ πρὸ τοῦ *ferere* τὸ *ferare* προαιρουμένῳ ἔξεστι τὸν στίχον ὧδε μεταποιῆσαι·

μᾶλλον ἐμοῖο κλύοις αἴτιος οἵτου ἔμεν.

65). Βουλομένη ἡ Διδὼ τὸν Αἰνείαν μεταπεῖσαι μὴ ἀπᾶραι τῆς Καρχηδόνος, φαντασίαν αὐτῷ τῶν θυελλῶν καὶ τῶν ἐν θαλάττῃ κινδύνων παρέχει. *Κληδὼν* δὲ πᾶσα φωνὴ λέγεται προσημασίας τινὸς ἐπιδεκτική, ἣν ἡ Διδὼ ἀποδιοπομπεῖται ἐνταῦθα, ἐν παρενθέσει ἐπάγουσα·

κενὴ οἴχοιθ' ἥδε κληδών!

Δύναται δὲ τοῦτο ἴσον τῷ καθ' ἡμᾶς· ὃ *μὴ γένοιτο*!

69—70). Παράβαλε τὸ τοῦ Οὐϊργιλίου (Aen. IV. 386).

omnibus umbra locis adero; dabis, improbe, poenas.

71). Ὁ νοῦς· ὅ,τι ἂν ᾖ τὸ κακὸν τοῦτο τὸ εἰς τιμωρίαν μοι ἐπαγόμενον, ὅλου ἄξιός εἰμι· ἀλλὰ σύγγνωτέ μοι θεοί.

79—82). Οὐκ ἀληθῶς εὐσεβῆ εἶναι τὸν Αἰνείαν φησὶν ἡ Διδώ, ἀλλὰ ψεύδεσθαι. Πῶς γὰρ ἂν εἰς θεοὺς καὶ γεννήτορα εὐσεβοίη ὅστις ἄπιστον ἑαυτὸν τοῖς φίλοις παρέχει καὶ τοῖς εὐεργέταις ἀγνώμονα;

83). Τοῦ καλοῦ Ἰούλου μήτηρ ἡ Κρέουσά ἐστιν ἡ Πριάμου καὶ Ἑκάβης θυγάτηρ, Αἰνείου δὲ γυνή, ἣ τῆς Τροίας ἁλούσης καὶ τοῦ Αἰνείου νυκτὸς μετὰ τῶν οἰκείων διὰ τοῦ πυρὸς καὶ τῶν πολεμίων ἐκ τῆς πόλεως φεύγοντος, τῷ ἀνδρὶ ἑπομένη, ἄδηλον ὅπως ἐν τῷ σκότει ἀπολειφθεῖσα ἀπώλετο. Ὕποπτον δὲ τὸν θάνατον αὐτῆς παρίστησιν ἡ Διδὼ καί τινα τούτου αἰτίαν ἀνάψαι βούλεται τῷ Αἰνείᾳ, ὃς ἀσαφῶς πως τὰ κατ' αὐτὴν διηγεῖται ἐν Αἰνειάδι στ. 739.

substitit, erravitne via, seu lassa resedit,
incertum; nec post oculis est reddita nostris.

Φασὶ δέ τινες τὴν Κρέουσαν ἐκ συνθήκης πρὸς τοὺς Ἕλληνας ὑπ' αὐτοῦ τοῦ Αἰνείου ἀναιρεθῆναι, ἵνα μηδεὶς τῶν ἐκ τοῦ Πριάμου ζῶν ὑπολειφθείη. Ἔοικε δὲ καὶ Παυσανίας ἐν τοῖς Φωκικοῖς τῷ Οὐϊργιλίῳ ἀκολουθῆσαι ἐν οἷς φησιν «ἐπὶ τῇ Κρεούσῃ λέγουσιν, ὡς ἡ θεῶν μήτηρ καὶ ἡ Ἀφροδίτη ἀπὸ δουλείας Ἑλλήνων αὐτὴν ἐρρύσατο.

85—86). Μεθηρμήνευταί μοι τὸ δίστιχον κατὰ τὴν τοῦ Βουρμάννου διόρθωσιν ἔχουσαν ὧδε·

Haec mihi narraras; nec me movere; merentem
ure! minor culpa poena futura mea est.

Βούλεται δὲ λέγειν ἡ Διδώ· ἔδει με ἐξ αὐτῆς τῆς περὶ Κρεούσης

διηγήσεώς σου τὴν ἀπιστίαν σου συμβαλέσθαι· ἀλλ' ἔγωγε ἐν ἠρεμίᾳ ψυχῆς ἤκουσα τὴν διήγησιν. Διὸ δικαίως με νῦν δεινῷ ἔρωτι φλέγε· τιμωρία γὰρ τοῦτό μοι ἐλάσσων τοῦ ἁμαρτήματος ἔσται.

87). Προτιμοτέρα μοι ἔδοξεν ἡ τοῦ χειρογράφου τοῦ Μουρετίου γραφὴ ἔχουσα ὧδε·

nec mihi mens dubia est quin te tua crimina damnent.

93—94). Παράβαλε τὸ τοῦ Οὐϊργιλίου (Aen. IV. 165 κ. ἑ.).

Speluncam Dido dux et trojanus eamdem
deveniunt: prima tellus et prônubâ Iuno
dant signum; fulsere ignes et conscius aether
connubii, summoque ulularunt vertice nymphae.
Ille dies primus lethi primusque malorum
causa fuit.

96). Ὁ Βουρμάννος εἰκάζει ἀντὶ τοῦ *fatis* γραπτέον εἶναι *thalamis*. Κατὰ ταύτην οὖν τὴν γραφὴν μεθερμηνευτέον τὸν στίχον ὧδε·

σήμηναν δ' ἄρ' ἐμοὺς Εὐμενίδες θαλάμους·

97). *Σιχαίῳ*· ἤτοι ὑπὲρ τοῦ Σιχαίου ἀδικηθέντος ὑπ' ἐμοῦ· ἡ γὰρ δοτικὴ χαριστική ἐστιν ἐνταῦθα.

98). Προστίθεμαι τῷ Ἑϊνσίῳ ἀναγιγνώσκοντι *ad quem* ἀντὶ τοῦ ἐν τοῖς χειρογράφοις *ad quas*.

99 κ. ἑ.). Μίμησις ταῦτα τῶν τοῦ Οὐϊργιλίου (ἴδε Aen. IV. 457 κ. ἑ.).

106). Ὁ νοῦς· ἔλαττον ἐκεῖνος καὶ συγγνωστότερον τοὐμὸν πλημμέλημα ἀποδείκνυσι.

107—108). Ὑπεραπολογεῖται ἑαυτῆς ἡ Διδὼ παραδηλοῦσα τὰ αἴτια, δι' ἃ κουφότερον αὐτῆς γίγνεται τὸ ἁμάρτημα. Τὸ μὲν γὰρ γένος τοῦ Αἰνείου ἐκ τῆς θεᾶς Ἀφροδίτης τεχθέντος ἀληθοῦς ἔρωτος ἐλπίδα ἐνεποίει αὐτῇ· ἡ δὲ πρὸς τοὺς θεοὺς ὁσιότης πίστεως προσδοκίαν· ἡ δὲ πρὸς τὸν γηραιὸν πατέρα στοργὴ καὶ εὐσέβεια γνώμην δικαίαν ἐτεκμηρίου αὐτῇ καὶ εὐστάθειαν.

110). *Ἣν πίστιν προσθῇς*. ἣν προσθῇς ὅτι ὁ Αἰνείας πίστιν μοι ὑποσχόμενος οὐκ ἐτήρησεν, εὑρήσεις ὅτι τὸ πραχθὲν ὑπ' ἐμοῦ οὐκ ἔστιν ἁμάρτημα ἐπάγον μετάνοιαν.

113). *πόσις*. ὁ τῆς Διδοῦς ἀνὴρ Σιχαῖος.

114). *κάσις*. ὁ τῆς Διδοῦς ἀδελφὸς Πυγμαλίων. Μισθὸν δὲ νόει ἐνταῦθα τὸν ὑπὸ τούτου ἁρπαγέντα τοῦ Σιχαίου πλοῦτον.

118). *ἀκτὴν τ' ἐπριάμην*. Οἱ τὴν Καρχηδόνα ὑπὸ Διδοῦς ἐκτίσθαι γράψαντες (Ἀππιανὸς ἐν τοῖς Καρχηδονικοῖς, Εὐστάθιος εἰς Διονύσιον τὸν περιηγητήν, Ἡρωδιανὸς ἐν βιβλ. ἑ. καὶ Τίτος Λί-

ϐιος ἐν βιϐλ. ά. κεφ. 54) συμφώνως ἱστοροῦσι τὴν Διδὼ παρὰ Ἰάρϐα βασιλέως Γαιτούλων γῆς μέρος ἐπὶ τῆς παραλίας πρίασθαι, ὃ δὴ ἀπὸ τοῦ γενομένου Βύρσαν κληθῆναι. Συνθέμενοι γὰρ οἱ περὶ τὴν Διδὼ πρὸς Ἰάρϐαν ἀντὶ χρημάτων τοσοῦτον κτήσασθαι γῆς, ὅσον ἂν ταύρου δορὰ περιλάϐοι, περιτεμόντες ταύρειον δέρμα εἰς ἱμάντα στενότατον καὶ τοῦτον περιτείναντες ἐπὶ τοῦ ἐδάφους χῶρον ἱκανὸν εἰς τὸ κτίσαι ἀκρόπολιν περιέλαϐον καὶ ταύτην *Βύρσαν* ὠνόμασαν.

139). *ἀλλὰ θεὸς κέλεται νεῖσθαι.* Εἰρωνικῶς μνημονεύει ἐνταῦθα ἡ Διδὼ τὴν τοῦ Αἰνείου *ὑποφοράν*, ᾗ ἐπάγει τὴν *ἀνθυποφοράν*.

141). *Ἧσε θεοῦ του ἄγοντος* κτλ. Εἰρωνικῶς καὶ ταῦτα λέγεται ὑπὸ τῆς Διδοῦς· οὐ γὰρ πιθανὸν τὸν ὑπὸ θεοῦ τινος ἀγόμενον τοσαῦτα καὶ τοσοῦτον χρόνον πάσχειν ἐπὶ τῆς θαλάττης.

145). *Θύϐριδος.* τοῦ Τιϐέρεως ποταμοῦ τοῦ τὴν Ῥώμην παραῤῥέοντος· ὁ αὐτὸς γὰρ κατὰ τὸν Σερούϊον (εἰς βιϐλ. δ'. Αἰνειάδος) *in sacris Tiberinus, in coenolexia, Tiberis in poëmatis, Tibris vocatur.*

150). *κασιγνήτου*· τοῦ Πυγμαλίωνος. Κέχρημαι δὲ τῷ προσηγορικῷ ἀντὶ τοῦ ἐν τῷ κειμένῳ κυρίου ὀνόματος.

177). Μεθηρμήνευταί μοι ὁ στίχος κατὰ τὴν τοῦ Οὐοσσιανοῦ κώδικος γραφήν, ἣν ὁ Βουρμάννος δοκιμάζει ἔχουσαν ὧδε·

Pro meritis et si qua tibi praebebimus ultra

179—180). Προήρημαι τὴν ἐν τῇ ἐκδόσει τοῦ Βουρμάννου γραφὴν ἔχουσαν ὧδε·

Dum freta mitescunt, et amor, dum tempore et usu
fortiter edisco tristia posse pati.

ἔστι δὲ καὶ ἑτέρα ἀρχαιοτέρα γραφὴ ὧδε·

Dum freta mitescunt, et amor dum temperat usum,
fortiter ediscar ti.

Κατὰ δὲ τὴν γραφὴν ταύτην μεθερμηνευθείη ἂν τὸ δίστιχον ὧδε·

Ὄφρ' οἶδμα πρηΰνετ', ἔρως τε μαλάσσεται ἔνδον,
ὀτλεύειν κρατερῶς λυγρὰ δαήσομ' ἔθει.

184). *φάσγανον τρώϊον*· τὸ ὑπ' Αἰνείου δῶρον προσενεχθὲν τῇ Διδοῖ.

188). Κατὰ τὸν Βουρμάννον τὸ τοῦ κειμένου *instruis* οὐ σημαίνει *τεύχεις* ἢ *τεύξεις*, ἀλλὰ *κοσμεῖς* ἢ *κοσμήσεις*· κόσμον δὲ τοῦ τῆς Διδοῦς τάφου νοητέον ἐνταῦθα τὸ τρώϊον ξίφος. Εὐχερὴς δὲ ἡ κατὰ ταύτην τὴν σημασίαν μεταϐολὴ τοῦ στίχου· γραπτέον γάρ·

παύρη κοσμήσεις τύμβον ἐμὸν δαπάνῃ.

193). Ἔθος ἦν τοῖς Ῥωμαίοις ἐπὶ τῶν τάφων τῶν γυναικῶν μόνον τὸ τοῦ ἀνδρὸς προστιθέναι ὄνομα· διὸ παρὰ Λουκανῷ (Farsal. β'. 343).

. . . . Liceat tumulo scripsisse; Catonis
Marcia.

Ἡ δὲ Διδώ, ἅτε τῷ θανόντι ἀνδρὶ οὐ πιστὴ διὰ τέλους μείνασα, κελεύει τὴν ἀδελφὴν μὴ ἐπιγράψαι τῷ τάφῳ αὐτῆς *Ἔλισσα Σιχαίου*, ἀλλὰ τὸ ἐπὶ τέλους τῆς ἐπιστολῆς δίστιχον.

διος ἐν βιβλ. ά. κεφ. 54) συμφώνως ἱστοροῦσι τὴν Διδὼ παρὰ Ἰάρβα βασιλέως Γαιτούλων γῆς μέρος ἐπὶ τῆς παραλίας πρίασθαι, ὃ δὴ ἀπὸ τοῦ γενομένου Βύρσαν κληθῆναι. Συνθέμενοι γὰρ οἱ περὶ τὴν Διδὼ πρὸς Ἰάρβαν ἀντὶ χρημάτων τοσοῦτον κτήσασθαι γῆς, ὅσον ἂν ταύρου δορὰ περιλάβοι, περιτεμόντες ταύρειον δέρμα εἰς ἱμάντα στενότατον καὶ τοῦτον περιτείναντες ἐπὶ τοῦ ἐδάφους χῶρον ἱκανὸν εἰς τὸ κτίσαι ἀκρόπολιν περιέλαβον καὶ ταύτην *Βύρσαν* ὠνόμασαν.

139). *ἀλλὰ θεὸς κέλεται κεῖσθαι.* Εἰρωνικῶς μνημονεύει ἐνταῦθα ἡ Διδὼ τὴν τοῦ Αἰνείου *ὑποφοράν*, ᾗ ἐπάγει τὴν *ἀνθυποφοράν*.

141). *Ἧσε θεοῦ τοῦ ἄγοντος* κτλ. Εἰρωνικῶς καὶ ταῦτα λέγεται ὑπὸ τῆς Διδοῦς· οὐ γὰρ πιθανὸν τὸν ὑπὸ θεοῦ τινος ἀγόμενον τοσαῦτα καὶ τοσοῦτον χρόνον πάσχειν ἐπὶ τῆς θαλάττης.

145). *Θύβριδος.* τοῦ Τιβέρεως ποταμοῦ τοῦ τὴν Ῥώμην παραῤῥέοντος· ὁ αὐτὸς γὰρ κατὰ τὸν Σερούϊον (εἰς βιβλ. δ΄. Αἰνειάδος) *in sacris Tiberinus, in coenolexia, Tiberis in poëmatis, Tibris vocatur.*

150). *κασιγνήτου*· τοῦ Πυγμαλίωνος. Κέχρημαι δὲ τῷ προσηγορικῷ ἀντὶ τοῦ ἐν τῷ κειμένῳ κυρίου ὀνόματος.

177). Μεθηρμήνευταί μοι ὁ στίχος κατὰ τὴν τοῦ Οὐοσσιανοῦ κώδικος γραφήν, ἣν ὁ Βουρμάννος δοκιμάζει ἔχουσαν ὧδε·

Pro meritis et si qua tibi praebebimus ultra

179—180). Προήρημαι τὴν ἐν τῇ ἐκδόσει τοῦ Βουρμάννου γραφὴν ἔχουσαν ὧδε·

Dum freta mitescunt, et amor, dum tempore et usu
fortiter edisco tristia posse pati.

ἔστι δὲ καὶ ἑτέρα ἀρχαιοτέρα γραφὴ ὧδε·

Dum freta mitescunt, et amor dum temperat usum,
fortiter ediscar ti.

Κατὰ δὲ τὴν γραφὴν ταύτην μεθερμηνευθείη ἂν τὸ δίστιχον ὧδε·

Ὄφρ' οἶδμα πρηΰνετ', ἔρως τε μαλάσσεται ἔνδον,
ὀτλεύειν κρατερῶς λυγρὰ δαήσομ' ἔθει.

184). *φάσγανον τρώϊον*· τὸ ὑπ' Αἰνείου δῶρον προσενεχθὲν τῇ Διδοῖ.

188). Κατὰ τὸν Βουρμάννον τὸ τοῦ κειμένου *instruis* οὐ σημαίνει *τεύχεις ἢ τεύξεις*, ἀλλὰ *κοσμεῖς ἢ κοσμήσεις*· κόσμον δὲ τοῦ τῆς Διδοῦς τάφου νοητέον ἐνταῦθα τὸ τρώϊον ξίφος. Εὐχερὴς δὲ ἡ κατὰ ταύτην τὴν σημασίαν μεταβολὴ τοῦ στίχου· γραπτέον γάρ·

παύρῃ κοσμήσεις τύμβον ἐμὸν δαπάνῃ.

193). Ἔθος ἦν τοῖς Ῥωμαίοις ἐπὶ τῶν τάφων τῶν γυναικῶν μόνον τὸ τοῦ ἀνδρὸς προστιθέναι ὄνομα· διὸ παρὰ Λουκανῷ (Farsal. β'. 343).

. . . . Liceat tumulo scripsisse; Catonis
Marcia.

Ἡ δὲ Διδώ, ἅτε τῷ θανόντι ἀνδρὶ οὐ πιστὴ διὰ τέλους μείνασα, κελεύει τὴν ἀδελφὴν μὴ ἐπιγράψαι τῷ τάφῳ αὐτῆς *Ἐλίσσα Σιχαίου*, ἀλλὰ τὸ ἐπὶ τέλους τῆς ἐπιστολῆς δίστιχον.

Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ

ΒΟΥΚΟΛΙΚΑ ΤΙΝΑ ΕΙΔΥΛΛΙΑ

ΜΕΤΕΝΗΝΕΓΜΕΝΑ ΕΜΜΕΤΡΩΣ

ΕΙΣ ΔΩΡΙΚΗΝ ΔΙΑΛΕΚΤΟΝ*.

ΕΙΔΥΛΛΙΟΝ Ε΄. — ΔΑΦΝΙΣ.

ΥΠΟΘΕΣΙΣ.

Μόψος καὶ Μενάλκας ποιμένες, ὁ μὲν αὐλεῖν, ὁ δὲ ᾄδειν ἄριστος, συνελθόντες, ἐπὶ τὸ ᾆσαι ἀλλήλους παρακαλοῦσι κἀπὶ τούτῳ δὴ εἰς τὸ ἐγγὺς ἄντρον εἰσίασι. Πρότερος οὖν ὁ Μόψος τὸν τοῦ Δάφνιδος ἀποδύρεται θάνατον· εἶτα δὲ Μενάκλας ὥσπερ ἀποθεωθέντα ὑμνεῖ τὸν Δάφνιν. Τέλος δ' ἀλλήλους τῆς ᾠδῆς ἐπαινέσαντες καὶ δῶρα παρασχόντες ἀλλήλοις ἀπαλλάσσονται. Ἐν τούτῳ τῷ εἰδυλλίῳ, ὥσπερ δὴ καὶ ἐν ἄλλοις, ἀλληγορίαν τινὰ οἱ ἑρμηνευταὶ ἐνορῶσι· καὶ οἱ μὲν τὸν τοῦ Ἰουλίου Καίσαρος θάνατον καὶ τὴν αὐτοῦ ἀποθέωσιν ἐνταῦθα φασὶ τὸν Οὐϊργίλιον ὑπαινίττεσθαι, οἱ δὲ Φλάκκον τὸν ἑαυτοῦ ἀδελφόν, ἄλλοι δ' ἄλλους, οὐ πάνυ πιθανὰ ἔμοιγε φάσκοντες· ἐλάχιστα γὰρ ἄν τις τῶν ἐνταῦθα περὶ Δάφνιδος λεγομένων ἀλληγορικῶς ἑρμηνεύσειεν, εἰς τὸν Καίσαρα ἀναφέρων· φαίνεται δὲ μᾶλλον ὁ ποιητὴς τό, τε πρῶτον καὶ τὸ δέκατον ἔννατον τῶν τοῦ Θεοκρίτου εἰδυλλίων ἀπομιμήσασθαι βουληθείς.

---

* ΣΗΜ. Τὰ δωρικῇ διαλέκτῳ ἐν τῇ βίβλῳ ταύτῃ συντεταγμένα, συντέτακται κατὰ τὸ τοῦ Θεοκρίτου ἰδίωμα.

ΕΜΜΕΤΡΟΣ ΜΕΘΕΡΜΗΝΕΙΑ

ΤΟΥ Ε'. ΕΙΔΥΛΛΙΟΥ Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ.

ΜΕΝΑΛΚΑΣ ΚΑΙ ΜΟΨΟΣ.

ΜΕΝΑΛΚΑΣ.

Τίπτ' οὐ, Μόψε, ἐπεί γα συνήνθομες ἴδριες ἄμφω
ἐμπνεῖν μὲν τὺ δόναξιν, ἐγὼ δ' ἔπε' ἁδὲ' ἀείδεν,
ἑσδόμεθ' ἐν πτελέαις καὶ ἀμμίκτοις καρύαισι;

ΜΟΨΟΣ.

Πρεσβυτέρῳ τοι ἐόντι πιθέσθαι χρή με, Μενάλκα,
αἴ τ' ἄρ' ὑπὸ σκιῇ εὐτρέπτῳ ζεφυρίτισιν αὔραις,
αἴ τ' ἄρα λῇς ἄντρον δύμεναι· ἴδε, ὡς τόδ' ἀραιοὺς
ἀμφὶ περὶ σπεῖος ἀγριὰς διεχεύατο βότρυς.

ΜΕΝΑΛΚΑΣ.

Μῶνος ἐν ἁμετέροις κ' ἐρίσειέ τοι ὤρεσ'' Ἀμύντας;

ΜΟΨΟΣ.

Πῶς οὐχ; ὅς περ καὶ Φοίβῳ κ' ἐριδαίνοι ἀοιδάν;

ΜΕΝΑΛΚΑΣ.

Ἄρχεο πρᾶτος, Μόψ', εἴ ἔρωτας Φίλλυδος εἰπῆν,
Ἢ ἀρετάς Ἄλκωνος ἔχεις, ἢ νείκεα Κόδρου.
Ἄρχεο· φερβομένας δὲ φυλαξεῖ Τίτυρος αἶγας.

ΜΟΨΟΣ.

Μᾶλλον ἀεισῶ τῆνα, τά περ φηγῶ ἐπὶ χλωρῷ

Φλοιῷ ἀμοιβηδὸν πρώαν ἐνέγραψα μελίσδων.
τύνη ἔπειτα κέλευε μέλος μοι ἐρίσδεν Ἀμύνταν.

ΜΕΝΑΛΚΑΣ.

Εὐκαμπὴς ἑλίκη ὅσῳ ἥσσων ἔπλετ' ἐλαίας
ὅσσῳ ἐρυθροχρόῳ νῆρις χθαμαλὰ ῥοδεῶνος,
τόσσῳ μοι δοκέει ἥσσων τευ ἦμεν Ἀμύντας.

ΜΟΨΟΣ.

Ἀλλ' ὦ παῖ, παῦσαι· καλὸν ἠνίδ' ὑπήνθομες ἄντρον.
» Νύμφαι ἀποιχόμενον μόρῳ αἰνῷ Δάφνιν ἔκλαιον.
» μάρτυρές ἐστ' ὔμμες, καρύαι καὶ νάματα, νύμφαις.
» εὖτ' οἴκτιστον ἑῶ δέμας υἱέος ἀμφιχυθεῖσα
» νηλειεῖς τε θεὼς καὶ τείρεα μέμφετο μάτηρ,
» οὔτις πασσαμένως ποίας βόας ἅμασι τήνοις
» ψυχρὸν ἐπὶ ῥέεθρον, Δάφνι, ἄγαγεν· οὐ βοτὸν ἄλλο
» ἐκ ποταμοῖο πίεν τετράπουν, οὔθ' ἅψατο χόρτω.
» Δάφνι, τεὸν πότμον στοναχῆσαι φαντὶ λέοντας
» ἄφρως καὶ δρυμοὶ καὶ ὤρεα ἀγριόεντα.
» Δάφνις καὶ τίγρεις ὑπάγεν ζεύγλᾳ ἐδίδαξεν
» ἁρμενίας, καὶ ἄγεν θιάσως φιλοπαίγμονι Βάκχῳ,
» καὶ μαλακοῖς φύλλοις εὐκαμπέα δούρατα κοσμῆν.
» ὡς κόσμος δένδροις ἔπλετ' οἴναρα, οἰνάσι βότρυς,
» ταῦρος βωκολίοις καὶ ἀρούραις πίοσιν ὄμπναι,
» τὼς τὺ τεοῖς κόσμος· τῷ ῥ' ἐξότε εἷλέ τυ Μοῖρα,
» καὶ αὐτὰ Κυβέλα καὶ Ἀπόλλων κάλλιπον ἀγρώς.
» Ὤλακες, αἷς κριθὰν πιστεύσαμες εὐφυέ' ἄμμες,
» αἶραν, ἀχρῆεν φῖτυ, βρόμον τ' ἀνιεῖσιν ἄκαρπον.
» ἀνθ' ἁπαλῶ ἴῳ ἢ ναρκίσσω πυρφυρέοιο
» ἐκφύεται σκόλυμος καὶ ἀκανθώδης παλίουρος.
» ῥαίνετε γᾶν φύλλοις, σκιεροῖσι πυκάζετε παγὰν
» δένδρεσιν, ὦ νομέες. Δάφνις ταῦθ' ἔρδεν ἀνώγει.

» τεύξατε καὶ τύμβον, τύμβῳ δ' ἐπίθεσθε τόδ' ᾆσμα.
» Δάφνις ὅδ' ὠν ὕλαις, κλυτὸς ἔνθεν μέχρι καὶ ἄστρων,
» καλὸν πῶϋ νέμων, καλλίων αὐτὸς ὀπωπάν.

ΜΕΝΑΛΚΑΣ.

Ὠδά, ποιμὰν θεῖε, δοκεῖ τεὰ ἄμμι γε τοία,
οἷος ὑπερκόπῳ ἐν ποίᾳ ὕπνος, οἷον ἐν αἴθει
ἔντ' ἀκέσασθαι δίψος ἀναβλύσδοντι ῥεέθρῳ.
ἦ δὴ ὁμῶς δόνακάς τε διδασκάλῳ ἰσοφαρίσδεις
καὶ φωνάν, παῖ ὄλβι'· ἐσῇ δὴ δεύτερος αὐτῷ.
ἄμμες δ' ἀμὰ μέλη τάδ' ὁπωσδή τοι κατ' ἀμοιβὰν
μέλψομες, ἠδὲ τεὸν Δάφνιν ἐς πόλον ὑψόσ' ἀρεῦμες.
αἴρομες ὕψι Δάφνιν· Δάφνις φιλέεσκε καὶ ἄμμε.

ΜΟΨΟΣ.

Ἦ κεν ἔοι δῶρον τῷ δ' ἀμῖν ἄλλο τι μέσδον;
χὠ παΐς ἄξιος ἔπλετ' ἀοιδᾶς, καὶ τὸ μέλισμα
ἔνδικα δὴ Στιμίκων τοῦτ' ᾔνεσεν ἄμμι πάροιθε.

ΜΕΝΑΛΚΑΣ.

» Στιλπνὸς ἀήθε' ἄνω θαυμαίνει βηλὸν Ὀλύμπω
» καὶ ῥ' ὑπὸ ποσσὶν ὁρῇ νεφέλας καὶ τείρεα Δάφνις.
» τοὔνεκ' εὐφροσύνα δρυμὼς ἔχει ἠδὲ τ' ἀρούρας,
» Πᾶνά τε καὶ νομέας, δρυάδας τ' εἰν ὥρεσι κώρας.
» Οὐ μάλοισι δόλον μέδεται λύκος, οὐκ ἐλάφοισι
» δίκτυα· εἰράναν ἐσθλὸς φιλεῖ ἐν χθονὶ Δάφνις.
» γαθοσύνᾳ καὶ ὥρε' ἐς ἀστέρας ὑψόσ' ἀείρει
» γᾶρυν, νῦν δὴ ἄκαρπα· μέλος καὶ πέτραι ἱεῖσι
» καὶ δενδρῶνες· νῦν τῆνος θεός ἐντι, Μενάλκα.
» πραΰς, Δάφνι, τεοῖς ἀγαθός τ' ἔσο· τέσσαρες ἠνὶ
» βωμοὶ τᾷδε· τεὶν δύ', ὁμῶς δὲ θύεν δύο Βάκχῳ.
» διπλόα τοι στασῶ νέῳ ἀφρίζοντα γάλακτι

» ἀμφιετεῖ σκύφεα, κρατῆρας δ' αὖ δύ' ἐλαίω.
» θοίναν δὲ πρᾶτον βάκχῳ πολλῷ ἱλαρύνων,
» χείματος ἄγχι πυρός, ἐν δὲ σκιᾷ, εἰ θέρος ἐντί,
» ἐγχεύω κυλίκεσσ' οἶνον νέον ἠύτε νέκταρ.
» Δαμοίτας δ' ᾀσεῖ καὶ λύκτιος ἁδύ μοι Αἴγων·
» ἀλλομένους Σατύρους μιμήσεται 'Αλφεσίβοιος.
» ταῦτ' ἔσεταί τοι ἀεί, καὶ ὄκ' ἄν τελέωμες ἑορτὰν
» νύμφαις, καὶ ὄκ' ἀγρὼς ἁγνίσδωμες μετὰ χεῖμα.
» Ὄφρα κάπρος φιλέει δασέ' ὤρεα καὶ ὕδατ' ἰχθύς,
» ὄφρα μέλισσα θύμον, τέττιξ δ' αὖ βόσκεται ἕρσαν,
» τόφρα τεὸν μενέει κῦδος κλεῖός τε καὶ αἶνος.
» ὥς τε γεηπόνοι ἀμφιετεῖ Βάκχῳ τελέοντι.
» εὐχὰς καὶ Δηοῖ, τὼς εὐχὰς καὶ τὺ ἀφεξεῖς.

ΜΟΨΟΣ.

Τοίας ἀντ' ᾠδᾶς τί ἐγώ τοι δῶρον ὀπάσσω;
οὔτε γὰρ ὀρνυμένω με Νότω τόσον ἔνδοθι ῥοῖζος
τέρπει, οὔτ' ἀκτὰν δονέον βαρὺ κῦμα θαλάσσας,
οὔτ' ἄρα πετράεντα δι' ἄγκεα ῥεῖθρα ῥέοντα.

ΜΕΝΑΛΚΑΣ.

Εὐθραύστῳ τυ πάρος τούτῳ δωρήσομαι αὐλῷ.
οὗτος ἄεισε· "Καλῶ Κορύδων ἐπεμαίνετ' 'Αλέξει·"
οὗτος καὶ τῆν' ἄμμι· Τίνος βοτά; ἦ Μελιβοίῳ;

ΜΟΨΟΣ.

Καὶ τὺ γέρας λαβὲ τάνδε καλαύροπα, τάν με θάμ' αἰτῶν
οὐ λάβεν 'Αντιγένης (ἐρατὸς μὰν ἔπλετο τῆμος)
ὄζοις τ' ἰσοφυέσσι καλὰν χαλκῷ τε, Μενάλκα.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΟ Ε΄. ΕΙΔΥΛΛΙΟΝ Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ.

Στίχ. 2). *Δόναξ* μετωνυμικῶς λέγεται ὁ αὐλός.

3). *Coruli* αἱ καλούμεναι ποντικαὶ ἢ ἡρακλεωτικαὶ καρύαι, ἤτοι αἱ καθ' ἡμᾶς λεπτοκαρύαι. Κέχρημαι δ' ἐνταῦθα τῷ τοῦ γένους ὀνόματι, τῇ τοῦ εἰδικοῦ χρήσει οὐκ ἐνδιδόντος τοῦ μέτρου.

5). *Εὔτρεπτος ταῖς τοῦ Ζεφύρου αὔραις σκιὰ* νοείσθω ἡ μὴ σταθερά, ἀλλ' ἀεὶ τρεπομένη ὑπὸ τοῦ προσπνέοντος Ζεφύρου καὶ τὰ τῶν δένδρων σείοντος φύλλα.

7). *ἀγριὰς* ἡ αὐτὴ καὶ ἀγριάμπελος, περικαλύπτουσα τὸ σπήλαιον ἔξωθεν. Ὁ δ' Ὅμηρος οὐκ ἀγριάδι, ἀλλ' ἡμερίδι τὸ τῆς Καλυψοῦς σπήλαιον περικεκαλυμμένον ἐποίησεν.

Ἡ δ' αὐτοῦ τετάνυστο περὶ σπείους γλαφυροῖο
Ἡμερὶς ἡβώωσα· τεθήλει δὲ σταφυλῇσι.

9). Ταῦτα ὁ Μόψος οὐ μετριοφροσύνῃ ἔοικε λέγειν, ὥσπερ συνειδὼς ἑαυτῷ τὴν μουσικὴν τέχνην τοῦ Ἀμύντου ἐλαττουμένῳ, ἀλλὰ μᾶλλον εἰρωνικῶς, καταφρονῶν δηλονότι καὶ θρασύτητα ἐκείνου κατηγορῶν, ὃς πρὸς τοὺς κρείσσονας καὶ πρὸς αὐτὸν Ἀπόλλωνα ἐρίζειν ἐτόλμα.

10—11). Οὔτε τοὔνομα *Φυλλὶς* ἐνταῦθα τὴν Δημοφῶντος ἐρασθεῖσαν βασιλίδα τῆς Θρᾴκης δηλοῖ, οὔτε τὸ *Κόδρος* τὸν τελευταῖον τῶν Ἀθηνῶν βασιλέα· ἀλλὰ κοινὰ ταῦτα ποιμένων ἐστὶ τῷ ποιητῇ ὀνόματα, οἷον καὶ τὸ *Ἄλκων*. Τοὺς δὲ τῆς Φυλλίδος ἔρωτας καὶ τὰς τοῦ Ἄλκωνος χάριτας καὶ τὰς τοῦ Κόδρου πρὸς ἄλλον τινὰ τῶν ποιμένων ἐπὶ μουσικῇ τέχνῃ ἔριδας ὑποθέσεις βουκολικῶν ᾀσμάτων γενέσθαι ὑποληπτέον.

12). *Τίτυρος*, ὄνομα ποιμενίσκου θεράποντος.

14). *Ἀμοιβηδὸν ἐνέγραψα μελίσδων*. Τοῦτο δηλοῖ ὅτι ἀμοιβαδὸν ὁ Μόψος ᾖδεν ἕκαστον στίχον καὶ αὐτίκα τῷ φλοιῷ αὐτὸν ἐνεχάραττε.

15). Ταῦτα μετὰ χλεύης λέγεται περὶ τοῦ Ἀμύντου.

17). Ἡ ἐν τῷ κειμένῳ *Saliunca* ἄγνωστός ἐστι βοτάνη, ἴσως νάρδος ἡ κελτική· διὸ μεθερμηνεύων τοὔνομα κέχρημαι τῷ *νῆρις*, ἅτε ὡσαύτως νάρδου εἶδος σημαίνοντι.

20). Μυθικὸν ὁ Δάφνις ἔοικεν εἶναι πρόσωπον. Μυθολογοῦσι δ' αὐτὸν ἐν τοῖς κατὰ τὴν Σικελίαν Ἡραίοις ὄρεσι γεννηθῆναι, Ἐρ-

μοῦ καὶ Νύμφης υἱόν· τραφέντα δ' ὑπὸ Νυμφῶν πολλὰς μὲν κτήσασθαι βοῶν ἀγέλας καὶ διὰ τὴν τούτων ἐπιμέλειαν βουκόλον κληθῆναι, φύσεως δὲ πρὸς μουσικὴν διαφόρου τυχόντα εὑρετὴν τοῦ βουκολικοῦ ποιήματος καὶ μέλους γενέσθαι· ὕστερον δὲ ζηλοτυπίᾳ μιᾶς τῶν Νυμφῶν, ἐρασθείσης αὐτοῦ, τῆς ὁράσεως στερηθῆναι. (ἴδε Διόδ. βιβλ. δ'. 84).

23). Μέμφεται ἡ τοῦ Δάφνιδος μήτηρ τοὺς θεοὺς καὶ τὰ ἄστρα, ὡς αἴτια τῆς προώρου τοῦ υἱοῦ τελετῆς.

24). Παράβαλε τὰ τοῦ Μόσχου εἰδ. γ'. 23,24.

Ὤρεα δ' ἐστὶν ἄφωνα καὶ αἱ βόες αἱ ποτὶ ταύροις
Πλασδόμεναι γοάοντι καὶ οὐκ ἐθέλοντι νέμεσθαι.

27,28). Οἱ δρυμοί, φησί, καὶ τὰ ὄρη μαρτυροῦσιν, ὅτι τὸν τοῦ Δάφνιδος θάνατον καὶ οἱ λέοντες ἐθρήνησαν· οὕτω καὶ Θεόκριτος ά. 72.

Τῆνον χὠκ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα.

29). Ἐξαίρων τὸν Δάφνιν ὁ ποιητὴς ἕνα αὐτὸν τῶν τοῦ Βάκχου ποιεῖ ὀπαδῶν. Ὁ δὲ στίχος 31 περίφρασις τοῦ θύρσου ἐστί.

32—35). Μίμησις ταῦτα Θεοκρίτου· εἰδ. ή. 79—80.

40,41). Ἐγγὺς πηγῆς τινος ὁ τάφος τοῦ Δάφνιδος τίθεται, οὗ εἰς τιμὴν καλοῦνται οἱ ποιμένες τὸ πέριξ ἔδαφος φύλλοις καταῤῥᾶναι καὶ τὴν πηγὴν δένδροις κατασκιάσαι.

43,44). Τὸ δίστιχον τοῦτο παρακαλοῦνται οἱ ποιμένες τῷ τοῦ ἀφηρωϊσθέντος Δάφνιδος ἐπιγράψαι τάφῳ.

45—47). Παράβαλε Θεόκρ. ή. 82—83.

51). *Δάφνιν ἐς πόλον ὑψόσ' ἀρεῦμες*· ἤτοι ὥσπερ ἥρωα ἢ θεὸν εἰς οὐρανὸν μεταστάντα ὑμνήσομεν.

56—80). Ἐν τούτοις ὁ Δάφνις ὡς ἀποτεθεωμένος ἤδη ὑμνεῖται· τοιαῦτα δὲ περὶ αὐτοῦ λέγεται, οἷα εἰς τιμὴν θεῶν ἐν ἔθει ἦν λέγεσθαι καὶ παρὰ τούτων τοὺς ἀνθρώπους αἰτεῖσθαι.

60,61). Παράβαλε Θεόκρ. κδ'. 84,85.

63). *Ὄρη ἄκαρτα* (montes intonsi) τὰ μὴ κειρόμενα, τὰ δένδροις κομῶντα.

64). *Νῦν τῆνος θεός ἐστι, Μενάλκα.* Τῶν πετρῶν καὶ τῶν δενδρώνων ἀκούειν δοκεῖ ὁ Μενάλκας, ταῦτα τὰ ῥήματα ἐκφωνούντων.

67,68). Ὑποτυποῦνται ἐνταῦθα αἱ τῷ Δάφνιδι προσενεκτέαι λοιβαί. Παράβαλε Θεόκρ. έ. 53,54.

69—73). Μίμησις ταῦτα τῶν τοῦ Θεοκρίτου· ζ'. 63 κ. έ.

71). Ὁ ποιητὴς μνημονεύει ἐνταῦθα οἶνον *ἀριούσιον* ἐξ *Ἀριουσίας* χώρας τῆς νήσου Χίου· ἀλλὰ τὸ ἐπίθετον παρελεί-

φθη ἐν τῇ ἡμετέρᾳ μεθερμηνείᾳ διὰ τὴν τοῦ μέτρου βραχύτητα.

72). *Λύκτιος* ἐκ τῆς ἐν Κρήτῃ πόλεως Λύκτου.

74,75). Δύο ἐνταῦθα ἐπισημότεραι μνημονεύονται ἀγροτικαὶ ἑορταί· ἡ μὲν τῶν Νυμφῶν, ἧς ὁ χρόνος ἄδηλος ἡμῖν, ἡ δὲ τῆς τῶν ἀγρῶν ἁγνίσεως, ἐν ἀρχῇ τοῦ ἔαρος γιγνομένη ἐν Ῥώμῃ. Σημειωτέον δέ, ὅτι τὸ *ὅκα* εὕρηται παρὰ Θεοκρίτῳ δίχρονον ἔχον τὴν λήγουσαν· βραχεῖαν μὲν ἐν εἰδυλ. ά. 87 καὶ δ'. 21 μακρὰν δὲ ἐν εἰδυλ. ή. 86.

85—87). Ὁ Μενάλκας πρότερος δωρεῖται τῷ Μόψῳ αὐλὸν καυλοῦ κωνείου πεποιημένον· ἐπαινεῖ δὲ τοῦτον (τὸν αὐλὸν) ὡς ᾄσαντα πρότερον δύο ἄλλα βουκολικὰ εἰδύλλια, τὸ β'. καὶ γ'. Οὐϊργιλίου, ὧν τὴν ἀρχὴν παρατίθεται.

Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ

ΕΙΔΥΛΛΙΟΝ Ζ΄. ΜΕΛΙΒΟΙΟΣ.

ΥΠΟΘΕΣΙΣ.

Μελιβοιος ποιμὴν διηγεῖται, ὡς τράγον ἀποπλανηθέντα τοῦ ποιμνίου ζητῶν Κορύδωνι αἰγονόμῳ καὶ Θύρσιδι ποιμένι ἐνέτυχε μέλλουσιν ἀλλήλοις ἐρίσειν περὶ ᾠδῆς. Δάφνιδος δὲ παρακαλοῦντος, ὃς κριτὴς τῆς ἔριδος ᾕρητο, παρακαθέζετο καὶ αὐτὸς τῶν ᾀσομένων ἀκροατής. Ὁ μὲν οὖν Κορύδων πρωτολογίαν, ὁ δὲ Θύρσις δευτερολογίαν ἐν ἀμοιβαίῳ ᾄσματι ἀνεδέξατο εἰς τετραστιχίας διῃρημένῳ, ἐν ᾧ ὁ δευτερολογῶν ὅμοιά τινα ἢ ἐναντία τῷ πρωτολογοῦντι ἐπάγει. Μιμήσασθαι δ' ἐν τῷ εἰδυλλίῳ τούτῳ ἠβουλήθη ὁ Μάρων τὸ ς΄. τοῦ Θεοκρίτου· ὥστε οὐδεμίαν περιέχει ἀλληγορίαν, ὡς ὑπενόησαν οἱ ἑρμηνευταί.

ΕΜΜΕΤΡΟΣ ΜΕΘΕΡΜΗΝΕΙΑ

ΤΟΥ Ζ΄. ΕΙΔΥΛΛΙΟΥ Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ.

ΜΕΛΙΒΟΙΟΣ, ΚΟΡΥΔΩΝ, ΘΥΡΣΙΣ.

ΜΕΛΙΒΟΙΟΣ.

Δάφνις ὑπὸ ψιθύρῳ, τύχᾳ ἐνθών, ἕζετο πρίνῳ·
σὺν δ' ἄρ' ἐκεῖ Κορύδων καὶ Θύρσις ποίμνι' ἔλασσαν·
Θύρσις ὄϊς, Κορύδων σπαργώσας οὔθατα αἶγας,
ἄμφω δὴ νεότατος ἐν ἀκμᾷ, 'Αρκάδες ἄμφω,
εἰδόθ' ὁμῶς αὐλῆν καὶ ἀμοιβαῖ' ἀείδεν ἑτοίμω.
Τηνεὶ δ' ὄφρ' ἀπαλῶν αἶθρον μύρτων ἀπάλαλκον,
πλάγχθη ἐμῶν αἰγᾶν ἀνὴρ τράγος· ἀλλ' ἴδον αἴφνης
Δάφνιν· ὅ δ', ὥς μ' αὖ κεῖθι νόησεν, ἔειπ'· ἐνὶ καιρῷ
ἔνθ' ἥκεις, Μελίβοιε· τράγος σόος ἠδ' ἔριφοί τοι.
Εἰδ' ἄρα τοι σχολά ἐντι, ὑπὸ σκιᾷ ἔνθ' ἀνάπαυσαι.
'Ενθάδε πιόμενοι μόσχοι ἥξοντι δι' ἀγρῶν·
ἐνθάδε δὴ χλοερὸς δονάκεσσ' ἁπαλοῖς στέφει ὄχθας
Μίγκιος, ἐκ δ' ἱερᾶς σμᾶνος δρυὸς ἁδέα βομβεῖ.
Τί χρῆν δρᾶν; οὐκ ἦν 'Αλκίππα οὐδ' ἄρα Φυλλίς·
ἁ δ' ἔρις ἧς μεγάλα τῷ Θύρσιδι καὶ Κορύδωνι.
Παίγνια μὰν τήνων τῶν σπουδαίων προέκρινα.
Ἄρξαντ' ὦν ἐπέεσσιν ἀμοιβαίοισιν ἐρίσδεν
ἄμφω· ἀμοιβαῖά σφι κέλευον Μοῖσαι ἀείδεν,
ὧν ῥα τὰ μὲν Κορύδων, τὰ δ' ἀμείβετο Θύρσις ἐφεξῆς.

ΚΟΡΥΔΩΝ

Νύμφαι ἄμμι φίλαι Λειβηθρίδες ἤ μοι ἀοιδάν,
οἵαν Κόδρῳ ἐμῷ δωρήσατε, (ἄγχιμα Φοίβω

τῆνος ἔπεσσιν ἔχει) ἤ, εἰ πάντ' οὐ δύναται πᾶς,
ἐξ ἱερᾶς πίτυος κρεμασῶ λιγὺν ἐνθάδε αὐλόν.

ΘΥΡΣΙΣ

Ποιμένες, ὧδε νέορτον ἀοιδὸν στέψατε κισσῷ,
Ἀρκάδες, ὄφρ' ὀλοῷ ῥαγέῃ φθόνῳ ἔγκατα Κόδρω·
αἴ κε δ' ὅ μ' αἰνήσῃ ὑπὲρ αἶσαν, ἐρέψατε κρᾶτα
νάρδῳ, ὄφρα κακὰ μὴ βλάψῃ γλῶσσ' ὑποφάταν.

ΚΟΡΥΔΩΝ

Τοῦτ' ἀνέθηκε Μίκων λασίω κάρη, Ἄρτεμι, κάπρω
μικκός τοι, ἐλάφω τε κέρα πολύοζα ταχείας.
αἴκε τὸ δ' εὖ χωρῇ, λευκοῖο λίθω μετόπισθε
στασῇ, ἐρυθρὼς ἐς κνάμαν φορέοισα κοθόρνως.

ΘΥΡΣΙΣ.

Ἦ ῥ' ἀπόχρη κατ' ἔτος γλάγεος δῖνός τυ, Πρίαπε,
ψαιστά τε ταῦτα δέχεσθ', ὄρχοιο τὺ οὖρε πενιχρῶ.
ἵδρυσαι, ὡς ἐνέην, λίθινος νῦν· ἀλλά γ' ἔπειτα,
ἢν πληθύνῃ πῶϋ γενέθλα, χρύσεος ἔσσῃ.

ΚΟΡΥΔΩΝ.

Νηρηὶς Γαλάτεια, Ὕϐλας θύμω ἀδυτέρα μοι,
φαιδροτέρα κύκνων, κισσῶ καλλίων λευκῶ·
ἀνίκα τοὶ βόες ἐκ φορϐᾶς νίσσονται ἐς αὖλιν
ἔμπαλιν, εἰ Κορύδων τοι μέμϐλεται, ἵκεο τηνεί.

ΘΥΡΣΙΣ.

Εἴην δὴ βοτανᾶν σαρδώων πικρότερός τοι,
μυρταλίδος δὲ τραχύτερος, φύκευς δὲ χερείων,
εἰ μή μοι τόδ' ἔτευς δοκέει δολιχώτερον ἆμαρ.
στείχετε νῦν, μόσχοι, πάλιν οἴκαδε, εἴ γέ τις αἰδώς.

ΚΟΡΥΔΩΝ.

Ὦ μνιαραὶ πηγαί, μαλακωτέρα, ὦ πόα, ὕπνω,
καὶ σκιᾷ ἀνδράχνα ὑπ' ἀραιᾷ ταῦτ' ἐρέφοισα·
καῦμα βοτοῖσι θέρευς ἀπαμύνετε· ἦνθ' ἀλεεινὰ
ὥρα· ὀφθαλμοὶ δ' οἴνας σπαργῶντι γλυκείας.

ΘΥΡΣΙΣ.

Ὧδ' εἰσὶν δαΐδες καὶ ἑστία· ὧδε δὲ πλεῖστον
πῦρ· σταθμοὶ δὲ θυρᾶν μεμέλανται λιγνύϊ πυκνᾷ.
τόσσον δὲ ψυχρῶ ἀλεγίζομες ὧδε βορῆος,
ὅσσον περ ποίμνας λύκος, χειμάῤῥοος ὄχθᾶν.

ΚΟΡΥΔΩΝ.

Ἵστανθ' ὧδε κέδροι σὺν φριξαῖς καστανέαισι.
καλὰ δ' ὑπὸ σφετέρῳ κέχυτ' αὐτόθι δένδρεϊ μᾶλα.
νῦν δὴ πάντα γελᾷ· ἀλλ' αἴ ποκα καλὸς Ἄλεξις
ὤρεα ταῦτα λίποι, καίκεν ῥέεθρ' αὖα γένοιτο.

ΘΥΡΣΙΣ.

Τέρσετ' ἀγρός, βοτάναι θνάσκονθ' ὑπὸ καύματι τόσσῳ·
Βάκχος φυλλοκόμως κλίτεσσιν ἀναίνεται οἴνας.
Φυλλὶς δ' αἴκα μόλῃ, θαλήσει πᾶν νέμος ἄμμι,
τερπνῷ δ' αὖτε Ζεὺς πουλὺς καταϐήσετ' ἐν ὄμϐρῳ.

ΚΟΡΥΔΩΝ.

Αἴγειρος φίλα ἔντ' Ἀλκείδᾳ, οἰνὰς Ἰάκχῳ,
ἁ δάφνα Φοίϐῳ, μύρτος καλᾷ Κυθερείᾳ,
Φυλλίδι δ' αὖ καρύαι. Ὄφρα δ' αἴ τήνα πεφίλανται,
οὐ μύρτος καρύας νικαξεῖ οὐδ' ἄρα δάφνα.

ΘΥΡΣΙΣ.

Εἰν ὕλαισι πρέπει μελία, πίτυς αὖτ' ἐνὶ κάποις,

πὰρ ποταμοῖς λεύκα, πεύκα δ' ἄρ' ἐπ' ὤρεσιν αἰποῖς·
ἣν δὲ θάμ', ὦ Λυκίδα καλέ, φοιτῇς ὀψόμενός με,
ἁ πίτυς ἐν κάποις, μελία δέ τοι εἴξει ἐν ὕλαις.

ΜΕΛΙΒΟΙΟΣ.

Ταῦτ' ἔτι μέμναμαι, Θύρσιν δὲ μάταν ἐρίσαντα·
ἐκ τήνω δὲ λέγεν Κορύδων Κορύδων ἔθος ἄμμι.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΟ Ζ'. ΕΙΔΥΛΛΙΟΝ Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ.

στ. [1]). *ψιθύρῳ πρίνῳ*. Πρίνῳ, οὗ τὰ φύλλα ἠρέμα ὑπ' αὔρας σειόμενα ψιθυρίζει. πρβλ. Θεόκρ. εἰδυλ. ς'. στ. 1 κ. ἑ.

[5]). *Ἑτοίμω ἀείδεν ἀμοιβαῖα*· παρεσκευασμένοι, δι' ἀσκήσεως εἰς τὸ ἐν ᾠδῇ ἀλλήλους ἀμείβεσθαι.

[6]). *αἶθρον ἀπαλῶν μύρτων ἀπάλαλκον*. Ἐν τῇ βορείᾳ Ἰταλίᾳ ὑποτίθεται συνελθεῖν τοὺς ποιμένας, ὅπου, ἦρος ἀρχομένου, ἱκανὸν ἔτι ψῦχός ἐστιν, ἀφ' οὗ τὰ ἁπαλὰ τῶν φυτῶν φυλάσσεται, ἀχύρῳ καὶ φυλλάσι περιβαλλόμενα.

[7]). *Τῶν αἰγῶν ἄνδρα* καλεῖ τὸν τράγον κατὰ μίμησιν Θεοκρίτου (εἰδυλ. ή. 49).

[9]). *Τράγος σόος ἠδ' ἔριφοί τοι*. Ταῦτα λέγει ὁ Δάφνις τῷ Μελιβοίῳ, εὑρὼν αὐτὸς ἤδη τὸν ἀποπλανηθέντα τράγον μετὰ τῶν ἐρίφων καὶ σώσας αὐτούς.

[13]). *Μίγκιος*· ποταμὸς ἐγγὺς τῆς Μαντούας ῥέων. *Ἱερὰ* δὲ καλεῖται ἡ δρῦς διὰ τὸ ὁμογενὲς πρὸς τὴν ἐν Δωδώνῃ.

[14—16]). *Ἀποθήλους* καλῶ τοὺς ἀμνοὺς ἐκείνους, οἵ περ ἱκανῶς αὐξηθέντες οὐκέτι χρήζουσι τῆς ἀπὸ τοῦ μητρικοῦ γάλακτος τροφῆς καὶ διὰ τοῦτο τῶν μητέρων χωρίζονται. Βούλεται δ' ἐνταῦθα ὁ Μελίβοιος λέγειν, ὅτι ἦν μὲν αὐτῷ ἔργα οἰκεῖα, σπουδῆς πολλῆς ἄξια, οἷον δὴ τὸ τοὺς ἀποθήλους ἀμνοὺς τῶν μητέρων ἀποκλεῖσαι ἐν μάνδρᾳ ἰδίᾳ· πλείονος δὲ λόγου ἀξία ἔδοξεν ἡ Θύρσιδος καὶ Κορύδωνος ᾠδικὴ πρὸς ἀλλήλους ἔρις, ᾗ παρεῖναι προείλετο.

[20]). Ἴδε τὸ ὄνομα καὶ παρὰ Θεοκρ. ἐν εἰδυλ. δ'.

[21]). *Νύμφαι Λειβηθρίδες*. Οὕτω καλοῦνται ἐνταῦθα αἱ Μοῦσαι ἀπὸ Λειβήθρου, πηγῆς καὶ ἄντρου ἐπὶ τοῦ Ἑλικῶνος. Δυνατὸν δ' ὑποθέσθαι καὶ ὅτι ἀντὶ τῶν Μουσῶν τὰς τοῦ Λειβήθρου θεὰς ὁ Κορύδων ἐπικαλεῖται.

[22]). *Κόδρος*· ποιμένος ὄνομα.—*Ἄγχιμα Φοίβω τῆνος ἔπεσσιν ἔχει*. Ὁ Κόδρος τοῖς ἄλλοις ἀοιδοῖς παραξεταζόμενος πλησιέστατον τῷ Ἀπόλλωνι τόπον κατέχων εὑρίσκεται.

[24]). Ὁ νοῦς τῆς τετραστιχίας ἐστὶν ὅδε· ἢ δότε μοι, φησὶν ὁ Κορύδων τὰς Μούσας ἐπικαλούμενος, τέχνην ᾠδικὴν τῇ τοῦ Κόδρου ἴσην, ἢ τοῦ ᾄδειν παντελῶς ἀποστήσομαι, τῆς ἱερᾶς (τῇ Κυβέλῃ) πίτυος τὸν αὐλὸν ἐξαρτήσας.

25). Ἑαυτὸν ὁ Θύρσις ἐπαινῶν νέον καλεῖ ἀοιδόν.

27). *Εἰ δ' ὅ μιν αἰνοίη ὑπὲρ αἶσαν.* Φθονερὸν ὁ Θύρσις οἴεται εἶναι τὸν Κόδρον καὶ διὰ τοῦτο ἐθέλειν ἴσως ἐπαινεῖν ἑαυτὸν ὑπὲρ τὸ προσῆκον, ἵνα τῷ ὑπερμέτρῳ ἐπαίνῳ καὶ τῶν ἄλλων διεγείρῃ τὸν φθόνον. Προτρέπει οὖν τοὺς ποιμένας νάρδῳ στέψαι τὴν ἑαυτοῦ κεφαλὴν ἀποτρεπτικῇ οὔσῃ τοῦ φθόνου. Δύο δ' ὑπὸ τοῦ Διοσκορίδου διακρίνεται νάρδου εἴδη· ἡ *κελτικὴ* καλουμένη νάρδος, ἣ θαμνίσκος ἐστὶν ἐν ταῖς κατὰ Λιγυρίαν Ἄλπεσι καὶ ἔτι ἐν Ἰστρίᾳ φυόμενος, καὶ ἡ *ὀρεινὴ* ἢ *θυλακῖτις*, ἣ καὶ *γῆρις* κέκληται, ἐν Κιλικίᾳ καὶ Συρίᾳ φυομένη, φύλλα δὲ καὶ καυλοὺς ἠρυγγίῳ ὅμοια ἔχουσα.

28). *ὑποφάταν.* Ὁ ὑποφήτης τοῦ ἀοιδοῦ ἐστι καθυπέρτερος, ὡς ἔστι γνῶναι ἐκ τῶν ἐν τῇ τετραστιχίᾳ ταύτῃ.

29—32). Τὰ ἀμοιβαῖα καλούμενα ᾄσματα ἀσυνάρτητα συνήθως ἐστὶ καὶ ἀσυναφῆ, ἀλλοτρίαν ἀλλήλων ἔχοντα ἔννοιαν· μόνη δὲ συνάπτει αὐτὰ ἀλλήλοις ὁμοιότης τις ἐννοίας ἢ ἀντίθεσις.

— *ἢν δὲ τόδ' εὖ χωρῇ·* οὕτω μοι δέδοκται τὸ ἐν τῷ κειμένῳ *si proprium hoc fuerit* μετενεγκεῖν διὰ τὸ πολλαπλῆν αὐτὸ ἐπιδέχεσθαι σημασίαν, ὥσπερ δὴ καὶ τὸ κείμενον· ἔστι γὰρ τὴν ἐν τῷ κειμένῳ ἀντωνυμίαν *hoc* εἰς τὴν εὐτυχῆ τοῦ Μίκωνος θήραν, ἢ εἰς τὸ τοῦ Κορύδωνος ποίμνιον, ἢ εἰς τὴν ᾠδὴν ἀνενεγκεῖν, ἣν οὗτος τὰς Λειβηθρίδας αἰτεῖται θεάς. Κατὰ μὲν οὖν τὴν πρώτην τῆς ἀντωνυμίας *hoc* ἐκδοχήν, ἡ ὑποθετικὴ πρότασις· *ἢν τόδ' εὖ χωρῇ* ἴσον δύναται τῇ *ἢν ἡ θήρα τοῦ Μίκωνος καὶ ἐν τῷ μέλλοντι εὐτυχὴς ᾖ·* κατὰ δὲ τὴν δευτέραν, *ἢν τοὐμὸν ποίμνιον καὶ ἐν τῷ μέλλοντι εὐθηνῇ·* κατὰ δὲ τὴν τρίτην, *ἢν δὲ ἡ ᾠδή μοι κατ' εὐχὴν γένηται.* κτλ. Τὸ δὲ *στασῇ* (στ. 32) σημαίνει *ἱδρυθήσῃ* ὑπ' ἐμοῦ. πρβλ. τὸ τοῦ Πλάτωνος (Φαιδρ. σελ. 215) *σφυρήλατος ἐν Ὀλυμπίᾳ στάθητι.*

37). *Νηρηῒς Γαλάτεια.* Τὴν θαλασσίαν νύμφην Γαλάτειαν τὴν Νηρέως καὶ Δωρίδος θυγατέρα, ἧς ὁ Πολύφημος ἠράσθη, ὡς ἰδίαν ἑαυτοῦ ἐρωμένην ὁ Κορύδων καλεῖ. Μιμεῖται δὲ κἀνταῦθα ὁ ποιητὴς τὸν Θεόκριτον (εἰδύλ. ιά. στ. 19 κ. ἑ.)—*Ὕβλα* δὲ ὄρος ἐστὶ Σικελίας, ἧς καὶ πόλεις τρεῖς τοὔνομα τοῦτο ἔφερον.

38). *Λευκὸς κισσὸς* εἶδός ἐστι κισσοῦ, ἀντιτιθέμενον πρὸς τὸν μέλανα.

41). *Σαρδῴας βοτάνας* νόει εἶδός τι βατραχίου ἢ αἰγολέθρου τὴν γεῦσιν δριμύτατον, δηλητηριῶδες, σπασμοὺς ἐμποιοῦν τῷ τοῦ γευσαμένου προσώπῳ· ὅθεν καὶ ὁ παροιμιώδης *γέλως σαρδώνιος.*

42). *Μυρταλὶς* (ruscus) ἡ αὐτὴ καὶ *μυῤῥινάκανθα*, θάμνος ἀκανθώδης ἐστί.

44). *Εἴγέ τις αἰδώς*· Χαριεντίζεται ὁ Θύρσις αἰδῶ τοῖς μόσχοις, ὥσπερ δὴ τοῖς ἀνθρώποις, ὑποτιθεὶς καὶ διὰ τοῦτο κελεύων αὐτοὺς μὴ ἀναισχυντεῖν πολὺν ἤδη χόρτον ἐδηδοκότας, ἀλλ' ἀπὸ τῆς νομῆς οἴκαδε ἀναστρέψαι.

45). *Πόα μαλακωτέρα ὕπνω*. Πρβλ. τὸ τοῦ Θεοκρίτου (εἰδύλ. έ. 51)· εἴρια ὕπνω μαλακώτερα.

46). *Ταῦτα*, τὰς πηγὰς καὶ τὴν πόαν.

52). Τὸ ἐν τῷ κειμένῳ *numerum* σημαίνει κυρίως *ἠριθμημένον* ποίμνιον.

45—52). Σημειωτέον ὅτι ἐν μὲν τῇ τετραστιχίᾳ 45—48 τὴν τῶν πηγῶν καὶ τῆς σκιᾶς ἐν θέρει τερπνότητα ἐπαινεῖ ὁ Κορύδων, ἐν δὲ τῇ ἑπομένῃ τετραστιχίᾳ 49—52 τὴν ἐν χειμῶνι ἐκ τῆς θερμότητος τοῦ πυρὸς ἡδονὴν ἐξαίρει τῷ λόγῳ ὁ Θύρσις.

53). *Φριξαὶ* λέγονται αἱ καστανέαι διὰ τὸν ἀκανθώδη καὶ ἐχινοειδῆ αὐτῶν καρπόν.

60). *Ζεὺς* σημαίνει ἐνταῦθα τὸν ἀέρα, ὃν ὁ ποιητὴς ἐπὶ τῆς γῆς καταβαίνειν φησὶ γιγνόμενον ὑετόν.

65). *Πίτυς* ἡ ἥμερος ἢ κηπαία.

70). *ἐκ τήνω* δὲ λέγειν *Κορύδων Κορύδων* κτλ. ἐξ ἐκείνου, φησί, τοῦ χρόνου κλεινός μοι ὁ Κορύδων καὶ τῶν ποιμένων ἐν ᾠδῇ ἔξοχος γέγονε· ταὐτόσημον μέν, ἀλλὰ πολλῷ χαριέστερον τὸ τοῦ Θεοκρίτου (εἰδ. ή. 92).

κὴκ τούτω Δάφνις παρὰ ποιμέσι πρῶτος ἔγεντο.

Π· ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ

ΕΙΔΥΛΛΙΟΝ Η΄. ΦΑΡΜΑΚΕΥΤΡΙΑ.

ΥΠΟΘΕΣΙΣ.

Δυο ποιμένων ᾄσματα, τὸ μὲν ἐκ τοῦ γ΄, τὸ δ' ἐκ τοῦ ϛ΄. Εἰδυλλίου τοῦ Θεοκρίτου ἀπομιμησάμενος διεξέρχεται ἐνταῦθα ὁ ποιητής, ὥσπερ αὐτὸς τῶν ᾀδόντων ἀκροασάμενος (στ. 1—5 καὶ 62—63). Καὶ ἐν μὲν τῷ τοῦ Δάμωνος ᾄσματι (17—61) ἡ βαρεῖα ὀδύνη ποιμένος τινὸς ἐκδηλοῦται, οὗ κόρη τις Νῖσα τὸ ὄνομα τὸν ἀντεραστὴν Μόψον προείλετο. Ἐν δὲ τῷ τοῦ Ἀλφεσιβοίου (στ. 64 ἕως τέλους) γυνή τις τὸν ἑαυτῆς ἐραστὴν Δάφνιν, ὑφ' οὗ ᾤετο ἐγκαταλελεῖφθαι, ἐπῳδαῖς καὶ φαρμακείαις ἀνακαλεῖται. Τῶν εἰρημένων ᾀσμάτων ἑκάτερον ἀνθυπόστατόν ἐστιν, οὐδὲ πρὸς τὸ ἕτερον ἄλλῳ τινὶ συνῆπται δεσμῷ, πλὴν ὅτι ἀμφότερα ὑπὸ ποιμένων ᾄδεται, οἵ περ ἐρίζειν πρὸς ἀλλήλους ἐοίκασιν. Ἐπιγέγραπται δὲ τὸ εἰδύλλιον Ἀσινίῳ Πολλίωνι (στ. 6—13) ἔτει 714 ἀπὸ κτίσεως Ῥώμης στρατηγοῦντι ἐν Ἰλλυρίᾳ, ὃς ἐν τῷ τότε πεζῇ τὴν Ἰστρίαν διώδευεν ἢ τὴν Ἰλλυρίαν παρέπλει, ἵνα εἰς Παρθινοὺς σὺν τῷ στρατῷ ἀφίκηται οὐ Πόῤῥω Δυῤῥαχίου παρὰ τὰ τῆς Μακεδονίας ὅρια ἱδρυμένους. Ἐπειδὴ δ' ἐν μὲν στίχῳ 3 λυγκῶν μνεία γίγνεται, ἐν δὲ στ. 21 αὐλοῦ, καὶ λύγκας μὲν οὐδέποτε ἐν Ἰταλίᾳ γενέσθαι μαρτυρεῖ Πλίνιος (βιβλ. 28,8) αὐλῷ δὲ οὐδέποτέ φασὶ χρήσασθαι πάλαι τοὺς ἐν Ἰταλίᾳ ποιμένας, ἐν ἀλλοδαπῇ εἰκάζεται τὴν ποιμενικὴν ταύτην σκηνὴν τεθεῖσθαι ὑπὸ τοῦ Μάρωνος, πιθανῶς δ' ἐν Θεσσαλίᾳ, ᾗ δὴ μάλιστα ἁρμόζει ἡ τοῦ Ἑσπέρου ἐν στ. 30 ἀπὸ τῆς Οἴτης ἀνατολὴ καὶ τὰ μαγικὰ ἔθιμα.

ΕΜΜΕΤΡΟΣ ΜΕΘΕΡΜΗΝΕΙΑ

ΤΟΥ Η'. ΕΙΔΥΛΛΙΟΥ Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ.

ΑΣΙΝΙῼ ΠΟΛΛΙΩΝΙ.

Μοῖσαν βωτήρων, Δάμωνος ἰδ' Ἀλφεσιβοίω,
τὼς θαμάκις βοτανᾶν ἐπιλήσμων θαύμασε πόρτις,
τῶν τ' ἔκθαμβοι λύγκες ἀοιδοσύνᾳ ποταμοί τε,
τρέψαντες τηνεὶ σφέτερον ῥόον, οἶμον ἐπέσχον,
Δάμωνος Μοῖσαν μυθήσομ' ἰδ' Ἀλφεσιβοίω.
Τύνη δ', εἴτ' ἄγχουρα Τιμάυω παίπαλα βαίνεις,
εἴθ' ἁλὸς Ἰλλυρίδος παρελᾷς ἄκρα, ἦ ῥά ποτ' ἆμαρ
ἔσσεθ' ὅτ' ἔργα τεοῦς κύδιστα δυνάσομ' ἀεῖσαι;
ἢ διαφημίξαι μοι ἔπη τεὰ πᾶσαν ἀν' αἶαν
ἐξέσεται, Σοφοκλείῳ ἐπάξια μῶνα κοθόρνῳ;
Ἐκ τεοῦ ἀρχά, ἐς τέ δ' ὁμῶς πέρας· ἄν λίτομαί τυ,
δέξαι ἀοιδάν· δὸς δὲ περὶ κροτάφως τοι ἀνέρπεν
κισσὸν τόνδε δάφνας νικαίας ἐν κλαδέεσσιν.
　Νυκτὸς ἀπ' οὐρανόθεν ψυχρὰ σκιά ἄρτι βεβάκει,
ἀνίχ' ἐερσάεσσ' ἀδίστα πώεσι ποία.
Τοῖα δ' ἐρειδόμενος ἐπ' ἐλαίᾳ ἔννεπε Δάμων·
　Ὄρνυσο, καὶ ἀδὺ προθέων ἄγε, Φωσφόρε, ἆμαρ.
αὐτὰρ ἐγὼ Νίσας ἀπατηθεὶς ψευδεῖ ἔρωτι
δύρομαι, ἠδὲ θεώς, τώς περ τε μάταν ἐθέμεσθα
μάρτυρας, ὑστάτιον νῦν θνάσκων ὧδε ποταυδῶ.
　Ἄρχεο Μαιναλίας σὺν ἐμοί, φίλε αὐλέ, ἀοιδᾶς.
Μαίναλον αὐδᾶέν τε νέμος πίτυάς τε λιγείας
αἰὲς ἔχει, καὶ ἔρωτας ἀμορβῶν αἰὲς ἀκούει,
Πᾶνά τε, ὃς καλάμοισιν ἐχρήσατο πρᾶτος ἀείδων·
　Ἄρχεο Μαιναλίας σὺν ἐμοί, φίλε αὐλέ, ἀοιδᾶς.

Μόψῳ Νῖσα σύνεισι· τί νῦν ἀνάελπτον ἐρασταῖς;
Γρυψὶ ζευχθήσονθ' ἵπποι, αἰῶνι δ' ἐν ἄλλῳ
σὺν κυσὶ δορκαλίδες ξυνὰν θησεῦνται ἄμυστιν.
Τέμνε νέας δαΐδας· ἁ νύμφα, Μόψ'. ἄγεταί τοι.
Χεῦον ἄνερ, κάρυ' ἀμφίς· ὑπέρτειλ', Ἕσπερος Οἴτας.
  Ἄρχεο Μαιναλίας σὺν ἐμοί, φίλε αὐλέ, ἀοιδᾶς.
Ὡς καλῷ ἔζευξαι τὺ πόσει, ἃ πάντας ἀτίσδεις,
καὶ φρεσσὶ στυγέεις αὐλόν τ' ἐμὸν ἠδὲ καὶ αἶγας,
καὶ ὀφρὺν λασίαν πώγωνά τε μακρὸν ἔνερθεν,
οὐδέ τιν' ἀθανάτων βροτέων κάδεσθαι οἴεις.
  Ἄρχεο Μαιναλίας σὺν ἐμοί, φίλε αὐλέ, ἀοιδᾶς·
Τυτθάν σ' ἁμετέρῳ σὺν ματρί ποκ' εἶδον ἐν ὄρχῳ
ἔνδροσα μᾶλα δρέποισαν· ἐγὼ δ' ὁδὸν ἀγεμόνευον.
Πρὸς δεκάτῳ δ' ἄρ' ἔτος βιότω τόκα δεύτερον ἆγον,
μάρπτεν τ' εὐθλάστως τόκ' ἀπ' οὔδεος ἔσθενον ὄζως·
χ' ὡς ἴδον, ὡς ὀλόμαν, ὥς μευ φρένας εἷλεν ἀλατύς!
  Ἄρχεο Μαιναλίας σὺν ἐμοί, φίλε αὐλέ, ἀοιδᾶς.
Νῦν ἔγνων τὸν ἔρωτα· πέτραις μιν ἐνὶ στυφελαῖσιν
ἢ Τμάρος ἢ Ῥοδόπα ἢ ἐσχάτιοι Γαράμαντες,
ἀλλότριον γενέθλας παῖδ' ἁμετέρας ἐλόχευσαν.
  Ἄρχεο Μαιναλίας σὺν ἐμοί, φίλε αὐλέ, ἀοιδᾶς.
Ὠμὸς ἔρως ἐδίδαξε μιαίνεν ματέρα παίδων
αἵματι χέῤῥας· καὶ τὺ ἀπηνὴς ἔπλεο μᾶτερ.
Ἁ μάτηρ νηλής; ἢ ἀλιτρὸς μᾶλλον ὁ κῶρος;
Ναί, ἀλιτρὸς τῆνος, τύ τε νηλὴς ἔπλεο, μᾶτερ.
  Ἄρχεο Μαιναλίας σὺν ἐμοί, φίλε αὐλέ, ἀοιδᾶς.
Αὐτόθε νῦν φεύγοι λύκος ἀμνώς· μᾶλα φέροιεν
χρύσεα ταὶ δρύες· ἁ κλῆθρα νάρκισσον ἀνείη·
ἱδρῷεν δ' ἤλεκτρ' ἀπὸ φλοιῶ πῖα μυρῖκαι.
κύκνῳ ἐρίσδοι σκώψ. ἔοι Ὀρφεὺς Τίτυρος ἄμμιν,
Ὀρφεὺς εἰν ὕλαις, μετὰ δελφίνεσσιν Ἀρίων.
  Ἄρχεο Μαιναλίας σὺν ἐμοί, φίλε αὐλέ, ἀοιδᾶς.

Πόντος πάντα γένοιτο μέσος νῦν· χαίρετε, ὗλαι.
Ὤρεος ἐκ σκοπιᾶς αἰπᾶς ἐς κύμαθ' ἁλεῦμαι.
Ὑστάτιον θνάσκοντος ἐμὸν τόδε λάζεο δῶρον.
Λῆξον Μαιναλίας, λῆξον νῦν, αὐλέ, ἀοιδᾶς.
Τόσσ' εἶπε Δάμων· ἃ δ' ἀμείψαθ' οἱ Ἀλφεσίβοιος,
εἴπατε, Πιερίδες· οὐ πάντες πάντα δύνανται.

ΑΛΦΕΣΙΒΟΙΟΣ.

Ἄντλει ὕδωρ· μαλακᾷ στέφε ταινίᾳ ἐνθάδε βωμόν.
αἶθε δὲ καὶ βοτάνας εὐόδμως καὶ θύος ἄρσεν,
ὡς μαγικοῖς ἱεροῖσι νόον πειράσομαι ἀνδρὸς
ἐκπλῆξαι. οὐδὲν νῦν λείπεται ἢ ἐπαοιδά.
Ἕλκετ' ἀπὲκ πόλιος Δάφνιν οἴκαδε, ἕλκετ', ἀοιδαί.
Ὠδαί, ναί, κατάγοντι καὶ ἐκ πόλω ἄμμι Σελάναν.
ᾠδαῖς καὶ Κίρκα Ὀδυσῆος ἔτρεψεν ἑταίρως.
κὴν λειμῶσιν ὄφις ψυχρὸς χρόα ῥήγνυται ᾠδαῖς·
Ἕλκετ' ἀπὲκ πόλιος Δάφνιν οἴκαδε, ἕλκετ', ἀοιδαί.
Ἀμφὶ τεὶν πρᾶτον τάδε τριπλόα νήμαθ' ἑλίσσω
τρίχροα, καὶ τρὶς ἄγω περὶ βωμὸν κυκλόσε τόνδε
εἰκόνα· ἁ θεὸς ἅδετ' ἐπ' ἀρτίῳ οὔποκ' ἀριθμῷ.
Ἕλκετ' ἀπὲκ πόλιος Δάφνιν οἴκαδε, ἕλκετ', ἀοιδαί.
Δεῦρ' ἄγε δεσμὼς τρεῖς, Ἀμαρυλλί, τρίχροας ἅπτε·
ἅπτ', Ἀμαρυλλί, λέγοισα· τὰ Κύπριδος ἅμματα ἅπτω.
Ἕλκετ' ἀπὲκ πόλιος Δάφνιν οἴκαδε, ἕλκετ', ἀοιδαί.
ὡς πυρὶ τῷ αὐτῷ πηλὸς μὲν πάγνυται οὗτος,
τάκεθ' ὅμως καρός, τὼς κἀμῷ Δάφνις ἔρωτι.
Οὐλὰς πάσσε καὶ αἶθε δάφνας λακερὰς ὑπὸ πίσσᾳ.
Δάφνις ἔμ' αἴθει· ἐγὼ δ' αὖ τάνδ' ἐπὶ Δάφνιδι δάφναν.
Ἕλκετ' ἀπὲκ πόλιος Δάφνιν οἴκαδε, ἕλκετ', ἀοιδαί.
Τοῖος ἔρως Δάφνιν, οἷος, ὅκ' ἄλσεσιν ἐν βαθέεσσι
κὴν βάσσαις μόσχον διζημένα ἔκκοπος ἁ βοῦς
κλίνθη ἐπὶ χλωρῷ φλόῳ ἠλεὰ ἄγχι ῥεέθρω,

οὐδ' ἄρ' ἐπερχομένας μέμναται νυκτὸς ἀπενθῆν,
τοῖος ἔρως κατέχοι· μηδ' ἄρ μελέτω μοι ἀρῆξαι.
Ἕλκετ' ἀπὲκ πόλιος Δάφνιν οἴκαδε, ἕλκετ', ἀοιδαί.
Εἵματα ταῦτα πάρος τῆνός μοι ὅπασσεν ἄπιστος,
ἁδὺ ἔθεν πίστωμα· τὰ δὴ φλιᾷ ὑπὸ τήνᾳ
πιστεύω τίν, γαῖα· τάδ' ἔγγυα Δάφνιδός ἐντι.
Ἕλκετ' ἀπὲκ πόλιος Δάφνιν οἴκαδε, ἕλκετ', ἀοιδαί.
Τὰς βοτάνας μοι τάσδ' ἰδὲ φάρμακα ταῦτ' ἀπὸ Πόντω
Μοῖρις ἔδωκ' αὐτός· φύεται δὴ πόλλ' ἐπὶ Πόντῳ.
Τοῖς θάμ' ἴδον Μοῖριν λύκος ὡς γένετ' ἠδ' ἔδυ ὕλας.
τοῖς θαμὰ καὶ ψυχὰς ἴδον ἐκ τάφω ὡς ἀνέγροντο,
ὄμπνας θ' ὡς μετένεχθεν ἐς ἄλλας εἶδον ἀρούρας.
Ἕλκετ' ἀπὲκ πόλιος Δάφνιν οἴκαδε, ἕλκετ', ἀοιδαί.
Τὰν σποδόν, ὦ 'Αμαρυλλί, θύρασδε φέροισ' ὑπὲρ ὤμων
ἐς ποταμὸν ῥίψον, μηδὲ βλέψῃς σὺ ὀπίσσω.
Δάφνιδα τοῖσιν ἔπειμ' ᾠδᾶν τε θεῶν τ' ἀλογεῦντα.
Ἕλκετ' ἀπὲκ πόλιος Δάφνιν οἴκαδε, ἕλκετ', ἀοιδαί.
Ἠνὶ μεταξὺ φλόγας σποδὸς ἐξανέηκε τρομώδεις
αὐτομάτα, θυμέλαν μαρψάσας· αἴσιον εἴη.
'Εντί τι, ὡς οἴῳ· καὶ Ὕλαξ ὑλάει ἐπὶ φλιᾷ.
ἦ ῥά τι πιστόν; ἢ ὅστις ἐρᾷ, φρασὶ πλάσσετ' ὀνείρως;
Ἴσχετε· ἐκ πόλιος Δάφνις ἔρχεται· ἴσχετ' ἀοιδάν.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΟ Η΄. ΕΙΔΥΛΛΙΟΝ Π. ΟΥΙΡΓΙΛΙΟΥ ΜΑΡΩΝΟΣ.

στ. 1—4). Τὴν ὑπερφυῆ δύναμιν τῆς τῶν ποιμένων ᾠδῆς δηλῶσαι θέλων ὁ ποιητής, ἐπάγεσθαι ταύτην φησὶ καὶ τὰ κτήνη καὶ τὰ θηρία καὶ αὐτὰ τὰ ἄψυχα ὄντα.

6—13). Κελεύσει τοῦ Πολλίωνος (ἴδε στ. 11—12) τὸ βουκολικὸν τοῦτο ᾆσμα ὁ ποιητὴς συνταξάμενος προσάγει αὐτῷ καὶ μείζω ἄλλα ὑπισχνεῖται πονήματα, ἐν οἷς τὰ μεγάλα αὐτοῦ πολεμικὰ κατορθώματα (στ. 8) καὶ τὰς ἐξαιρέτους τραγῳδίας (στ. 9) ἐξυμνῆσαι προτίθεται.

— Τὰ ἀπὸ τῶν λέξεων *ἤποτε* ἐν στ. 7 ἕως τῆς λέξεως πέρας ἐν στ. 11 ἐν παρενθέσει ἀναγνωστέον.

6). *Τίμαυος*· ὄρος ἐπὶ τοῖς ὁρίοις τῆς Καρνικῆς μεταξὺ Ἀκυηλίας καὶ Τεργέστης κείμενον.

10). *Σοφοκλείῳ ἐπάξια μῶνα κοθόρνῳ.* Τὰς τοῦ Πολλίωνος τραγῳδίας ὁ ποιητὴς ἐπαινῶν τῶν σοφοκλείων ἐφαμίλλους αὐτὰς ἀποφαίνεται εἶναι.

19—20). Ὁ νοῦς ἐστιν ὅδε. Τοὺς θεούς, οὓς ἐγώ τε καὶ ἡ Νῖσα τοῦ πιστοῦ πρὸς ἀλλήλους ἔρωτος ἐθέμεθα μάρτυρας, τελευταῖον νῦν ἐπικαλοῦμαι.

21). *Μαίναλον* ὄρος τῆς Ἀρκαδίας ἐστί· διὸ *Μαιναλία ἀοιδὴ* σημαίνει συνεκδοχικῶς τὴν *ἀρκαδικήν*· αὕτη δὲ μετωνυμικῶς ἀντὶ τῆς ποιμενικῆς τέθειται.

22). *αὐδᾶεν νέμος*, ἅτε ταῖς τῶν ποιμένων ᾠδαῖς ἀντηχοῦν. δι' αὐτὸ δὲ τοῦτο καὶ αἱ πίτυες *λίγειαι* λέγονται ἢ διότι ἦχον παρέχουσιν ὑπ' ἀνέμων σειόμεναι.

24). *ὃς καλάμοισιν ἐχρήσατο* κ. ἑ. ἀκριβέστερον ἄν τις τὸ χωρίον μεθερμηνεύσειεν ὧδε· ὃς οὐκ εἴασε τοὺς καλάμους ἀχρήστους μένειν, ἀλλ' ἐχρήσατο αὐτοῖς κατασκευάσας αὐλούς.

26). *σύνεισι*· γάμῳ συνέρχεται.

30). *χεῦε κάρυα.* Καὶ νῦν ἔτι παρ' Ἕλλησι νομίζεται κάρυα ποντικὰ καὶ ἄλλ' ἄττα τρωγάλια ἐν τῇ τοῦ γάμου τελετῇ καταχεῖν τῶν παρόντων. — *Ἰ πέρτειλ' Ἕσπερος Οἴτας* (κατὰ λέξιν *καταλέλοιπέ σοι τὴν Οἴτην ὁ Ἕσπερος*). Ἀλλὰ τί βούλεται ἐνταῦθα ἡ Οἴτη; Παλαιά τις ἔοικεν εἶναι ἡ ῥῆσις, ἥ ποιητής τις ἀρχαῖος, ἴσως τοὺς τοῦ Πηλέως καὶ τῆς Θέτιδος γάμους ᾄδων,

ἐν Φθίᾳ ἐχρήσατο, κἀξ ἐκείνου παραδοθῆναι τοῖς ἔπειτα. Συμπεραίνεται δ' ἐκ τῆς ῥήσεως ὅτι ἑσπέρας παρὰ τοῖς ἀρχαίοις Ἕλλησιν, ὥσπερ δὴ καὶ νῦν παρ' ἡμῖν, τοὺς γάμους τελεῖσθαι εἴθιστο.

32). *Ὡς καλῷ ἔζευξαι πόσει!* εἰρωνικῶς τοῦτο εἴρηται.

37—38). Πρβλ. Θεοκρ. εἰδύλ. ιά. 25—27.

41). Πρβλ. Θεοκρ. εἰδ. β΄. 82.

43). Πρβλ. Θεοκρ. εἰδ. γ΄. 15.

44). *Τμάρος*· ὄρος Ἠπείρου, ὑφ' ᾧ ἡ Δωδώνη. *Ῥοδόπη* δὲ ὄρος Θράκης. *Γαράμαντες* δὲ λαὸς Ἀφρικῆς τὰ ὑπὲρ τὴν Γαιτουλίαν νεμόμενος.

47—50). Τὰ περὶ Ἰάσονος καὶ Μηδείας καὶ τῆς ὑπὸ ταύτης τῶν ἰδίων τέκνων ἀναιρέσεως ὑπεμφαίνει ἐνταῦθα ὁ Δάμων.

52—56). Καὶ ταῦτα εἴληπται ἐκ τοῦ Θεοκρίτου εἰδύλ. ά. στ. 132—136. Οὐδὲν τῶν παρὰ φύσιν εἶναί φησιν, ὃ νῦν ἀπίστευτον ἂν δόξειε καὶ γενέσθαι ἀδύνατον· καὶ αὐτὸς ὁ ἀφυὴς καὶ τὴν Μουσικὴν ἀπαίδευτος Τίτυρος Ὀρφεὺς ἂν εἴη ἡμῖν ὁ μέγα τὸ πάλαι κλέος τῇ λύρᾳ κτησάμενος.

59). *Ὤρεος ἐκ Σκοπιᾶς*. Τὴν τῆς Λευκάδος Πέτραν, ἣν τὸ τῆς Σαπφοῦς πάθος δυσώνυμον τοῖς ἀνθρώποις ἐποίησεν, ἔοικεν ἐν νῷ ἔχειν ἐνταῦθα ὁ Δάμων.

60). *Δῶρον*· τὸ ᾆσμα.

64 κ. ἑ.). Τὸ τοῦ Ἀλφεσιβοίου ᾆσμα κατὰ τὸ β΄. τοῦ Θεοκρίτου εἰδύλλιον ὑποτετύπωται, ὃ *Φαρμακεύτρια* ἐπιγέγραπται. Διατίθησι δὲ ἡ τοῦ Δάφνιδος ἐράστρια τὰ τῆς μαγικῆς τελετῆς κελεύουσα καθαρτήριον ὕδωρ ἀντλῆσαι καὶ τὸν βωμὸν μαλακῇ ἐρίου ταινίᾳ στέψαι κ. τ. ἑ.

65). Αἱ ἐν τῷ λατινικῷ κειμένῳ *Verbenae* βοτάναι εἰσὶν ἐν ἱεροῖς τόποις φυόμεναι, κατά τινας ἡ σιδηρῖτις·—*ἄρσεν* δὲ *θύος* λέγεται ὁ καθαρὸς καὶ δακρύου πεπηγότος σχῆμα ἔχων λιβανωτός.

66). *μαγικοῖς ἱεροῖς*· μαγικαῖς τελεταῖς.

80—81). Ὑποληπτέον τῇ διανοίᾳ τὴν φαρμακεύτριαν δύο τοῦ Δάφνιδος εἰκόνας, τὴν μὲν πηλοῦ, τὴν δὲ κηροῦ πεπλασμένην, τῷ πυρὶ προσάγειν.

82). *ὑπὸ πίσσᾳ*, κεχρισμένας πίσσῃ.

83). *ἐπὶ Δάφνιδι*· ἐπὶ τῷ φλεχθῆναι ὁμοίως τὸν Δάφνιν ὑπ' ἔρωτος· ἢ ἐπὶ τῇ εἰκόνι τοῦ Δάφνιδος.

96). *Πόντῳ*· κατὰ συνεκδοχὴν εἴρηται ἀντὶ τῆς Κολχίδος. Περιώνυμα δ' ἦν ταύτης τὰ φάρμακα, οἷς ἡ Μήδεια ἐχρήσατο.

101—102). Παράβαλε τὰ τοῦ Θεοκρίτου εἰδύλ. κδ΄. στ. 91—92.

ΟΡΑΤΙΟΥ ΦΛΑΚΚΟΥ

ΩΔΗ ΕΚΑΤΟΝΤΑΕΤΗΡΙΚΗ

ΥΠΕΡ ΤΗΣ ΡΩΜΑΪΚΗΣ ΑΡΧΗΣ

ΕΝ ΜΕΤΡΩ ΣΑΠΦΙΚΩ.

ΥΠΟΘΕΣΙΣ.

Εκατονταετηρικη πανήγυρις ὑπὲρ διαμονῆς καὶ ἐπιδόσεως τῆς τῶν Ῥωμαίων ἀρχῆς κατὰ χρησμοὺς Σιβυλλείους ἱδρυθεῖσα ἐν Ῥώμῃ δι' ἐτῶν ἑκατὸν καὶ δέκα ἀνεκυκλεῖτο· ἐτελοῦντο δ' ἐν αὐτῇ ἀγῶνες· καὶ χοροὶ δύο, ὁ μὲν παίδων, ὁ δὲ παρθένων, τοὺς τῆς πόλεως προστατοῦντας θεούς, Ἀπόλλωνα καὶ Ἄρτεμιν, ἀμοιβαίᾳ εἰώθεσαν ᾠδῇ ἀνυμνεῖν. Τῆς εἰρημένης οὖν ἑορτῆς μελλούσης ἔτει ψλζ'. τελεσθήσεσθαι καὶ ἐγγὺς ἤδη οὔσης, κελεύσει Αὐγούστου, ὥς φησι Σουετώνιος, τὴν ᾠδὴν ταύτην συνετάξατο ὁ Ὁράτιος. Ἔτι δὲ καὶ τὸν νόμον αὐτῆς ἐδίδαξε, τοῦ χοροῦ διδάσκαλος καταστάς.

ΕΜΜΕΤΡΟΣ ΜΕΘΕΡΜΗΝΕΙΑ

ΤΗΣ ΕΚΑΤΟΝΤΑΕΤΗΡΙΚΗΣ ΩΔΗΣ ΟΡΑΤΙΟΥ ΦΛΑΚΚΟΥ.

---

1 Φοῖβε καὶ ὑλᾶν μεδέοισα Φοίβα,
λαμπρὸν ἀγλάϊσμα πόλω, σεβιστοὶ
αἰές, ἄμμ' ὀπάσδεθ' ἃ λισσόμεσθα
τᾶδ' ἐν ἑορτᾶ,

2 εὖτ' ἄνωγε θέσφατ', ἔπη Σιβύλλας
παῖδας ἀγνὼς σὺν λογάδεσσι κώραις
εὐμενέσσιν ἑπταλόφῳ θεοῖσιν
ὕμνον ἀείδεν.

3 Φοῖβ', ὄχῳ λαμπρῷ φάος ὕψι φαίνων
καὶ πάλι κρύπτων, προϊὼν δέ θ' ὁ πρὶν
καὶ νέος, μὴ δή ποκ' ἴδοις τὺ Ῥώμας
ἄλλοτι μέσδον.

4 Ὡρίως τὺ δ' αὖτε τόκως διδοῖσα
ματέρας σάω, πολύϋμν' Ἐλευθοῖ,
εἴτε Λουκίνα κλύεν ἅδιόν τοι,
εἴτε Λοχεία.

5 Ναί, θεά, δίδου γενέθλαν· Πατρῶν δὲ
καινὰ δόγματ' ἀμφὶ γάμοιο κωρᾶν
καὶ νόμον γαμήλιον ἐμπεδοίης
εὔγονον ἄμμιν,

6 ὄφρ' ἐτῶν δέκ' ἠδ' ἑκατὸν καθεστὼς
κύκλος ἔνθ' ἄγησιν ἐσαῦθις ᾠδὰς
ἠδ' ἀέθλως ἄματ' ἐπὶ τρί' ἑξῆς
τρεῖς τ' ἐπὶ νύκτας.

7 Αἲ δ' ἀείδετ' ἀτρεκέ' ἄμμι, Μοῖσαι,
ὡς τέτακταί τ' ἦδ' ἐπὶ γᾶς τελεῖται
πάντα, πρόσθεσθε προτέροισιν ἐσλοῖς
μόρσιμ' ὁμοῖα.

8 Γαῖα καρπῶς πώεά τε τρέφοισα
στέμμ' ἄγοι Δηοῖ σταχύων θερείων.
Λαῖα δ' αὖ ὕδωρ ὑγιεννὸν αὔξοι
καὶ Διὸς αὖραι.

9 Πραΰς, εὐμενής τε βέλεμνα κρύπτων,
κλῦθι παίδων λισσομένων, Ἄπολλον.
Ἀστέρων τὺ δ' αὖ δίκερως ἄνασσα,
κέκλυθι κωρᾶν.

10 Ἔργον εἰ Ῥώμα γέγον' ὑμὸν ἄδε,
εἴγε Τυρσηνὰς στόλος ἵκετ' ἀκτὰς
τρώϊος πράν, οἷς κεκέλευστο οἶκον
ἄστυ τ' ἀμεῖψαι.

11 Οἷς διὰ φλογῶν πόλιος κέλευθον
θῆκεν Αἰνέας παναπάμον' ἁγνός,
ἐξαλύξαις οἶτον, ἵν' ἐσλὰ λοιποῖς
πλείον' ὀπάσσῃ,

12 δὴ νέοις, θεοί, δότ' ἀμεμφὲς ἦθος,
πραϋθύμοις δ' ἀσυχίαν γέρουσι,
πᾶσι Ῥωμαίοις δ' ἄφενος, γένος τε,
πάντα τε κόσμον.

13 Γοῦνος Ἀγχίσα Παφίας τε, τίων
ὔμμε βουσὶν ἀργυφέοις ἀνάσσοι,
ἐν μάχαις δεινὸς μάλα κειμένοις δὲ
ἤπιος αἰές!

14 Γᾷ τε κὴν πόντῳ βριαρὰν χέρ' ἤδη
Μῆδος· ἠδ' Ἄλβας πελέκεις δεδοίκη·
καὶ Σκύθης οἵ γαυριόων πάροιθε
πείθετ' ἰδ' Ἰνδός.

15 Πίστις, Εἰράνα τ' ἐπάνεισ' ἰδ' Αἰδὼς
ἁ πάρος, Τιμά τ', Ἀρετά τ' ἀκηδής·
τᾶς δ' Ἀμαλθείας κέρας αὖθις ἐσλῶν
μεστὸν ὁρᾶται.

16 Λαμπρότοξος μαντιπόλος τε Φοῖβος,
φίντατος κώραις ἑλικωνίδεσσι
καὶ τέχνᾳ ῥωννὺς ἱερᾷ νόσοισι
γυῖα μογεῦντα,

17 εἰ Παλάτιον ποθορῇ τόδ' εὔφρων,
εἰς νέον Ῥώμαν Λάτιόν τε κύκλον
εἰρύοιτ' ἐτῶν, βίον ἄμμιν αἰὲς
κρέσσον' ὀπάσδων·

18 Ἃ δ' ἄρ' Αὐεντῖνον ἔχει σὺν ἄλσει
Ἀλγίδω θεά, ἀνέρων ἐνηὴς
πεντεκαίδεκα κλυέτω λιτάων
ἠδέ τε παίδων.

19 ταῦτ' ἀκοῦσαι Ζᾶνα θεώς τε πάντας
ἐλπίδ' οἴκαδ' ἀδυτάταν κομίσδω,
αἰνέειν χορὸς δεδαὼς Ἀπόλλων'
ἠδέ τε Φοίβαν.

ΣΗΜΕΙΩΣΕΙΣ

ΕΙΣ ΤΗΝ ΕΚΑΤΟΝΤΑΕΤΗΡΙΚΗΝ ᾨΔΗΝ ΟΡΑΤΙΟΥ ΦΛΑΚΚΟΥ.

στ. 5). *Ἔπη Σιβύλλας.* Τοὺς σιβυλλείους χρησμοὺς βούλεται λέγειν ὁ ποιητής, καθ' οὓς ἡ ἑκατονταετηρικὴ ἑορτὴ ἱδρύθη καὶ τὰ κατ' αὐτὴν διεκοσμεῖτο.

6). *λογάδας χώρας.* Τὰς παρθένους, ἐξ ὧν ὁ χορός, ἐκλεκτὰς ἔδει εἶναι, ἀμφιθαλεῖς τε πάσας καὶ εὖ γένους ἠκούσας. Ταὐτὸ δὲ καὶ περὶ τοῦ χοροῦ τῶν ἀῤῥένων παίδων ῥητέον.

15—16). Τὸ ῥωμαϊκὸν ὄνομα *Lucina* ἴσον δύναται τῷ ἑλληνικῷ *Λοχεία*· ἀμφότερα δὲ καλεῖ τὴν Ἄρτεμιν ὁ χορός.

19). *γαμήλιος νόμος* νοείσθω ἐνταῦθα ὁ *Ἰούλιος νόμος* (Lex julia), ὃν Ἰούλιος Καῖσαρ περὶ τῆς τῶν τάξεων ἐπιγαμίας ἔθηκε.

25—26). Οὕτως ἐξεδεξάμην τὸ χωρίον Φριδερίκῳ τῷ Δοιριγγίῳ ἑπόμενος.

29—30). *Γαῖα καρπῶς* κτλ. Ἡ Γῆ τέθειται ἐνταῦθα κατὰ μετωνυμίαν ἀντὶ τῶν κατοίκων αὐτῆς. Εἴθιστο γὰρ τοῖς πάλαι, ἐπ' εὐφορίᾳ εὐφραινομένους, στεφάνους σταχύων χαριστήρια προσάγειν τῇ Δήμητρι.

35). *δίκερως* λέγεται ἡ σελήνη ἀπὸ τοῦ σχήματος, ὅπερ ἐν τῷ πρώτῳ ἀπὸ ἕνης καὶ νέας δεχημέρῳ φαίνεται ἔχουσα. Τοιαύτη δ' εἰκονίζεται καὶ ἐν τοῖς νομίσμασι τοῖς εἰς μνήμην τῆς ἑκατονταετηρικῆς ἑορτῆς χαραχθεῖσιν ἐν Ῥώμῃ.

42). *οἷς κεκέλευστο* χρησμῷ τοῦ Ἀπόλλωνος· (ἴδε Οὐϊργ. Αἰν. γ'. 94 κ. ἑ.).

49). *Γοῦνος Ἀγχίσα Παφίας τε*· νοεῖται ἐνταῦθα οὐχ ὁ Αἰνείας, ἀλλ' ὁ ἀπὸ τούτου ἕλκων τὸ γένος Αὔγουστος, ὃν εὔχεται ὁ ποιητὴς τῶν Ῥωμαίων ἀνάσσειν.

50). *βουσὶν ἀργυφέοις.* Ἔδει κατὰ τοὺς σιβυλλείους χρησμοὺς ἐν τῇ ἑκατονταετηρίδι ἑορτῇ βοῦς λευκοὺς Ἀπόλλωνι καὶ Ἀρτέμιδι θύειν.

51—52). *κειμένοις*, τοῖς νενικημένοις. Τοῦτο κατὰ τὸν Οὐϊργίλιον (Αἰν. ς'. 854) προεῖπε τῷ Αἰνείᾳ ὁ Ἀγχίσης μέλλειν ποιεῖν τοὺς Ῥωμαίους·

parcere subjectis et debellare superbos.

54). *Ἄλβας πελέκεις.* Οὗτοι τῆς ὑπερτάτης ἀρχῆς σύμβολον ἦσαν, ᾧ πρότερον μὲν ἐν Ἄλβᾳ ἐχρῶντο οἱ τὸ ὑπέρτατον

κράτος ἔχοντες, εἶτα δὲ οἱ Ῥωμαῖοι ἐξ ἐκείνων τὸ ἔθος παραλαβόντες.

58). Ἀρετὰ *ἀκηδής*. Παθητικῶς ἐκδεκτέον τὸ ἐπίθετον *ἀκηδής*, ἤτοι ἐπὶ τῆς σημασίας *ἠμελημένη*, ἧς οὐδεὶς κήδεται.

61—72). Ἑκάτερος χορὸς Ἀπόλλωνι καὶ Ἀρτέμιδι εὔχεται τὸν τῶν Ῥωμαίων δῆμον σώζειν καὶ ὄλβον παρέχειν αὐτῷ ἐν τῷ μέλλοντι.

61—64). Προσφωνεῖται ὑπὸ τοῦ χοροῦ πρότερος ὁ Ἀπόλλων, ὡς τοξότης καὶ μάντις καὶ Μουσαγέτης καὶ ἰατρός.

65). *Εἰ Παλάτιον ποθορῇ εὔφρων*· ἤτοι εἰ εὐμενῶς προσβλέπει τὸ Παλάτιον, ὅθεν αἱ δεήσεις αὐτῷ ὑπὸ τοῦ χοροῦ ἀνεπέμποντο.

70—71). *Πεντεκαίδεκα ἀνέρων*. Τοσούτοις ἀνδράσιν ἀνετέθειτο ἐν Ῥώμῃ ἡ τῶν Σιβυλλείων τήρησις, καὶ τῶν ἑκατονταετηρικῶν ἀγώνων ἐπιμέλεια.

73—76). Ἐπειδὴ ἑκάτερος ὁ χορὸς ἐκ διαδοχῆς τὰ ἀμοιβαῖα ᾖσεν, ἀπέρχεται τοῦ ναοῦ· ἐν δὲ τῷ ἀπέρχεσθαι ἀμφότεροι ὁμοῦ ᾄδουσι τὴν τελευταίαν στροφήν.

ΟΙ ΘΕΟΙ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΠΟΙΗΜΑ ΣΧΙΛΛΕΡΟΥ

Μετενεχθὲν εἰς τὴν ἑλληνικὴν γλῶσσαν καὶ προσενεχθὲν τῇ σκιᾷ τοῦ ποιητοῦ κατὰ τὴν ἑκατονταετηρίδα αὐτοῦ ἑορτὴν τὴν ἐν ἔτει ᾳωξ′ ἐν Γερμανίᾳ τελεσθεῖσαν.

---

1 Ὅτ' ἐκράτεις σὺ τοῦ καλοῦ Κόσμου πάρος,
τῇ δ' ἡδονῇ ῥυτῆρι χρωμένη μόνῳ
ἦγες παλαιὰ φῦλα καὶ τρισόλβια,
ὦ μυθόπλαστε κάλλιμ' ἀρχαία φύτλη,
χὤτε πρὶν ὑμῶν ἡ καλὴ διέπρεπε,
θεοί, λατρεία σὺν καλοῖς θρησκεύμασιν,
ἕδη τ' ἐκοσμεῖτ', ὠμαθουσία, τὰ σά,
ὡς εἶχεν ἄλλως τἀπὶ γῆς τότ' ἢ τανῦν!
2 Ἔκρυπτε γὰρ κάλυμμα τἀληθὲς τότε
καλῶς, βροτείας πλάσμα θελξίνουν φρενός.
Ζωῆς ἅπασ' ἦν ἡ κτίσις πεπλησμένη,
τὰ νῦν δ' ἀναίσθητ' εἶχεν αἴσθησιν βίου.
Τὴν δ' εὐγένειαν τῇ φύσει μείζω νέμων
ὁ νοῦς βροτοῖς νιν ἐξέφαινε φιλτέραν.
Ἴχνη δ' ἑώρων ἢ σκιὰν θεοῦ τινος
ἐν πᾶσιν ὄψεις ἴδριες μυστηρίου.
3 Ὅπου σοφοὶ νῦν οἱ φύσιν κατειδότες
φασὶ στρέφεσθαι σφαῖρον ἄψυχον πυρός,
χρυσοῦν ὁ Φοῖβος ἅρμα τέθριππον τότε
ἤλαυνε σεμνῶς ἀστιβοῦς δι' αἰθέρος.
Ὄρη πάλαι τάδ' ἦν Ὀρειάδων πλέα.
Δένδρῳ δ' ἐνῴκει παντὶ νύμφη τις Δρυάς,
ἐξ ὑδριῶν δ' ἔβλυζε Ναΐδων καλῶν

Ῥείθρων διαυγὲς νᾶμ' ἀφρῶδες ἐκρέον.
4 Ἔθει βοηθὸν ἡ δάφνη κείνη τινὰ
καλοῦσα. Σιγᾷ Ταντάλὶς τῇ δ' ἐν πέτρᾳ.
Οὗτος γόους Σύριγγος ἐξηγεῖ δόναξ.
Ἄλσος δ' ὀδυρμοὺς τοὺς Φιλομήλας ἐκθροεῖ.
ῥύαξ ἐκεῖνος δακρύων λοιβὰς ἔχει
Δηοῦς στενούσης Περσέφασσαν τὴν κόρην.
Ἐκ γηλόφου δέ γ' ἡ Κυθήρη τοῦ πέλας
μάτην ἐφώνει, φεῦ, Ἄδωνιν τὸν φίλον.
5 Γένει βροτῶν ἔθ' οἱ θεοὶ συνήεσαν,
ὑπερνεφῆ λείποντες οὐρανοῦ δόμον·
ὡς ἂν δὲ Πύῤῥας εὐφυῆ κόρην ἕλῃ,
καλαύροφ' εἵλετ' ἐν χεροῖν Λητοῦς γόνος.
Βροτῶν ὁμοῦ, θεῶν τε χἠρώων γένος
ἔρως συνῆπτε συγγένειαν εἰς μίαν·
θνητοὶ δὲ σὺν θ' ἥρωσι κἀμβρότοις θεοῖς
Πάφου τ' ἔτιον κἀμαθοῦντος τὴν θεάν.
6 Θυώδεσι κλίνουσα πρὸς βωμοῖς γόνυ
θερμῶς προσηύχεθ' ἡ καλὴ θεηπόλος·
λιτὰς ἔπεμπε λαθρίας τῇ Κύπριδι,
εὐχάς τε Χάριτι τῇ πανιμέρῳ θεᾷ.
Πόθος μεγάφρων τοῦ σθένειν κἀν τοῖς ἄνω
ἔδειξεν αὐτῇ τὴν ἰσάξιον θεοῖς
τάξιν φυλάσσειν καὶ μίτραν θελκτήριον
ἱεράν, ἑλοῦσαν κἀστραπηβόλον Δία.
7 Θεῖον τὸ πῦρ ἦν κἄφθιτον τὸ Πινδάρου
σεμνοῖς ἐν ὕμνοις δωρίῳ ῥυθμῷ ῥέον,
τὸ πρὶν φλέγον φόρμιγγα τὴν Ἀρίονος
καὶ ζωοποιοῦν τὸν λίθον τοῦ Φειδίου.
Κρείττους φύσεις ὄψεις τε καλλίους πάλαι
τὸ σφῶν ἐδήλουν ἐξ ὑπερτέρων γένος.
Ἐξ οὐρανοῦ δ' ἐς τήνδε φοιτῶντες χθόνα

εὕρισκον ἄλλον οὐρανὸν θεοὶ κάτω.
8 Ὡς δὴ παρ' εὔνου κἀγαθοῦ θεοῦ τινος
δώρημα πᾶν φύσεος ἦν τιμιώτερον.
Καλῆς ὑφ' ἀψῖδ' Ἴριδος πρὶν καλλίων
ἄρουρ' ἔθαλλε μαργάρων πεπλησμένη.
Ἔφαινε δ' ὄρθρον ἀγλαώτερον τότε
Ἕως ῥοδόχρουν ἠμφιεσμένη πέπλον.
Ἵει δὲ σύριγξ ἥδιον πολλῷ μέλος
ἐν χερσὶ Πανὸς τοῦ θεοῦ τῶν ποιμένων.
9 Φαιδρᾶς λατρείας τῆς τότ' ἦν πόῤῥω, θεοί,
Σκυθρωπὸν ὄμμα κἀποχὴ τερπνῶν βίου.
Πᾶσι προσῆκεν ὀλβίους βιοῦν τότε·
ὑμῖν γὰρ ἦν πᾶς ὄλβιος πρὸς αἵματος.
Μόνον τὸ κάλλος πᾶσιν ἦν σεπτὸν πάλαι.
αἰσχρὰν δὲ καὶ θεός τις οὔτιν' ἐν βίῳ
ἡγεῖθ' ἑαυτῷ τέρψιν, ἥν περ αἰδόφρων
Μοῦσα προηγόρευε καὶ θεὰ Χάρις.
10 Δόμοις ἀνάκτων ἶσ' ἐμάρμαιρον νεῴ.
Ἰσθμοῦ δ' ἑορταῖς ἐν πολυστέπτοις θαμὰ
ὑμᾶς ἐκύδαιν' ἆθλος ἡρώων κλυτός,
πρὸς τέρμα τ' ἐκρόαινον οἱ πῶλοι δρόμου.
Πέριξ δὲ βωμοῦ τοῦ πυριφλεγοῦς χοροὶ
τότ' εὐπλεκεῖς ἔῤῥυθμον εἵλισσον πόδα.
Νίκης δ' ἐκόσμουν εὐθαλεῖς κλάδοι κάρα
ὑμῶν, κόμην τ' εὔοσμον εὐανθῆ στέφη.
11 Εὔασμα θύρσους χερσὶ σείοντος στρατοῦ
ζεῦγός τε πάρδων, ἕλκον ἀγλαὸν δίφρον,
ἤγγελλε τερψίθυμον Εὔϊον μέγαν.
Μεθυσφαλὴς δ' ἡγεῖτο Φαῦνος σὺν φίλῳ
σατύρῳ, σαβαὶ δ' ἥλλοντο Μαινάδες κύκλῳ,
ὧν οἱ χοροὶ τὸν θεῖον οἶνον ηὐλόγουν·
αἰθὰς δ' ἂν εἶδες πανδόκου παρηΐδας

φαιδρῶς καλοῦντος ἐς πόσιν τὰς θυιάδας.
12 Δεινὸν τότ᾽ οὐδὲν τῇ κλίνῃ παρίστατο
φάντασμα τοῦ θνήσκοντος· ἀλλὰ λοισθίαν
πνοὴν φίλημ᾽ ἂν χειλέων ἐξείλετο,
καὶ δᾷδα δαίμων ἔσβεσ᾽ ἂν κλίνας κάτω.
Κἀν νερτέροις Θέμιστος ἀκριβῆ ζυγὸν
θνητῆς κατεῖχε θνητὸς ἔγγονος τότε.
Θρῆνος δ᾽ ἀοιδοῦ Θρᾳκὸς ἀψικάρδιος
καὶ τὰς Ἐριννῦς ἦγεν εἰς οἶκτον θεάς.
13 Εὔφρων ὁ νεκρὸς τὰς ἄνω τέρψεις πάλιν
εὕρισκε νέρθεν, ἠλύσιον ἥκων πέδον.
Ἔρως σύνευνον πιστὸς εὕρισκ᾽ αὖ πάλιν
διφρηλάτης ἤλαυνεν ἠθάδα δρόμον·
εἰωθότ᾽ ᾖδε καὶ κάτω Λίνος μέλη·
Ἄλκηστιν ἀγκὰς εἶχεν Ἄδμητος πάλιν·
φίλον δ᾽ ἐπέγνω κεῖθ᾽ Ὀρέστης ἐντυχών·
ἰοὺς δ᾽ ἀνεῦρε καὶ Φιλοκτήτης πικρούς.
14 Τοὺς τἀγαθὸν πονοῦντας ἐῤῥώνυ γέρα
μείζω τόθ᾽, ὥστε δύσπονον τελεῖν δρόμον·
οἱ γὰρ κράτιστα δρῶντες ἔργ᾽ ἐν τῷ βίῳ
ὑπερνεφεῖς ἤροντο πρὸς θεοὺς ἄνω.
Σιγῇ κατῄνουν οἱ θεοὶ τῷ νερτέρῳ
θεῷ, θέλοντι τοὺς νεκροὺς ἄγειν πάλιν.
Ὀλυμπόθεν δὲ τοῖς πλέουσιν εὐμενὴς
ἔφαινε ναύταις ἡ Διοσκούρων δυάς.
15 Κάλλιστε Κόσμε! ποῦ ποτ᾽ εἶ; παλίντροπος
ἔλθ᾽ αὖθις ἡμῖν, ἡδὺ τῆς φύσεως ἔαρ.
Ἤπου σὸν ἴχνος ἐν μόνοις τῶν ᾀσμάτων
τοῖς μυθοπλάστοις χωρίοις νῦν σώζεται.
Πένθος νεκρὸν νῦν τὸν ἀγρὸν σύμπαντ᾽ ἔχει.
Ὀφθαλμὸς οὐμὸς οὐδέν᾽ εἰσορᾷ θεόν.
Ἐξ εἰκόνος δὲ τῆς πάλαι ζωθαλμίου,

φεῦ, οὐδὲν ἡμῖν ἡ σκιὰ νῦν λείπεται.
16 Ἐκεῖνα τἄνθη πάντ' ἀπεῤῥύη χαμαί,
ψυχραῖς ἀπαυανθέντα βοῤῥείαις πνοαῖς.
Γένος δ' ὀλέσθαι τῶν θεῶν ἐκεῖν' ἔδει,
ἵν' εἷς ἁπάντων κερδάνῃ θεῶν μόνος.
Σκοπῶν κατηφὴς τὴν ἔναστρον ἄντυγα,
ὁρᾶν ἐν αὐτῇ σ' οὐκ ἔχω, Φοίβη θεά.
Καλῶν σ' ἐν ὕλαις ποντίοις τ' ἐν κύμασιν,
Ἠχὼ μόνην, φεῦ, ἐξ ἐρημίας κλύω.
17 Χαρᾶς ἄγευστος, ἧς βροτοῖς ἔστ' αἰτία,
ὑφ' ἧς ἄθελκτος οὖσα καλλονῆς ἀεί,
πνεῦμ' ἀγνοοῦσα δ', ᾧ τὸ πᾶν ἰθύνεται,
εὔποτμος οὔ ποτ' ἐξ ἐμῆς εὐποτμίας,
τὴν τοῦ κτίτου δ' ἄρ' οὐδάμ' εἰδυῖ' ἀξίαν,
ἄψυχον ὡς σήμαντρον ὡρογνώμονος,
τῷ τοῦ βάρους ἅπασα πειθαρχεῖ νόμῳ
ἡ νῦν πνοῆς ἄμοιρος ἔκθεος[1] Φύσις.
18 Ἵν' ἐξαναστῇ καινόμορφος αὔριον,
αὐτὴ τὸν αὐτῆς σήμερον τεύχει τάφον.
Μῆνες δ' ἑλίσσοντ' ἐξελίσσονταί τ' ἀεὶ
ταὐτοῦ 'πὶ νήτρου τοῦδ' ἀειστρεφοῦς πόλου.
Εἰς τὴν ἀοιδῶν οἱ θεοὶ χώραν πάλιν
ᾤχοντο, Κόσμῳ τῷδ' ἅτ' οὐκ ὀνήσιμοι,
ὅς περ θεῶν ῥυτῆρος οὐ προσδεῖτ' ἔτι,
ἀλλ' ἐξ ἑαυτοῦ σώζετ' αἰωρούμενος.
19 Ὤχοντο κεῖνοι· σὺν δ' ἀπήνεγκαν καλὰ
χὐψηλὰ τὰ πρὶν πάντα· πᾶν μὲν ἐν φύσει
ἄνθισμα χροιᾶς, πάντα δὲ ζωῆς τόνον,
λιπόντες ἡμῖν μῦθον ἄψυχον μόνον.
Χρόνου φυγόντες τὴν ἀείδιον ῥοήν,

---

[1] *Ἔκθεος* φύσις· ἐστερημένη θεῶν.

ἐνευδιῶσ' ὕπερθε Πίνδου δειράδων·
ἃ γάρ τ' ἐν ᾠδαῖς ζῆν ἀεὶ μέλλει βροτῶν,
δέον βίον ταῦτ' ἐκλιπεῖν τὸν ἐνθάδε.

ΜΕΤΑΦΡΑΣΙΣ ΤΟΥ ΔΗΜΟΤΙΚΟΥ ᾼΣΜΑΤΟΣ

ΟΥ Η ΑΡΧΗ

(*Μάννα μὲ τοὺς ἐννέα σου υἱούς*).

Υἱῶν σὺ μήτηρ τρὶς τριῶν κεκλημένη
μιᾶς τε παιδὸς φιλτάτης, ὡς ἀξία
πολλῶν πέφηνας δακρύων ἐν μητράσιν!
Οὐχ ἡλίου σὴν ὄμμα παμφαές ποτε
κόρην ἐσεῖδεν, ἀλλ' ὑφ' ἑσπέρου καλῷ
ἄστρων τ' ἔλουες κἀκόμιζές νιν φάει,
πλέκουσα χρυσοῦς ἐν δόμοισι βοστρύχους.
Πόῤῥωθεν ἧκον ἐκ Βαβυλῶνος γάμον
τὸ πρὶν ἐκείνης μνώμενοι· παῖδες μὲν οὖν
ὀκτώ σ' ἀδελφὴν ἐς ξένην οὐκ ἠξίουν
ἐκδόσθ'. ὁ δ' ἤθελ' ἔννατος Γεώργιος,
ἔκδου, λέγων, ὦ μῆτερ, ἐς χθόνα ξένην,
ἔκδου Μαρῖναν, ὡς ἐν ἀλλοδημίᾳ
ὁμοῦ στέγην τε καὶ παραψυχὴν ἔχω.
Ἡ δ' ἀντέλεξε “ νουνεχὴς μέν, ὦ τέκνον,
» ἀεὶ δοκεῖς μοι· τοῦτο δ' οὐκ ἐχεφρόνως
» σῆς ἀμφ' ἀδελφῆς τοὔπος εἴρηκας γάμου·
» ἢν γὰρ νόσος τις, ἢ τὸ τοῦ βίου τέλος
» ἔλθῃ ποτ', ἢ λύπη τις ἢ δὴ χαρμονή,
» τίς παῖδά μοι πόῤῥωθεν ὧδ' ἄξει πάλιν;

Ὁ δὲ προθύμως μητρὶ τοῦθ' ὑπέσχετο,
τὸν παντάνακτα Χριστὸν ἔγγυον λόγου,
ἁγίους δὲ πάντας μάρτυρας τούτου τιθείς,
εἴτις γένοιτο τῆς θυγατρὸς ἐν βίῳ
χρεία, ξένηθεν αὐτὸς ἄξειν νιν πάλιν.
Ἔκδημον οὖν ἐγήμαθ' ἡ κόρη γάμον.
Ἔτους δ' ἔπειτ' ἐλθόντος ἐχθίστου χρόνῳ
μηνός τ' ὀλέθρου, παῖδας εἷλεν ἐννέα
λοιμὸς πανώλης κἀξερήμωσεν δόμον.
Ἔμεινε δ' ἡ πρεσβῦτις, ὥσπερ ἐν γύᾳ
καλάμη καρεῖσα φύλλα καὶ στάχυς μένει.
Ταφαῖς ἐπ' ὀκτὼ δυστάλαιν' ἐκόπτετο·
λίθον δ' ἀνεῖχε τυμβίαν ἐπ' ἐννάτῃ,
θροοῦσα τοῖα· "Δεῦρ' ἀνάστα μοι, τέκνον·
» χρῄζω Μαρίνης τῆς ἐμῆς, Γεώργιε·
» σὺ γάρ θ' ὑπέσχου καὶ παρέσχες μοι πρόφρων
» ἄνακτα Χριστὸν ἔγγυον τοῦ σοῦ λόγου
» ἁγίους δὲ πάντας μάρτυρας πιστοὺς ἀεὶ
» ξένηθεν ἄξειν αὐτὸς αὖθις παῖδ' ἐμήν,
» εἴτις γ' ἐκείνης μητέρ' εἰσέλθοι πόθος."
Τοιῷ δ' ὀδυρμῷ μητρὸς ἐκ τάφου νέκυς
τάχιστ' ἐγερθείς, ὥσπερ ἵππῳ μὲν νέφει
ἐχρήσατ', ἄστροις δ' ὡς φαειναῖς ἡνίαις·
μήνην δ' ἔχων ὅμηλυν, ὡρμήθη κάσιν
πόῤῥωθεν ἄξων μητρὶ δυστέκνῳ πάλιν.
Πόλλ' οὖν ὑπερπτὰς ὡς τάχιστ' ὄρη χθονός,
εἰς δῶμ' ἀδελφῆς φιλτάτης ἀφίκετο.
Τὴν δ' εὗρ' ὑπ' αὐγαῖς εὐθετίζουσαν κόμην
λαμπρᾶς σελήνης δώματος καλοῦ πάρος,
καί νιν προσειπὼν τηλόθεν τοῖ' ἐθρόει·
» Δεῦρ', ὦ Μαρῖνα· μάμμα γὰρ χρῄζει σέθεν·
» ἡ δ' εἶπεν· οἴμοι· τοῦ χάριν πρὸς μητέρα,

» ἀδελφὲ φίλταθ', ὧδ' ὀψέ μ' ἐλθὼν καλεῖς;
» Εἰ μὲν πατρῷος οἶκος εὖ ἔχει, φάθι,
» χρυσοῦν ἵν' ἔλθω κόσμον ἠμφιεσμένη·
» εἰδ' αὖ κακῶς, ἄκοσμος ὧδ' ἐλεύσομαι·
πρὸς ταῦτ' ἐκεῖνος· " ὡς ἔχεις, ὁδοιπόρει· „
Τοῖν δ' οὖν ἰόντοιν ἀτραπὸν τὴν οἴκαδε,
ὄρνιθες ἐφθέγγοντο τοιάδ' ᾄσματα·
τίς νεκρὸν εἶδ' ἄγοντα καλλίστην κόρην;
Συνῆκ' ἐκείνη καὶ κασιγνήτῳ λέγει·
τάδ' οὐκ ἀκούεις φθέγματ' ὀρνίθων, κάσι,
οἳ φασὶ νεκρὸν παγκάλην κόρην ἄγειν;
Ὁ δ' εἶπεν· ὄρνεις εἰσὶν ᾄδοντες μάτην.
Ἐπεὶ δ' ὁδίτα προὐβάτην πορρωτέρω,
ὄρνιθες αὐτοῖς τοιάδ' αὖ ᾖδον πάλιν·
τί τοῦθ' ὁρῶμεν, ζῶσι συνδρόμους νεκρούς;
Πάλιν δ' ἐκείνη τῷ κασιγνήτῳ λέγει·
ᾠδὴν νέαν τήνδ' οὐ κλύεις τῶν ὀρνέων;
ζωοῖς λεγόντων συμπορεύεσθαι νεκρούς;
Ὁ δ' αὖ μάται' ἔφησε τοὺς ὄρνεις θροεῖν·
Τρίτον τότ' ηὔδα τῷ κασιγνήτῳ κόρη·
δέδοιχ', ὅτι πνεῖς θυμιάματος, κάσι.
Ὁ δ' ἀντέφησε· χθὲς γὰρ ἐς τὸν Προδρόμου
ἐλθόντα ναόν, ὡς ἔθος, πρὸς ἕσπερα
λιβάνῳ μ' ἐθυμίασε παμπόλλῳ θύτης.
Ἰοῦσι δ' αὐτοῖς τὴν ὁδὸν πορρωτέρω
ὄρνιθες ἄλλοι σύνθροοι μέλος τόδε
ᾖδον· μέγ' ἡμῖν, πανσθενὲς φαίνεις Θεέ,
τὸ θαῦμ', ἄγοντα παγκάλην κόρην νέκυν.
Ἤλγησεν, ὡς ἤκουσε καὶ τοῦθ' ἡ κόρη,
κἀνήρετο „ φθέγμ' ἔκλυες τὸ δ' αὖ, κάσι;
Ποῦ σοι κόμη τ' ἔρρει τε καὶ μύσταξ δασύς;
Ὁ δ' εἶπεν· ἐγγὺς τοῦ θανεῖν κακὴ νόσος

» συσχοῦσα πρώην μ' ἤγαγ' ἡδ' ἐθειράδος
» ξανθῆς ἀπεψίλωσε μύστακος θ' ὁμοῦ.
Ἐπεὶ δὲ μητρὸς οἶκον εἰσαφικέτην,
θύραν μὲν εὗρον εὖ ἐπεζυγωμένην,
θυρίδας δὲ πάσας ἔμπλεως ἀραχνίων.
Παλίμβιος δ' ἀράσσων νυκτὸς ἐν ζόφῳ
θύρετρ' ὁ νεκρὸς ὧδ' ἐφώνει μητέρα.
» Ἄνοιγε, μῆτερ· δεῦρ' ἄνοιγε· σὴν κόρην
» ἄγω Μαρῖναν, ὡς ὑπεσχόμην ποτέ.
Ἡ δ' ἔνδοθεν πρεσβῦτις ἀντέφη τάδε·
» Εἰ γ' εἶ Χάρων, ἄπελθε τοῦ γ' ἐμοῦ δόμου·
» οὐ γὰρ τέκν' ἄλλ' ἔχω σοι· πάνθ' ἑλὼν ἔβης.
» ἐμὴ δ' ἄπεστιν ἐν ξένῃ χώρᾳ κόρη.
» Ἄνοιγε, μῆτερ· υἱὸς αὐτηύδα πάλιν·
» ἄνοιγε, μῆτερ· εἰμὶ σὸς Γεώργιος,
» ὅς σοι Θεὸν παρέστησ' ἔγγυον λόγου
» ἁγίους τε πάντας μάρτυρας πιστοὺς ἀεί,
» ἄψοῤῥον ἄξειν ἐκ ξένης τὴν παῖδά σοι,
» εἴ σοι γένοιτο συμφορά τις ἐν βίῳ,
» ἢ χαρμονή τις καὶ σ' ἕλοι παιδὸς πόθος.
» Ἡδ' ἔνδοθεν κλύουσα ταῦτα τὴν θύραν
ὥρμησ' ἀνοῖξαι· πρὶν δὲ βῆμ' ἔξω δόμου
θεῖναι γεραιὸν προὔλιφ' ἡ ψυχὴ δέμας.

ΜΕΤΑΦΡΑΣΙΣ ΤΟΥ ΔΗΜΟΤΙΚΟΥ ΑΣΜΑΤΟΣ

ΟΥ Η ΑΡΧΗ

(*Μάννα, σοῦ λέγω, δὲν 'μπορῶ τοὺς Τούρκους νὰ δουλεύω.*)

Μῆτερ ἐμὴ τριφίλητ', ὠμόφροσιν οὐκέτι Τούρκοις
δουλεύειν δύναμαι· τέτρυταί μοι κέαρ ἔνδον.
Τῷ ῥα λαβὼν ἐν χερσὶν ἐμὸν τάχα πυρβόλον ὅπλον,
ζωσάμενος τ' ἄορ, ληϊστῇς ἡγεμονεύσω,
καὶ ὀρέων οἰκήσω ἐν ἄγκεσιν ὑψικαρήνων,
ἔνθα δρύεσσι θ' ὁμιλήσω καὶ θήρεσιν ὕλης,
καὶ χιόν' ἕξω χλαῖναν ἰδ' εὑδήσω ἐπὶ πέτρῃς,
ληϊστῶν δ' ἄρ παισὶ μετέσσομαι ἤματα πάντα.
Μαμμίδιον, μὴ κλαῖε· ἀπέρχομαι· εὔχεο, μῆτερ,
πλείστους δυσμενέων με κατακτάμεν ὀξέϊ χαλκῷ·
ἐν δ' αὐλῇ ῥοδέην τε δίανθόν[1] θ' ἡδὺ πνέοντα
χείρεσι σῇσι φύτευσον ἰδ' ἐνδυκέως ἀτίταλλε,
ἀμφότερ' ἀρδεύουσα φυτοτρόφῳ ὕδατι πηγῆς.
Ὄφρ' οὖν θάλλει ταῦτα καὶ ἀνθοφορεῖ παρὰ δῶμα,
υἱὸς σός, μῆτερ, ζώει καὶ μάρναται ἐχθροῖς·
ἢν δέ ποτ' ἄμμι πικρὸν καὶ μόρσιμον ἦμαρ ἵκηται,
ὀξὺ δ' ἐκεῖνα μαρανθῇ ἰδ' ἄνθεα χεύῃ ἔραζε,
βλήμενον ἴσθι τόθ' υἷα, καὶ εἵματα πένθιμα ἕσσαι.
Δώδεκ' ἔβησαν ἔτη καὶ τρεῖς ἐπὶ δώδεκα μῆνες,

---

[1] Ἡ λέξις *δίανθος* οὐχ εὕρηται παρὰ τοῖς ἀρχαίοις, ἀλλὰ τῶν νεωτέρων ἐστὶ φυτολόγων, τὸ γένος τῶν καρυοφύλλων σημαίνουσα. Τέθειται δ' ἐνταῦθα ἀντὶ τοῦ ἰδίως παρ' ἡμῖν καλουμένου *καρυοφύλλου* καὶ χυδαϊκώτερον *γαροφάλλου*, ὅπερ διὰ τὸ εὔχρουν καὶ ἡδύπνουν τῶν ἀνθῶν αἱ φιλόκαλοι γυναῖκες ἐπιμελῶς ἐν ταῖς οἰκίαις φυτοκομοῦσιν. Ἐσχημάτισται δὲ ἡ λέξις κατὰ τὸ ἐν τοῖς λεξικοῖς εὑρισκόμενον *πολύανθος*=*πολυανθής*.

τόφρα δ' ἔθαλλε ῥοδῆ καὶ ἡδὺ ἔπνειε δίανθος.
Εἶτα ποτ' εἴαρος ὥρῃ, ὅτ' ὤρνυτο φωσφόρος ἠώς,
χθὼν δὲ πόλος τ' ἐγέλα, ὀρνίθων τ' ἔθνε ἄειδεν,
ἄφνω ὕπερθ' ἤστραψε καὶ ἔκτυπεν ἐν νεφέεσσι
δεινόν, σὺν δ' ἐκάλυψε πυκνὸς γνόφος αἶαν ἅπασαν.
'Εστονάχησε ῥοδῆ καὶ δάκρυ' ἕηκε δίανθος.
ἄμφω δ' ἐξεμαράνθη ἰδ' ἄνθεα χεῦεν ἔραζε.
σὺν δ' ἄρα τοῖς μήτηρ δειλὴ χαμαὶ ἤριπεν ἄπνους.

ᾨΔΑΙ

ΚΑΙ ΠΟΙΚΙΛΑ ΑΛΛΑ ΠΟΙΗΜΑΤΑ ΚΑΙ ΕΠΙΓΡΑΜΜΑΤΑ

ΠΡΩΤΟΤΥΠΑ.

ΩΔΗ

ΕΝ ΜΕΤΡΩ ΣΑΠΦΙΚΩ ΔΙΑΛΕΚΤΩ ΔΕ ΔΩΡΙΚΗ

εἰς τὴν ἡμιπεντηκονταετηρίδα ἑορτὴν τῶν ἀποβατηρίων τοῦ πρώην βασιλέως τῆς Ἑλλάδος Ὄθωνος, ποιηθεῖσα ἐντολῇ τῆς Ἀκαδημαϊκῆς Συγκλήτου καὶ προσενεχθεῖσα τῷ Βασιλεῖ ἐξ ὀνόματος τοῦ συλλόγου τῶν καθηγητῶν τοῦ Πανεπιστημίου τῇ κε΄. Ἰανουαρίου ἔτει αωνη΄.

Ἀλλὰ παλαιὰ γὰρ εὕδει
χάρις, ἀμνάμονες δὲ βροτοί·
ΠΙΝΔ. ΙΣΘΜ. Ζ΄.

Ἑλλάδ' ἀκτὶς γαθοσύνας ἐπ' αἶαν
κίνδναται πᾶσαν, λιγυρὰ δὲ μολπὰ
Ἄργεος καθ' ἱπποβότω κλεεννὰν
ἀόν' ὄρωρεν·
ἔνθα γ' ἐκ Νείλω ῥεέθρων πάροιθε
κέλσεν εὐσέλμῳ πολύφλοισβον οἶδμα
ναΐ Βαλίδας Δαναὸς περάσας
οἷς σὺν ἑταισι.
Καί ῥ' ἱδρείαν Ἰναχίδαις ἔνεικε
Χέμμιδος πολισσονόμως τε θεσμώς.
πολλά δ' ἀγνῶτας βιόχρηστα λαὼς
ἔργα δίδαξε.
Τί χρέος νῦν τοσσατίαν ἀγείρει
κεῖθι πληθὺν Ἑλλάδος ἐξ ἁπάσας
ἐκκρίτων ἀνδρῶν; τί δέ τέ σφι γᾶθος
ἦτορ ὀρίνει;
Ἠνὶ Ναυπλίας ἀπ' ἄκρας ἐρίπνας
βρυχίαν χαλκόστομος ὅλμος ἀχὼ
τῆλ' ἑορτᾶς δαμοτελοῦς ἵησιν
ἀγγελιῶτιν.

Ἠνὶ νηρίθμων σελάγισμα πυρσῶν
ἀμ πόλιν τειχήρεα Ναυπλίοιο
Ἑλλάδι φράσδει πολύευκτον ἥκειν
πάντεσιν ἆμαρ·
πεντάκις γὰρ πέντε τέλεσσε γαῖα
παμφαὲς πόλω περὶ ὄμμα κύκλως,
ἐξότε σκαπτοῦχος Ὄθων ἔκελσε
ναυπλίᾳ ἀκτᾷ,
ὄζος ἠΰς εὐκλεέος γενέθλας
τᾶς Βιτλεσβάχων, μεγάλ' ἅ τ' ἔρεξε,
νῦν τε λαοῖς Βαυαρίας μεναίχμαις
πᾶσιν ἀνάσσει.
Τίς πόκ' ἔντ' ἀνάκοος εὐρυτίμω
Λουδοβίκω, τὸν ῥ' ἑλικωνία τε
κοσμέει δάφνα, βασιλήϊόν τε
στέμμα κάρανον;
Τῶ ῥ' Ὄθων ἐκφὺς ναέταις νέοισιν
Ἑλλάδος νέος Δαναὸς φαάνθη,
Ἰνάχω ῥοὰς Πέλοπός τε νᾶσον
τηλόθεν ἐλθών.
Καὶ γὰρ εἰράναν ὑπ' Ἄρηϊ πολλὰ
τλᾶσιν Ἑλλάνεσσι δίκαν τ' ἔνεικεν
ὀρθίαν, ἐλευθερίας ἐραννᾶς
βάθρον ἄσειστον.
Λῦσε δ' ἔμφυλον πινυτᾶτι νεῖκος,
ἄγριον δάκος, κραδίαν κατέσθον
δαρὸν Ἑλλάδος, φιλότατ' Ἀχαιῶν
φρασσὶ φυτεύσας.
Τεῦ, ἄναξ, ἕκατι καθ' Ἑλλάδ' αὖθις
ἐκ τέφρας παντᾷ πόλιες φύονται,
καί τε Δηοῦς δῶρα γύας καλύπτει,
χρύσεα λαῖα·

Τεῦ ἕκατι γλαυκοχρόῳ κομῶντι
κοιλάδες καὶ κλίτεα γᾶς ἐλαίᾳ,
εὔφρονος δέ τ' ἀμφιτέθαλεν ἔρνος
εὔβοτρυ Βάκχω.
Τεῦ ἕκατι δ' αὖθις ἀν' ἄλσε' ἀχὼ
ποιμένων αὐλὸς προχέει λιγεῖαν·
αἰπόλος δέ τ' Ἀρκαδίας ἀν' ὥρη
Πανὶ χορεύει·
Τεῦ ἕκατι ναυσὶ τόσαισιν οἶδμα
τέμνετ' Αἰγαῖον τανυσιπτέροισιν,
ὅσσα κύκνων οὔ ποκ' ἔπλευσεν ἔθνη
ῥεῦμα Καΐστρῳ·
ἀλλὰ καὶ κώρας Διός, αἵ τ' ἀϋτὰν
βαρβάρων ἀτυζόμεναι ῥέεθρον
Ἱπποκράνας κάλλιπον, Ἑλλάδ' ἐς γᾶν
ἄγαγες αὖθις·
Παλλάδος δ' ἐν ἄστεϊ πουλυκλείτῳ
ἀγλαόν σφι δείμαο ναόν, ἔνθα
προσπόλως θεῶν πολέας κάλεσσας
ἠδ' ὀαριστάς.
Χαῖρ', ἄναξ Ὄθων· τόδε δέχνυσ' εὔφρων
προσπόλων ναῶ ἔπος ἐξ ἁπάντων,
ἐκ φρενὸς πιστᾶς προϊόν, τεόν τε
θῶκον ἱκᾶνον.
Χαῖρ', ἄναξ Ὄθων, σὺν ὁμοθρόνῳ τε
ζᾶθι δαρὸν Ἀμαλίᾳ τρισέπτῳ,
σκᾶπτον αἰγλᾶεν σθεναραῖσιν αἰὲς
χείρεσι νωμῶν.

ΩΔΗ

εἰς τὴν ἡμιπεντηκονταετηρίδα ἑορτὴν τῶν γάμων τοῦ πρῴην βασιλέως τῆς Ἑλλάδος Ὄθωνος καὶ τῆς βασιλίσσης Ἀμαλίας τῇ α΄ Νοεμβρίου ͵αωξά.

Ἐποιήθη ἐν διαλέκτῳ Πινδαρικῇ κατὰ τὰ μέτρα τῆς Η τῶν Ὀλυμπιονικῶν Πινδάρου[1] ἐντολῇ τῆς Ἀκαδημαϊκῆς Συγκλήτου.

Στροφὴ ά.

Ἀγρόταν Δίρκας ποτὶ νάμασι καὶ Κάδμου πύλαις
στυφλὰν ὀρύσσοντα χθόνα πρίν ποτε φαντὶ
ἔγκασιν γᾶς δηθάκι κευθομέναν φόρμιγγ' εὔπακτον ἀνευρεῖν,
τὰν ἐλελιζομέναν αὔραις ὕπο,
χειρί περ ἀθιγέα
βροτέᾳ, θαῦμ' ἐννέπειν,
ἁδὲ' ἐξαχεῖν μέλη·

Ἀντιστροφὴ ά.

Φρασσὶ δ' ἀμφ' εὑρήματι κεῖνος ἐγάθησεν λίαν,
θαεῖτό τ' ὀφθαλμοῖς κτέανον θεοτευχές,
τῷ τ' ἐν ἀνθρώποισιν ἐέλπετ', ἀοιδᾶς τερψινόου περ ἄϊδρις

---

[1] Περὶ τῶν μέτρων τῆς Η τῶν Ὀλυμπιονικῶν Πινδάρου ᾠδῆς καὶ καθόλου περὶ τῶν Πινδαρικῶν μέτρων ἴδε Βοίκχιον.

Σημειωτέον δ' ἐνταῦθα ὅτι ὁ τὴν νεωτέραν μετρικὴν θεωρίαν τοῦ Βεστεφαλίου ἐν τοῖς κυριωτέροις ἀποδεχόμενος Ἐῤῥίκος Σμίδιος ἐν τῷ μετρικῷ αὐτοῦ πονήματι τῷ ἐπιγεγραμμένῳ *Eurythmie in den Chorgesaengen der Griechen* *δακτυλοεπιτριτικὴν* ὑπολαμβάνει καὶ ὀνομάζει τὴν μορφὴν τοῦ ῥυθμοῦ τῆς εἰρημένης τοῦ Πινδάρου ᾠδῆς· τὰς γὰρ στροφὰς καὶ ἀντιστροφὰς καὶ τὰς ἐπῳδοὺς αὐτῆς ἐκ δακτύλων συνεστάναι φησίν, ὧν ἡ μακρὰ συλλαβὴ οὕτω βραχύνεται, ὥστε *ἄῤῥητος* γίγνεται· διὰ δὲ τοῦτο ὁ μὲν δάκτυλος τροχαίου, ἡ δὲ δακτυλικὴ διποδία —◡—— δευτέρου ἐπιτρίτου λαμβάνει μορφήν· ὅθεν τὸ εἰρημένον τοῦ ῥυθμοῦ ὄνομα.

πάμπαν ἐών, ἄπονον δρέψειν κλέος,
καὶ παρὰ χρυσοθρόνων
γέρας ἕξειν εὐμαρὲς
εὐρυτίμων κοιράνων.

Ἐπωδὸς α'.

Ἀλλ' Ἑλλὰς ὅπλον μέγαν εἶχ' ἐκ βαρβάρων,
ἄχθος ἐπαυχένιον ζεύγλας ὀχέοισ' ἀμάχου.
Πάντοθε δὲ στοναχαί τ' ὤρνυντ' ἀεὶ
καὶ γόοι· οὐδὲ μέλισμα
ἄρμενον ἀδυθρόου φόρμιγγος ἔην τότε· τοιγὰρ
ὄρνις ἀπ' αἰθέρος ἀΐξαις Διὸς εὔπτερος ἠδ' ἐξαρπάσαις
κεῖνο Μοισᾶν ὅπλον αὐτόθροον
πόλονδ' ἀναπτὰς ᾤχετο.

Στροφὴ β'.

Νῦν δέ, δουλείας ὅθ' ὑπὲξ ἀλεγεινᾶς εἴρυται
παίδων ἑῶν ἀλκᾷ μεγαλώνυμος Ἑλλάς,
δέρκεται δ' ἐλευθερίας φάος ἱμερτόν, βασιληΐδ' ὑπ' ἀρχᾷ
ἔμπεδον ὄλβον ἔχοισ' ἔξω κακῶν,
τίς ποτ' ἐκεῖνο πάλιν
κτέαρ οἴσει μοι θοῶν
αἰετῶν ἀδύθροον;

Ἀντιστροφὴ β'.

Τερψιθύμου γὰρ χατέω μελιφώνων ὀργάνου
Μοισᾶν ἐκείνου, τοῦ κεν ἐς εὔφρονα ῥυθμὸν
ὕμνον ἐντείναιμι πρέποντα πάτρας σεμνοῖς βασιλεῦσιν, ἐπείσφι
πενταετηρίδα πέμπταν ἐκ γάμων
αἰὲν ἑλισσομένα
περὶ παγὰν φέγγεος
ἄφθιτον γᾶ πάμβοτος

Ἐπωδὸς β'.

ἐξάνυσε σάμερον· ἁγνὰν δ' Ἑλλάδος
ἐνναέταισιν ἑορτὰν χαρμοσύναν τ' ἄγαγε.

Τίς κε χρόνος φρενὸς ἐξέλοιτ' ἐμᾶς
ἅματος ἀγλαοκώμου
μνᾶστιν, ὅτ' εὐκτιμένῳ γᾶς Χαυκίδος ἐν πτολιέθρῳ
ἱμέρῳ ΑΜΑΛΙΑΣ ἁλοὺς χαριτώπιδος ἀρχὸς Ἑλλάδος,
ὀλβίου γῆμεν ΟΘΩΝ ἐρατὰν
θύγατρα Χαύκων κράντορος;

Στροφὴ γ'.

Πλῆτο μὲν σεμνὸς δόμος ἰθυδίκα Χαύκων ἀγοῦ
παῶν τε καὶ ξείνων, οἳ ἐς εὔφρονα πολλοὶ
ἤλυθον γάμου τελετάν· περὶ δὲ στείνοντο πόληος ἀγυιαὶ
ὄχλῳ ἀπειρεσίῳ ἀστῶν θ' ὁμοῦ
ἠδὲ περικτιόνων·
στεφάνους δ' εὐώπιδες
παρθένοι νύμφᾳ καλᾷ.

Ἀντιστροφὴ γ'.

νυμφίῳ τ' εἶρον θαλερῷ· μελικόμποις δ' Ἕσπερον
μολπαῖς κίκλησκον χρύσεον Ἀφρογενείας
ἐλθέμεν τάχ' ἀστέρα σὺν προπόλῳ τιμᾶντι θεᾶς Ὑμεναίῳ.
Ἕσπερος ἦλθ' ἐπακούσαις παρθένων.
ἦλθε καὶ ἱμερόεις
Ὑμέναιος δᾷδ' ἔχων
χειρί, τρίλλιστος θεός.

Ἐπῳδὸς γ'.

Τοῦδ' αἶψ' ἱερᾶς ἀπὸ δᾳδὸς λαμπάδες
ἅφθεν ἀπειρέσιαι· πᾶς δ' ὑψερεφὴς ἀπλέτῳ
φωτὶ δόμος κατελάμφθη κοιράνου·
γαθοσύνᾳ δὲ πρόσωπα
στράψε γάμῳ παρεόντων, ἔξοχα δ' ὧν γάμος ἔσκε.
Τουτάκι καὶ πόλου ὠΐχθεν πύλαι, ἅς περ ἀκοιμάτου κόρας
φρουρέει βλέμμα λυκαονίδος,
φίλον πλεόντεσσιν φάος.

Στροφὴ δ'.

Οἷον οἰχθοισᾶν σέλας ἐξεχύθη τῆμος πυλᾶν[1]
χαλκηλάτων! ὡς δ' ἔφλεγεν ἄσπετος αἴγλα
ἄντυγ' αἰπεινὰν πόλου! Αὐτίκ' ἔπειτ' Ἄρκτου μέγ' Ὀδῖνος [ἀνάσσων
ὤφθη ὁμευνίδι σὺν Φρίγγᾳ θεᾷ
χρυσοφαοῦς ἔποχος
νεφέλας· στᾶσεν δ' ἄγων
ὄκχον Ὕντα πὰρ ῥόον.

Ἀντιστροφὴ δ'.

Τῷ δ' ἄμ' ἄλλοι Τευτονίας θεοὶ ἕσποντ' ἐς γάμον,
τίοντες Ἑλλάνων ἀγανόφρον' ἄνακτα,
κράντορός τε Χαυκίδος ἀγλαὸν οἶκον καὶ πολυγαθέ' ἑορτάν!
Οὐδὲ μόνοι παρέσαν κεῖνοι θεοί!
ἦλθε καὶ ἀδυλύρας
νεφέλας πτηνᾶς ἔπι
Φοῖβος, εὐμόλπων ἄγων

Ἐπῳδὸς δ'.

Μοισᾶν χορὸν ἄλσεος ἐκ Παρνασίου.
Ἀνίκα δ' ἄρ χειρὶ νύμφας νυμφίου ἀρχιθύτας
χεῖρα συνέρσε, γαμήλιον Διὸς
μέλψαν ἄεισμα θύγατρες,
Πηλέος οἷον ὕφηναν πρὶν γάμῳ ἐν πολυΰμνῳ.
Ἀμφοτέρων μὲν ἄεισαν ἀγλαὸν αἷμα, φυάν τε καὶ νόον·
ἐν δὲ θώκῳ δολιχόν σφι βίον
σὺν ὄλβῳ εὔξανθ' Ἑλλάδος.

Στροφὴ ε'.

Ἱρόν, ὦ Μοῖσαι, προλιποῖσαι δμοῦ καὶ νῦν ὕδωρ
παρνασίδος κράνας, πόλιν ἔλθετ' Ἀθάνας,

---

[1] Τὸ χωρίον αἰνίττεται τὸ βόρειον σέλας, ὅπερ μικρὸν μετὰ τὸν γάμον λαμπρὸν ἐφάνη ἐν τῇ πρωτευούσῃ τῶν Χαύκων.

ὄφρ' ἑορτὰν Ἑλλάδος ἀγλαΐσητ' εὐαλδέσιν ἄνθεσιν ὕμνων·
πῶς γὰρ ἐμόν κε πρέπον πανδαμίῳ
ἄματι τῷδε μέλος
ἀναμέλψειε στόμα;
Κέρδιον σιγὰν ἔχειν.

Ἀντιστροφὴ έ.

Ἔλθετε, θνατοῖσι καθαγεμόνες παντερπέων
θείων ἀοιδᾶν, ὦ θεαὶ ἀγλαόδωροι·
δωμάτων δ' ὕπερθεν ἀνακτορέων στήσασαι ὑπόπτερον ἅρμα,
εὐλογίας ψακάσι ζεῦγος κλυτὸν
θώκου ἐφεζόμενον
βασιλείου ῥαίνετε,
κοινὸν Ἑλλάνων σέβας.

Ἐπῳδὸς έ.

Ὕμμες, θεαί, ἐννέπεθ', ὡς ἐνδαμίοις
νείκεσι σειομέναν γᾶν Ἑλλάδ' ἔπαυσεν ἄναξ,
ἁσυχίαν ἀγαγὼν φιλόπτολιν·
ὡς Θέμιν εἷσε Δίκαν τε,
ὥς τε καλοὺς μάλα ναοὺς ὔμμιν ἐδείματο παντᾷ·
Ἀλλὰ καὶ εὖγμα τρὶς Ἑλλάνων ἐπαύσατε πάγκοινον
[τόδε·

ΔΑΡΟΝ ΑΙΩΝΑ ΞΥΝ ΑΜΑΛΙΑι
ΝΕΜΟΙΤ' ΑΝΑΞ ΟΛΒΟΝ Τ' ΟΘΩΝ!

ΩΔΗ

εἰς τὴν ἡμιπεντηκονταετηρίδα ἑορτὴν τοῦ ἐν Ἀθήναις Ὀθωνείου Πανεπιστημίου ποιηθεῖσα διαλέκτῳ Πινδαρικῇ κατὰ τὰ μέτρα τῆς Ιης· Πυθιονικῶν[1] *ἐντολῇ τοῦ Πρυτάνεως καὶ τῆς Συγκλήτου ἔτει αωξϐ'.*

Στροφὴ ά.

Ὄλϐιος τὸν ἄνακτος
μελίφθογγοι θύγατρες φίλησαν Κρονίδα παγκρατοῦς,
γλυκὺν δὲ φρενῶν ἔπορον καρπὸν σὺν ἀοιδᾷ·
ὃ γάρ τ' ἐν πολυγαθέεσσιν ἑορταῖς λιγύθροον ἐκ χειλέων ἱεὶς
μέλος κηλέει νόον φιλόμολπον ἀνδρῶν,
σοφίας τε κράτιστον ἄρνυτ' ἐν βίῳ γέρας.

Ἀντιστροφὴ ά.

Εἴτις δ' ἀργικεραύνου
κόραισι μηδάμ' ἁδὼν ἀνάσσαις ἀγαναῖς ἀδέων
βροτοῖς μελέων, λαλαγεῖν ἄκομψ' ἀπὸ γλώσσας
θρασείας ἐθέλοι, νευρᾶν τε λιγειᾶν λύρας ἀτέχνῳ θιγγάνειν [χερί,
γέλωτ' ἐνδίκως ὅγε ψογεράν τ' ὄρινεν
ἰαχὰν ἀν' ὅμιλον, αὐτὸν δ' ἔσχ' ἀγρυξία.

Ἐπῳδὸς ά.

Ἐμοὶ δ' ἄπορ' ὅττι χρὴ δρᾶν ἑορτίῳ
ἄματι τῷδε·
Δέδοιχ' ὁμῶς γὰρ ἀτέχνου τε μελικτᾶ τύχαν

---

[1] Καθ' Ἑῤῥίκον τὸν Σμίδιον *λογαοιδικός* ἐστιν ὁ ῥυθμὸς τῆς Ιης τῶν Πυθιονικῶν Πινδάρου ᾠδῆς. Γίγνεται δὲ τοιοῦτος ὁ δακτυλικὸς ῥυθμός, τῆς μακρᾶς τοῦ δακτύλου συλλαϐῆς βραχυνομένης εἰς *ἄῤῥητον* καὶ διὰ τοῦτο τοῦ δακτύλου μορφὴν τροχαίου λαμϐάνοντος.

καὶ μέμψιν ἔμπαλι ῥαθυμίας,
ἀμνάμονος φιλίας ἐφετμᾶς
τεᾶς, Ἀσῶπι', ἐσλὲ σοφῶν πρόεδρ' Ἑλλάδος.

Στροφὴ β'.

Ἀλλά μοι πρυτανῆϊ
πιθέσθ' ἄμεινον ἔοικε· μείων δ' ἐπιμομφὰ βροτοῖς,
εἴ τις ποτ' ἐναίσιμα ῥέζων ἔκτοθι βάλλοι
σκοποῦ πὰρ νόον· Ἀνδρῶν ὧν ἐν ὁμίλῳ σοφῶν ἄγε δή, θυμέ, [σάμερον,
ὅθ' ὡρᾶν πατὴρ χρόνος μεγάλαν ἑορτὰν
ἀκαδημαϊκοῖς ἔφανεν ὀργεώνεσι

Ἀντιστροφὴ β'.

γᾶρυν εὔφρονα τεῖνον.
Διὸς βαρυσφαράγου δὲ πάμπρωτον ἄεισον κόραν
δορυσσόον, ἅτ' Ἀκαδάμου πρίν ποτ' ἐν ὄρχῳ
ἐραννοῖς ἐπὶ Κηφισσοῦ ῥεέθροις, ἂν ἵκοισ' εὔπυργον ὀλυμπόθεν
ἕδραν, σπέρμ' ἔχευεν ἐκ χειρὸς ἀμβρότοιο
σοφίας, κομίσαισα καλλίσταν βροτοῖς δόσιν.

Ἐπῳδὸς β'.

Ἄντειλεν ἐκείνου δ' ἐκ σπέρματος ἔς θ' ὑγρὰν
αἰθέρ' ἀνᾷξε,
δίοις ὑπ' ἀνδράσι καπευθὲν ἄμυμον φυτόν.
Τοῦ φυλλὰς ἀμβροσίαν ἕλκετο
ἐξ οὐρανοῦ δρόσον· εὔθερον δὲ
ἀδυθρόοισιν ἔνδιον ἔπλετ' ὀρνίχεσιν.

Στροφὴ γ'.

Ἔσπειρεν μὲν ἐκεῖνο
πολισσοῦχος θυγάτηρ φύτευμ' οὐρανόπεμπτον Διός.
γόνος δ' ἀτίταλεν Ἀρίστωνος μεγακυδής,
φέριστος σοφίας μυστᾶν· χάριτες τὸν ἔθρεψαν ἰῷ παῖδ' ἀμεμφεῖ
μελισσᾶν ἐν εὐνόμοισι πάροιθ' Ἀθάναισιν,
ἵν' ἐπιχθονίοις ὄρουσ' ὑπέρφατον σέλας.

Ἀντιστροφὴ γ′.

Ἀνδρῶν τίς κεν ἀριθμὸν
ἐρευνάσειεν, ὅσοι ῥα καρπῶν ἐπάσαντ' ἀγλαῶν
φυτοῦ φρενοτερπέος; ἶσα κἀγιαλῖτιν
ἀριθμεῖν ἐθέλειν ψάμμον. Μελιχρᾶς δ' ὅς τ' ἐγεύσατ' ὀπώρας,
[ἀπ' ἀχλύος
ἐς αἴθραν τάχιστ' ἔβα, βρότε' ἠδὲ θεῖα
σαφέ' ὀξυτέραις ὁρῶν ἀκμαῖσιν ὀμμάτων.

Ἐπῳδὸς γ′.

Οὐ μέντ' Ἀκαδάμοιο κεῖνο θεόσπορον
ἔστεφε μοῦνον
δένδρον ἐπήρατον ὄρχον· σφριγανᾶς γὰρ συχνοὶ
ῥίζας ἀνέδραμον ὄζοι τάχα,
τῶν ἀγχόροισι πρόφρων ἐπ' ὄχθαις
Ἰλισσίαις Ἀριστοτέλης ἐμόσχευσ' ἑλὼν

Στροφὴ δ′.

τὸν κράτιστον ἁπάντων.
Φύτευθεν ἄλλοθι δ' ἄλλοι ἀμφ' ἄστυ κλυτὸν Παλλάδος
παλαιγενέεσσιν Ἐρεχθείδαις μέγ' ὄνειαρ.
Βροτῶν ἀλλὰ τύχα τρεπτὰ πέλετ' αἰεί· κυλινδομέναις δ' ἁμέ-
[ραις χρόνος
παλαιὸν παρεῖλεν ὄλβον, ἔνειμε δ' ἄλλοις·
πολίων δέ τε τὰς μὲν ὀρθοῖ, τῶν δ' ἔλυσ' ἀκμάν.

Ἀντιστροφὴ δ′.

Τοίαν καὶ μεγαλάνωρ
θρασύφρονος λάχεν Θησέως δύσφατον αἶσαν πόλις·
λάβρον γὰρ ἀμαιμακέτων ὀρινθὲν ἀητᾶν
χθόν' ἐς Ἑλλάδα πρηστήρων τε μένος πάντα Κεκροπιδᾶν
[τὸν παλαίφατον
αἴστωσε κόσμον, ὤλεσέ τ' αὐτόπρεμνα
σοφίας φαεσιμβρότου φιτύματ' ἀγλαά.

Ἐπῳδὸς δ'.

Γυμναὶ δ' ὑπάκουσαν κηφισίδες ὄχθαι
ἁλίου αὐγαῖς
Ἰλίσσιαί τε θερείαις· ἀπὸ δ' ἔπτα δρόσος
χλωρά· ἀηδονίδες δ' ἔκλιπον
χῶρον, τὸν αἶψα κατέσχε σιγά,
Μοισᾶν τ' ἀπεστύγησε φιλησίμολπος χορός.

Στροφὴ έ.

Δαρὸν λαμπάδα Φοῖβος
φαεσφόρον περὶ γαῖαν ἵπποισιν ἑλίσσων θοοῖς
ἐπ' ἄμασιν ἄματ', ἔτη δ' ἔτελλ' ἐπ' ἔτεσσιν
Ἀθανᾶν ναέταις· ἀλλ' οὐκέτι θεύδωρον ἔρνος ἐπ' ὀφρύσσιν [ἀγχίμων
ῥεέθρων πόληος ἄνθαλεν, οὐδ' ἀοιδὰν
πυκινῶν ἀπὸ φυλλάδων ἔλειβε δαυλιὰς

Ἀντιστροφὴ έ.

ποικιλόθροος ὄρνις·
Μόνον δὲ κεῖθί τις ἄϊ' ἐλθὼν βαρυγυίων πεδᾶν
χαμαὶ ποσὶν ἑλκομενᾶν ψόφον, πυκινόν τε
στόνον τλαιπαθέος λαοῦ κρατεραῖς βαρβάρων ὑπ' ἀνάγκαισιν [αὐχένα
ἔχοντος. Σὸν ἀλλά, μᾶτερ ἐρίκλυθ' Ἑλλάς,
γένος οὐκ ἔπλε μόρσιμον λυγραῖσιν εἰσαεὶ

Ἐπῳδὸς έ.

ἄταισι παλαίειν, οὔτ' ἄρ τόδ' ἐπώνυμον
Παλλάδος ἄστυ
ταπᾶσθ' ἀεξινόου τ' ἰδμοσύνας ἀδέων
καρπῶν ἀεί, μελικόμποιότε
Μοισᾶν ἰοπλοκάμων ἀοιδᾶς·
οὐ δαίμονος τόσον σθένε μᾶνις Ἑλλάνεσι.

Στροφὴ ς'.

Τοὔνεχ' ὑψικέραυνος

μελαγχίμου πάλιν πρευμενὴς ὦρσε τόδ' ἐξ εὐφρόνας
ἐλευθερίας φάος ἄμμι· Κεκροπιδᾶν δὲ
κλεεννᾷ χθονί, μακρᾶς ἐξερύσαις νιν δύας, νεοθαλῶν διδοῖ
[καλῶν
καθήκοντα κόσμον. Ἠνὶ πόλις μὲν ἱρὰ
κυαναιγίδος αὖθις ὀρθωθεῖσα παρθένου

Ἀντιστροφὴ ς'.

πραϋθύμου ὑπ' ἀρχᾷ
Ὄθωνος, ἰθυδίκα μέδοντος, πολίων Ἑλλάδος
τέτακται ἀνασσέμεν· ἐκ δ' ἔφυσεν ἄρουρα
νέορτον σοφίας δένδρον τόδε πρυμνοῖς ὑπαὶ Λυκαβηττοῦ σφυ-
[ροῖς, ὅθι
χθονὸς σπέρμ' ἀϊδνὸν ἔγκασιν ἐγκέκρυπτο
δολιχὸν χρόνον, ἐκ θεοσπόρου πεσὸν φυτοῦ.

Ἐπῳδὸς ς'.

Πέντ' ἄνυσαν ἤδη χοροῖς κυκλίοις ἐτῶν
πεντάδας ὧραι,
ἐξ οὗ περ ἄμμι καλὸν δένδρεον ἐκ γᾶς φυὲν
θάλλει κρέοντος ἐπαρδεύσεσιν,
αὖλις πολέσι φίλα ποτανοῖς,
τῶν ταρφέες νέων ἀΐοντι γᾶρυν χοροὶ

Στροφὴ ζ'.

τάνδ' ἱκνεύμενοι ἕδραν.
Κόμαν τῷ δὴ κλαδέεσσιν ἀνδησάμενοι σάμερον
νεαλθέος εὔφρονες ἐκ δένδρου, ἄγεθ', ἁγνὰν
ἑορτὰν τελέσωμεν τάνδ', ἕταροι, τέθμιον μελιφώνων Διὸς
[κορᾶν,
θεμιστοῦχον ὑμνέοντες Ὄθωνα, πάτρας
ἀγανόφρον' ἄνακτα καὶ ἄνασσαν εὔχαριν.

Ἀντιστροφὴ ζ'.

Οἴνας δ' εὐπετάλοιο
δεπάστροις ἄμβροτον ἐγχέαντες γάνος, εὐάνορι

πίωμεν ἐπευχόμενοι πόληΐ τε τᾷδε
πάτρᾳ τ᾽ ὄλβον ἀένναον. Θέμις ἐνδαμίου νιν ἄτερ δήριος θεὰ
ἐσαιὲν νέμοι πολισσόος! οὐκ ἄπιστον
νόον, οὐ δόλον, οὐ βίαν στέργοισ᾽ ἀθέσμιον.

Ἐπῳδὸς ζ΄.

Θάλλοι δὲ βαθύῤῥιζον ἰδμοσύνας ἀεὶ
ἐνθάδε δένδρον
αὐχμῷ τ᾽ ἄπημον, ὀλοιῷ τ᾽ ἀσινὲς χείματι!
τοῦ ῥ᾽ αἴθ᾽ ἐπ᾽ ἀϊόσιν Βοσπόρου
εἴη τάχ᾽ ἄμμι καλὸν φυτεῦσαι
πτόρθον, πότμου προάγγελον Ἑλλάδι κρέσσονος![1]

[1] Τὴν ἡμιπεντηκονταετηρίδα τοῦ ἐν Ἀθήναις Πανεπιστημίου ἑορτήν, ἣν τῇ εἰκοστῇ τοῦ μηνὸς Μαΐου τοῦ ͵αωξϐ΄ ἔτους τελεσθῆναι ἔδει, ταραχαί τινες ὑπὸ τῶν καινῶν ἀεὶ πραγμάτων ὀρεγομένων παρασκευασθεῖσαι τῇ πόλει καὶ χειμῶνα μείζω προμηνύουσαι διεκώλυσεν. Νῦν δὲ καὶ ταύτην, ὡς τότε συνετάχθη, τοῖς ἐμοῖς ἄλλοις ποιηματίοις συνεκδοῦναι δεῖν ἔγνωκα, τῶν συγκαθηγητῶν τοῖς νεωτέροις εὐχόμενος τὴν γοῦν πεντηκονταετηρίδα ἑορτὴν ἐν εἰρήνῃ καὶ βεβαιοτέρᾳ τοῦ γένους ἡμῶν εὐημερίᾳ τελέσαι, μεμνημένοις καὶ ἡμῶν τῶν πολλὰ μὲν ἐν τῷ μεγάλῳ ὑπὲρ τῆς ἐλευθερίας τοῦ γένους ἀγῶνι ὑποστάντων, κατὰ δύναμιν δὲ καὶ ἐν τῷ ἀπ᾽ αἰώνων κεχερσωμένῳ τῆς ἐπιστήμης ἀγρῷ πονησάντων. Ἔμοιγε γὰρ τό,τε ἡλικίας ἤδη οὕτως ἔχειν καὶ τὸ πολλαῖς μὲν κακουχίαις τὸ σῶμα, πολλαῖς δὲ καὶ τὸ πνεῦμα λύπαις πιέζεσθαι οὐδεμίαν ὑπολείπει ἐλπίδα, ὅτι τοῖς τὴν πεντηκονταετηρίδα ἑορτάσουσι συμπαρέσομαι καὶ πνευματικὴν εὐωχίαν συνευωχήσομαι.

ΓΑΜΗΛΙΟΣ ΩΔΗ

εἰς τοὺς γάμους τοῦ Βασιλέως τῆς Ἑλλάδος Γεωργίου τοῦ α΄. καὶ τῆς μεγάλης τῆς Ῥωσσίας Δουκίσσης Ὄλγας.

Ὡς τ' ἀέλλας ὀρνυμένας σὺν ὄμβρῳ
πτῆξ' ὑπὸ δρυὸς πετάλοισιν ὄρνις,
οὐδ' ἐῶν ἔτ' ἐκ στομάτων μελιχρὰν
γᾶρυν ἴητι,
τὼς ἐμὰ Μοῖσ', ἐξότεο χθόν' αἴφνας
Ἑλλάδ' αἰνὸν χεῖμα κατέσχε πᾶσαν,
κίμβασ', ὀξέϊ κραδίας θ' ὑπ' ἄλγει
χεῖλε' ἔμυσεν.
Ὡς δ' ἄρ', αἰθέρος γελάσαντος αὖτις,
εἰσιδὼν Φοίβω χαρίεσσαν αἴγλαν,
σεῖσ' ὑγρὰν ὄρνις πτέρυγ' ἠδ' ἔχευεν
ἠθάδ' ἀοιδάν,
τὼς ὁμιχλόεν μετὰ χεῖμ' ἰδοῖσα
φέγγος ἀμ πᾶσαν διαφαῦσκον αὖτις
Ἑλλάδ', ἵετ' εὔφρονα Μοῖσ' ἐμὰ νῦν
ὄσσαν ἰᾶλαι.
Παλλάδος γὰρ ἱκόμενος πόληα
χρύσεον Γεώργιος ἀρχὸς ἀμὸς
σκᾶπτον ἀμφέμαρψ', ὀλεσίπτολίν τε
δῆριν ἔλυσε.
Καὶ Δίκαν ἄμμ' ὀρθόπολιν κόμισσε
τὰν πάρος σὺν ἀσυχίᾳ ποθεινᾷ,
κεχλαδὼς ἅβᾳ πυκιναῖς θ' ὁμοίως
φρασσὶ τεθαλώς.

Εἶτα δ' ἱμέῤῥων βασιληΐδ' ἄμμιν
ἐν γάμῳ σεμνῷ γενεὰν φυτεῦσαι,
τῆλ' ἔβα Νεύαν Βορέως ὄπισθεν
εὐρυρέοντα.
Ἔνθ' ἄρ' ἀσκεῖται θέμις ὀρθόβουλος.
χειρὶ δ' αὐτάρχῳ πολύγλωσσ' ἀρίφρων
φῦλ' Ἀλέξανδρος διέπει, νέμων σφιν
ὄλβια πάντα.
Ἔνθ' ἀφνειοῖς ἐν μεγάροις ξενισθεὶς
ἡῢς Ἑλλάδος προπάροιθ' ἀνάκτωρ,
ἔδρακ' Ὄλγας χρυσοπέπλω ἀνάσσας
εἶδος ἀγητόν,
τᾶς περ ἵμεροι γλεφάροις ἐφῖζον
πάντες, ἀκτὶς ἱεμένα δ' ἀπ' ὄσσοιν
δῦ ἔσω κώρω κραδίαν, πόθον τε
τερπνὸν ὄρινε.
Τῷ ῥ' ὅγ' ὑψόσ' ὄππατ' ἄναυδος ἀνσχὼν
εὔξαθ' οἱ τοίαν ἄλοχον γενέσθαι,
κάλλιμόντε καὶ πραπίδεσσι πασᾶν
ἔξοχον ἀλλᾶν.
Οὐδὲ τάνδ' ἐτώσιον εὔξατ' εὐχάν·
κρᾶνε γὰρ μέγας Θεός οἱ μενοινάν,
Παρθένῳ πόθον φρασὶν ἐμφυτεύσας
αὐτίχ' ὁμοῖον.
Οὐδὲ Κωνσταντῖνος ἀνάνατ', ἠῢς
λαγέτας, πατὴρ μεγάθυμος Ὄλγας,
γαμβρόν οἱ κληθῆμεν ἀγαυὸν αἴας
Ἑλλάδος ἀρχόν.
Καὶ Ἀλεξάνδρῳ δ' ὃ μάλ' ἁδὺς ὤφθη,
καρτεραιχμᾶν εὐρυάνακτι Ῥώσσων,
καρπὸν ἀμφαίνων φρενὸς ἠδὲ δῖον
αἷμα λελογχώς.

Ἁγνὸς ὢν ἐπεὶ τόθ'[1] ἔρως ἄνακτα
τεθμίῳ γάμῳ θαλερᾷ συνάπτει
σάμερον κώρᾳ, πτερόεντα δίφρον
ἔντυε, Μοῖσα.
Τὸν δ' ἄρ' ἀμβᾶσ', αἰθερίω δι' οἴμω,
Παλλάδος κλεινὸν προλιποῖσα δᾶμον,
αἶψ ὑπ' Ἄρκτως εὐρυμέδοντος ἄστυ
τῆλ' ἴθι Πέτρω.
Πάρ ῥόον Νεύαο μέσον κατ' ἄστυ
ναὸν αἰπύδματον ὁρῆς ἐς ὑγρὸν
αἰθέρ ἀνθρώσκοντ', ὀρόφῳ φέροντα
σταυρὸν ἐπ' ἄκρῳ;
Ἵστατ' ἐν τήνῳ Θεὸν εὐρυχώρῳ
λαὸς ἱρῷ ποικιλόθρους λιταίνων.
ξανθὰ δ' ἱρῆες λιβάνω φλέγοντι
δάκρυα σεμνοί.
Ἠνίδ' εὐόδμων πυκινὸν ποτ' ἄστρα
σὺν λιταῖς νέφος θυέων ἀΐσσει,
τειρέων θ' ὕπερθε Θεῶ μεγίστω
θῶκον ἱκάνει.
Ἠνὶ χρυσέοις στεφάνοισι κρᾶτα
νυμφίω νύμφας τ' ἐρέφων, Θεόν σφι
μακρὸν αἰῶν' ἀρχιθύτας ὀπάσσαι
λίσσετ' ἰδ' ὄλβον.
Καὶ τὺ δὴ τηνεὶ πταμένα, φίλυμνε
Μοῖσ' ἐμά, μύρτω τε ῥόδων τ' ἴων τε
στέμμ' ἀκηράτων ἱερῶ κόμισσον
ἐξ Ἑλικῶνος.
Νυμφίω δὲ τοῦτ' ἐρατᾶς τε νύμφας
ἀμφίθες ξανθαῖς κορυφᾶς ἐθείραις.

---

[1] Τόθ' ἐκ τοῦ τόθι κατ' ἔκθλιψιν.

ῥαῖνε δέ σφ' ἀειθαλέεσσιν ὕμνων,
πότνι', ἀώτοις.
Αὐτὰρ ὕμμες, ὦ θεράποντες ἁγνᾶν
πουλυύμνω Μναμοσύνας θυγατρῶν,
οἵτε ναῷ σφ' ἐν μεγάλῳ Ἀθανᾶν
ἀμφιπολεῖτε,
δεῦτε νῦν ὑπαὶ Λυκαβηττὸν αἰπὺν
εὔφρονες μάλ' ἀγρόμενοι, χέρας τε
πάντες ἀμπιτνάντες ἐς ἄστρα, τοιάνδ'
ἀπύετ' εὐχάν.
Παντρόφω γᾶς χρυσοφαοῦς πόλωτε
παγκρατὲς μέδων, προφρόνως λιτάων
κέκλυθ' ἁμῶν ἐκ κραδίας ἁπάντων
λισσομένων τυ.
Εὐμενὴς δὲ συζυγίᾳ τρισέπτῳ
συγγάμων ἔοις, δολιχὸν διδούς σφιν
ὄλβιόν τ' αἰῶν' ἐν ἀνακτόροισι
χρυσεοτεύκτοις.
Εὔγονον δὲ τόν δε γάμον σφι θείης,
ὄφρα ῥίζας ἐκ μεγάλας γενέθλα
φῦσα, πάντων εὐκλεέως Ἀχαιῶν
αἰὲς ἀνάσσῃ.

ΩΔΗ ΓΕΝΕΘΛΙΟΣ

εἰς τὴν αἰσίαν γέννησιν τοῦ ἄνακτος Κωνσταντίνου διαδόχου τοῦ Βασιλικοῦ τῆς Ἑλλάδος θρόνου,

ποιηθεῖσα ἐξ ὀνόματος τοῦ συλλόγου τῶν καθηγητῶν τῆς ἐν Ἀθήναις Ἀκαδημίας ἔτει αωξη' Ἰουλίου κα'.

Τοῦ κώδωνος ἄκουσ' αἰπυδμήτου ἀπὸ νηοῦ
θειοτόκου κούρης εὐάγγελον ἦχον ἱέντος·
τοῦ κώδωνος ἄκουσα, κλυτῶν ναέταισιν Ἀθηνῶν
Ὄλγας χρυσοθρόνοιο τρισέπτου τ' ἄμμιν Ἀνάσσης
ὠδῖνα πρώτην πολυγηθέα μηνύοντος.
Πᾶς δὲ κατ' ἄστυ φρένας κεχαρημένος ἔνδοθι λαός,
ἱρὸν ἰὼν οἶκον θεῷ εὔχεται ὑψιμέδοντι
εὐτοκίην ὀπάσαι χρυσοστεφάνῳ Βασιλείῃ
πέμψαντ' Εἰλείθυιαν ἀρωγὸν ἐν ὠδίνεσσιν,
ἥ ῥα τελειογόνοισιν ἐλαφρὴν θῆκε λοχείην
καρπὸν μητρωΐου ῥεῖ' ἐκ κόλπου ἐρύουσα.
  Ἀλλὰ τίς αὖ οὗτος πυριπνειόντων βρόμος ὅλμων
ἐκ στυφελοῖο πάγου νυμφῶν ἐμῶ οὔαθ' ἱκάνει;
τίς δὲ πυλῶν προπάροιθεν ἀνακτορέου μεγάροιο
ἐκ στομάτων ἰαχὴ νηρίθμων ὄρνυται αἴφνης;
Χαῖρε, φίλη πάτρη· Ἑλλήνων, χαίρετε, παῖδες·
μακρὸν παμμεδέων κραίνει νῦν ἄμμιν ἐέλδωρ·
χαίρετε, ὅττι ἄναξ ἄμμιν νέος ἐκλελόχευται,
ἀρχῆς κληρονόμος βασιληΐδος ἑλλάδι φύτλῃ,
βάθρον ἐλευθερίης τε δίκης θ' ὁμοῦ ἀστυνόμοιο.
Τοὔνεκα καὶ Μουσῶν ὁσίων ἄμμες θεράποντες,
ἄνθεα λεξάμενοι καθαρὸν παρὰ νᾶμ' Ἀγανίππης
καὶ μετὰ χερσὶ καλὴν φόρμιγγ' εὔκρεκτον ἔχοντες,
ἔλθωμεν θηητὸν ἀνάκτορον, ἔνθα γε πρῶτον

νῦν πάϊς ἀρτίτοκος ζωθαλπέ' ἀφύσσει ἀϋτμήν,
κείμενος ἐν λίκνῳ παρὰ μητέρι μειλιχομειδεῖ
καὶ τήθῃ σεμνῇ και γηθοσύνῳ γενετῆρι.
Δεῦτ' ἄγετ' ἄμμι πύλας ὑψηρεφέος μεγάροιο
οἴγνυτε χαλκείας, πυλαωροί, καὶ προσιόντας
Μουσῶν μυστιπόλους εἴσω δέχνυσθε τάχιστα.
Ἥκομεν ἀρτιγενεῖ γενεθλήϊον ὕμνον ἄνακτι
οἴσοντες καὶ στέμμ' εὐανθέμου ἐξ Ἑλικῶνος.
Ἥκομεν εὐξόμενοι δολιχὸν βίον ἠδ' ὑγίειαν
αὐτῷ τ' ἠδὲ τοκεῦσι καὶ ἄφθιτον ὄλβον ἐσαιέν.
Παῖδά τις ἀμφιπόλων ἐκ χρυσέου λίκνου ἑλοῦσα
δειξάτω ἐλδομένοις, μοιρηγενέ' ἄμμιν ἄνακτα.
Δείξατε πουλύλλιστον ἐπειγομένοισιν ἰδέσθαι
Κωνσταντῖνον ἅπασι, Γεωργίῳ ὅν θ' ὑπ' ἀγαυῷ
Ὄλγα ἀριστογένεθλος ἐνὶ μεγάροις τέτοκ' ἄμμι.
Χαίροις, Κωνσταντῖνε, φίλον θάλος, ἀγλαόγυιε·
ζώοις, Κωνσταντῖνε, πανελλήνεσσι γλύκιστον
οὔνομα, μιμνῆσκον χριστώνυμα φῦλα κατ' ἠῶ
τοῦ προπάροιθ' ὄλβου καὶ κάρτεος ἠδ' ἐϋκλείης·
ᾗ δὴ Χριστιανῶν πολύτλητος πάντοθι λαὸς
δάκρυ παρειάων ἀπομόρξεται οὔνομ' ἀκούσας
κύδιστον, γλυκερήν οἱ ἐνὶ φρεσὶν ἐλπίδ' ἐγεῖρον·
ἀλλὰ καὶ εὔϋμνος παρὰ Νεύᾳ εὐρυρεέθρῳ
Ῥώσσων εὐρυάνακτος Ἀλεξάνδρου μεγαθύμου
οἶκος ἐπ' ἀγγελίῃ κεχαρήσεται, ἔξοχα δ' ἠῢς
Κωνσταντῖνος ἄναξ, Ὄλγας γενέτης ἐρικυδής.
Ὄλβιε παῖ, θήλαζε γάλα γλυκὺ αἰὲν ἄδακρυς·
αὔρας δ' ἡδυπνόους εἰς αἰὲν ἄνουσος ἀφύσσων
καλὸς ἀέξεο, χάρμα μεγασθενέϊ τε τοκῆϊ
μητέρι τ' αἰδοίῃ καὶ ἀχαΐδι φύτλῃ ἁπάσῃ.
Ὡς ῥόδον ἀλδήσκοις ἐνὶ κήπῳ ἑρσήεντι·
ἀλδήσκοις ὡς κέδρος ἐπ' οὔρεσιν ὑψικαρήνοις·

ὀξὺ δ' ἀνηβήσαις θάλλων φυῇ ἔξοχα πάντων,
ῥώμῃ τ' ἀγλαΐῃ τε καὶ εὐσυνέτοις πραπίδεσσιν.
Ηὔξατό κε πλέονα νεογιλῷ τῇδε ἄνακτι
φόρμιγξ ἡμετέρη, τεῦχος Μουσῶν λιγυηχές,
καί κεν πολλὰ πάτρῃ ἀπεφοίβασεν αἴσι' ὀπίσσω·
ἀλλ' ἀπονίσσεσθ' ὥρη, ὄφρα πτερὸν ἡδὺς ἐρείσας
ὕπνος ἐπὶ βλεφάροις ἦμαρ θείῃ οἱ ἄλυπον·
ὕπνος ἀεξίτροφος πέλεται βρέφεσ' ἀρτιγενέθλοις.
Δὴ ἴμεν εὐχόμενοι φίλα θυμῷ ὔμμι, τοκῆες,
πάντ', εὐηπελίην τ' ἠδ' εὐτεκνίην πολύευκτον.
Ζώοις, ὀλβιόμοιρε Γεώργιε, σὺν παρακοίτι
Ὄλγᾳ ἀριστονόῳ, παναχαιῶν ἶφι ἀνάσσων.
Υ̓́μμι δ' ὀπηδοίη μετὰ κύδεος ἔμπεδος ὄλβος,
χρυσέῳ τ' αἰὲν ἔποιτ' ἐπὶ θώκῳ τέκνα τέκνοισι.

σημ. στ. 56). Ὁ στίχος οὗτος εἶχε πρότερον ὧδε·
ἀλδήσκοις ὡς βλωθρὴ ἰδ' ὑψίκομος κυπάρισσος·
Ὁμοίωσιν τοιαύτην ἴδε καὶ παρὰ Θεοκρ. εἰδυλ. ιή. στ. 30.

ᾨΔΑΡΙΑ ΑΝΑΚΡΕΟΝΤΕΙΑ

Α.

Ἐμόγησα πόλλ' Ὁμήρου
ἀναγιγνώσκων τὰ ῥαπτὰ
ἔπε'· εἶτα μεῖζον' ἔσχον
πόνον ἐγκύπτων Πλάτωνος
θαμὰ δυσκρίτοισι δέλτοις.
Σὺ δὲ μυστήρια διφῶν
Φύσιος φίλων ἄριστε,
προπέτασμ' Ἴσιδος εἰκοῦς
παρελεῖν ἄκραντα πειρᾷ
ἐσαείτ' ἄδερκτον ὄψιν
κατιδεῖν θεᾶς βροτός περ.
Τί τοσαῦτα δεῖ πονοῦντας
σκοτοδινιᾶν, ἑταῖρε,
βιότου δὲ τερπνὰ φεύγειν;
Ἄγε δὴ ῥόδοις μέτωπον
πυκάσαντες εὐπνόοισιν
ἀναμέλπωμεν Λυαῖον
γάνος ἀμπέλου σκύφοισι
θάμ' ἀμυστίζοντες ἡδύ.
Πολὺ κρεῖσσόν ἐστιν οἶνον
πλατάνοις ὑπ' εὐσκίοισι
χυαθίζειν σὺν ἑταίροις
πολυανθέμῳ τ' ἐν ἄλσει
σὺν ἁβραῖς κόραις ἀθύρειν
ἀμέριμνον, ἢ σκοτοῦσθαι
ἀνελίσσοντά με βίβλους.[1]

---

[1] Εὑρίσκονται ἔν τισι τῶν ἀνακρεοντείων καὶ δύο πρῶται τῶν στίχων βραχεῖαι συλλαβαὶ εἰς μίαν μακρὰν ἡνωμέναι.

Β.

Στέψας ῥόδοις μέτωπον
χέρας ὁπλίσας τε μεστῷ
οἴνου σκύφει φιλοίστρῳ
σπένδω θεῷ Λυαίῳ.
Τὴν βάρβιτον δὲ χερσὶ
λαβὼν ἐμῆς ἑταίρης
τὴν καλλονὴν ἀείδω.
Θέλεις ἀναπλάσω σοι
εἶδος καλῆς κορίσκης;
Φυῆς μέν οἱ τὸ μέτρον
μέσον πέφυχ', ὁ δὲ χρὼς
ἔκλευκος ὥστε λύγδου.
Τύπος δὲ τοῦ προσώπου
καὶ ῥυθμός οἱ τραχήλου
καὶ στέρνον εἰσὶν οἷα
ἀγάλματος Κυθήρης.
Ὅμηρος δ' εἶπεν ἄν μιν
ὄψεις ἰδὼν βοῶπιν,
αἷς ἐλλοχῶν ἵησιν
πικροὺς Ἔρως ὀϊστούς.
Κοραλλίου δὲ λεπτὰ
τετύχθ' ἔοικε χείλη,
πειθοῦς ἅ τ' ἐστὶν ἕδρη.
Τὰ δ' ἀλλ' ἐμῆς ἑταίρης
ἄῤῥητ' ἐᾷν ἄμεινον·
οὐ γὰρ θέμις βεβήλοις
μυστήρι' ἐκκαλύπτειν.

Γ.

Μὴ συκέης κράδην μοι
μὴ μηλέην, ἑταῖρε,

μηδ' εὐθαλεῖς ἐλαίης
ὄζους φύτευε γλαυκῆς.
Τίς δὴ κράνων ὄων τε,
τίς δ' αὖ ῥόας χάρις μοι,
τίς τέρψις ἐστὶν ὄγχνης;
Πτόρθους φυτηκόμει μοι
εὐβότρυας Λυαίου.
Σὺν παρθένοις γὰρ ἁβραῖς
χαίρω βότρυς πεπείρους
τρυγῶν τε κἀποθλίβων
γάνος φρενὸς βροτείης·
τούτου σπάσας δ' ἄμυστιν
σὺν τοῖς ἐμοῖς ἑταίροις
βίου σοβῶ μερίμνας,
χθονός θ' ὕπερθ' ἐς οἴκους
δοκῶ θεῶν πέτεσθαι.

Δ.

Ἄλλοις ὅπλων ἀρέσκει
κλαγγὴ μάχης τ' ἐν ἀκμῇ
δεινὸν βρέμουσα σάλπιγξ·
στόνος δ' ἀποπνεόντων
ψυχὴν ἐφ' αἱμοφύρτου
πέδου φρένα σφι τέρπει.
Ἐμοὶ δὲ ταῦτα τερπνὰ
οὔτ' ἐστί, μηδέ τ' εἴη.
Εὐφραίνομαι δ' ἀκούων
πληρουμένης κυλίχνης
Βάκχου τὸν ἡδὺν ἦχον,
λύρην τε τὴν λιγύθρουν
κρέκων φίλων μετ' ἄλλων.
ἐν μυρσίναισι δ' εὕδειν

θέλω πέλας διαυγοῦς
ρείθρου μέλη τανύσας.

E.

Φερανθὲς ἧκεν ἄρτι
ἔαρ, φύσις δὲ πᾶσα
ὕπνου λυθεῖσα μακροῦ
ἐγείρεται νέοργος.
Θάλλει μὲν αὖθις ὕλη
καινῇ φόβῃ κομῶσα·
νόμῳ δ' Ἔρωτος εἴκει
μέλη τ' Ἔρωτος ᾄδει
πτηνῶν γένη πρὸς αὔρας.
Οὐ τὴν Πρόκνην ἀκούεις
ἡδεῖαν ἐκχέουσαν
ἐν μυρσίναισι γῆρυν;
οὐ κωτίλην ἀκούεις
χελιδόνα θροοῦσαν
τὴν Τηρέως πρὶν ὕβριν;
Οὐκ αἰολόστομ' ἄλλα
πετεινά, κόσμον ὕλης,
κλύεις ἱέντα τραυλὰ
μέλη κλάδων ἀπ' ἄκρων;
Τί οὐχ, ἑταῖρε, χἡμεῖς
ὑπ' εὐσκίου κλάδοισι
δρυὸς κατακλιθέντες
Ἔρωτα μελπόμεσθα
πάντων θεῶν κράτιστον,
καὶ σπένδομεν Λυαίῳ
οἴνου πλέοις δεπάστροις
λύοντι τὰς μερίμνας;

ϛ.

Κάλλους με γῆρας ἐλθὸν
σθένους τ' ἄμερσε γυίων
τάχους τε τοῦ πάροιθε.
Πόθον δέ μ' οὐκ ἀφεῖλεν
εὐώπιδος κορίσκης,
οὐκ εὐΐου μερίμνας
πάσας σοβοῦντος οἴνῳ.
Ἥδιστόν ἐστ' ἀθύρειν
σὺν παιδί μοι τερείνῃ·
ἡδεῖς δ' ἔτ' εἰσὶ κῶμοι
θοῖναί τε καὶ χορεῖαι
σὺν τοῖς φίλοις ἑταίροις.
Ἔς τ' ἄν με Μοῖρα φέγγος
ὁρᾶν ἐᾷ τὸ Φοίβου,
οὐ παύσομαι φιληδῶν
Ἔρωτι καὶ Λυαίῳ.

Ζ.

Λευρόν, φίλη χελιδών,
οἶμον πτέρυξι κούφαις
ψαίρουσα ποῖ πορεύῃ,
στέγην ἐμὴν λιποῦσα;
Εὖσοι γένοιτ' ἰούσῃ·
νέωτα δ' αὖθις ἔλθοις
νεοττιήν τ' ἐν οἴκῳ
ἐμῷ πάλιν δομήσαις.
Εἰ δὲ ξεναγέτου τις
χάρις παρὰ ξένοισι,
μέμνησ', ὅταν τὸ Νείλου
ἵκῃ κλυτὸν ῥέεθρον,
ἐμῷ πόσει τάδ' εἰπεῖν

καλῷ Φιλιστίωνι.
Τί δὴ χρόνον τοσοῦτον
ἔκδημος ἧς ὁμεύνου
μένει τέκνου τε πόῤῥω;
Πῶς οὐ πάτρης πόθος μιν
οὐδ' ἑστίης πόθ' αἱρεῖ;
λελησμένος δ' ἄρ' ἡμῶν
ἐπὶ ξένης ἀλᾶται;
Γένοιο πρὸς πόσιν μοι
μάρτυς στεναγμάτων τε
καὶ δακρύων, χελιδών·
νεοτιῆς δ' ἐκείνου
δίδαξον ὄρνις ἄνδρα
κήδεσθ' ἀεὶ γλυκείης.
Ὅταν δὲ χεῖμα λήξῃ,
γένοιο πομπὸς αὐτῷ
νοστοῦντι τόν δ' ἐς οἶκον.[1]

[1] Τὸ Α΄. τῶν ἀνακρεοντείων ἀνάγεται εἰς τὸ εἶδος ἐκεῖνο, οὗ ὁ ῥυθμός ἐστιν *Ἰωνικὸς ἀπ' ἐλάσσονος*· καὶ συνηθέστερος μὲν ὁ *ἀνακλώμενος* ⏑ ⏑ –́ ⏑ | –́ ⏑ – ⏓, σπανιώτερος δὲ ὁ *πολυσχημάτιστος* ⏑ ⏑ –́ –́ | –́ ⏑ – ⏓ καὶ ὁ *καθαρὸς* ⏑ ⏑ –́ –́ | ⏑ ⏑ –́ –́. Τὰ δὲ λοιπὰ ἑπτὰ ἀνακρεόντεια ἡμιϊάμβειά ἐστι.

ΠΟΙΗΜΑ ΕΠΙΚΗΔΕΙΟΝ

ΕΙΣ Ν. ΒΥΡΩΝΑ.[1]

Τελευτήσαντα ἐν Μεσολογγίῳ ἔτει αωκδʹ. μηνὶ Ἀπριλίῳ.

Αἴλινα Βρεττανίδες σὺν Ἀχαιΐσι κλαίετε Μοῦσαι,
πένθιμά θ' ἑσσάμεναι καὶ πένθιμον ὄσσαν ἱεῖσαι·
κάτθανε γὰρ Βύρων ὀαριστῶν φέρτατος ὔμμι·
κλεινὸς Βύρων ὤλετ' ἀοιδοπόλων ὄχ' ἄριστος,
Βρεττανίης εὖχος, Ὁμοτίμων εὐγενὲς αἷμα,
πιστὸς τληπαθέος φίλος Ἑλλάδος ἠδ' ἐπαρωγός.
Αἴλινα Βρεττανίδες σὺν Ἀχαιΐσι κλαίετε Μοῦσαι.
Ὃν πάρος οὐρανίης ἐθρέψατε παῖδ' ἔτ' ἐέρσης
ἐνδυκέως, οἶμόν τ' ἐδιδάξατε καινὸν ἀοιδῆς,
οὐκέτ' ἐνὶ ζωοῖς Βύρων πέλετ', οὐκέτι μολπῇ
τέρπει ἐπιχθονίους· πεπέδηταί οἱ ὀξέϊ πότμῳ
γλῶσσα, καί οἱ σιγὴ ψυχροῖς ἐπὶ χείλεσιν ἵζει.
Αἴλινα Βρεττανίδες σὺν Ἀχαιΐσι κλαίετε Μοῦσαι.
Βύρωνος σιγᾷ καπυρὸν στόμα· τοῦ δὲ μέλισμα
ὑστάτιον, τῷ θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν
Ἑλλήνων σφετέρης περὶ πάτρης ἶφι μάχεσθαι,
Ἁλμήεσσι βράχεσσ' ἐπινήχεται εἰσέτ' Ἐλαίου[2],
εἰσέθ' ὑπὸ κνημοῖς Ἀρακύνθου παιπαλόεντος
ὠκυρόου τ' Εὐήνου ἀκούεται ἀμφὶ ῥέεθρα.

---

[1] Τὸ ποίημα τοῦτο ἐποιήθη μικρὸν μετὰ τὸν θάνατον τοῦ ἀοιδίμου Ν. Βύρωνος· ἔπειτα δὲ ἐπεξεργασθὲν μετεποιήθη ἐν πολλοῖς.

[2] *Ἔλαιος*, πόλις Αἰτωλίας ἀρχαία μνημονευομένη παρὰ Πολυβίῳ βιβλ. 4,65. Ἔκειτο δὲ πιθανῶς ὅπου νῦν τὸ Μεσολόγγιον, ἀνθ' οὗ ἐκλαμβάνεται ἐνταῦθα. Ἴδε *Forbiger alte geographie III Band*, 901. Ἡ δὲ φράσις ὁμοία ἐστὶ τῇ τοῦ Θεοκρίτου εἰδ. κγʹ. 181. *παιδὸς ἐπενήχετο φωνά.*

Αἴλινα Βρεττανίδες σὺν Ἀχαιΐσι κλαίετε Μοῦσαι.
Λυγρὸς ἔχει Βύρωνα κλυτὸν μόρος· ἐν δ' ἄρ' Ἐλαίῳ
ἀκτῆς πὰρ τενάγεσσ' Αἰτωλίδος ἄλγεϊ λαὸς
καὶ στρατὸς Ἑλλήνων ἄμοτον μέγαν ἄνδρ' ἀνακλαίει,
ὃν νόσος ἀργαλέη βιότοιο δάμασσεν ἐν ἀκμῇ.
Ἠνὶ κατηφιόων περιΐσταται οἶκον ὅμιλος
σύμπας οἰχομένου, ποθέων ἐρικυδέα φῶτα,
ὅς τ' αἰνῶς σφιν ἄρηϊ δυσηχέϊ τειρομένοισι
τηλόθεν ἦλθε πρόφρων ἐπαμύντωρ νηῒ ταχείῃ.
Αἴλινα Βρεττανίδες σὺν Ἀχαιΐσι κλαίετε Μοῦσαι.
Καὶ πάρος ἡμετέρην, Βύρων, πατρίδ' ἤλυθες αἶαν,
ὀψόμενος μεγάλων πατέρων τέκνα, οἳ σοφίης τε
ἡγεμόνες μερόπεσσιν ἐλευθερίης τ' ἐγένοντο.
Ἤλυθες· ἀλλὰ βαρὺν τῆμος φέρον υἷες Ἀχαιῶν
κλοιὸν ἐπαυχένιον, ἐν ὀϊζύϊ δ' ἤματα πάντα
δείλαιοι ζώεσκον, ἀτασθάλῳ ἔθνεϊ Τούρκων
δουλεύοντες ἀνάγκῃ, ἀμήχανον ὄτλον ἔχοντες.
Τῷ σφιν ἀναλκείην ὠνείδισας, ἄθλιον ἕλκειν
βουλομένοις μᾶλλον βίον ἢ πότμον εὐκλέ' ἐπισπεῖν.
Αἴλινα Βρεττανίδες σὺν Ἀχαιΐσι κλαίετε Μοῦσαι.
Δριμὺ τόδ' ἐκ σέθεν Ἑλλήνων ἔπλε παισὶν ὄνειδος.
Καὶ σὺ μέν, ὦ Βύρων, ἔλιπες πάλιν Ἑλλάδος οὖδας
ὄψιμον οἰκτίζων ἀνδρῶν γένος, οὓς πατρὶς ἥδε
φῦσε πάλαι σοφίῃ τε καὶ ἠνορέῃ περικλειτούς.
Ἕλληνας δ' αἰδὼς δῦνε φρένας, οὐδ' ἔτι δηρὸν
δουλοσύνη ἐδόκει σφιν ἀνασχετή· ἀλλὰ τάχ' ἀλκῆς
μνησάμενοι πατέρων Τούρκοις τολύπευον ὄλεθρον.
Αἴλινα Βρεττανίδες σὺν Ἀχαιΐσι κλαίετε Μοῦσαι.
Ἐξαπίνης ἰαχὴ πολεμήϊος ὦρτ' ἀνὰ πᾶσαν
Ἑλλάδα γαῖαν ἄρηος ἔριν δεινὴν συναγόντων.
Δεσμὰ διαῤῥήξαντες Ἀχαιῶν υἷες ἀεικῆ,
αἶψα μάλ' ἐκ σμινυῶν ὅπλ' ἀρήϊα τεῦξαν ἰδ' ὑννῶν.

Σταυροῦ δ' ἀμπετάσαντες ἐς αὔρας σῆμ' ἱεροῖο
ἠδὲ Φεραίου ἱέντες ἀοιδοῦ θούριδα μολπήν,
ὀθμανοῖς ἐπόρουσαν, ἐλευθερίην ἐρατεινὴν
ἶφι μάλ' ἀρνύμενοι αἱμορράντοις ἐν ἀέθλοις.
 Αἴλινα Βρεττανίδες σὺν Ἀχαιΐσι κλαίετε Μοῦσαι.
Ἀλβίονα πνοιαὶ ἐς ὀμιχλήεσσαν ἔνεικαν
τηλόσ' ἐνυάλιον μέλος Ἑλλήνων, ὃ ῥ' ἀκούσας
θάμβησεν Βύρων· οὐ γὰρ γένος ἔλπετο δοῦλον,
δηρὸν ὑπὸ ζεύγλῃ μογέον χρόνον, ὧδε μάλ' ὦκα
αὐχέν' ὑπεξερύσεσθαι, ἀποῤῥήξειν τε λέπαδνα,
λὰξ δ' ἐπιβὰν κτενέειν ὑπὸ ποσσὶν κέντορας ὠμούς·
θυμοδακῶν δ' ἐπέων ἐμνήσατο, τοῖσιν Ἀχαιῶν
πρώην ἤκαχεν υἷας ἀεικέα πήματ' ἔχοντας.
Μνήσατο· καὶ ἔγνω ἄψ Ἑλλάδα γαῖαν ἱκέσθαι,
λαοῖς μαρναμένοισιν ἐλευθερίης τε ποθεινῆς,
παίδων τ' ἠδ' ἀλόχων πέρι προφρονέως ἐπαρήξων.
 Αἴλινα Βρεττανίδες σὺν Ἀχαιΐσι κλαίετε Μοῦσαι.
Δέξατο κυδάλιμον πολεμόκλονος Ἑλλὰς ἀοιδὸν
ἔμπαλιν ἱκόμενον· δέξασθε δέ, καὶ Διὸς ὔμμες
κοῦραι Κασταλίδες, δάφνης τε κλάδους ἐριθηλοῦς
δρέψασαι ξείνου ξανθὰς ἐστέψατ' ἐθείρας.
Δέξατο καὶ ὁπλόδουπος Ἐλαίου ἐν πτολιέθρῳ
Ἑλλήνων στρατιὴ φίλον ἀνέρα καὶ ἐπίκουρον,
πουλὺ πλέον χαίρουσα μετὰ φρεσὶν ἢ τὸ παλαιὸν
χαῖρ' ἐπὶ Τυρταίῳ Σπάρτης γένος ἐγχεσίμωρον,
πυθόχρηστος ὅτε σφ' ἀγὸς ἤλυθεν ἔνθεα μέλπων.
 Αἴλινα Βρεττανίδες σὺν Ἀχαιΐσι κλαίετε Μοῦσαι.
Οὐ μεῖον Βύρων ἐγεγήθεεν, Ἑλλάδα πᾶσαν
Στίλβουσαν λεύσσων ὅπλοις καὶ πάντοθ' ἀκούων
θούριον ἠϊθέων μεμαώτων ἶφι μάχεσθαι·
ἀνδρῶν δ' οἱ δέατ' αὖθις ὁρᾶν γένος ἐξ ἀΐδαο
ἄλκιμον ἐγρόμενον, τό τ' ἐπὶ Ξάνθοιο ῥοῇσιν.

ἢ ἐν Θερμοπύλῃς, ἢ ἐν πεδίῳ Μαραθῶνος,
ἢ πόρῳ ἐν κλεινῷ Σαλαμῖνος βαρβαρικοῖσι
στίφεσι μαρνάμενον πάρος ἄφθιτον ἤρατο κῦδος.
Τῷ ῥα μετ' ἀγρομένοις ἐν Ἐλαίῳ ἀνδράσι Βύρων
στὰς τότ' ἐϋπτολέμοισιν ἑὸν πάλι λάζετο μῦθον,
τῷ σφιν ἀναλκείην ὠνείδισεν· ἠνορέην δὲ
αἰνήσας σφετέρην καθυπέσχετο συνθανέειν σφι,
πάτρην ῥυομένοις ἐπαμύνων πρόφρονι θυμῷ.
Αἴλινα Βρεττανίδες σὺν Ἀχαιΐσι κλαίετε Μοῦσαι.
Αἶ, αἶ! ἀλλ' οὐ δηρὸν ἐπηύρετο τῆς δ' ἐπαρωγῆς
Ἑλλὰς δυστλήμων· ταχὺ γὰρ Βύρωνα δυσαλθὴς
ἠπίαλος κατέμαρψε καί οἱ γυῖ' ἀγλαὰ λῦσεν.
Οὐκ ἐμάραινε τέχνης παιωνίδος ἄλθεα φλογμόν·
οὐ χραῖσμον νοσέοντι λιταὶ τόσαι εὐχομένοιο
λαοῦ ὑψιμέδονθ' ὑγίειάν οἱ αὖθις ὀπάσσαι·
νοῦσος πάνθ' ἁλίωσε καὶ αἰῶνος γλυκεροῖο
Μουσάων θεράποντα φέριστον ἄμερσεν ἀοιδόν.
Ὦ στυγερῆς αἴσης! ὢ πήματος ἀλγινόεντος!
Τὸ ξυνὸν νήσου λαοὺς κίχε ποντομεδούσης
Ἀλβίονος, ναέτας τε πολυστόνου Ἑλλάδος αἴης.
Αἴλινα Βρεττανίδες σὺν Ἀχαιΐσι κλαίετε Μοῦσαι.
Εἰνάλιαι νύμφαι, γλαυκοῦ κόραι ὑγροκέλευθοι
Νηρέος, αἳ Τρίτωσιν ὀχούμεναι ὠκυπόροισι
λαιψηραὶ πλατὺ χεῦμα καθιππάζεσθε θαλάσσης,
ἑσπερίην νῦν ὦκα δι' οἴδματος ἔλθετε νῆσον,
ἄσπετον ἔνθ' ὕδωρ ποταμὸς μέγας εἰς ἅλα βάλλει.
Νύμφης δ' ἱκόμεναι μηνύσατε Ταμεσίδεσσιν,
ἤματος ὅττι φάος Βύρων λίπε τηλόθι πάτρης,
οὐ τ' ἄρ' ἔτι σφείων θέλξει φρένας ἡδὺ ἀείδων.
Καὶ Τρίτωσι δ' ἄνωχθε κόχλῳ μέλος ἐμβυκανῆσαι
πένθιμον, ὠκυάλοις σημαῖνον νηυσὶν ἁπάντῃ,
ᾗσιν ἔπι Βρετανῶν περᾷ ἔθνεα μυρία πόντον,

Ὅττι πάτρης σφι μέγ' εὖχος ἐρίκλυτος ὤλετ' ἀοιδός.
Αἴλινα Βρεττανίδες σὺν Ἀχαιίσι κλαίετε Μοῦσαι.
Ὕμμες δ' ὄβριμοι ἄνδρες, ὅσοι πτολίεθρον Ἐλαίου
κλεινὸν ἐρυόμενοι πάτρης μεγάλης προμάχεσθε.
Δεῦτε τάφον Βύρωνος ὀρύξατε μουσοπόλοιο
Βοζάριος Μάρκοιο πέλας τάφου ἀλκιμάχοιο·
καὶ νέκυν ἐγκατάθεσθε χοηφορέοντες ἀπ' ὄσσων
δάκρυα θερμὰ φίλῳ. Παρακείσθω κύδεϊ κῦδος.
Κῦδει ἀπ' ἠνορέης, φρενοτερποῦς κῦδος ἀοιδῆς.
Γλαυκῆς δ' ἀμφὶ τάφον φιτύσατε κύκλῳ ἐλαίης
πτόρθους καὶ δάφνης Ἑλικωνίου, ἔνθα λιγεῖαι
φυλλάσιν ἐνδιάουσαι ἀηδονίδες μινυρῆσι
μολπῇς ἐσσομένοις ἀεὶ ἀνδράσι σημανέουσι
Βύρωνος μεγάλου, λιγυμόλπου τύμβον ἀηδοῦς.
Κλαυθμοῦ Βρεττανίδες σὺν Ἀχαιίσι λήγετε Μοῦσαι.
Ἔσσεται ἦμαρ, ὅθ' ἁγνόν ἐλευθερίης ἐπὶ πᾶσαν
γαῖαν ἐπαντεῖλαν φάος ἑλλάδα λευγαλέοιο
κυάνεον κεδάσει πολέμου νέφος, ἠδὲ γλυκείης
Εἰρήνης οἴσει καὶ Εὐνομίης καλὰ δῶρα.
Δὴ τότ' Ἀχαιῶν υἷες Ἀχαιϊάδες τ' ἐπέτειοι
ἐρχόμενοι Βύρωεος ἐπ' ἠρίον ὕδατι φαιδρῷ
Κασταλίης ῥανέουσι νεκροῦ κόνιν, ἠδὲ κλάδοισι
δάφνης ἐξ ἱερῆς στήλην στέψουσιν ἀοιδοῦ.

ΕΛΕΓΕΙΑ

Εἰς τὸν ἀδελφὸν Ῥήγιον, πεντηκόνταρχον τοῦ ἱεροῦ λόχου πεσόντα ἐν τῇ κατὰ τὸ Δραγασσάνιον τῆς Δακίας μάχῃ ἐν ἔτει ͵αωκά. Ἰουνίου ζ΄.

Carmine fit vivax virtus, expersque sepulcri
Notitiam serae posteritatis habet.
Ovid. epist. ex Ponto.

Πῶς κεν ἐγὼν ἀγαθοῖο κασιγνήτοιο λαθοίμην
Ῥηγίου, ἀμφὶ πάτρης ἶφι δαϊκταμένου;
Τίς κεν ὁμοτροφίης καὶ ὁμηθείης κατὰ δῶμα
πατρῷον μνήμην ἐξαφέλοιτο χρόνος;
Ὄφρα μευ ἐν στήθεσσι βιοσσόος ὄρνυτ' ἀϋτμή,
οὔποτ', ἀδελφέ, σέθεν, λήσομαι οὐδ' ἐθέλων·
σοὶ γὰρ ὁμόγνητος, σοὶ ὁμέστιος ἠδ' ὁμόσιτος,
σοί τε συνεψιόων ἐν μεγάροισι πατρός,
ἤνυσ' ἐμοῦ βιότου πολυτλήμονος ἤματα πρῶτα,
τῶν μνῆστις καὶ νῦν ἦτορ ἰαίνει ἐμόν.
Μνήσομ' ἀεὶ στοργῆς τε τεῆς καὶ ἤθεος ἐσθλοῦ·
μνήσομαι ἀγλαΐης καὶ πινυτοφροσύνης.
Ἔξοχα δ' ἀλκῆς τ' ἠδὲ πότμου μεμνήσομαι αἰὲν
κυδροῦ, τῷ κρατερῶς κῦρσας ἐνὶ προμάχοις.
Εὖτε μέγαν ποταμοῖο παρὰ ῥόον Ἱεράσοιο
κερχναλέη σάλπιγξ δεινὸν ἔκλαγξεν ἄρη,
ἥβην δὲ ξυνάγειρ' ἑλληνίδα πάντοθεν ὦκα
φωνὴ Ἀλεξάνδρου δύσπονον εἰς ἄεθλον,
τῆμος ἐῇ πίσυνος κάσις ἀλκῇ ὀξὺς ἀμύντωρ
κοινῆς χριστιανῶν ἔσσυτ' ἐλευθερίης,
πεντήκονθ' ἅμ' ἄγων μένεα πνείοντας ἑταίρους,
αἰζηοὺς πάντας, ἥλικας, εὐγενέτας,

τῶν ἑπτὰ Ζαγορὴν πατρίδ' ηὔχεον αἰπήεσσαν
Πηλίου ἐν κνημοῖς, ἡμετέρην πατρίδα.
Τοῖς ἅμ' Ἀλεξάνδρου Ὑψηλάντους κατένωπα
ἐλθὼν τοῖα κάσις φθέγξατ' ἀπὸ στόματος.
Χαῖρ', ἀνδρῶν μέγ' ἄριστε, πάτρης δυερῆς ἐπαμύντορ,
ἄλγε' ὑποτλάσης πόλλ' ὑπὸ δεσποσύνῃ·
» χαῖρε, καὶ ἄμμι νέοις περ ὀπάοσιν ὀβριμοθύμου
Ἄρεος ἐς λυγρὰς ἡγεμόνευε μάχας.
» Οὐ πάρος ἀνδροφόνον ἐδάημεν χερσὶ σίδηρον
νωμᾶν, οὐδὲ δύεσθ' αἱματόεντα μόθον·
» ἀλλὰ βίβλους πτυκτάς τ' ἀνελίσσειν, ἠδ' ἐπὶ χάρτου
αὐδήεντα γράφειν σήματ' ἐπιστάμεθα.
» Ἔμπης δ' ἐν στήθεσσι μάχης τ' ἀδαήμοσιν ἄμμι
θυμὸς μαιμάσσει βῆμεν ἐπ' ἀντιπάλους
» καί σφεας τίσασθαι δηναιῆς ἐς πατρίδ' αἶαν
ὕβριος, ἠδ' ἐς ἕδη θεῖ' ἀλιτημοσύνης.
» Βαρβάρου οὐ δέδιμεν πληθὺν στρατοῦ, οὐλογάδ' ἵππον,
οὐδ' ἄρα πυροβόλων εὐρυχαδῆ στόματα·
» ἠνὶ δ' ὑφ' ἡγεσίῃ πάντες τεῇ εἶμεν ἑτοῖμοι
ἐν κρατερῷ πολέμῳ πότμῳ ὑπαντιάσαι.
» Τίς μερόπεσσι βίου δουληΐου ἔπλετ' ὄνησις;
Τεθναίη, ὃν χρὴ ζῆν ὑπὸ δεσποσύνῃ.
Τοῖα κάσις, προσέφη. Ὑψηλάντης δ' ἐγεγήθει,
ἄνδρας τ' εἰσορόων, ἄρτι' ἔπη τ' ἀΐων·
χειρὶ δ' ἐμόν δειδίσκετ' ἀδελφεὸν ἔκ τ' ἐρέεινεν
οὔνομα καὶ πάτρην εἰό τε καὶ ἑτάρων·
ᾔνεσε δὲ γνώμην φιλοπάτριδα, καὶ ἑ προτίσας
πεντηκόνταρχον θῆχ' ἱεροῖο λόχου,
στίφεος ἀτρέστου, τὸ παλαιφάτῳ ἶσον ἀρέσθαι
κείνῳ Θηβαίων κλεῖος ἔμελλε λόχῳ.
Ταῦτα σύ μοι μήνυσας, ἀδελφεὲ Ῥήγιε, δέλτῳ,
καί με προσεφθέγξω γράμμασιν ὑστάτιον·

ὑστάτιόν με τότε προσφέγξαο καὶ μελεδώνην
οἴκου ἐπέσκηψας γειναμένης τε φίλης,
ἥ θ' ἑὸν οὐκέτ' ἔμελλεν ὑπότροπον υἱὸν ἰδέσθαι
ξείνηθεν πατρὸς δώματ' ἰόντα πάλιν.
Φεῦ! ὅσσοις κείνην τότ' ἀπ' ὄσσοιν δάκρυσι δέλτον
δεῦσα, κασιγνήτου σήματα δεξαμένην.
Ὁσσάκι δ' οὔνομ' ἔκυσσ' ἐπὶ χάρτῃ χείλε' ἐρείδων
καὶ στέρνων στοναχὰς ἐξανιεὶς μυχάτων!
Ἔνδοθι γὰρ θυμὸς προτιόσσετο πότμον ἀδελφοῦ
ὠκὺν ἐν ὑσμίνῃ τηλόθι ἧς πατρίδος.
Μητρὶ δ' ἀνειρομένῃ με θάμ' υἱέος ἀμφ' ἀπεόντος
δέλτοιο πτυκτῆς κεῦσα τότ' ἀγγελίην,
μὴ φρένα θ' οἱ πτοιήσω ἰδ' ἄσπετα δάκρυ' ὀρίνω,
μνησαμένῃ αἴσης ἱεμένων ἐς ἄρη.
Αἰθιόπων ἤδη πουλυψαμάθου ἀπὸ γαίης
χρυσαυγὲς τρέψας ἅρμα πάλιν Φαέθων,
ἰσοτόμον κύκλον πόλου ἵκετο, ἔνθα περ ἶσα
ἤματα νυξὶ πέλει πᾶσιν ἐπιχθονίοις.
Ἄνθεα δὲ πνοιῇσιν ὑπαὶ λιαρῆς ἀνέτελλεν
ἄδδην γαῖα πιοῦσ' ἐκ νεφέων νοτίδα,
καὶ λόχμῃσι δρόσου κεκορημένη ἐν σκιερῇσιν
ἤειδε γλυκερὸν δαυλιὰς ὄρνις ἔαρ.
Δὴ τότε δεσποσύνης ἀπεσείσατο δύσλοφον ἄχθος
Ἑλλὰς καὶ δεινῶν ἥψατο πᾶσ' ἀέθλων·
Δὴ τότ' ἀν' Ἑλλάδα πᾶσαν ἀοιδοπόλοιο Φεραίου
θούριον ὦρτο μέλος καὶ ἰαχὴ πολέμου.
Οὔρεα δ' ἐσμαράγησεν ὑπ' ἠχῇ θεσπεσίηφι
καὶ κλαγγῇ τευχέων ὀρνυμένων ἐς ἄρη.
Δὴ τότε σῆς μ' ἐπέλησεν ἐφετμῆς, ὦ κάσι, φωνὴ
πάτρης, ἀθλοσύνην δύσπονον ἀραμένης.
Οὐκέτι δ' ἐμνήσθην πατρωΐου ἠδέος οἴκου,
οὐ μητρὸς κεδνῆς, ἥ τέκε μ' ἠδ' ἔτραφεν,

οὐδὲ κασιγνήτων τε κασιγνητῶν τε τερεινῶν,
οἳ πατρὶ μ' ἶσα πατρὸς τῖον ἐνὶ μεγάροις.
Ἀλλά με θυμὸς ὄτρυνεν ἀρήϊα τεύχε' ἑλέσθαι,
Τούρκοις θ' ὑϐριστῇς βῆμεν ἐναντίϐιον.
Τῷ ῥα τριηκοσίοισι σὺν αἰζηοῖς Ζαγοραίοις
ἑσπόμενος θείῳ[1] βῆν μέγαν εἰς ἄεθλον.
Εἰς ἄεθλον ἔκιον, σωτῆρι θεῷ πολιούχῳ
εὐξάμενος νίκην ἄμμι κλέος τ' ὀπάσαι,
δυσμενέων τ' ἀνδρῶν τίσασθ' ἀθεμίστια ἔργα,
τοῖς ὕπο δὴν λαὸς τρύχετο Θεσσαλίης.
Ἀλλ' οὐχ ὑψικέραυνος ἐμῶν ἐπάκουσε λιτάων,
οὐδὲ μεθ' ἡμείων ὄϐριμος ἔστη ἄρης·
Τούρκων γὰρ θρασέων λάϐρος στρατός, ἠΰτε πόντου
θρηϊκίοις ἀνέμοις κύματ' ὀρινόμενα,
Μαγνήτων στίφεσσιν ἐπέσσυτο· τοὶ δ' ὀλίγοι περ
μνησάμενοι ἀλκῆς ἔσταν ἐναντίϐιον,
οὐ μάλα δήν· εἶξαν γὰρ ἐν ὑσμίνῃ πλεόνεσσι
παῦροι, καὶ ὅπλοις χείροσι μαρνάμενοι.
Αἷμα δὲ τῆμος ἔδευσε πολὺ χθόνα καὶ ἀϊδήλῳ
πολλαὶ πηλιάδες κῶμαι ὄλοντο πυρί.
Πολλαὶ δ' αὖ κοῦραί τ' ἀταλαί, πολλαί τε γυναῖκες
σεμναὶ δουλοσύνῃ ἔμπεσον ἀργαλέῃ.
Ὣς τόθ' ὑπερφιάλων μοι ἀθρεῦντι σχέτλια ἔργα
ἔκθρωσκε στηθέων παλλομένη κραδίη!
Πολλάκις ὡρμήθην μέσσον δηΐων ἐς ὅμιλον
ἰθύσας θανέειν, μηδ' ὁράαν ἔθ' ὕϐριν.
Ἀλλ' οὔ μοι πολλοὶ θέλον ἐς μόθον ἄνδρες ἕπεσθαι,
ὥστε τι καὶ ῥέξαι μ' ἐν δαῒ λευγαλέῃ.
Ἐς ζοφερὸν δ' ἀΐδην τί κε τις μηδὲν μέγα δράσας

[1] Ταγὸς τῶν ἐκ Ζαγορᾶς στρατευσαμένων καὶ βουλευτὴς ᾑρέθη Ἰωάννης Φιλίππου Συμϐανίκου, πρὸς μητρὸς θεῖος τοῦ τὰ Ἐλεγεῖα ποιήσαντος.

βαίη, καὶ θείη τοῖσι τεκοῦσι γόον;
Τοῖα τόθ' ὥρμαινον φρεσὶν ἔνδοθι διχθὰ μενοινῶν·
ἐντολίης δὲ τεῆς μνησάμενος προτέρης
ἄψ ἤϊξα δόμονδε πατρώϊον, ὄφρ' ἀποτῆλε
θείω κινδύνων μητέρα καὶ κάσιας.
Αὐτὰρ ἐπεὶ χρεῖος κατὰ μοῖραν τοῦτ' ἐτελέσθη,
βῆν ἴμεν αὖ ἀνδρῶν ἐς στονέοντα μόθον,
παυροτέρους μὲν ἄγων, ἰωχμοῦ δ' ἴδμονας αἰνοῦ,
οὐδὲ φόνου στυγερὴν ὄψιν ἀτυζομένους.
Καὶ σὺ δὲ τοῖς ἅμ' ἕπευ, ἑτάρων μοι φίλτατ' Ἀμούζα,
ἄλκιμον ἦτορ ἔχων, πιστὸν ἀεί τε νόον.
Σὺν δ' ἔθελες θανέειν μοι, ἐλεύθερον ἦμαρ ἐραννῇ
πορσύνων πάτρῃ καὶ γενεῇ ὀπίσω.
Ἀλλὰ φόβῳ κρυόεντι φρένας δεδονημένοι ἔνδον
Μάγνητες, σταδίην φύλοπιν οὐκέτ' ἔτλαν.
οἱ μὲν γὰρ κοίλας δύσαν οὔρεος εἰνοσιφύλλου
βήσσας, αἱμοχαρεῖς χεῖρας ἀλευόμενοι.
οἱ δ' ἄρ' ἀπογνόντες σωτήριον ἦμαρ ἰδέσθαι
αὐχέν' ἐν ἀχθηρεῖ ζεύγλῃ ἔθεντο πάλιν.
οἱ δὲ κατασχόντες Τισαίου πρῶνα τρίκραιρον,
ἠμύνονθ' ὅπλοις δυσμενέα στρατιήν.
Τοῖσιν ἐγὼν ἐπίκουρος ἔβην δολόεσσαν ἀλύξας
εἰνοδίην ἀνδρῶν ἄρκυν ἀλιτρονόων.
Τούρκων δ' ἔνθεν ὅμιλος ἀπωσθεὶς ἀγριοθύμων,
Παιπαλόεντι ῥίῳ οὐκέτ' ἐπόρθαι ἔτλη.
Ἀλλὰ πόλεις κώμας τ' ἐνιπρήσας ἢ ἀλαπάξας,
καὶ χθόνα φοινίξας αἱματόεντι βρότῳ,
πολλὴν ληΐδ' ἄγων κνημοὺς λίπε Πηλίου αὖθις,
καπνῷ τυφομένους αἰθομένων πολίων.
Ἅρμα θοὸν Φοῖβος κατ' ἀπείριτον αἰθέρ' ἑλίσσων
λείοντα φλογερὸν θῆρα πόλοιο κίχεν.
Ὤχετο δ' ἐκ γαίης πολυανθέμου εἴαρος ὥρη,

ἧκέ τε βεβριθὸς νῦν σταχύεσσι θέρος,
εὖτε πάτρης ἡμῖν ἐπὶ λυγροῖς ἀχνυμένοισι
πήμασι θυμήρης ἤλυθεν ἀγγελίη·
κλεινὴν γάρ Πέλοπος Δημήτριος ἵκετο νῆσον
Ὑψηλαντείδης ταγὸς εὐπτόλεμος,
συμφύλοις μεμαὼς ἐπαρηγέμεν, οἵ τ' ἀνὰ πᾶσαν
Ἑλλάδ' ἐλευθερίης ἀμφεμάχοντο φίλης.
Τοὶ δ' ἀμφ' ἡγεμονῆϊ μενεπτολέμῳ κεχάροντο,
καὶ πίμπλαντο φρένας θαρσαλέοιο μένευς.
Κλητοὶ δ' ἐκ πάσης πολέες ἔβαν Ἑλλάδος ἄνδρες
τῆμος ἐς Ἀρκαδίης οὔρεα πουλυβότου,
ἡγεμόνι ξυνῆς ἐντευξόμενοι περὶ πάτρης,
ἥ τ' αἰνῶς πολέμῳ τείρετο λευγαλέῳ.
Καὶ αὐτὸς δ' ὦκα προλιπὼν τότε Πηλίου ἀκτάς,
πόλλ' ἐν ὁδῷ ὑποτλὰς ἄλγεα κεῖσ' ἱκόμην·
καὶ σὲ γὰρ ὀφθαλμοῖσιν ἐώλπειν, φίλτατ' ἀδελφέ,
ὄψεσθ' εὐπτολέμῳ κεῖθι παρ' ἡγεμόνι,
καὶ στόμα σὸν κύσειν περὶ αὐχένα πήχε' ἑλίξας,
καί θ' ἕψεσθαί σοι πανταχῆ εἰς ἀέθλους.
Ὡς μοι ὀρειβατέοντι δι' αἴπεα καὶ διὰ βήσσας
Ἀρκαδίης τότε κῆρ πάλλετο γηθόμενον!
Ὡς δ' ἄρα Τρικορύφου τρηχὺν τότε κνημὸν ἀνέρπων,
ᾗ στρατὸς ἐσκήνου κλεινῷ ὑφ' ἡγεμόνι,
Πάπταινον κύκλῳ καθ' ὅμιλόν σ' εἴπου ἴδοιμι,
ἐν πολλοῖσι φυὴν ἐκπρεπὲ' ἠδὲ δέμας!
Ἀλλὰ μάτην δίνευον ἀνὰ στρατὸν ὄμμαθ' ἁπάντῃ·
σὴν γὰρ ἔην κορυφὴν οὐδαμοῦ εἰσιδέειν.
Οὐδ' ἀμφὶ κλισίῃ τέτμον σ' ἡγήτορος, ἔνθ' οἱ ἄριστοι
πωλέσκοντ' ἀνδρῶν ἠδ' ἑτάρων λογάδες.
Αὐτῆμαρ μενεχάρμῃ ἀγῷ στρατοῦ ἔνθα προσῆλθον
Ὑψηλαντείδῃ, ὃς βραχὺς ἔπλε δέμας,
ἀλλὰ μέγ' ἐν στήθεσσιν ἴδ' ἀτρεμὲς ἦτορ ἔεργε,

νωλεμέως φλεγυρῷ ζεῖον ἔρωτι πάτρης.
Μαγνήτων δ' ἤγγειλ' οἱ πήματα δεινὰ παθόντων
εἵνεκ' ἐλευθερίης βαρβάρου ἐξ ἄρεος,
καί μιν ἀμυνέμεναι λιτάνευσ' ἐπίκουρον ἐκείνοις
πέμψαντα στρατιὴν τηλεβόλοις σὺν ὅπλοις.
Προφρονέως δ' ἄρ' ἐκεῖνος ὑπέσχετο ἄμμιν ἀρήξειν,
εὐρὺ ἐπὴν τεῖχος τὸ Τριπόληος ἕλοι.
Ἔλπετο γὰρ τότε πουλὺν ἐν Ἰσθμῷ λαὸν ἀγείρας
συμπάσης δηΐους Ἑλλάδος ἐξελάσαι.
Τῷ ῥ' ἔγνων μίμνειν τόθι δέγμενος ὁππόθ' ἁλῴη
χερσὶν ὕφ' Ἑλλήνων τειχιόεσσα πόλις.
Πολλάκις ἔνθα μένων ἰωχμὸν ἔδυν στονόεντα
ἀνδρῶν, καὶ κρυερῆς ἀντεβόλησα μάχης.
Οὐδὲ γὰρ ἠέλιός ποτ' ἐδύσετο, πρὶν δὴ Ἀχαιοὺς
Τούρκοις συμβαλέειν αἱματόεσσαν ἔριν
σφῆς ἀμφὶ ψυχῆς τε φίλων τ' ἀλόχων τεκέων τε,
δυσπονέος νίκης ἡδυτάτων ἀέθλων.
Ἔνθα ποτὲ κλισίηνδε μάχης ἐκ δυσκελάδοιο
ἄψ ἀνιὼν τρηχὺν Τρικορύφοιο πόδα,
ἠΐθεον κοῦρον ἐνὶ τεύχεσιν εἰσενόησα
ἐντροπαλιζόμενον καὶ μ' ὁρόωντα θαμά.
αἶψα δ' ὅγ' ἆσσον ἰὼν πάτρην μ' ἐρέειν'· ἴδ' ἀκούσας
ἡδύ τι με βλεφάροις εἴσιδεν ἠδ' ἔφατο·
οὐκ ἐτεὸν φίλον ἔνθα Φίλιππον δέρκομ' ἑταῖρον,
Τῷ πάτρην ξυνὴν παιδοσύνην τ' ἔλαχον;
Τοῖ' ἐνιδὼν εἰπόντι, Γεώργιον αὐτίκ' ἐπέγνων.
Συμφοιτητὴν πρίν, τὸν Γαλάτην ἐπίκλην.
Δειρὴν δ' ἀμφιχυθεὶς καὶ χείλεσι χείλεα μίξας,
Τρίς μιν ἔκυσσ', ἀταλῆς ἡλικίης ἕταρον,
καὶ προσέφην· πόθεν, ὦ φίλ', ἐς οὔρεα παιπαλόεντα
ἵκευ Ἀρκαδίης; Τίς δὲ χρεὼ σ' ἄγαγεν;
» Ἤδεα γάρ τ' ἀπόδημον ἐόντα σε καί τ' ἐπὶ πόντου

ἀκταῖς εὐξείνου ζῶντα κατ' ἐμπορίην·
» Τῷ ῥ' οὐκ ᾠϊόμην σε μετὰ στρατῷ ἐνθάδ' ἰδέσθαι
ἀνδροφόν' ἀμφ' ὤμοις τεύχε' ἔχοντ' Ἄρεος.
Δεξιτερῆς δέ με κεῖνος ἑλὼν πέλας εἶσ' ἐπὶ πέτρῃ
καί μοι ἕκασθ' ἑξῆς ἔννεπ' ἀνειρομένῳ.
ἔννεπεν, ὡς λαὸν χριστώνυμον ἐξερύσασθαι
Τούρκων ἀργαλέης δεσποσύνης ποθέων
σοί, κάσι, σὺν πολέεσσιν ἅμ' ἕσπετο ἠϊθέοισιν
ἐς πόλεμον, πιαρὴν δ' αἶαν ἵκεσθε Δάκων.
Ἔννεπεν, ὡς ὑμέας ὑπεδέξατο κύδιμος ἀρχός,
καὶ ἱερῷ τίσας ἐγκατέταξε λόχῳ·
ἔννεπεν ἑλλήνων φιλαέθλων θούριδά τ' ἀλκὴν
πάντοθεν ἀγρομένων πιστὸν ἀεί τε νόον·
εἶπε δολοφροσύνην Βλαδιμηρέσκου κακοπίστου
καὶ Σάββα, κάκ' ἀγῷ μησαμένων σφετέρῳ.
Ἔννεπε δ' ἀτρεμίην τε μένος θ' ἱεροῖο λόχοιο,
ἀΐδιον βιοτῆς κλεῖος ἀμειψαμένου.
Τοῦτ' ἔπος ἐπτοίησεν ἐμοῖς ἐν στήθεσι θυμόν,
καί, εἴμοι ζώεις, ἄνδρ' ἐρέεινα φίλον.
» Ζώει. κεῖνος ἔφησε, τεὸς κάσις· οὐ γὰρ ἔοικε
τεθνάμεναί με λέγειν τὸν πρὸ πάτρης φθίμενον·
» Ζώει ἐνὶ μακάρεσσι μακάρτατος, οὕνεκα λαοῖς
ἔπλετ' ἐλευθερίης πιστὸς ἀεθλοφόρος.
» Ζώει ἐνὶ στομάτεσσιν ἑῶν ἑτάρων περιόντων,
οἵτ' ἀγάσαντ' ἀρετῆς κεῖνον ἰδ' ἠνορέης.
» Ὡς γὰρ ἐν ὑσμίνῃ πουλὺν φόνον εἰσενόησεν
Ἑλλήνων στρατιῆς, ἥτ' ὀλίγη πολέσιν
» μαρναμένη δηΐοισιν ἐτείρετο, χάζετο δ' ἤδη,
τοῖ' ἐπιθαρσύνων φθέγξαθ' ἑοὺς ἑτάρους.
» Ἀνέρες ἔστε, φίλοι· μὴ δὴ γένος αἰσχύνωμεν,
φειδόμενοι ψυχέων, ἀλλὰ πάτρης ἐρατῆς
» ἐνθάδ' ἀμυνόμενοι προθάνωμεν· δὴ γὰρ ἄμεινον

θνήσκειν ἠὲ βίον δούλιον αἰὲν ἄγειν·
» ὥς εἰπὼν ὤτρυνε μένος καὶ θυμὸν ἑταίρων.
'Ες δηΐους δὲ μέσους εἴκελος ἀστεροπῇ
» ἔμπεσε σὺν παύροισιν, ἐπιστροφάδην τ' ἐδάϊζεν,
ὄφρ' ἔθανεν καὐτὸς συχνὰ μάλ' οὐτάμενος.
Λυγρῇ ἐπ' ἀγγελίῃ τῇδ', ὦ κάσι, σοῖο φόνοιο
πόλλ' ἄμβλυσαν ἐμῶν δάκρυ' ἀπὸ βλεφάρων.
'Ανδρὸς δ' αἶψα φίλου καὶ ὁμίλου νόσφι λιασθείς,
κλαῖον ἀδελφειοῦ πότμον ἐπιστενάχων.
Ἦ δὴν Τρικορύφου κατ' ἐναύλους οἶος ἀπ' ἄλλων
πλαζόμενος, σόν, ὅμαιμ', οὔνομ' ἀποιχομένου
ἤπυον αἰάζων· ἠχὼ μούνη δ' ἀπὸ πετρῶν,
ἀντίφθογγον ἵει καὶ γοερήν μοι ὄπα.
Μυρομένῳ μοι ἔδυ γλυκερὸν φάος ἠελίοιο,
εὖ τε δὴ ἐμνήσθην ἄψ ἴμεν ἐς κλισίην.
Τὴν δ' οὖν ἀκροκνεφὴς ἱκόμην πάλιν, ἔνθα γε σίτου
ἀδδηκὼς καμάτῳ τυτθὸν ὅσον πασάμην·
ἐτραπόμην δ' ἐς ὕπνον λαθιπήμονα, δῶρον ἀρητὸν
ἐκ θεοῦ ἀνθρώποις θυμὸν ἀκηχεμένοις.
Ὡς δ' ἄρ' ἐμὼ πτερύγεσσι κελαιναῖς ὄσσ' ἐκάλυψεν
ὕπνος, καὶ δνοφερὸν κῶμ' ἐπέδησε μέλη,
ἐννύχιος κνώσσοντι παρέστη μοι ἐν ὀνείρῳ
Ῥήγιος ἠνορέῃ τ' ἀγλαΐῃ τε πρέπων,
σταυρὸν ἐπὶ στέρνῳ παγχρύσεον, ἐν δ' ἄρα χειρὶ
δάφνης ὄζον ἔχων, κόσμον ἀεθλοφόρων.
Ἡδὺ δ' ἀπὸ βλεφάρων με δεδορκώς, μείλιχον αὐδὴν
ἧκεν ἀπὸ γλώσσης τοῖά τέ μοι προσέφη.
Εὐκτὸν ἔην γε λίην μοι, ἀδελφεέ, πατρὸς ἐς οἶκον
νοστήσαντι πάλιν φοινίου ἐκ πολέμου
μητρὸς δεξιτερὴν καὶ ὁμαίμων χείλεα κῦσαι,
ῥέξαι θ' ἱρὰ θεῷ ῥύσια πανσθενέϊ.
'Αλλ' οὔμοι κρηῆναι ἐπεύαδεν ὑψιμέδοντι

τοῦτ' ἔλδωρ, λυγρῇ δ' ἐν δαῒ τῆλε πάτρης
τέρμ' ἔλαχον βιότου προμαχίζων δυσμενέεσσι
χριστιανῶν γλυκερῆς εἵνεκ' ἐλευθερίης.
Ἀλλὰ σὺ μή τι λίην ἐμόν, ὦ κάσι, μύρεο πότμον.
Μὴ δῆτ'· οὐ δακρύων ἄξιός εἰμι θανών.
» Οὐκέτι γὰρ δοῦλος κεκλήσομαι· οὐκέτι Τούρκων
ὄψομ' ἀτασθαλίας, οὐδὲ πάτρης ὀδύνας.
» Σῶμα μὲν ἀκτερέϊστον ἐπὶ χθονὸς ἐκπρολέλοιπα
τῆλε, Δραγασσανίου κείμενον ἐν πεδίῳ·
» ἔνθ' ἄρ' ἐμὸν θήρεσσιν ἕλωρ δέμας ἔσσεται ὠμοῖς,
ὀστέα δ' αὖ πύσει ὑγρὸν ἀεὶς ἄνεμος.
» Αὐτὸς δ' ἐς μακάρων πεδί' ἤλυθον, ἔνθα σὺν ἄλλοις
ἀθλοφόροις ἀέθλων ἡδὺ λέλογχα γέρας.
Μή μ' οὖν κλαῖε, Φίλιππε· πατρώϊον ἄμφεπε δ' οἶκον,
μητρός τ' ἠδ' ἀπαλῶν κηδόμενος κασίων.
» Αὐτὰρ ἐπεί κεν πάτρη ἐλεύθερον ἦμαρ ἴδηται,
λήθῃ μὴ δοίης οὔνομ' ὀλέσθ' ἐμέθεν·
» ἀλλὰ Σαωτῆρος περὶ νηῷ κίονα βαιὴν
στῆσαι, μνῆμα τεοῦ Ῥηγίου ἐξοπίσω.
Ὥς ἄρα φωνήσαντα φίλον κάσιν ἀμφοτέρῃσιν
ἴθυσ' ἀμφιβαλεῖν χερσὶν ὀρεξάμενος.
Ἀλλὰ μάτην· εἶθαρ γὰρ ἀπέπτατο νύκτερος ὄψις,
σὺν δὲ καὶ ὕπνος ἐμῶν ἔσσυτ' ἀπὸ βλεφάρων.
Αὐδὴ ἀνεγρομένῳ μοι ἔναυλος ἔτ' ἔπλεν ἀδελφοῦ,
Ῥεῦσάν τ' ἐξ ὄσσων αὐτόματ' αὖ δάκρυα.
Ἀλλ' ἐμὸν οὐκ ἄλγος θυμὸν τόσον, ὡς τὸ πάροιθεν,
ἀμφὶ κασιγνήτου δάπτε καλῷ θανάτῳ·
καὶ γὰρ ἐν ἐλπωρῇ θαμινῆς παραμύθιον ἦεν
ὄψιος ἐννυχίου προσφιλέος κάσιος.
Ἦ θαμά, Ῥήγι', ἔπειτα δι' ὀρφναίης σε καθ' ὕπνον
ἔδρακον αὖ νυκτός, φθέγμα τ' ἄκουσα τεόν·
οὔτω δ' οὔ ποτ' ὄπωπά σ' ἐναργέα, ὥς ὅτ' Ἀχαιῶν

ἐν συνόδῳ δαίμων ἔχθιμος ὦρσεν ἔριν,
σὺν δ' Ἕλληνας ἕηκεν ἐριζέμεν Ἑλλήνεσσιν,
ὅρκους ἠδὲ δίκην μηκέτ' ὀπιζομένους,
σφᾶς τ' ὤτρυνε γένος δίχα τέμνειν, ἀλλοδαποῖσιν
ἐνδαπίοις τ' ἴσην αἶσαν ἀναινομένοις.
'Ασχαλόων γὰρ ἐμὸν τότ' ἔβην πάλιν ἐκ συνόδοιο
οἶκον, ἰδ' ἐκλίνθην δαιτύος ἀψάμενος.
'Εν δ' ὕπνῳ πτολίεθρον 'Αθηναίης ἐδόκησα
ἐκπρολιπών, Δακίης αὐτίκα πυροφόρα
ἐλθέμεναι πεδί', ἔνθ' ἱερὸς λόχος ἀντία Τούρκων
Μαρνάμενος κυδρὸν πότμον ἐπέσπε πάρος.
Κεῖσ' ἐλθὼν ἔστην ἠδ' ἄθρεον εὐκλέα χῶρον,
καὶ τρὶς ἄϋσα κάσιν Ῥήγιον ἐκκαλέων.
Σμερδαλέον δ' αἴφνης μυκήσατο σειομένη χθὼν
νειόθεν ἐκ θεμέθλων, τηλεθόωσά τ' ἄφαρ
ἔκπαγλον ῥοίζησ' ὕλη κύκλῳ· ὑψόθι δ' αἰθὴρ
ἔκτυπε δινηθεὶς αἰθαλόεντι βέλει.
Ἔπτηξ' ἠδὲ κύκλῳ παπτήνας ἔδρακον οὖδας
πυκνὰ διϊστάμενον, σὺν δέ τ' ἐγειρομένους
ἄνδρας ὑπὲκ γαίης τευχήρεας, οἷς ἐνάριθμος
ἐσθλὸς ἀδελφειὸς Ῥήγιος οὑμὸς ἔην.
Πάντες ἔσαν λύθρῳ πεφορυγμένοι, εἰσέτι πᾶσι
φοίνιον αἷμ' ἑλκέων κήκιεν ἐκ βαθέων.
Ἔγνω δ' αἶψά με κεῖνος, ἔειπέ τε· ὦ φίλ' ὅμαιμον,
τίπτ' ἄρ' Ἀθηναίης ἀγλαὸν ἄστυ λιπών,
ἀλκῆς θ' ἡμετέρης ἐπιμάρτυρα πὰρ ῥόον Ἴστρου
τόνδ' ἷξαι χῶρον καὶ τάφον ἡμέτερον;
Οὐ μὴν ἔνθα θνήσκοντες πρὶν ἔσεσθ' ἐφάμεσθα
ἦμαρ, ὅθ' Ἑλλήνων κοινῇ ἐνὶ ξυνόδῳ
Ἑλλάδι θέσθ' οὖρόν τις τλήσεται Ὄθρυν ἰδ' Ὄλπην,
Βαιὴν κάρτα τιθεὶς τὴν πατρίδ' ἐκ μεγάλης.
Οὐ Πέλοπος μούνη γε παλαιγόνου ἀμφιρύτη χθών,

οὐ κεκροπὶς χώρη καὶ πέδον ἀόνιον,
οὐ Λοκρίς, οὐκ Εὔβοια βοτοῖς φίλη, οὐκ ἐριβῶλαξ
Φθίη, ἀρηϊφίλων τ᾽ οὔρεα Δωριέων,
οὐ Φωκὶς στυφελή, οὐκ Αἰτωλῶν κλυτὸν οὖδας,
οὐδ᾽ αὖ Ἀκαρνάνων γαῖα σιδηροφόρων,
οὐχ ἁλὸς αἰγαίης περίκλυστοι κύμασι νῆσοι,
οὐ ταῦτ᾽ ἔσθ᾽ Ἑλλάς, τῆς προμαχεσσάμεθα.
Πουλὺ προσωτέρω ἄμμι τεθείσθων πατρίδος αἴης
τέρμονες, ὄφρ᾽ Ἑλλὰς πανταχῆ ἄμμιν ἔῃ,
ὅπου φθογγὴ ἀκούετ᾽ ἀχαιϊάς, ἢ νόος ἀνδρῶν
ἑλληνίζει· ἐπεὶ καὶ τόδ᾽ ἅλις δύναται.
Ὣς εἰπὼν σίγησε κάσις, ἐπὶ δ᾽ ἴαχον ἄλλοι·
ἔμπαλι δὲ χθόν᾽ ἔδυ στῖφος ἅπαν νεκύων.
Αὐτὸς δ᾽ ἐξ ὕπνου ἐγρόμην πάλι καὶ τὸν ὄνειρον
θαύμαζον καθ᾽ ὕπαρ φρεσσὶν ἀνασκοπέων·
Χαῖρέ μοι, ὦ κάσι, καὶ νυχίοις θαμινῶς ἐν ὀνείροις
ἔρχεό μοι, λωφῶν τοὐδ᾽ ἄχεος κραδίην.
Ἔρχεο· μή με λίπῃς, ἔς τ᾽ ἂν πλήσας βιότοιο
μέτρα, μονὴν βήω σὴν μάλα γηθόμενος.
Τόφρα δ᾽ ἔγωγε τεῆς μεμνημένος αἰὲν ἐφετμῆς,
λῆστιν σεῖο πάτρην οὐ περιόψομ᾽ ἔχειν.
Ἀλλὰ στήλην μέν σοι ἀνιδρύσω περὶ νηῷ
ῥύστου ἐπουρανίου σήματος ἄγχι πατρός,
εὖτ᾽ ἂν ἐλευθερίης ἐρατὸν φάος εἰνοσιφύλλου
Πηλίου ἀντείλῃ δενδροκόμοις ναέταις·
νῦν δέ σοι ἐξ ἐμέθεν μνημήϊον εἰσαεὶ ἔστω
ἠβαιὸν ῥαπτῶν τοῦτο πόνημ᾽ ἐπέων.
Ἀνδρὸς γάρ τ᾽ ἀρετὴν θῆκ᾽ αἰείζωον ἀοιδή,
Καί μιν ἀρίγνωτον τεῦξεν ἐπερχομένοις.

ΕΠΙΣΤΟΛΗ

πρὸς τὸν ἀδελφὸν Δημήτριον τὸν ἐπικαλούμενον Γυαλᾶν
ἐπὶ τῷ θανάτῳ τῆς μητρός, ἔτει ͵αωνζ΄.

» . . . . . Est quaedam flere voluptas·
Expletur lacrimis egeriturque dolor.
Ovid. Trist. lib. 1,3.

Φίλτατέ μοι κασίων Δημήτριε, ἦ μάλα λυγρὴν
  ἐξ ἐμέθεν ταύτην πεύσεαι ἀγγελίην.
Μήτηρ, ἥθ' ἡμέας τέκε καὶ ἀτίτηλ' ἐπέχουσα
  μαζόν, τόνδ' αἰῶν' ἔκλιπεν οἰχομένη.
Ἔκλιπε τόνδ' αἰῶνα καὶ ἤματος οὐκέτι κείνη
  δέρκεται ὀφθαλμοῖς ἡδὺ βροτοῖσι φάος.
Ἔκφυγε μὲν ζωὴ φαιδρῆς τὸ πάροιθεν ὀπωπῆς,
  Ἣν ἴδομεν πρώτην ἐς βίον ἐρχόμενοι·
ὄμματα δ' οἱ βλεφάροισιν ἐς αἰὲν συγκεκάλυπται,
  πολλάκι δακρύσαντ' ἄλγεσιν ἡμετέροις,
πολλάκι τ' ἀστράψανθ' ὑπὸ γήθεϊ, ὁππότε δαίμων
  ἄμμιν ἐπιπνείεσκ' οὔριος ἐν βιότῳ.
Χείλεα δ' αὖτε μέμυκε, τὰ πολλάκις ἄμμε φίλησε,
  τάρπε τε μειλιχίοις ἄμμι λόγοισι νόον.
Οὐκέτι βῆμ' ἀΐω μητρὸς κατὰ δώματ' ἰούσης,
  οὔτε κελευούσης τοῖς θεράπουσιν ὄπα.
Ἐξέπτη σεμνὴ κείνης σκιή, ἔνθα λιποῦσα
  οἶόν μ' ἐν μελάθρῳ δάκρυσι λειβόμενον.
Καὶ σοὶ δή, τριπόθητε, κατ' ὄσσων δάκρυα πολλὰ
  αἰδοίης ῥεύσει μητέρος ἀμφὶ μόρῳ.
Ἀλλ' οὐ τόσσον τῆλ' ἀπεόντα σ' ὀΐομαι ἄλγος
  ἕξειν θυμῷ, ὅσον τὸν παρεόντ' ἔμ' ἔχει.
Θνήσκουσαν γὰρ ἐμοῖς ἴδον ὀφθαλμοῖσιν ἐκείνην,

τῆς περ ἔμοιγ' ἐπὶ γῆς φίλτερον οὐδὲν ἔην.
Ἥμισύ μου τέθνηκε θανούσης μητέρος ἐσθλῆς,
ἣ δή μοι γλυκεροῦ αἰτίη ἔπλε βίου.
Οὐδ' ἄρ' ἔθ' ἡδὺ μένειν μοι ἐπὶ χθονὶ πουλυβοτείρῃ,
εἰμὴ γ' εἵνεκα σεῦ, ὦ τριφίλητε κάσι.
Πολλάκις ἡμετέρη σέθεν ἐμνήσθη νοσέουσα
ἔνδακρυς μήτηρ καί σ' ἐπόθησ' ἰδέειν.
Πολλάκι μ' ἀμφὶ σέθεν μύχιον στενάχουσ' ἐρέεινεν,
υἷα περιπτύξαι χερσὶ λιλαιομένη,
καὶ πύματον κῦσαι καὶ ζ ῆ θ ί σοι ὕστατον εἰπεῖν,
ὄλβι' ἐπευξαμένη πάντα σοι ἐν βιότῳ.
Ἀλλ' ἔφθισε δέμας νοῦσος κακὴ ὦκα γεραιὸν
πρίν σοι μηνῦσαι γειναμένης με πόθον.
Νὺξ πέμπτη νοσεούσῃ ἐπήλυθε, τήν οἱ ἔσεσθαι
ἰητροὶ ζωῆς ἱστατίην ἔφασαν·
καὶ τότε μιν λεχέεσσι παρήμενος ἀμφεπονεύμην
Σὺν κασίεσσι, πικρῷ δαμναμένην πάθεϊ.
Νυστάξας δ' ἔβριξ' ἐπὶ θώκῳ, τυτθὸν ἐρείσας
χειρὶ κάρη, κραδίην ἔνδοθεν ἀχνύμενος.
Ἡνίκα δ' ὀρθροβόας τὸ πρῶτον ἄεισεν ἀλέκτωρ
Ἠὼ μηνύων ἅρμα τιτυσκομένην,
αὐδὴν μητρὸς ἄκουσα καὶ ὄρθιος αὐτίκ' ἀνέστην,
καὶ παλάμην ἴσχων δεξιτερὴν παλάμῃ,
ὅττεο χρηΐζοι μιν ἀλυκταίνων ἐρέεινον.
Ἡδ' ἄρα μοι βληχρῇ φωνῇ ἔειπε τάδε.
Ἐγγύθι μοι βιότου πέλεται τέλος, ὦ φίλε τέκνον,
οὐδ' ἔτ' ἐγὼν αἴγλην ὄψομαι ἠελίου,
οὔτε μοι ἠελίῳ ἶσ' ἡδέα φάεα τέκνων.
Εἶμι δὲ πρὸς πλάστην καὶ πατέρ' οὐράνιον,
ὅστέμοι ἱλήκοι πάνταρχος ἄναξ, ἀτὰρ ὔμμι
ὄλβια πάντα πόροι σὺν δολιχῷ βιότῳ·
τοσσόνδ' αὐδήσασα χέρ' αἰτήσαντι φιλῆσαι

δεξιτερήν μοι δῶκ', ἐς δὲ πόλον φάεα
σβεννύμεν' ὑψόσ' ἄειρε καὶ οὐρανίῳ παρέδωκε
πατρὶ πνεῦμ' ἁγνὸν τοῦδε λυθὲν βιότου.
Εὐθὺς ἔπειτ' ἄῤῥητος ἐπ' ὠχρὴν ὦπα γαλήνη
ἐξεχύθη νεκρῆς καὶ χάρις ἀμβροσίη.
Ἡδὺ δ' ἄρ' οἱ μείδημ' ἐπὶ χείλεσιν ἕζετ' ἀναύδοις,
οἷον λευσσούσης νῦν ἕδος εὐσεβέων.
Τρὶς τότ' ἔκυσσα πάλιν χέρα μητέρος ἠδὲ μέτωπον
ῥυσὸν γειοβαρεῖ γήραϊ καὶ ὀδύνῃς.
Πνεῦμα δ' ἀφιπτάμενον τοῦ σκήνεος ἐλλιτάνευσα
Μὴ λήθης πιέειν οἷς ἐπὶ παισὶ πόμα,
ἀλλ' ὑπὲρ ἡμείων θεῷ εὔχεσθ' ἠδὲ παρεῖναι
ἄγγελον ἐν βιότῳ ἄμμιν ἀλεξίκακον.
Τί πλέον ἀμφὶ πότμῳ μητρὸς λέγω; ἐκτερέϊξα,
ὡς θέμις ἐστί, νέκυν καὶ νόμιμα φθιμένων
πάντα πρόφρων ἐτέλεσσα· τάφῳ δ' ἄρα σῆμ' ἐπέθηκα,
φράζον κεκλιμένης οὔνομα καὶ γενέθλην.
Ἤματι δ' ὀγδοάτῳ πάλι μητέρος ἠρίον ἐλθών,
ἄνθος ἀναβλαστὸν χώματος ἠγασάμην.
Καινὴν δ' ἐκ νέκυος ζωὴν προσέειπα φανεῖσαν,
ἀθανάτου ψυχῆς σύμβολον ἡμετέρης.
Καὶ θαλέθον δρέψας ἔρσης τέκος ἠελίου τε,
ἔστεψ' εὐσεβέως εἰκόνα γειναμένης,
τὴν ὁρόων δοκέω αὐτὴν ἔτι μητέρα λεύσσειν,
οὐδ' ἀπαμερθῆναι δαίμονος οἰκοσόου.

ΑΝΑΧΩΡΗΣΙΣ

Donec eris felix, multos numerabis amicos
tempora si fuerint nubila, solus eris.
Ovid. Trist. a. 9.

Χαῖρε, πόλις Θησῆος, ἀνάκτορα, χαίρετ', ἀγητά,
ῥῦμαί τ' εὐρεῖαι καί δόμοι ὑψόροφοι,
καὶ ἀγοραὶ θορύβου ἀνάπλεοι, ἀπλέτῳ ὄχλῳ
στεινόμεναι, χλιδή τ' ἀστυκὴ ἠδ' ἁβρότης.
Χαίρετε, καὶ ἕδραι βουληφόροι· ἔῤῥετε δ' αὖτε
δειναὶ ἐριθεῖαί τ', οὐλόμεναί τ' ἔριδες.
Οὐδέν μοι χρυσοῖο καὶ ἀργύρου ἔπλετο ἦδος·
τιμῶν ἠδ' ἀρχῶν οὐκέτ' ἐπιστρέφομαι.
Σὺν τούτοις σκολιῶν ἀγκίστροφον ἐῤῥέτω ἦθος
ἀνδρῶν, ἐξαπάται τ' ἠδὲ δολοπλοκίαι,
καὶ διχόμυθος γλῶσσα καὶ ἐν στέρνοις ἀχάριστος
φρήν, καὶ ἀπιστίη, καὶ κακοφραδμοσύνη,
χείλεά τε ψεύδορκα, χέρες τε φιλόκλοποι ἀνδρῶν,
ἠϊθέων τε θράσος καὶ ἀεσιφροσύνη.
Πηλίου εἶμι πάλιν καταειμένου οὔρεος ὕλῃ
κνημοὺς εὐύδρους καὶ σκιόεντα νάπη,
ἔνθ' ἄρ' ὑπὲκ λαγόνων μητρὸς πάρος ἐς φάος ἐλθὼν
εὔκηλος βιότου πρῶτα διήνυσ' ἔτη.
Κεῖθι δ' ἐρημοφίλης καὶ ἀγείτων ζήσομ' ὀπίσσω,
ἀγροῦ θυμαρῆ βαιοῦ ἔχων μελέτην.
Κεῖθι σάλον βιότου πολυκύμονος ἐχθρὸν ἀλύξας,
νήνεμον ἐκ ῥοθίων δύσομαι ἐς λιμένα.
Οἰκίδιον κεῖθι στέρξω βραχύ, ἄλκαρ ἀητῶν
ψυχρῶν καὶ ὄμβρων καὶ θερινῆς ἀλέης.
Κεῖθι φυτηκομέων παμμήτορα γῆν θεραπεύσω
τὴν καὶ μισθοδότιν πᾶσι δικαιοτάτην.

Κεῖθι μοι ἀνδράχνην καὶ ἄνηθον κῆπος ἐπ' ἦμαρ
δαῖτα λιτὴν ὀπάσει καὶ χλοεροὺς κυάμους,
σεῦτλά τε καὶ λαθύρους, καυλοὺς κράμβης κινάρας τε
καὶ λαχάνων ἄλλων καὶ χεδρόπων γενεήν.
Δένδρεα δ' αὐτόθι μοι παντοίην οἴσει ὀπώρην,
παντοίην μήλων ἀκροδρύων τ' ἰδέην·
αὐτὰρ ἐριστάφυλοι πολυγλεύκους βότρυας ὄρχοι
οἴσουσ' ἡμερίδων, δῶρα θεοῦ βρομίου,
τῶν καὶ ἀποθλίψας λαρὸν μέθυ λυσιμέριμνον
ἕξω γυιαρκὲς τοῦτ' ἄκος ἐν καμάτῳ·
καὶ γάλα δ' ἐξ οἴων ἠδ' αἰγῶν λευκὸν ἀμέλξω,
τυρόν τ' ἐκ ταλάρων ἀρτιπαγῆ ἔδομαι·
καὶ σίμβλων ξανθὸν βλίξω μέλι κηριοπληθῶν,
ἡδὺ μελισσάων ἔργον ἀριστοπόνων·
πρὸς δ' ἄρ' ἀλεκτορίδων, χηνῶν τέ μοι ἠδέ τε νησσῶν
δώσει ὀρνιθὼν ᾠὰ μεθημέριος.
Πρὸς ταῦτ' οὔτις μοι θαλιῶν πόθος οὐδὲ τραπεζῶν,
τῇσιν ἐνευπαθέει Παλλάδος ἥδε πόλις.
Εἶμι δὴ ἔνθα θύμος καὶ ὀρίγανον ἠδ' ὑάκινθος,
νάρκισσός τ' ἀνθεῖ καὶ ἴα κυάνεα·
ἔνθα καλὸν θάλλει μελίλωτον καὶ ἀνεμώνη,
χρύσεαί τ' ἀνθεμίδες καὶ ῥόδον ἡδύπνοον,
καὶ λευκανθὴς μύρτος ἰδ' εὐερνὴς ῥοδοδάφνη,
ἑρσήεσσά τ' ἶρις λείριά τ' ἀργύφεα·
ἔνθα μέλος κίχλαι κόρυδοί τε τραυλὸν ἱεῖσι
καὶ λαλαγεῦσι λιγὺ ξουθαὶ ἀηδονίδες·
ἔνθα θύμου φύλλοισιν ἐν εὐόδμοισι μέλισσαι
βομβεῦσαι μυζῶσ' ἡδὺ φυτοῖο μέλι·
ἔνθ' ἀπὸ δρυμώνων προσφθέγγεται αἰολόφωνα
ὀρνυμένην Ἠῶ στρουθί' ἀπειρέσια·
ἔνθ' ἄρα καὶ Ζεφύρου πνοιῆς ἦκα ψιθυρίζει
ὑψιλόφων μελιῶν καστανεῶν τε φόβη.

Πολλὰ τόθι βλύζει ἐνὶ βήσσῃς νάματα νυμφῶν
νηϊάδων, ἄρδοντ' ἄλσε' ἀμαδρυάδων,
ὡροτρόφου Φοίβου ἄδυτ' ἀκτίνεσσι θερείῃς,
θεῖον Πηλῆος πρίν ποτ' ἰδόντα γάμον.
Ὡς ἡδὺ ψυχρῇ παρὰ πίδακι δεῖπνον ἐκεῖθι
ἐντύνεσθ', ἠχῷ τερπόμενον ῥεέθρου,
ἠὲ μετ' ἄρκιον ἔργον ὑπὸ σκιῇ ἔνδιον εὕδειν
αὐτοῦ ἐπὶ χλοερῇ κεκλιμένον στιβάδι.
Κεῖθι τιθηνεύοντι φυτῶν γενεὴν εὔκαρπον
εὔδια παμμεδέων ἤματά μοι παρέχοι!
τερπόμενον δὲ μάλιστά μ' ἀεξινόοις μελέτῃσι
μοιριδίου θανάτου νήγρετος ὕπνος ἕλοι!
χεῖρες δ' αὖτε φίλαι παρὰ πατρί με τυμβεύσειαν,
προσθέμεναι τόδε μοι γράμμ' ἐπιτυμβίδιον.
» Πατρὶς γαῖα κέκευθε φίλη φίλον ἔνθα Φίλιππον,
Μουσῶν καὶ σεμνῆς λάτριν ἐλευθερίης,
» ἐχθήραντ' ἀκόλαστον ὀχλοκρατίην καὶ ἄπιστον
ἦθος ἐν ἀνθρώποις ἠδὲ δολοφροσύνην.[1]

---

[1] Τὸ ποίημα τοῦτο συνετάχθη μικρὸν μετὰ τὴν κατὰ τοῦ ἀγαθοῦ βασιλέως Ὄθωνος ἀνταρσίαν καὶ τὴν ἀπὸ τῆς Ἑλλάδος ἀπέλευσιν αὐτοῦ· ὅτε δὴ ὁ συνταξάμενος ἐν δεινῇ ἀναρχίᾳ τὴν Πατρίδα ὁρῶν λύπῃ κατεσχέθη βαρείᾳ καὶ περὶ τοῦ μέλλοντος αὐτῆς δυσελπιστῶν, ὑπὲρ ἧς ἐκ νεαρᾶς ἡλικίας προθύμως ἀγωνισάμενος πρὸς πολλοὺς μὲν κινδύνους ἐπάλαισε, δυσχερῆ δὲ πλεῖστα ὑπήνεγκεν, εἰς Πήλιον ἐπανελθεῖν κἀκεῖ τῆς πολιτικῆς τύρβης πόῤῥω καταβιῶναι διενοήθη. Τῆς γὰρ τερπνῆς ἐκείνης χώρας, ἐν ᾗ ἔφυ τε καὶ ἀπαιδεύθη, καὶ τοῦ ἀθώου ἐν αὐτῇ βίου μνησθεὶς πάνυ δυσφόρως εἶχε πρὸς τὰ ἐν Ἀθήναις τότε ὁρώμενά τε καὶ ἀκουόμενα καὶ ὡς οἷόν τε πόῤῥω τῆς λυπηρᾶς ἐκείνης θέας καὶ ἀκροάσεως ἀποστῆναι ἐπόθησε.

ΕΛΕΓΕΙΑ

εἰς τὸν ἀείμνηστον βασιλέα τῆς Ἑλλάδος Ὄθωνα τὸν ά.
ἐπὶ τῇ ἀγγελίᾳ τῆς τελευτῆς αὐτοῦ.

Ἑλλάδα τειρομένην δηρὸν χρόνον ἐξ ἀθεμίστων
καὶ χαλκέῃσι πέδῃς γυῖα βαρυνομένην
Ὑψιμέδων ὁρόων ἐλέησε· μένος δ' ἄρα πᾶσιν
Ἕλλησιν θάρσος τ' ἔμβαλε φρεσσὶ μέγα.
Οἳ δ' ἀλκῆς πατέρων τῆς τε προπάροιθ' εὐκλείης
μνησάμενοι, δεινὸν πάντες ἄεθλον ἔδυν
εἵνεκ' ἐλευθερίης πολυηράτου. Οὐδ' ἄρα λαοὶ
ἠκήδησάν σφεων ἄλλοι ὀρινομένων,
ἀλλά σφι προφρόνως ἐπάμυνον κήδε' ἔχουσι
πρὸς δηΐων ἀνδρῶν ἐν σμυγερῷ πολέμῳ.
Πολλοὺς μὲν Δαναοῖσιν ἁλίβροχος ἧκ' ἐπικούρους
Βρεττανίη, πολλοὺς δ' εὔσταχυς Αὐσονίη.
Πολλοὺς Τευτονίη ἀνδρῶν γενέτειρ' ἐρικυδῶν,
πολλοὺς δ' αὖ Γαλατῶν πατρὶς ἀρηϊφίλων.
Πάντων δ' Εὐρώπης ἐκ σκηπτούχων βασιλήων
μοῦνον ἕν' Ἑλλήνων οἶκτος ἕλ' ἀχνυμένων·
κλεινὸν Λουδοβίκον Βιτλεσβαχίδην, μεγαθύμων
μούναρχον Βοίων, Τευτονίης στέφανον.
Δισσὸν ὃ γὰρ φορέων περισέμνῳ ἀμφὶ μετώπῳ
στέμμα, τὸ μὲν χρύσεον, σύμβολον οἷο κράτευς,
Δάφνης δ' αὖ ἕτερον παρνησίδος οἷά τε μύστης
Μουσῶν, Κασταλίης γευόμενος λιβάδων,
πολλάκις ἐν παλάμῃσι κρέκων φόρμιγγα λιγεῖαν
ἤειδ' Ἑλλήνων αἱματόεντ' ἄεθλον.
Καί ῥ' ὁτὲ μὲν κλήϊζε μαχητῶν ἄλκιμα ἔργα,
ὅσσοι ἐν ὑσμίνῃ κλεῖος ἄροντο μέγα,

ἢ μένος ἐν στέρνοις σφιν ἐπώτρυν' ὄφρα μάχοιντο
νωλεμέως, ἄτης πατρίδα ῥυόμενοι·
ἄλλοτε δ' αὖ λαοῦ κατοδύρετο πήματα λυγρὰ
δηθὰ μάλ' ἀργαλέῳ τρυχομένου πολέμῳ,
καὶ θεὸν ὑψίθρονον νίκης λιτάνευε βραβῆα
Ἑλλήνεσσι κράτος μαρναμένοις ὀπάσαι.
Ἦ θαμάκις χανθῶν θαλερὸν δάκρυ φασὶν ἄνακτος
οἰκῆες θέραπές τ' εἰσιδέειν προρέον,
ὁππότ' Ἄρηϊ πύθοιτο πιεζομένην βροτολοιγῷ
Ἑλλάδα καὶ πτολίεθρ' ἐξαλαπαζόμενα.
Πολλάκι δ' ἐκ στέρνων μυχίων στένεν, ὁππότε πνοιὴ
κεῖσε φέροι στοναχὰς λαοῦ ἀπολλυμένου.
Τυτθὸς δ' αὖ θάμ' Ὄθων, φίλος υἱὸς Λουδοβίκοιο,
πατρὸς ἀριπρεπέος γούνασ' ἐφεζόμενος,
ἡδὺ μέλισμα κλύων συνεγήθεε γηθομένῳ οἱ,
σὺν δ' ἄχνυτ' ἀχνυμένῳ δάκρυ ὀμοργνύμενος.
Καί ποθ' ἑοῦ γενέτου περιπλέξας αὐχένι χεῖρας,
» Ἄππα φίλ', εἶπε, τί δὴ τόσση ἔχει σ' ἀνίη
» Ἑλλάδος εἵνεκα τληπαθέος, τὴν ὀβριμόθυμος
» δηρὸν Ἄρης τείρει καὶ ἀνέρας ὀλέκει;
» Αἴθε μοι ἁδρότερόν τε δέμας καὶ ἔμπεδος ἦεν
» ἐν γυίοισι βίη· τεύχεα γάρ χ' ἑλόμην
» σὺν πολλοῖς Βοΐων μενεχαρμῶν καί κ' ἐπίκουρος
» Ἑλλήνεσσι πρόφρων δυσμαχέουσιν ἔβην.
» Νῦν δέ μοι ἐν μελέεσσ' ἁπαλοῖς σθένος ἐστὶν ἀφαυρόν,
» οὐδ' ἄρα πω νωμᾶν ἆορ ἔχω παλάμῃ.
» Ἀλλὰ σὺ δὴ Κάρολον πάτρων ἐμὸν ἢ Εϊδέκκην
» πέμψον ἀρήξοντας σὺν στρατιῇ μεγάλῃ.
» Τοὺς γὰρ ἰδὼν κεν Ἄρης λήξειε φόνων ἀέκων περ
» ἠδὲ γένοιτο κακῶν Χριστιανοῖς ἄνεσις.
Τοῖ' ἁπαλῇς παλάμῃσιν ἑὸν πατέρ' ἦκα καταψῶν
ἔκφατο πρηῢς Ὄθων, καί οἱ ἴαινε φρένα

αἴσιμα παῖς βάζων. Ἐϊδέκκην δ' αἶψα καλέσσας
σὺν πολέεσσιν ἄναξ εὐπτολέμοις ἑτάροις
ἐσσυμένως ἐκέλευε πιεζομένοις ἐπικούρους
τῆλ' Ἕλλησιν ἴμεν, χρήσιμα πάντ' ὀπάσας.
Οἳ μὲν δὴ Βοΐων εὐναιόμενον λίπον ἄστυ
κοιράνου ἐντολίῃ πειθόμενοι σφετέρου,
καὶ δολιχὴν ἀνύσαντες ἐπὶ τραφερῆς τε κέλευθον
καὶ ὑγρῆς, ἀκτὴν ἤλυθον ἀργολίδα.
Τοὺς δ' ἄρ' ἰδὼν θάρσησε ταλάφρων λαὸς Ἀχαιῶν
καὶ κυδρὸν Βοΐων ᾔνεσεν ἡγεμόνα.
Ἤδεε δ' ὑψιμέδοντι θεῷ χάριν, ὅς περ ἔθηκεν
εὐμενέ' οἱ σεπτοῦ Λουδοβίκοιο νόον,
ἐκ δ' ὄρφνης πυκινῆς φάος Ἑλλάδι πάσῃ ἔφηνε
καὶ τέκμωρ ἐγγὺς δῶκεν ἰδεῖν πολέμου.
Μέμνημ', οἷα χέρας πρὸς ἀπείριτον αἰθέρα τείνων
ηὔχετο λαὸς ἅπας πατρὶ ἐπουρανίῳ.
» Δός, φάτο, παμμεδέων, δὸς ἀεικέα λοιγὸν ἀλύξαι,
» ἱμερτῆς τε τυχεῖν ἄμμιν ἐλευθερίης.
» Δὸς δὲ Βιτλεσβαχίδος τινὰ φύτλης Ἑλλάδος ἄρξαι
» αὐτὸν καὶ παῖδας καὶ γενεὴν ὀπίσω.
» Τίς γάρ χ' Ἑλλήνων λαὸν πέρι κῆρι φιλήσαι
» τόσσον, ὅσον δῖον Λουδοβίκοιο γένος;
» Τίς δέ κε κοσμήσειε πόλιν πλέον, ἢ πολιήταις
» παντοίης κρεῖσσον δεῖγμα γένοιτ' ἀρετῆς;
Τοῖα τότ' ἐν συνόδῳ βουληφόροι ἀνέρες ηὔδων
καὶ λαὸς σύμπας Ἑλλάδος εὐχόμενος.
Τῶν δὲ τὰ μὲν κέκρανται, ἀτάρ τιν' ἔθηκεν ἄκραντα
ὄχλου τ' ἀφραδίη τοῖο τ' ἀγῶν κακότης.
Ἑλλὰς μὲν δολιχῆς ἐκ δουλοσύνης ἐσαώθη
καὶ φάος ἱμερτῆς ἔδρακ' ἐλευθερίης·
εἵλετο δ' ἐσθλὸν Ὄθων' ἐπὶ λαοῖς οἷσιν ἀνάσσειν
ἤπιον, ἰθεῖαν πᾶσι νέμοντα δίκην.

ὃς πόλιος ἵζων ἐπὶ πρύμνῃ ἡνιόχευεν
ὄμμασ' ἀκοιμήτοις εὖ καὶ ἐπισταμένως.
Ἀλλὰ κακὴ δαίμων εὐηπελίην ἐμέγηρεν
Ἑλλήνων κείνην καὶ παράειρε φρένας·
καινὰ δ' ἐπὶ προτέροισιν ἐπήλυθεν ἄλγεα πάτρῃ
τῶν μὲν ἀτασθαλίῃ, τῶν δ' ἀεσιφροσύνῃ.
Λαὸς μέν ῥ' ὅδ' ἔτ' ἐστὶ σαόφρων, τῶν προεχῶν δὲ
οἱ πλέονες πολλὴν τετράφατ' ἐς κακίην,
οἵ τε δολοῤῥαφέοντες ἐνὶ φρεσὶν οὔτε ἄνακτι,
οὔτε ποτ' ἀλλήλοις πιστὸν ἔχουσι νόον.
Ἀλλ' ἰδίοις αἰεὶ ἐπὶ κέρδεσι πάντα κυκῶντες
πορσύνουσι πόλει πήματα λευγαλέα.
Τῷ ῥ' αἰνῶς δείδω περὶ ταύτης μὴ πάλι θείῃ
αὐχέν' ἐνὶ ζεύγλῃ καὶ μάλ' ἀναινομένη.
Τίπτε χαλιφρονέοντες ἀναίτιον ἐσθλὸν ἄνακτα
ὦσατ' ἀπὲκ θώκου, νήπιοι, οὐ νέμεσιν,
οὔτε θεοῦ ἀλέγοντες ὄπιν φρεσίν, ὅστ' ἀχαρίστους
ψευδόρκους τ' ἄνδρας τίννυται ἐξοπίσω;
Τίπτε δ' αὖ ἀτρεμέειν πατρίδ' ὑμὴν οὔποτ' ἐᾶτε,
ἀλλὰ διχοστασίας μητιάασθε νόῳ;
Τρεῖς ἐτέων δεκάδας χθονὸς Ἑλλάδος ἠπιόθυμος
ἦρξεν Ὄθων νωμῶν σκῆπτρον ἀνακτόριον·
λαὸν δ' ὥςτε πατὴρ ἀγαθὰ φρονέων φιλέεσκεν,
ἠδὲ θετῇ πάτρῃ πάντ' ἀνέθηκε βίον.
Ὄρθριος ἐξ εὐνῆφιν ἀνιστάμενος μέχρι μέσσης
νυκτὸς ὑπὲρ πόλιος νωλεμέως ἐμόγει.
Τῖε μὲν ἐσθλοὺς ἄνδρας, ἄτιζε δ' ἄρ' αἰσυλοεργούς,
χρυσοῦ δ' ἦγ' ἀρετὴν πρόσθεν ἰδὲ κτεάνων.
Αἰεὶ δευομένοισι πρόφρων ἐπάρηγεν, ἓ αὐτὸν
τοῖς προσνισσομένοις μειλίχιον παρέχων.
Ἑλλάδος οὔποτ' ἔδευσ' ἀσεβησάντων εἰς ἄνακτα
αἷμα πέδον· πρηῢς τοῦτ' ἀνένευεν Ὄθων.

Αἰεί οἱ φυλακὴ καὶ κῦδος μέμβλετο λαοῦ
Ἑλλάδος· αἰεὶ δ' αὖ μέμβλετ' ἐλευθερίη
ἀνδρῶν συμφύλων, οἵ τ' ἐκ μυχίων στενάχιζον,
δεσμῷ ἀεικελίῳ δηθὰ μάλ' ἰσχόμενοι.
Εὐνοίης τόσσης τί δὴ ἀντέδομεν βασιλῆϊ
Ἑλλάδος αἰδοίῳ πατρί τε Λουδοβίκῳ;
Τὸν μὲν ἀπηλάσαμεν χθονὸς Ἑλλάδος ἀφραδίῃσι
σὺν πολυτιμήτῳ συνθρόνῳ Ἀμαλίῃ,
Λουδοβίκου δὲ λύρην, ὃς δὴ μέγαν ἄμμιν ἄεθλον
ἤεισ', ἀνοσίῃς χερσὶ συνεθλάσαμεν.
Τῷ ῥ' ἐκ κείνου Μοῦσα νεμεσσήσασα φιλέλλην
σίγησ', οὐδ' ὡς πρὶν ἄμμι φίλα φρονέει.
Αἱ δ' ἑλικωνιάδες Ζηνὸς κοῦραι ἀκάχηνται
θυμῷ, ἀμερθεῖσαι κηδεμόνος πρόφρονος,
ὅς σφιν εὐδμήτους κατ' ἀχαιΐδα ἵδρυσε γαῖαν
ναούς, ἰδμοσύνης θ' ἁδρὸν ἔχευε φάος.
» Αἶ, αἶ· νῦν δ' ἄρ' ἄνακτι σὺν ἠπίῳ οἴχεται ἐσθλὰ
πάνθ', Ἑλλὰς στυγνὸν δ' ἀμφιδέδυκε νέφος.
Ἠνὶ διηέριος μέλας ἔρχεται ὄρνις ἐρέσσων
ταρσούς, κεκληγὼς ὀξὺν ἱείς τε γόον.
δὴ πτέρυγας χαλάσας ἐπὶ κροσσῶν Ἀκροπόληος
μηνύει λυγρὴν τηλόθεν ἀγγελίην.
Κλαίετε, Κεκροπίης πολιῆται· κλαίετε γαίης
ἀτθίδος ἐνναέται καὶ μύχιον στένετε·
τέθνηκεν γὰρ ἄναξ ἀγανόφρων, οἴχετ' ἐνηὴς
Ἑλλάδος ἀρχὸς Ὄθων, ὃς τόσον ὔμμ' ἐφίλει.
Οὐδ' ὅγ' ἐν ὑστατίῃ βίου ὥρῃ θυμὸν ἀΐσθων
ὑμῶν οὐδὲ φίλης Ἑλλάδος ἐκλάθετο·
λίσσετο δ' ὑψιμέδοντ' αἴθρην ποιῆσαι Ἀχαιοῖς
καὶ ψυχὴν ἀπέπνευσ' Ἑλλάδ' ἀνὰ στόμ' ἔχων.

ΕΙΔΥΛΛΙΟΝ

ΘΥΡΣΙΣ ΚΑΙ ΛΥΚΙΔΑΣ

ΘΥΡΣΙΣ

Αἴποκα Πήλιον ἦνθες ἐπηράτω εἴαρος ὥρᾳ,
εἰπέ μοι, ὦ Λυκίδα, οὐ θαύμασας αἰπὺ κατ᾽ ὦρος
ἄγκεα, καὶ βάσσας, καὶ νυμφᾶν καλὰ ῥέεθρα,
καὶ αὔραν δροσόεσσαν ἐΰπνοον, ἅ τ᾽ ἀπὸ φύλλων
καστανεᾶν ψιθυρᾶν ἢ φηγῶν ὑψικαρήνων
ἐρχομένα τέρπει μερόπων ἐν στάθεσι θυμόν;
Ἦ κούφα βιοτὰ τηνεὶ πέλετ᾽ ἀνθρώποισι·
καί κε φυὰν θνατὰν τηνεὶ λελάθοιο λελογχώς.

ΛΥΚΙΔΑΣ

Παῖς ἔτ᾽ ἐὼν μέμναμ᾽ ἐν ἑορτᾷ Ζανὸς ἀκραίω
δάσκιον ἐνθὼν ὦρος, ὅκα ζεφύρω ὑπ᾽ ἀΰτμᾳ
δένδρεα πάντα φύει πετάλων νεοθαλέα κόσμον.
Μέμναμ᾽, οἷον ἄειδ᾽ ἀπὸ λοχμᾶν ἠδ᾽ ἀπὸ δένδρων
ἔθνε᾽ ὀρειπολέοντ᾽ ὀρνίχων ποικιλοτραύλων·
οἷον ὕδωρ καθαρῶν παντᾶ κελάρυζε ῥεέθρων,
ὡς δ᾽ ἐγέλων λειμῶνες ἐν ἄνθεσιν εἰαρινοῖσιν
ἁδύ πνειόντεσσι καὶ ἰκμαλέᾳ ἐνὶ ποίᾳ.
οἷον δ᾽ αἰγινόμοι μέλος αὐλῶν ἐξ ἐϋτρήτων
ἵεσαν, ἑσδόμενοι σκιεροῖς ὑπὸ δένδρεσιν ὕλας,
ἴχνια ποιμενίδων χοροήθων ῥυθμίζοντες.
Καλόν, Θύρσι, τὸ ὦρος, ἐν ᾧ ποκα Πηλέα φαντὶ
καλᾶς Νηρεΐδος θείας εὐνᾶς ἐπιβῆμεν,
σὺν δὲ θεοῖς Μώσας πολυδειράδος ἐξ Οὐλύμπω
ἐς γάμον ἱκομένας ὑμέναιον σεμνὸν ἀεῖσαι.
Ἀλλὰ τί Πηλίω ἔνθ᾽ ἐμνήσαο, φίλταθ᾽ ἑταῖρε;
τίπτε δ᾽ ὑπ᾽ ὀφρύσιν ὧδ᾽ ἀχλύει τοι δάκρυσιν ὄμμα;
Ἦπου λαθριδίῳ κέαρ ἔνδοθι τάκεαι ἄλγει.
ἐξαύδα· κοινωθὲν ἄχος κουφίσδεται ἄμμι.

ΘΥΡΣΙΣ

Πῶς κεν ἔγωγε πάτρας τριφιλάτω φρεσσὶ λαθοίμαν,
ἔνθα περ ἀελίω σέλας ἔδρακον ἁδὺ τὸ πρῶτον,
καὶ γάλα ματρωΐω ποππύσδων ἔσπασα μασδῶ,
καὶ σὺν ὁμαλίκεσι τροχὸν ἤλασα παῖς ἐν ἀλωᾷ,
καὶ ἁρπαστὸν ἔηκα, καὶ ἀστραγάλοισιν ἐτέρφθην,
καὶ ἄσκησα πάλαν, πυγμάν, δρόμον ἅλμα τε μεῖραξ,
καὶ καινῷ με πόθῳ γλυκύπικρον τουτάκι κέντρον
νύξε, καὶ ἐκνίσθην ἱμερτᾶς παιδὸς ἔρωτι;
Τῆνος ἔρως, Λυκίδα, πόλλ' ἁδέα, πλεῦνα δὲ θυμῷ
πόρσυν' ἄλγε' ἐμίν· τῷ δὴ τάδε δάκρυ' ἀπ' ὄσσων
ἀμβλύζει μοι νῦν μεμναμένῳ, οἷα πέπονθα.

ΛΥΚΙΔΑΣ

Μακρός, Θύρσι, βέβακ' ἤδη χρόνος, ἐξότε νᾶσον
τάνδ' ἦνθες καὶ μᾶλα νομεύεις ἄργυφα Βάττω.
Πολλάκις ἐνδιάοντες ὑπ' ὀξυκόμοις πιτύεσσι
φαιδρῷ πὰρ ῥεέθρῳ δηρίσαμες ἀλλάλοισιν
αὐλῷ ἢ σύριγγι μελισδόμενοι, νομίας τε
ἐξ ἄντρων νύμφας αὐλωνιάδας καλέοντες·
αἵ δ' ὑποκρυπτόμεναι θάμνοισιν ἐπέκλυον ᾠδᾶς.
Ἀλλά ποκ' οὐκ ἐρέεινα τεὸν γένος, οὔτε ποκ' αἶσαν,
ἅτις πράν τυ κόμισσ' ὑπὲρ οἶδμ' ἁλὸς ἐνθάδε, Θύρσι.
Νῦν δ' ἄγε μοι τάδ' ἔνισπε· πόθος γὰρ ἔχει με πυθέσθαι.

ΘΥΡΣΙΣ

Κῶμα τις βαιὰ κέκλιτ' εἰνοσιφύλλῳ ἐπ' ἀκτᾷ
Πηλίω, οἰνόφυτος καὶ εὔβοτος, ἃν καλέοντι
Ἰπνούς, ἔνθα πάρος Ξέρξα ῥιπαῖσιν ἀελλᾶν
φαντὶ ποτὶ σπιλάδεσσ' ἐαγείσας νᾶας ὀλέσθαι.
Τήνας πράν με φίλα μάτηρ τέκεν ἀγχόθι κώμας
πατρὶ ἐμῷ Φόρβῳ εὐναθεῖσ' ἐν φιλότατι
αἰγινόμῳ, θυγάτηρ πουλυῤῥήνοιο Λυκώπα,
Ἀλκίππα δεδαυῖα γυναικῶν κάλλιμα ἔργα.

Τηνεὶ ἐν αἰπολίῳ ἐτράφην παῖς καὶ μέτρον ἅβας
ὤρεος ἐν λασίαις ἱκόμαν βάσσαις, πατρὸς αἶγας
ἠδ' ἐρίφως φέρβων καὶ ὀϊστοῖς θῆρας ἐναίρων,
πτῶκας καὶ κεμάδας, καὶ δόρκας, ἠδὲ συάγρως,
παντοίοις τε πόνοισι νεαλδέα γυῖα κρατύνων.
Εὖτ' ὦν πρᾶτος ἴουλος ὑπὸ κροτάφοις ἀνέφυ μοι,
ἀγχιγύων πολέες θύγατρας θέλον ἐγγυάαν μοι,
πατρὶ ποτερχόμενοι καὶ ματέρι πολλὰ διδόντες.
Οὐ μὰν ἔνδον ἔπειθον ἐμόν γ' ἐν στάθεσι θυμὸν
σεμνῶν ἐννεσίαι γενετήρων, ἀλλ' ἐδόκει μοι
κρέσσον ἀνὰ δρυμὼς ἐφέπεν καὶ ἀν' ὤρεα νύμφας,
μερμηρᾶν τ' ἀπάνευθε παραὶ ῥεέθροισιν ἰαύεν,
ἠὲ βοᾶς αἴεν βρεφέων κλαυθμῷ τε καθ' ὕπνον.

ΛΥΚΙΔΑΣ

Ἦ τὺ λίαν τις ἔπλευ φυγοδέμνιος· αὐτὰρ ἔγωγε
ἀνδρῶν ἀζυγίαν οὐκ ᾔνησ' οὔτ' ἄρα κωρᾶν.
Ἀλλ' ἄγε νῦν αὔδα· πῶς δὴ τὺ ἔρωτος ἔπειτα
ἔμπεσες ἀμφιβολαῖς; πῶς δ' ἰὼς οὐκ ἀλέεινας,
τοῖσι δή, ὥσπερ ἔφας, πόλλ' ἄλγεα θυμῷ ὑπέτλας;

ΘΥΡΣΙΣ

Οὐ βραχύς ἐστιν ὁ μῦθος· ὅμως ἐθέλοντ' ἐρέω τοι.
Σεμνὰν Ζανὸς ἀκραίω ἑορτὰν κυκλάδες ὦραι
ἄγαγον ἀΐδιαι δολιχεγχέσι Μαγνήτεσσιν.
ἁνίκα δὲ κροκόπεπλος ἀπὲξ ἁλὸς αὔγασεν ἀὼς
ἄματος εὐϊέρω, ἐπὶ πρηῶν' ὤρεος ἄκρον
πάντοθε Μαγνήτων περιγαθέες ἠπείγοντο
λαοὶ σύν τ' ἀλόχοισι καὶ υἱέσιν ἠδὲ κορίσκαις·
ἄνδρες μὲν Κρονίδα ἱερήϊ' ἄγοντες ἄνακτι
μᾶλά τε καὶ ἐρίφως, βῶς τ' ἐλάφως τε ταχείας,
θήλειαι δὲ ῥόδων στεφάνως ἰρίδων τε φέροισαι,
καὶ δάφνας ὄζως καὶ γλαυκᾶς ἔρνε' ἐλαίας,
εὔοδμον θυμέλας κόσμον· περὶ δ' ἄχεεν αὐλὸς

ἀδυμελής τε λύρα, διά τ' αἰθέρα χεύετ' ἀοιδά.
Ἀνίκα δὲ Ζανὸς μεγαλωνύμω ἴχνεσι κούφοις
αἰπὺν ναὸν ἵκοντο περικλυτόν, ἔνθεν ὁρᾶται
Θεσσαλίας πεδίον βαθυλήϊον ἠδὲ θαλάσσας
χεῦμα ποτ' Ἀόα τ' ἠδὲ Νότον, ἰάχησαν ἅπαντες·
ναὸν δ' εἴσω βάντες εὐπλεκέσι στεφάνοισι
Ζανὸς ἐρισμαράγω θαητὸν ἄγαλμ' ἐπύκασσαν,
ἀμφιπεριστάντες τ' ἀνέμελπον παντοδυνάσταν.
Εἶτα μέγαν στέψαντες ἐν αὐλᾷ βωμὸν ἔρεζον
ἱρὰ θεῶν ὑπάτῳ, κυκλωσάμενοί τε χόρευον.
Ἐξαπίνας τότ' ὄφις δνοφερᾶς ἐξείρπυσε χειᾶς,
θερμανθεὶς θυμέλας πολλῷ πυρί· ἐκ στόματος δὲ
σμερδνὸν συρίσδων πάντας κύκλῳ ἐπτοίησεν.
Εἶθαρ δὲ σπείραισι δρυὸς περὶ πρέμνον ἑλιχθεὶς
καὶ δειρὰν μάρψας ῥαδινᾶς κώρας περὶ βωμῷ
ἱσταμένας ἐπέδασε βρόχῳ ποτὶ δένδρῳ ἀφύκτῳ,
δερκόμενός τε φόνον τήνας ἀτένιζεν ἐς ὦπα.
Ἁ παῖς δ' ὠχροτέρα τάρβει γένετ' αὐτίκα θάψω,
οὐδὲ πελιδνὰ φόβῳ κινῆσαι χείλε' ἐθάρσει·
δάκρυε δ' ἁ τλάμων παπταίνοισ', εἴπου ἴδοιτο
ὃν πατέρα Γλαύκων' ἠὲ μναστῆρα Κόμαιθον,
ἠέ τινα γνωτῶν κεῖσ' ἀγρομένων ἐς ἑορτάν,
ὅς κε μιν ἐκ θανάτω ῥύσαιτο δράκοντα κατακτάς.
Ἀλλ' οὔ μιν γενέτωρ οὔτε μναστὴρ παρεόντες,
οὔτ' ἄλλος τις ἔτλα κώρᾳ κακὸν οἶτον ἀμῦναι,
ἀλλ' ἔχε πάντας δεῖος ἀκήριον εἰσορόωντας
θηρὸς ἐνὶ γναθμοῖσιν ὀδόντων πρίονας ὀξεῖς.
Παρθένῳ οὔνομ' ἔην Πολυδώρα, τᾶς δὲ τοκῆες
ἀφνειοί τε κλυτοί τε παρ' ὄχθαις ναῖον Ἀναύρω.
Τήναν οὖν θανάτῳ ᾤκτειρ' ὁρόων ἐν ὄνυξι·
χερσὶ δὲ τόξον ἔμαρψα, τιτυσκόμενός τε καράνω
ἑρπετῶ ὠΐστευσα· βέλος δὲ τάχ' ἔπτατο λίγξαν

καὶ κεφαλὰν τήνω ποτὶ φιτρῷ πεῖρε τορῆσαν·
αὐτίκα δ' αἴξαις δειρὰν τάμον ὀξέϊ χαλκῷ
θηρός, παρθενικάν τ' ἀπ' ὀλοιῷ δεσμῷ ἔλυσα.
Λαὸς ἅπας γάθησ' ἰαχήσας τᾷδ' ἐπὶ νίκᾳ,
πάντοθέ τ' ἠνθοβόλει με καὶ ᾔνεε καρτερὸν ἔργον·
Κώρας δ' ὄμμ' ἱλαρύνθη, ἐμὰν δ' εἰς ὦπα βλέποισα,
ἁδὲ προσγελάοισ' εὐγνωμοσύναν ἀνέφαινεν·
αὐτίκα δὲ στεφάνῳ, τὸν δρέψαισ' εἶχ' ἐνὶ χερσί,
στέψεν ἐμὼς κροτάφως καὶ ἐπηύξατο πάντα μοι ὄλβον,
ῥύστᾳ ἀναπτομένα προφρόνως χάριν εἵνεκ' ἀρωγᾶς.

ΛΥΚΙΔΑΣ

Μέσδων μοι δοκέεις καὶ φίλτερος, ὦ φίλε Θύρσι,
ἢ ἐ πάροιθ' ἦμεν, ἄεθλον καλὸν ὧδε τελέσσαις.
Ἀλλὰ τί δὴ δεδάκρυσαι ἰδὲ στόνον ἐκ μυχάτοιο
στέρνω ἀνεὶς σιγᾶς; ἄγε πάντα μοι ἔννεπε μῦθον.

ΘΥΡΣΙΣ

Ἦμάρ μοι, Λυκίδα, πολλῶν τῆν' ἀρχὰ ἔγεντο
ἀλγέων· ἐξ ἐλέω μοι ἔφυ πόθος ἐν φρεσὶ παιδὸς
σεμνᾶς, ἅν αἰνὸν καθελὼν δάκος ἐξεσάωσα.
Τᾷ δ' αὖ ἔρωτα χάρις τέκε καὶ ἐμὸν ἄλκιμον ἔργον,
οὐδ' ἔτι μναστῆρι προσμειδιάαν θέλε κώρα,
οὐδὲ φρένας προσέχεν καί περ θώπτοντί μιν ἔμπας·
ἀλλὰ λίαν μιν ἄτιζεν, ὅτ' οὐκ ἔτλα οἱ ἀμῦναι
ἰσχομένᾳ σπείραισιν ἀμαιμακέτοιο πέλωρος.
Αὐτὰρ ὃ με φθονέων καὶ ἀναίτιον αἰτιάατο,
καὶ στυγέεσκε φιλεῦντα καὶ ἐκ πότμω ἐρύσαντι
παρθένον οἱ μναστὰν μητίσατο φρεσσὶν ὄλεθρον.
Λῆξεν ἑορτά· Μαγνήτων δ' ἄψ οἴκαδε λαὸς
ἤϊε κιδνάμενος· μᾶλον δέ μοι ἁ Πολυδώρα
ὦπασ' ἀποστείχοισ', ἔθεν εὐνοίας βραχὺ τέκμωρ.
Καὶ κώρας δὲ τοκῆες, ἔμοι γε φίλα φρονέοντες,
δῶρ' ἀγαπαζόμενοι ἐδίδουν καλὰ καὶ μ' ἐκέλευον

ἐς σφέτερον θαμάκις φοιτῆν οἶκον ξενίας τε
τερψίφρονος γεύεσθ', ὥσπερ νόμος ἐντὶ φίλοισι.
Τοῖς δ' ἄρ' ἐγὼ πρόφρων ὑπακούσαις εὐνοέουσι
πολλάκις ἐξ Ἱπνῶν φαιδρὸν ῥόον ἦνθον Ἀναύρω,
ξεινίσθην τ' ἐνὶ οἴκῳ ἐϋπλοκάμω Πολυδώρας.
Τὰν δὲ φρασὶν ποθέοντ' ἄλοχον θέσθαι ποθέοισαν
δειναί με μναστῆρος ἔθεν κατέρυκον ἀπειλαί,
ὅς τέ με σὺν κώρᾳ κτενέειν γενετῆρί τ' ἀπείλει,
πλούτῳ πατρὸς ἑοῖο πεποιθὼς ἠδὲ γενέθλᾳ
καὶ πλήθει παῶν, τὸ δ' ἐμὸν γένος οὐκ ἀλεγίζων.
Λῆξε θέρος σταχύεσσι γύας στέφον, ᾤχετ' ὀπώρα.
φύλλων δ' αὖ ἀπέβαλλ' ὑπ' ἀήταις δένδρεα κόσμον·
καὶ οἶκον δ' ἐμὸν αἶσα φίλω τότ' ἄμερσε τοκῆος,
νούσῳ ὑπ' ἀργαλέᾳ φθιμένω καὶ γήραϊ λυγρῷ.
Ἐς θήραν ποτ' ἔβαν ἠδ' ἀκρόνυχος πάλιν ἦνθον
ἀδδηκὼς καμάτῳ· δόρπον δ' ἑλόμαν ἐν ἐπαύλῳ
λιτόν, καὶ ἐν ἐμῷ κλινθεὶς οἴκῳ κατέδαρθον.
Ἐννύχιός μοι κεῖθι κακῶν ἐξάγγελος ὄψις
ὑπνώοντι παρέστα· ἐείσατο γὰρ Πολυδώρα
λυσιέθειρα ἐὸν κλαίεν πατέρ' ἀμφοτέραισι
χερσὶ κόμαν τίλλοισ', ἰδὲ κικλήσκεν θαμάκις με.
Αὐτίκ' ἀφυπνίσθην· δεινὸν κύνες ὠρύοντο·
ἁ δὲ γλαὺξ γοερὸν τέγεος καθύπερθ' ὀλόλυζεν.
ἐξ εὐνᾶς δ' ἐγρόμαν μέγ' ἀνοιμώξαις ἰδὲ χερσὶν
ἐμμαπέως τανάηκες ἕλον ξίφος ἠδ' ἐπικαμπὲς
τόξον, ἐμώς θ' ἑτάρως καλέσαις σὺν τοῖς Ἰαωλκὸν
ἴμεναι ὡρμάθην, μέσσον δ' ἐπεὶ ἱκόμεθ' οἶμον,
ἔνθεν ἔην ὁράαν πάτραν ἐρατᾶς Πολυδώρας,
πρηθόμενον ἰδόμαν ἕκαθεν τῆνο πτολίεθρον,
τοῖο φλόγες σμυγεραὶ καπνός τ' ἀποθρῶσκεν ἁπάντῃ.
Ὄφρα δὲ μερμήριζον ἢ ὄχθας ἰθὺ Ἀναύρω
βαίην ἐσσυμένως καὶ τισαίμην κακὰ ἔργα,

ἢ πάρος ἀμφὶ φίλας παιδὸς πατρός τε πυθοίμαν,
ἄγγελος ἵκετό μοι θεράπων Γλαύκωνος Ἔχετλος,
ὃν Πολυδώρα ἕηκ' ἀθεμίστια ἔργα Κομαίθω
ἀγγελέοντα τάχιστα καὶ οἴκῳ κήδεα λυγρά.
Αὐτίκ' ἰδὼν δ' ὅ μ' ἔειπ'· ἄγε, φέρτατε Θύρσι, καλεῖ σε
Γλαύκωνος θυγάτηρ, σέο χρηΐζοισ' ἐπαρωγᾶς·
τᾶς γενέταν μὲν ἔπεφνε λοχησάμενος σὺν ἑταίροις,
οἶκον δ' ἄρτι Κόμαιθος ἐνέπρησ' αἰσυλοεργός,
θυμῷ σφιν κοτέων ὅτι περ ἕο σὲ προέτισαν.
Ἃ δ' ἀθεμίστως χεῖρας ἀλύξαισ', ὤρεος αἴπη
βαίνει ἀλυκταίνοισα καὶ ὑλᾶν κεύθεα δύνει·
δάκρυα δ' αὖθι χέει ποτιδεγμένα, ἱππόθ' ἵκοιο.
Τόσσα ἔειπεν Ἔχετλος· ἐγὼ δ' ἄφαρ ἔνθεν ἀνέσταν
καὶ τήνῳ σὺν ἐμοῖσιν ἅμ' ἑσπόμενος ἑτάροισι,
Πηλίῳ ἄγκε' ἔβαν, ὅθι δὴ τέτμον Πολυδώραν
ἐν ξυλόχῳ κακὸν οἶτον ὀδυρομέναν γενέταο.
Αἶ, αἶ· ὅσσον ἔην προτέρας θαλερᾶς Πολυδώρας
ἀλλοία! ὡς δ' οἱ σὰρξ ἔφθιτο χρώς τ' ἐμαράνθη!
Ἴθυσ' οὖν περιφύς μιν ἀπ' ὄσσοιν δάκρυ' ὀμόρξαι,
καὶ ἀλιτροφροσύναν τίσασθ' ὤμοσσα Κομαίθω·
τᾶς δ' αἰεὶ μᾶλλον πενθῆν ὀροθύνετο θυμός.
Ὄφρ' ἐν τοῖς δ' ἦμες, πέλας αἴφνας δοῦπος ἀκούσθη
ἀνδρῶν σπερχομένων διά τ' αἴπεα καὶ διὰ βήσσας·
καὶ αὐδὰ δ' ἀκούσθη ὑπερφιάλοιο Κομαίθω
δίζησθαι φυγάδ' οἷσι κελευτιόωντος ὀπαδοῖς·
καὶ ἃ μὲν τάρβησεν· ἐγὼ δ' ἄορ ἐν χερὶ πάλλων
ἀντίος οἱ ἄϊξα καί οἱ στέρνον διέπειρα
τοῖ' ἐπαΰτήσας· ἔρρ' εἰς ἀΐδαο, κάκιστε,
ὃς ῥύσασθ' οὐ τλὰς μναστὰν πάρος ἐκ θανάτοιο,
ἔτλας νῦν ἑκυρὸν καὶ πάνθ' ἕο οἶκον ὀλέσσαι,
κώρᾳ θ' ἁγνοτάτᾳ μέγα πένθος θεῖναι ὀπίσσω·
εἶτα δὲ τήνω ἔτας σὺν ἐμοῖς σεύων ἐκέδασσα.

Εὖτε δὲ ταῦτ' ἀνύσας ποτὶ κώραν ἤϊον αὖθις,
ἇδε μοι ἀντάσαισα καλὸν θάλος ὤπασε δάφνας·
χειρὸς δ' ἁψαμένα μύχιον στόνον ἐκπροέηκε
στέρνων, τοῖά τ' ἔφα· χάριν οἶδά τοι, ἄλκιμε Θύρσι,
δισσάν· τὰν μὲν ὅτι ψυχάν μοι ῥύσαο, δεινὸν
κτείναις ἶφι δάκος· τάν δ' αὖ ὅτι τίσσαο πατρὸς
δακρυόεντα φόνον διολέσσαις ἄρτι φονῆα·
ἀλλ' οὐκ ἀσφαλές ἐντ' ἐνὶ Πηλίῳ ἄμμ' ἔτι μίμνεν,
αἶψα δὲ χρὴ κίνδυνον ἀλύξαι ἐπ' οἴδματι πόντω
τηλόσε πλώοντας· γενέτας γάρ τ' ἐντὶ Κομαίθῳ
πλούτῳ τε κρατέων καὶ ὅπλοις, πολέες δ' ἄρ' ἔασι
παοί τε, γνωτοί τε καὶ ἐγχεσίμωροι ἑταῖροι,
οἵ τε κεν οὐκ ἄτιτον κτάμενον φίλον αὖθι λίποιεν.
Αὐτὰρ ἐμοὶ σὺ πατὴρ καὶ ὁμαίμων· σοὶ δ' ἄρα πρόφρων
ἕψομαι, ᾗ κεν ἄγῃς· σὺ δέ μοι βίω ἔσσεαι ἆδος·
ἀλλ' ἴομες πρὶν καὶ λοίσθῳ κακῷ ἐνθάδε κῦρσαι.
Τοῖα παραιφαμένᾳ κατένευσα καὶ ὤρεος αἶψα
αἴπεα σὺν κώρᾳ τε λιπὼν καὶ ἐμοῖς ἑτάροισιν
οἴκαδ' ὑπετραπόμαν, ὅθι ματρὸς χεῖρα γεραιὰν
κῦσα· θοῷ δ' ἐπιβὰς σκάφεος τάχα σὺν Πολυδώρᾳ
δακρυόεις γαῖαν πατρίδ' ἔκλιπον· αἶψα δ' ἐρετμοῖς
ἔνθεν ἐπειγόμενοι ἐπενισσόμεθ' ἁλμυρὸν ὕδωρ.
Ἀκτὰν μὲν πρῶτον παρεμετρέομες μάγνησσαν
εἰλατίναισι πλάταισιν ὑπ' οὐρανῷ εὐδιόωντι·
αὐτὰρ ἐπεὶ Σκιάθω σκάφος ἔγναμψ' ἐξεχέ' ἄκραν,
ἐς νᾶσον δὲ πλέοντες Ἀβαντίδα μέσσον ὁδοῖο
ἱκόμεθ', ἐξαπίνας βαρυαχὴς ὦρτο καταῗξ.
Πόντος ὀρίνθη, ὕπερθ' ἀχλύσας ἔβρεμεν αἰθήρ·
παντᾷ δ' ἄφρεεν οἶδμα κυκώμενον· ὤρεσι δ' ἶσα
κύματα κορθύετο ζαχρηέος Εὔρω ἀϋτμᾷ,
πάντοθέ τ' ὀρνύμενα σκάφος ἠπείλει καταδῦσαι.
Αὐτὰρ παρθενικὰ φρένας ἔμφοβος, ἠδὲ παρειὰς

δεξιτερᾷ παλάμᾳ ὑπερείδοισ', ἔνδακρυς ἧστο.
Τᾷ δὲ παρεσδόμενος χερὶ χεῖρ' ἔχον, ἠδ' ἀγανοῖς μιν
θάρουνον μύθοισι· θεὼς δ' ἐλιταίνομες ἄμφω
κύμαθ' ἁλὸς στορέσαι καὶ ὑπὲκ κακῶ ἄμμε σαῶσαι.
Ποντογενεῖ δὲ μάλιστα γαμοστόλῳ ηὐχόμεθ' ἄμφω
Κύπριδι, ματρὶ Ἔρωτος, ὃς ἀδέϊ ἄμμε συνᾶψε
δεσμῷ, ἀμφοτέροισιν ὀλέθριον ἆμαρ ἀλαλκῆν.
Λαίλαπος ἀλλ' ἔμπας μένος ἄσχετον οὐχ ὑπέληγε,
θῦε δ' ἀεὶ μᾶλλον, ποτὶ χέρσον τ' ὤθεε κύμβαν.
Κίνδυνον τόσσον Πολυδώρα τῆμος ἰδοῖσα,
οἰκτρὸν ἀνοιμώξαισα τάδ' ἔκφατο· φίλτατε Θύρσι,
οὐκέτι δὴν τρόπις ἅδ' ἐπινήξεται οἶδμα θαλάσσας·
αἶψα δέ μιν πόντοιο καλύψει κῦμα κελαινόν,
ἠὲ ποτὶ σπιλάδεσσιν ἀπλάτοις ῥαίσει ἀράξαν.
Ἦ δὴ ἐγὼ δειλὰ καταδύσομαι ἐς βυθὸν ἅλμας·
Θύρσι, σὺ δὲ ζώῃς μάλα δαρὸν καὶ Πολυδώρας
οἰχομένας μεμνῆο· δέμας δ' ἄρα μή μευ ἐάσῃς
ἰχθύσι σαρκοβόροισι γενέσθαι κύρμα θανοίσας·
ἀλλ' ἁλὸς ἐξερύσαις μ' ἐπὶ ῥηγμῖνι κτερέϊξον
καὶ θαμὰ φοιτῶν σπένδε γάλα γλυκὺ δάκρυσι μίσγων·
σπένδε γάλα φθιμένᾳ καὶ δάκρυα λεῖβ' ἐπὶ τύμβῳ.
Κώρα τόσσα ἔειπεν· ἀπαυτίκα δ' ὀρφνὸς ἀήτας
λάβρος ἐπαΐξας μ' ἀπαμείψασθαί μιν ἔρυξε,
πρὸς δὲ πέτραις ὤσαις ἄκατον κούφαν συνέαξε.
Σπερχνὸν ἐμῶν αἴφνας ἀπὸ χειρῶν ἥρπασε κῦμα
παῖδα φίλαν, ἐμὲ δ' αὖτ' ἐξέβρασ' ἀπήμον' ἐπ' ἀκτάν.
Αἶψ' ἐγρόμαν χαμάθεν, κατὰ δ' ᾀόνα πάντοσε βαίνων
δύσμορον ἀΰτευν Πολυδώραν· ἀλλὰ μάταν μιν
διζήμαν ἠδ' οὔνομ' ἐφώνεον· οὐαθ' ἵκανε
μοῦνος ἐμὰ ῥόχθος βαρυαχέος ἀγχόθι πόντω.
Δὴ τρί' ἄπαστος, ἄϋπνος ἐπ' ἀκτᾶς ἄματα μίμνων
μάστευον παντᾷ, εἴπου νέκυν ἠὲ δὴ ἔμπνουν

παῖδ' ἐρατῶπιν ἴδοιμ'· ὅτε δὲ τριτάταν ἐπὶ γαίᾳ
Φοῖβος νύκτ' ἐτάνυσσε ῥόον δὺς ὠκεανοῖο,
νήδυμος εἷλέ μ' ὕπνος κεκμηότα· ἐν δ' ἄρ' ὀνείρῳ
ὤφθη μοι Πολυδώρα ἀβρόχροος, ἀγλαόμορφος,
κύκλῳ Νηρείδεσσι περίστατος ὑγροκελεύθοις.
Τοῖα δέ μοι προσέφα· χαῖρ', ὦ φίλε, μηδέ τι λίαν
μύρεό μ' οἰχομέναν· οὐ τέθνακ', ἀλλά με νύμφαι
Νηρείδες σπήλυγξιν ἐν ἐμβυθίαισι θαλάσσας
δεξάμεναι φιλέοντι καὶ εὔφρονες ἀμφιέποντι,
θνατάν μ' ἀθανάτω θεῖσαι θεαὶ ἔμμορον αἴσας.
Εἰ δὲ χάρις τις ἐμῶν παρὰ σοὶ μένει οἰχομένας περ,
εἰναλίων τέ σ' ἔχει νυμφᾶν σέβας ἀγλαομόρφων,
ἀντ' ἐπιτυμβιδίων λοιβῶν γάλα καὶ μέλι χλωρὸν
μίσγων, ἄμμι κόμισδε θοοῖς τ' ἐπὶ κύμασι χεῦε.
Νηρείδας δὲ κίκλησκε τεάν τε φίλαν Πολυδώραν
τᾶς λοιβᾶς γεύσασθ' ἀναδύσας πυθμένος ἅλμας.
Οὐδέποτ', ὦ Λυκίδα, τήνας ἐπιλήσομ' ἐφετμᾶς
ἱμερτᾶς κώρας, οὐδ' αἰὼν ἀλγεσίθυμον
τραῦμ' ἰάσετ' ἔρωτος, ὅς ὀξέϊ μ' ἤλασ' ὀϊστῷ.

ΛΥΚΙΔΑΣ

Καὶ λίαν τις ἔειπεν ἐοικότα μῦθον ἀοιδός,
τέρπεσθαι φρεσὶν ἄνδρα μετ' ἄλγεσιν, ὅς κε πάθῃσι
πολλὰ μάλ' ἐν βιότῳ· τὸ δ' ἐτήτυμόν ἐστιν ὁμοίως,
ἄλγεα πολλὰ τλάντα σοφώτερον ἐν μερόπεσσι
πεπνυμένοις δοκέειν, πάντων τε μάλιστα τίεσθαι.
Τῷ νῦν, φίλτατε Θύρσι, πολὺ πλέον ἢ τὸ πάροιθεν
ἐκ θυμῶ φιλέωσε, φιλάσω τ' ἄχρι τελευτᾶς,
ἶσον ἀδελφειοῖσιν ἐμοῖσι τίων ὁμοτίτθοις.
Καὶ ἁγνᾷ δ' ἐθέλω συσπένδεν τοι Πολυδώρᾳ
πυκνάκις, ὑδροχαρέσσι τ' ἐπ' ᾀόνι Νηρείδεσσιν,
αἵ ῥα φίλαν τευ παῖδα θεὰν ὁμόοικον ἔθηκαν.

ΠΟΙΗΜΑΤΙΑ

εἰς κλεινά τινα ἐν τῇ ῥωμαϊκῇ ἱστορίᾳ ὀνόματα καὶ ἔτι εἰς οἰκείους τινὰς καὶ φίλους.

Α. *Εἰς τὸν ῥωμαῖον Μάρκον Κούρτιον.*

Δεινῷ ὑπὸ τριόδοντι πάρος θεοῦ ἐννοσιγαίου
 γαῖα μέσῃ Ῥώμης εἰν ἀγορῇ ἔχανεν.
Εὐρὺς ἔην ῥωχμὸς καὶ ἀπύθμενος, ὃν χοΐ πολλῷ
 οὐ σθένε συγχῶσαι λαὸς ἀρηΐφιλος.
Τῷ ῥ' ὃ θεῶν ἔδδεισ' αἰνὸν χόλον οὐρανιώνων,
 θειοπρόπους τ' ἐρέειν' εὐσεβέεσσι φρεσίν,
ὅττευ οἱ ἀθάνατοι ἐπιμεμφόμενοι κεχόλωντο.
 Οἳ δὲ θεοὺς λήξειν οὐ πρὶν ἔφαντο χόλου,
πρίν σφι πόλις κτεάνων ἀποκρίνασαν τὸ ἄριστον
 εἰς χαῖνον γαίης κεῖνο βαλεῖν βέρεθρον.
Τοῖς δὲ διασκοπέουσι, τί ἐν πόλει εἴη ἄριστον
 ἀλκίφρων ἀνστὰς Κούρτιος εἶπε τάδε.
Ῥώμῃ εὐπτολέμῳ τί κεν εἴη φέρτερον ἀνδρὸς
 αἰχμητοῦ; καὶ ἐμοὶ ἔργα μέμηλ' Ἄρεος.
Πολλάκις ἐν προμάχοισιν ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας
 ἀμφὶ πάτρης ἔτλην πότμῳ ὑπαντιάσαι·
καὶ νῦν δ' ἡδὺ πρόφρων κε λίποιμι σέλας Φαέθοντος,
 ὄφρα πάτρηφι θεοὺς ἐξιλάσωμ' ἐρατῇ.
Ἔννεπε· καὶ ἵπποιο τάχιστ' ἐπιβὰς πανοπλίτης,
 Ῥωμαίου λαοῦ παντὸς ἀγαζομένου,
ἄτρομος ἐς βαθέην ἀΐξας ἥλατο ῥωχμήν,
 τῆς συνεκληΐσθη εὐρυχαδὲς στόμ' ἄφαρ.

Β. *εἰς Λουκρητίαν Κολλατίνην.*

Εἰ καὶ Ταρκυνίου Λουκρητίη ὕβριν ἀλαλκεῖν
 οὐκ ἴσχυσ' αἰνῶς σῶμα βιησαμένου,

ἀλλ' οἱ ἄχραντον ἔμεινε καὶ εὐαγές, ὡς τὸ πάροιθε,
   στίλβον ἀειλαμπεῖ πνεῦμα σαοφροσύνῃ·
χρανθὲν δ' ἄρ μενέαινε λιπεῖν δέμας ὅττι τάχιστα
   καὶ βῆναι μακάρων ἱμερόεντα δόμον.
Τῷ ῥ', ὡς ὀφθαλμοῖσι φίλον πόσιν ἠδὲ τοκῆα
   ἔδρακ', ἀεικείην ἣν ἀποδυραμένη,
Ταρκυνίων οἴκοιο κατεύξατο λυγρὸν ὄλεθρον,
   οὐδ' αὐτῶν γαμίων φεισαμένου λεχέων.
Ὀξὺ δ' ἐρυσσαμένη ξίφος ἤλασε μαρμαρέοιο
   αἶψα διὰ στέρνου, καὶ φάος ἐξέλιπε.
Καὶ τῆς μὲν ῥωμαῖος ἐτίσατο, θυμὸν ὀρινθείς,
   λαὸς ἀεικείην αὐτίκα καὶ θάνατον,
Ταρκυνίων πάντα στυφελίξας ἐκ βασιλείων
   θώκων καὶ χώρης οἶκον ὑπερφίαλον.
Αὐτὴ δὲ ζώει Λουκρητίη ἠδέ τ' ἀνάσσει
   συμπάντων κραδίης, οἷς ἀρετὴ μέλεται.
Ζώει καὶ φθιμένη, αἰδοῖ καὶ λήματι θυμοῦ
   κλεῖος ἐν ἀνθρώποις ἄφθιτον εὑρομένη.

Γ. εἰς Κούριον Δεντάτον ὕπατον.

Κούριον εὐπολέμου Ῥώμης ὕπατον τὸ πάροιθε
   Σαμνιτῶν πρέσβεις ἦλθον ὑπὲρ σφετέρης
πάτρης ἀντιάσοντες, ἐπήρατα δῶρα φέροντες,
   πολλῷ μιν πείσειν χρυσῷ ὀϊόμενοι.
Γογγυλίδας δ' ἕψοντα παρ' ἑστίῃ μιν ἔτετμον,
   στάν θ' ἁπλότητ' ἀνδρὸς τόσσου ἀγασσάμενοι.
Ὡς δ' ἄρ' ὁ χρεῖος ὁδοῦ καὶ δώρων ἔγνω ἐκείνων,
   ἔννεπε μειδήσας· ἦ μάλα τηΰσίην
ἤλθεθ' ὁδόν, ξεῖνοι, καὶ ἐτώσιον ἄχθος ἄρασθε.
   Εἴπατε Σαμνίταις ἔμπαλιν ἱκόμενοι,
ὡς οὔ τοι χρυσοῦ ἐπιδεύεται, ὃς δεδάηκεν
   ἕψων κήπου ἑοῦ γογγύλι' ἐσθιέμεν.

Δ. εἰς Μάρκον Ὁράτιον.

Ἄλβης Κουρατίοισιν ἐπὶ τρισὶ πᾶσα σάλευεν
  ἐλπίς, ἀτὰρ Ῥώμης τρισσὶν ἐφ' Ὡρατίοις[1].
πιστὰ γὰρ ἀμφοτέροισιν ἐτέτμηθ' ὅρκια λαοῖς,
  ὁπποτέροις κείνων Ζεὺς ὀπάσειε κράτος,
τῶν πόλιν αἰὲν ἔπειτ' ἐθελήμονος ἡγεμονεύσειν
  τῆς ἑτέρης, λυγροῦ παυσαμένης πολέμου.
Οἵ δ' ἐπεὶ οὖν ἑκάτερθε κορυσσάμενοι κατὰ μέσσον
  Χῶρον ἔβαν δεινὸν τεύχεσι λαμπόμενοι,
Ὡρατίων τε τριὰς καὶ Κουρατίων μενεχαρμῶν,
  ἔσσυντ', ἀλλήλοις μαιόμενοι θάνατον.
Σὺν δ' ἔβαλον ῥινούς τε καὶ ἔγχεα ὀξυόεντα·
  δοῦπος δὲ στοναχή τ' ὤρνυτο θεινομένων.
Δεινὴ δ' ἀμφοτέρων λαῶν τόθι γίγνετ' ἀϋτή,
  ἦσσαν δειδιότων, ἢ κράτος ἐλπομένων.
Ἄλβῃ μὲν πρῶτον νίκης ἔῤῥεψε τάλαντον,
  τῶν δύω Ὡρατίων εἰν ἀέθλῳ κταμένων.
Αὐτὰρ ἔπειτα τρίτος κέρδεσσι νόου τε καὶ ἀλκῇ
  Μάρκος συμμίξας, τρεῖς πέφνε Κουρατίους,
καὶ πολίων νεῖκος κατέπαυσε· κλυτῇ δ' ἄρα Ῥώμῃ,
  πάτρῃ ἑῇ, Ἄλβης ὤπασεν ἡγεσίην.
Αὐτίκα Ῥωμαίων στρατὸς εὐρὺς ἐπίαχε νίκῃ,
  ἔργον κυδαίνων ὄβριμον Ὡρατίου·
καὶ στεφάνοις Ἄλβης νικήτορα πάντοθ' ἔβαλλε,

---

[1] Χάριν τοῦ μέτρου ἐμήκυνα τὴν ἄρχουσαν τῶν κυρίων ὀνομάτων *Κοράτιος* καὶ *Ὁράτιος*· τούτου δὲ καὶ τὴν ἑπομένην μακρὰν ἐβράχυνα, ποιητικῇ ἀδείᾳ χρησάμενος, ὥσπερ καὶ ἀλλαχοῦ. Σημειωτέον δ' ὅτι παρὰ Πλουτάρχῳ εὕρηται τὸ ὄνομα *Ὠράτιος* τῷ ω γεγραμμένον (Ποπλικ. § 12, 14, 15. Ὅμοιος μῦθος ἀναγιγνώσκεται παρὰ Πλουτάρχῳ (Συναγωγὴ ἱστορικὴ παραλλήλων Ἑλλήνων καὶ Ῥωμαίων 16) καθ' ὃν τρεῖς υἱοὶ Δημοστράτου πρὸς τρεῖς Ῥηξιμάχου ἐμονομάχησαν.

καὶ παιᾶνας ἔμελπ' ἠδ' ἀλάλαζε μέγα.
Δμηθέντων δ' ὁ φέρων ἔναρ' ὤμοις ἔστιχε γαῦρος
ἐν μέσσοισιν ὅπλοις, ἔμπαλιν οἴκαδ' ἰών.
Αὐτὰρ ἐπεὶ πόλιος πέλας ἵκετο, ἔνθ' οἱ ἀπήντα
ἐκχύμενος πυλέων λαὸς ἀπειρέσιος,
ἦλθε κασιγνήτη οἱ ἐναντίον εἰσέτ' ἄνυμφος,
μνηστὴ ἑνὸς τρισσῶν Κουρατίων κταμένων.
Ἡ ῥ' ὡς οὗ μνηστῆρος ἐσέδρακεν αἱμοφόρυκτα
σκῦλ', ὀλόλυξε μέγα στήθεα κοπτομένη·
μούνη δ' ἐν κοινῷ στένε χάρματι, ὃν γοόωσα
μνήστορ', ἀδελφειοῦ χειρὶ δαμέντα νέον.
Τὸν δὲ φρένας τότ' ἔδυ δεινὸς χόλος· ἦ δέ τ' ἀδελφῇ
ἄγριον ἐμβλέψας, τοῖ' ἔφατ' ἐκ στόματος.
Τίπτε, κυνῶπι, δόμον πατρὸς καὶ ἔργα λιποῦσα
θηλειῶν, ἀνδρῶν ἤλυθες ἐνθάδ' ὄχλον;
Τίπτε δ' ἄρ' ἐν λαοῖς ὀλοφύρῃ γηθομένοισι
μούνη, οὐδὲ φίλης εὐπραγίῃ πατρίδος
οὔτε κασιγνήτου χαίροις ἐρικυδέϊ νίκῃ,
λοιγὸν ἀλύξαντος δήρι ἐν ἀργαλέῃ;
Εἰδ' ἄρα σ' οἰμωγῆς τ' ἰδὲ πένθεος ἵμερος εἷλε,
τίπτ' οὐ σῶν κασίων οἶτον ἀποκταμένων
ἀμφὶ πάτρης τριφιλήτου ὀδύρεαι, ὡς ἐπέοικεν
εὐσεβέος Ῥώμης παρθένῳ εὐσεβέϊ;
Ἔκφυλον σὺ γένος καὶ Ὡρατίων μύσος οἴκου,
ἔρρ' ἐς ὑποχθονίων ἠερόεντα δόμον.
Ἔρρε δὴ εἰς αἴδην, ἔνθα μνηστῆρα κιχήσεις,
ὄν περ ὑπὲρ πάτρην καὶ κάσιας φιλέεις.
Ἔννεπε· καὶ ξίφος ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
ἧπαρ ἀδελφειῆς αἶψα τέτρηνε μέσον.
Ἡ δὲ ποδῶν προπάροιθεν ἐπ' οὔδεος ἐξετανύσθη,
Ψυχὴ δ' ἐκ καλῶν ἔπτατ' ἄφαρ ῥεθέων.

Ε. εἰς τὸν φιλέλληνα Καθηγητὴν Φριδερῖκον τὸν Θήρσιον, ὅτε τῷ τοῦ Σωτῆρος παρασήμῳ ὑπὸ τοῦ Βασιλέως τῆς Ἑλλάδος ἐκοσμήθη· ἐν Μοναχίῳ αωλς'.

Ἀντὶ τεῆς φιλίης πρὸς δύσμορον Ἑλλάδα φύτλην
 ξηρὸν καμφθεῖσαν δεσποσύνῳ κράτεϊ,
ἀντὶ φιλοξενίης ἀγανόφρονος, ἥτ' ἀνέῳξεν
 Ἑλλήνεσσι τεοῦ πᾶσι δόμοιο πύλας,
ἀντὶ πόνων πλείστων, οὓς πρόφρονι θυμῷ ὑπέτλης
 αἰὲν τληπαθέος λαοῦ ὑπερδικέων,
ἀνθ' ὧν τ' οὔποτ' ἔληξας Ἀχαιῶν ἔνθ' ἀποδήμους
 εὖ ῥέζων παῖδας, Θήρσιε, μουσοπόλους.
Ἑλλὰς μέν σ' ἐνέκρινεν ἑοὺς πάρος ἐς πολιήτας,
 υἱά τ' ἀνεῖπε φίλον κοινῇ ἐνὶ ξυνόδῳ.
Νῦν δ' αὖ ἄναξ ἀρετὴν τίων σέθεν Ἑλλάδος ἠΰς,
 τῷ προστερνιδίῳ σήματί σ' ἠγλάϊσε.
Βαιὰ τάδ' ἡμετέρου εὐγνώμονός ἐστι νόοιο
 δείγματα καὶ βροτέῳ συμφθινύθοντα βίῳ.
Ἀλλ' ἕς τ' ἂν γε δίκη κατ' ἀχαιΐδα γαῖαν ἀνάσσῃ
 καὶ χάριτος ζώῃ μνῆστις ὀφειλομένης,
ἕς τ' ἂν ἔρως ἀρετῆς Ἑλλήνων ἦτορ ὀρίνῃ,
 Θήρσιε, σὸν κλεῖος ζήσετ' ἐν εὐλογίῃς

Ϛ. εἰς τὸν κλεινὸν ἐν φιλολόγοις Φριδερῖκον Ἰακώψιον.

Εὐαγέϊ κραδίην φλεχθείς, Ἰακώψι' ἄριστε,
 Πιερίδων Μουσῶν αὐσονίδων τε πόθῳ,
ἐξ ἁπαλῶν ὀνύχων ὀαριστὴς τῶνδ' ἀνεδείχθης
 κλεινός, ἴδ' ἐν βιότῳ πιστότατος θεράπων.
Πολλὰ δὲ μοχθήσας προσιτὰς τὰς Ζηνὸς ἔθηκας
 κούρας εὐγενέσιν Τευτονίης ναέταις.
Ῥηϊδίη σεῦ ἕκητι τέτυκται πᾶσιν ἐς ἄκρην
 Παρνασοῖο τρίβος, δύσβατος οὖσα πάρος.

Πλεῖστοι δ', οὐχ ὁράας; κούφῳ ποδὶ νῦν ἀνιόντες
  Κασταλίης ῥεέθρων ἐμφορέονται ἄδην,
Μούσας θ' ὑμνείουσι καλῇ ὀπὶ ἀγλαοδώρους,
  κόσμον, τερπωλὴν ἠδ' ὄφελος βιότου.
Χαίροις, ὦ πολιή τε καὶ αἰεί μοι περὶ πάντων
  αἰδοίη κεφαλή, τήν περ ἀειθαλέσιν
ἐξ ἱερῆς δάφνης ἀνέδησαν στέμμασι Μοῦσαι.
  Βαιὸν ἐμῆς δέξαι δεῖγμα τόδ' εὐσεβίης.

Ἐν Γόθᾳ τῆς Σαξονίας τῇ 13 Ἀπριλίου ͵αωλζ'.

Ζ. εἰς τὸν φίλον Ἰαννούλιον τὸν περί τε τοὺς νόμους καὶ τὴν ἰατρικὴν ὁμοίως σπουδάσαντα, ὅτε ἐστεμμένος τῷ τοῦ διδάκτορος τῆς ἰατρικῆς στέμματι ἐπανῆλθεν ἐξ Ἑϊδελβέργης εἰς Μονάχιον τῆς Βαυαρίας.

Τίς ποθ' ὅδ' ὀφθαλμοῖς ἀναφαίνεται ἡμετέροισιν
  ἄνδετος ἀνθοπλόκῳ τὴν κεφαλὴν στεφάνῳ;
Τίς δ' ἄρ ἑ δαιδαλέοισιν ἐκόσμησ' ἄνθεσιν ὧδε,
  παντοίων κήπων πόλλ' ἀπολεξάμενος;
Γιγνώσκω σ', ἑτάρων ἥδιστέ μοι ἶσα θ' ὁμαίμοις
  τίμι' Ἰαννούλη, φέρτατε μουσοπόλων.
Γιγνώσκω σε, φίλος, καὶ ῥ' ἄμφω πήχεε τείνας
  ἠνὶ τεῆς δειρῆς ἐμπεφυὼς ἔχομαι.
Ἦ δή Παιήων θεὸς ὑψόθεν ἀγλαέθειρος
  στέψε σε παμφανόων καὶ Θέμις ἀθανάτη·
εὐπατέρεια Θέμις, πολυάστρου πρέσβα θυγατρῶν
  Οὐρανοῦ, ἣ γαίης ἠδὲ πόλου κρατέει.
Χαίροις, ὦ φιλότης· κατὰ δ' αἶσαν ἴδοις γενέτειραν
  αἶψα μάλ' αἰδοίην, καὶ πατρὸς οἶκον ὅλον!
Οἶκον ἴδοις πατρός! τεὰ δ' ἴχνε' ἔνθεν ἐς ἄστυ
  ἰθύνειε κλυτὸν Παλλάδος ὑψιμέδων!
Κεῖθι περιπλόμενόν σε κιχήσομαι εἰς ἐνιαυτόν,
  καὶ φιλίης αὔρας ζήσομ' ἀφυσσόμενος.

Ἐν Μοναχίῳ τῆς Βαυαρίας ἔτει ͵αωλδ'.

Η. εἰς τὸν ἐξάδελφον
Φίλιππον Ἰωάννου Συμβαρίκον.

Αἷμ' ὁμὸν ἄμμιν ἔην ἠδ' οὔνομα, χρηστὲ Φίλιππε,
ἡλικίη τ' ἴση, φρὴν θ' ὁμὴ ἀμφοτέροις.
Ξυνὰ δὲ καὶ παίδεσσι διδάγματα παίγνιά τ' ἄμμι,
καὶ ἡβῶσιν ἔσαν ξυνοὶ ἔπειτα πόθοι·
πολλάκι πηλιάδων σκιεροῖς ὑπὸ δένδρεσι βησσῶν
ἑζόμενοι βουλὰς ἐν φρεσὶν ἐστρέφομεν,
οἵας βουλεύειν ἔθος ἀνδράσιν, ὁππότ' ἰούλων
ἄνθος ἐπὶ γναθμοῖς ὥριον ἐκφύεται·
πολλάκι δυστήνου δ' ἀνεκλαύσαμεν ἄλγεα πάτρης,
αἰνῶς βαρβαρικῇ μάστιγι θεινομένης·
ἡμετέρῳ δὲ γένει ᾐτησάμεθ' Ὑψιμέδοντα
δουλοσύνης ταχινὴν ἔκλυσιν ἀργαλέης.
Ἀλλὰ γένος μὲν ἄναξ πανυπέρτατος ἐξεσάωσεν
ἀλγέων, καὶ ἦμαρ φῆνεν ἐλευθερίης.
Τύνη δ' οὐτόδ' ὄπωπας ἐφ' Ἑλλάδι φέγγος ἀνίσχον
ἱμερτόν, γνωτῶν φίλτατε καὶ ἑτάρων.
Ἀλλὰ πρόμοιρος ἄφνω σε τοκήων τηλόθι πότμος
εἷλε παρειάων ἄρτι δασυνομένων.
Αὐτὸς δ' ἔνθα λέλειμμαι ἐπὶ χθονί, πολλ' ἐνὶ θυμῷ
αἰεὶ κήδε' ἔχων, σόν τε κάρη ποθέων,
καὶ ποθέων πηοὺς καὶ ὁμήλικας ἠδὲ τ' ἀδελφούς,
οὓς ἀπάμερσε φάους μοῖρ' ὀλοὴ θανάτου,
τούς μέν που χαλεπῇσιν ὑπαὶ νούσοισι δαμέντας,
τούς δ' αὖ ὑπὲρ πάτρης ἐν πολέμῳ φθιμένους.
Αἰῶνος τί ποτ' ἐστὶ καὶ ὀλβίου ἀνδράσιν ἦδος,
εἴ τιν' ἔρημον ἔθηχ' ὧν φιλέεσκε τύχη;
Χαῖρέ μοι, ἐσθλὲ Φίλιππε, καὶ ἐξ ἐμέθεν τόδε δέξαι
μνῆμ' ὀλίγον στοργῆς εἰν ἀΐδαο δόμοις.

Εἰς τὴν κατὰ τὸ ἔτος ᾳωξά γενομένην ἀνακάλυψιν τῶν λειψάνων τοῦ ἐν Ἀθήναις διονυσιακοῦ θεάτρου.

Εὖτε Θάλεια πάλαι καὶ Μελπομένη λίπον ἄστυ
Τριτοῦς, ὀθνεῖα φθέγματ' ἀτυζόμεναι,
κισσοχαροῦς σίγησε Διωνύσοιο τάχιστα
τερψίφρων ὀκρίβας, πουλύθροος τὸ πάρος·
τὸν δ' ἄρα πουλὺν χοῦν ἐπιχεύαντες κατέθαψαν
θελξινόων Μουσῶν νήϊδες οἷα νέκυν.
Ἔκτοτε χιλιάκις λοξὸν δρόμον ἤνυσεν ἅρμα
ἠλίου· ἀλλ' ὀκρίβαντ' οὐκ ἴδεν ἠέλιος.
Νῦν δ' ὅθ' ὑφ' ἡγεσίῃ ἀγανόφρονος Ἑλλὰς Ὄθωνος
τῆδε παλιννόστους ἔδρακ' Ὀλυμπιάδας,
ἠνὶ φόωςδε λογεῖον ἐρίκλυτον ἤλυθεν αὖθις
ληναίοιο θεοῦ καὶ κυκλόεσσαι ἕδραι.
Ἐνθάδ' Ἀριστοφάνευς ἄσβεστον ὄρινε γέλωτα
Μοῦσ' ἱλαρὴ ναέταις Κεκροπίης τὸ πάλαι,
δημοκόποα παίζουσα θράσος καὶ ὕλαγμα Κλέωνος,
ἢ κόμπον πουλὺν Λαμάχου ὀπλομανοῦς,
ἠὲ Στρεψιάδαο δυσυπνοῦντος μελεδῶνας,
ἢ πλόον εἰς ἀΐδεω θυρσοφόροιο θεοῦ.
Ἐνθάδ' αὖ Εὐφορίωνος ἐὺς γόνος, ὀργιοφάντης
Μελπομένης, τέκτων ὑψιλόφων ἐπέων,
Ἰαπετιονίδου πόλλ' ἄλγεα καὶ φρέν' ἀτειρῆ,
ταγούς τ' ἀργείων ἑπτά, καθ' ἑπταπύλων
Θηβῶν ὀρνύντας δεινὴν πολέμοιο θύελλαν,
Φάνταζ' ὀφθαλμοῖς λαοῦ ὁμηγερέος.
Ἐνθάδε καὶ Σοφοκλῆς ἀλαοῦ πάθε' Οἰδιπόδαο
καὶ Τελαμωνιάδου αὐτοφόνον μανίην,
εὐσεβίην τε παρεῖχε θεήμονι πληθύϊ κεδνῆς
Ἀντιογόνης ὁράαν θέσμι' ὀπιζομένης.
Ἐνθάδε καὶ Μήδει', Εὐριπίδου ἐς βίον αὖθις

Φοιτῶσ' εὐτεχνίῃ, πρίν ποτ' ἐπαιδοφόνει·
καὶ Ἑκάβη κούρην ὀλοφύρετο, τήν περ Ἀχαιοὶ
Αἰακίδεω τύμβῳ θῦσαν ἐφ' ὑψιπέδῳ.
Ἦ που καὶ ὀπίσω νεοθηλὴς Ἑλλάδι βλάστη
ποιητῶν, χῶρον τόνδε θάμ' ἐρχομένη,
θεσπέσιον Μούσης ἀρχαίης πνεῦμ' ἐσαφύξει,
λάεσιν εἰσέτι νῦν τοῖσδ' ἐπινηχόμενον,

ΕΠΙΓΡΑΜΜΑΤΑ ΕΠΙΔΕΙΚΤΙΚΑ

εἰς τὴν ἀεροστατικὴν σφαῖραν.

Α.

Πολλάκι μῦθον ἄκουσα τὸν Ἰκάρου, ὃν πτερύγεσσι
τυκτῇσι πτάσθαι φασὶ διηέριον.
Ἀλλὰ τόδ' ᾠϊόμην κενεὴν φάτιν ἔμμεν ἀοιδῶν,
ποικίλ' ἐνὶ φρεσσὶ ψεύδεα πλασσομένων.
Νῦν δ' ἄρα πῶς κε τέρας φαίη τις ἄπιστον ἐκεῖνο,
κοῦφον τόνδ' ὁρόων ἠερόπλαγκτον ὄχον,
ἠέρος ἔμπλειον διά τ' ἠέρος οὐχ ἕνα μοῦνον,
ἀλλ' ἄμυδις πολλοὺς ὕψι φέροντ' ἀνέρας;
Ἠνίδ' ὑπὲρ νεφέων θρασυμήχανος ἤρθη ὅμιλος,
καὶ τάχ' ἑλιξοπόροις τείρεσι προσπελάσει.

Β.

Χάλκεον Ὡράτιος[1] φάτο κεῖνον στήθεος ἐντὸς
σχεῖν κέαρ, ὃς πρῶτος θραυλῷ ἐνὶ σκάφεϊ
κυματόεντος ἔτλη πόντου μέγα λαῖτμα περῆσαι,
οὐ δῆριν τρέσσας ἀντιβίων ἀνέμων.
Εἶδ' ἴδε κουφοτέρας αὔρης νέας ἠερονηχεῖς,
ᾗσιν ἐπιχθόνιοι καινὸν ὑπὲρ νεφέων

---

[1] Διὰ τὸ μέτρον ἐμήκυνα μὲν τὴν ἄρχουσαν, ἐβράχυνα δὲ τὴν δευτέραν συλλαβήν· ἴδε καὶ σελ 580.

εὗρον νῦν οἶμον, τάχ' ἔφη κ' ἀδαμάντινον ἦτορ
 ἐν στέρνοις ναύτας τούςδε νέους ἐχέμεν.
Ἄτρομοι, οὐχ ὁράας; βαθὺν ἠέρα ναυστολέουσι,
 λεπτοῦφεῖ σφαίρῳ γῆθεν ἀειρόμενοι.

Γ.

Οὔρε' ἐπ' ἀλλήλοις τὸ πάλαι νήσασα γιγάντων
 ἔκπαγλος γενεή, στεῦτο θεῶν μεγάλων
πέργαμον ἀμβῆναι· τοὺς δ' ἀκαμάτοις βελέεσσι
 ῥαῖσαν ἐπορνυμένους ἄφθιτοι οὐρανίδαι·
ἀλλὰ πόλοιο φύλασσε πλέον νῦν ἀστερόεσσαν
 ἄκρην, Ζεῦ· θρασὺ γὰρ νῦν πάλι γηγενέων
ἠνίδε φυσητῇ ἐπαείρεται ὑψόσε φῦλον
 σφαίρῃ, ἀναπλείει τ' ἠέρ' ἀπειρέσιον·
ἠνίδε καὶ σῷ ὅπλῳ παραπλήσια χείρεσι νωμᾷ
 ὅπλα, πύλαις τε πέλας χρίμπτεται οὐρανίαις.

Εἰς ναῦν ἀτμόπλουν

Α.

Θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρώμεθα, νῆα πελώρην
 λαίφεος ἠδ' ἐρετμῶν ποντοπορεῦσαν ἄτερ.
Ἦ ῥα Τυφάον' ἔχει κύτος ἔνδοθι πουλυκάρηνον,
 Ταρτάρου ἠδ' αἴης υἱέ' ἀμαιμάκετον;
Δὴ γὰρ καπνὸν τόσσον ἐρεύγεται, ὅσσον ἐκείνου
 ἶπος ἀπειρεσίη, Σικανίης μέγ' ὄρος·
σμερδνὸν δ' ἐξανίησιν ἀπ' αὐλοῦ μηκεδανοῖο
 σύριγμ', ὅσσον ὄφεις ἐξ ἑκατὸν στομάτων·
πῶς τέρατος τοίου ἐπιβήω; νῆα πέφρικα
 ἶσα καὶ ἀφριόεν κῦμ' ἁλὸς ἀτρυγέτου.

Β.

Μηκέτ' ἀητάων ταμίαν λιτανεύετε, ναῦται,
 οὖρον ἀπὸ σπείους ἵκμενον ὔμμ' ἰέναι,
Αἴολον ἱπποτάδην· ἁλινηχέσιν οὐκέτι χρειὼ

νηυσὶ λίνων λευκῶν, οὐκ ἐρετμῶν πλατέων.
Ἠνίδ' ὃν Ἡφαίστῳ γλαυκὴ φιλότητι μιγεῖσα
υἷ' Ἀμφιτρίτη γείναθ' ὑπερμενέα,
τούτῳ νῦν ἐπὶ πόντον ἐπέτραπε νῆας ἐλαύνειν
μήτηρ, νηοπόρους ῥυομένη καμάτων.
Ἦ ῥ' ἀπέλεθρον ἔχει τὸ τέρας σθένος, ἐς πλέον αἰὲν
χῶρον ἐπεκτείνειν ὃν δέμας ἱέμενον.

Εἰς τὸν ἠλεκτρικὸν Τηλεγράφον.

A.

Οὔνομ' ἀπ' ἠλέκτρου τις ἔχουσα, τεράστιος ὁρμήν,
ἐνδέδυκεν πᾶσαν τήνδε φύσιν δύναμις·
δαίμων δή τις ἄοπτος, ὁρατὰ δὲ πᾶσι τελεῦσα
ἔργα, σοφοῖς ἀσόφοις τ' ἀνδράσι θαῦμα μέγα.
Ἥδ' ὅπλον αἰθαλόεν τεύχει Διός· ἥδε χάλαζαν
πρηστήρων τε μένος τίκτει ἀμαιμακέτων·
ἥδε καὶ ἀνθρώποις νῦν γίγνεται εὑρεσιτέχνοις
Ἴριδος Ἑρμείω τ' ἄγγελος ὠκυτέρη.
Ἠνὶ σιδηρείῃ ἐπὶ μέρμιθ' ὀξὺ θέουσα
ὥστε νόημα, φέρει πανταχοῦ ἀγγελίας.

B.

Ἦ σὺ λίην τὸ πάροιθεν ἐχώσαο, παντοκράτορ Ζεῦ,
εὖτ' ἀπ' Ὀλύμπου πῦρ Ἰαπετιονίδης
ποικιλόβουλος ἔκλεψε καὶ ἀνδράσιν ὤπασε δῶρον·
τῷ μιν ἀνήρτησας καυκασίοιο πάγου.
Ἀλλὰ τί νῦν δράσεις θνητῶν γένος, οἵτ' ἀσεβοῦσι
πολλῷ μείζονα, σὴν οὐκ ἀλέγοντες ὄπιν;
Ἠνίδ' ὑπερφίαλοι φύσιος διφήτορες ἄνδρες
ἄφραστόν τινα πρὶν δαίμον' ἀνεῦρον ἄφνω,
τῷ ῥ' οἵ γ' ἀστεροπῆς καὶ βροντῆς τέκτονι χρῶνται,
ἶσοι Σαλμωνεῖ κείνῳ ἀτασθαλίην.
Ἀλλὰ καὶ ὀξύτερόν μιν ἔχουσ' ἀεὶ ἀγγελιώτην
ἢ σὺ σὸν Ἑρμείαν Ἶριδά τ' ἰσάνεμον.

Εἰς ὁλκάδα πρωτόπλουν.

» Λευκοθέη δέσποινα καὶ εἰναλίοιο θύγατρες
Νηρῆος, λίτομαι, σώζετε πρωτόπλοον
σέλμα τόδ' ἀσκηθὲς διαπρῆσσον πόντιον οἶδμα,
εἴργετέ τ' ἄγρι' ἔθεν κύματ' ἀελλότροφα.
Πέμπετε δ' οὖρον ἀεὶ ναυσίδρομον, ὄφρα τάχιστα
ἅπτηται τραφερῆς ὑγρὰ κέλευθ' ἀνύσαν.
Ναυκλήρῳ δὲ φίλῳ Διονυσίῳ ἐξ ἀρότοιο
ἀτρυγέτου πελάγευς πουλὺς ἄμητος ἔοι.

Εἰς κύνα Μενεδήμου.

Σῆμα τόδ' ἔστ' ὀλίγον στικτοῦ κυνός, ὅν κεν ἰδών τις
φαίη ἀληθὲς ἔμεν δόγμα τὸ Πυθαγόρου.
Τοῖος γὰρ σκύλακος νόος ἔπλετο, οἷος ἔνεστιν
ἐκ θεοῦ ἀθανάτου τοῖσι λαχοῦσι λόγον.
Οὐρῇ μὲν δὴ ἑὸν καὶ οὔασι σαῖνεν ἄνακτα,
γλώσσῃ δ' αὖ χεῖρας λεῖχε φίλα φρονέων·
καὶ κώλοις ἀγάπαζε, καὶ αὐτοῦ ὀξὺ συνίει,
αὐδὴν καὶ κανθῶν βλέμμ' ἀπολαμπόμενον.
Τῷ μιν ἀποφθίμενον κῆρ ἀχνύμενος Μενέδημος
ἐνθάδ' ὑπὸ πτελέῃ ἐγκατέθηκε τάφῳ.

Ἐρωτικόν.

Ἀγρόθεν οἴκαδ' ἰών ποτε τοὔνδιον εἰνὶ θερείῃ,
ἡνίκα τεττίγων ἔθνε' ἐπ' ἀκρεμόνων
βαβράζει φαέθοντος ὀρινόμεν' ἀκτίνεσσι,
ψυχεινὴν ἰκόμην πίδακα πιόμενος.
Καλλίστην δ' ἔκιχον τόθι κούρην ὑδρεύουσαν,
εἶδός τ' ἠδὲ φυὴν εἴκελον Ὑδριάδι.
Τὴν δ' ἄρ' ὕδωρ ᾔτησ'· ἡ δ' αὐτέ μ' ἰδοῦσα παρειὰς
ἦκ' ἐπεφοινίχθη, καὶ ἅμα νεκτάρεον

μειδήσασα, χέρας λύγδῳ μοι ἔτεινεν ὁμοίας
  πηγαίου τε πρόφρων δῶκε γάνους πιέμεν.
Ὄφρα δ' ἐγὼ χείλεσσιν ὕδωρ ἐξ ἄγγεος ἔσπων
  εἰς ὦπ' ἄντα καλῆς παρθενικῆς ὁρόων,
τόφρ' ἔθεν ἐξ ὄσσων ὄσσοις πῦρ εἶλκον ἔρωτος,
  καὶ ψυχρὸν πίνων ἔζεον ἔνδον ὅλος.
Καὶ νῦν δ' ἐκ κείνου πόματος φλέγομ'· οὐδ' ἔτι πῖδαξ
  ἢ ποταμὸς σβέσσαι φλογμὸν ἐμὸν δύναται.

ΕΠΙΓΡΑΦΑΙ.

Α.

εἰς τὴν ἡμιπεντηκονταετηρίδα ἑορτὴν τῆς εἰς τὸν Β. θρόνον ἀναβάσεως τοῦ πρὶν Βασιλέως τῆς Ἑλλάδος Ὄθωνος ἐπιγράμματα τεθέντα ἐπὶ τῆς ἀψῖδος καὶ ἀλλαχοῦ τῆς πόλεως Ἀθηνῶν, τῇ κέ. Ἰανουαρίου ᾳωνή.

α. εἰς πάντας τοὺς Ἕλληνας.

Πεντάκι πέντε κύκλους περὶ ἥλιον ἤνυσε γαῖα,
  ἐξ οὗ ἄναξ ἀκτὴν ἤλυθεν ἀργολίδα,
ἠπιόθυμος Ὄθων, εἰρήνην σωσίπολίν τε
  Ἑλλήνεσσι δίκην, ἁρμονίην τε φέρων.
Τῷ ῥα τόδ' Ἕλληνες τελέουσιν ἑόρτιον ἦμαρ
  πάντες, πᾶν ἀγαθὸν κοιράνῳ εὐχόμενοι.

β. εἰς τοὺς θανόντας ἀγωνιστάς.

Τῇδ' ἀεθλευσάντων περὶ πάτρης ἀμφιποτᾶται
  εἴδωλ' αἰχμητῶν τῶν πρὶν ἀποφθιμένων,
σὺν δέ θ' ἑορτάζει πολιήταις εὐλογέοντα
  Σέ, Κράντορ, καὶ σὴν σύνθρονον Ἀμαλίην.
Χαῖρ', ὃς ἐλευθερίην, ὑπὲρ ἧς κεῖνοι μαχέσαντο,
  ἔμπεδον εἰρήνῃ ζεῦξας ἰδ' εὐνομίῃ.

γ. εἰς τὸν Πατριάρχην καὶ τὸν ἱερὸν κλῆρον.

Ἣν πατριάρχου ἔδευσε καὶ ἄλλων ἀρχιερήων
αἷμ' ἁγνὸν καινὴν Ἑλλάδι πορφυρίδα,
τὴν σὺ λαχὼν φορέειν, Βιτλεσβαχίδη, θεράποντας
καὶ κλῆρον Χριστοῦ εὐσεβὲ' ἀμφιέποις.

δ. εἰς τοὺς ἐπὶ τούτῳ ἀποσταλέντας
Πρέσβεις τῶν Βασιλέων.

Ἄγγελοι εἰρήνης εὐρυσθενέων παρ' ἀνάκτων
ἠδὲ φιλοφροσύνης Ἑλλάδος ἡγεμόνι,
χαίρετε καὶ ὔμμες· καὶ τιμὴν τήνδε δέχνυσθε
Ἑλλάδος ἐκ πάσης, ὡς ἐπέοικε φίλοις.

ε. εἰς τὴν θύραν τοῦ Πανεπιστημίου.

Ζῆθι, ἄναξ τρισέβαστε, σὺν Ἀμαλίῃ Βασιλίσσῃ,
ζῆθι, Βιτλεσβαχίων εὐκλεὲς ἔρνος Ὄθων.
Μούσας ἠδυμελεῖς καὶ ὃν ἵδρυσας ἐνθάδε Μούσαις
ναόν, σῷ σκήπτρῳ χρυσέῳ ἀμφιέπων.

ζ. εἰς τὴν πύλην τῆς Ναυπλίας.

Ζῆθι, Ὄθων τρισέβαστε, σὺν Ἀμαλίῃ πυκιμηδεῖ·
ζῆτ' ἄμφω πολλὰς εἰς ἐτέων δεκάδας!
Ἀρχαίου Δαναοῦ παῖδες Δαναῷ νέῳ εὐχὴν
τοίην σοι, Βασιλεῦ, ἐκ κραδίης φέρομεν.
Ἀκτῇ γὰρ κέλσας πάρος Ἄργεος ἱπποβότοιο,
ἤγαγες εἰρήνην ἄμμι καὶ εὐνομίην.

B.

εἰς τὸν ἐν νέᾳ Σπάρτῃ ἀνεγερθέντα ναὸν τοῦ Σωτῆρος.

Τόνδε Θεῷ σωτῆρι παλιγκτίτου ἱδρύσαντο
Σπάρτας ἐνναέται ναὸν ἀριπρεπέα,

δουλοσύνας ῥυσθέντες ἀεικέος ἠδ' ὑπ' Ὄθωνι
  οἰκεῦντες πάτραν ἔμπαλιν αὐτόνομον.

Ἕτερον.

Σκαπτοφοροῦντος Ὄθωνος ἀν' Ἑλλάδα κυδαλίμοιο,
  Βαιὰν Εὐρώτα πὰρ ῥόον αὖθι πόλιν
Ὀψίγονον Σπάρτας γένος ᾤκισεν, ἐξυπαλύξαν
  δουλοσύναν στυγερὰν βαρβαρικόν τ' ἄρεα.
Τὸν δὲ Θεῷ ῥυσίῳ περικαλλέα δείματο ναὸν
  ᾇ δαπάνᾳ Δανιὴλ φαίδιμος ἀρχιθύτας.

Γ.

εἰς τὴν παρὰ τῇ Χρυσοσπηλαιωτίσσῃ Κρήνην.

Πρώτου κοιρανέοντος ἀν' Ἑλλάδα γαῖαν Ὄθωνος,
  κρήνην τήνδ' ἱεροῦ Θειοτόκοιο δόμου
εὐσεβέες δείμαντο προσίκτορες, ὄφρ' ἀπὸ κρουνοῦ
  χρηΐζουσιν ὕδωρ ἡδύποτον προχέῃ[1]

Δ.

Ἐπίγραμμα χαραχθὲν ἔτει αωνή ἐπὶ τοῦ θεμελίου λίθου τῆς ἐν Ἀθήναις ὑπὸ τοῦ Βαρῶνος Σίμωνος Σίνα οἰκοδομηθείσης Ἀκαδημίας.

Σκηπτοφοροῦντος Ὄθωνος ἐν Ἑλλάδι καὶ παρεόντος
  ἐνθάδε σὺν σεπτῇ συνθρόνῳ Ἀμαλίῃ,
τοῦτ' ἀκαδημίης παλινιδρύτοιο θέμεθλον
  πρόφρων ᾗ δαπάνῃ εἷσε Σίμων ὁ Σίνας,
Πρεσβευτὴς παρ' ἄναξι κεκλημένος εὐρυμέδουσι
  Γερμανίης, κοσμῶν Ἑλλάδ' ἑὴν πατρίδα.

---

[1] Ὁ δ'. στίχος μεταβληθεὶς ἐχαράχθη οὕτω·
Καρφαλέης δίψης πᾶσιν ἄκος προχέῃ.

Ε.

Εἰς τὸν ἐν Λονδίνῳ ὑπὸ τῶν ἀνατολικῶν Χριστιανῶν ἀναγερθέντα ναὸν τοῦ Σωτῆρος.

Πάτρια θεσμὰ σέβουσα παροικίη εἵσατο Γραικῶν
νηὸν τόνδε θεῷ, ῥύστῃ ἀγασθενέϊ,
σεπτῆς Βικτορίης ἀγανόφρονος εὐρυανάσσης
σκῆπτρον νωμώσης Βρεττανίης μεγάλης.

ἄλλο.

Σεπτῆς Βικτορίης ἁλικρειούσης Βασιλίσσης
ἡνία νωμώσης Βρεττανίης μεγάλης,
τόνδε παροικίη Ἑλλήνων θεῷ εἵσατο ῥύστῃ
νηόν, ἑῶν πατέρων θεσμὰ σεβαζομένη.

ἄλλο.

Σεπτῆς Βικτορίης αἰπὺν θρόνον ἡνιοχεύσης
Ἀλβίου ἀμφιρύτου, τόν δε θεῷ ῥυσίῳ
Ἑλλήνων ἀνέγειρε παροικίη ἀγλαότευκτον
νηόν, τέθμι᾿ ἑῶν ἁζομένη πατέρων.

ἄλλο.

Σεπτῆς Βικτορίης Βρετανῶν μέγαν ἰθυνούσης
λαόν, ἰδ᾿ ἄλλ᾿ ἀνδρῶν φῦλα πολυσπερέα,
τόν δε θεῷ σωτῆρι παροικίη εἵσατο Γραικῶν
νηόν, θεσμοσύνας ἁζομένη πατρίους.

ἄλλο.

Σεπτῆς Βικτορίης ἁλιερκῶν κοιρανεούσης
Βρεττανίης νήσων, Ῥύστῃ ἐπουρανίῳ
τόν δε παροικίη Ἑλλήνων δωμήσατο νηόν,
θεσμοῖς τοῖς πατρίοις πιστὸν ἔχουσα νόον.

ΣΗΜ. Ἐν τῷ Χρόνῳ, ἐφημερίδι ἀγγλικῇ (ἔτει αων´ Ἰαν. ιζ´) φιλολόγος τις Ἄγγλος κρίνων τὸ ἐπὶ τῆς θύρας τοῦ ναοῦ χαραχθὲν ἐπίγραμμα, ἀπεδοκίμασε τὴν συστολὴν τοῦ ω τῆς δευτέρας συλλαβῆς τοῦ ὀνόματος Βικτωρία. Τοῖς λόγοις οὖν, οἷς τότε ὑπὲρ τῆς

ἡμετέρας ἐχρησάμεθα γνώμης ἀπολογούμενοι, προσθετέον νῦν ἡμῖν δοκεῖ τὸ ἐν τῷ Β' τόμῳ τῆς Ἀνθολογίας 711 ἐπίγραμμα ἔχον ὧδε·

Αὐτὴν γραμματικὴν ὁ ζωγράφος ἤθελε γράψαι·
Βίκτορα δὲ γράψας, τὸν σκοπόν, εἶπεν, ἔχω.

Εἰ γὰρ ἐξῆν τῷ ἐπιγραμματογράφῳ *Βίκτορα* γράφειν τῷ ο, πῶς οὐκ ἔξεστι καὶ ἡμῖν Βικτορίαν ὁμοίως γράφειν;

Ζ.

Εἰς τὸν ἐν Οὐϊνδοβόνῃ ναὸν τῶν ὀρθοδόξων.

Οἶκον ἀεξήσας ἱερήων, χαλκοβόαν τε
δειμάμενος πύργον, νηὸν ἐπηγλάϊσεν
οἷσι Σίμων ὁ Σίνας ἀναλώμασι· τῷ οἱ ὀπάζοις
μισθόν, ἄναρχε Τριάς, ἄξιον εὐσεβίης.

ἄλλο.

Νηοπόλων ἐπαεξήσας δόμον, ὑψιπαγῆ τε
δειμάμενος πύργον, πανσθενέος Τριάδος
οἷσι Σίμων ὁ Σίνας κόσμησ' ἀναλώμασι νηόν·
ἀλλ', ὑπέρυμνε Τριάς, πάντα οἱ ἐσθλὰ νέμοις.

ἄλλο.

Θυοπόλων Τριάδος δόμον ἀγλαὸν ὑψιμεδούσης
πύργον θ' ὑψιπαγῆ τόνδε Σίμων ὁ Σίνας
δειμάμενος, νηῷ ἱερῷ νέον ὤπασε κόσμον·
Τῷ οἱ ἐσθλά, Τριὰς ὀλβιόδωρε, δίδου.

Η.

Εἰς τὸ θυσιαστήριον τοῦ ἐπὶ τοῦ Πηλίου ὄρους ναϊδίου τοῦ προφήτου Ἠλίου.

Βωμοῦ φέροντες τοῦδ' ἐπ' ἀχράντου, θύται,
τῷ παντάνακτι προσφορὰν ἀναίματον,
εὔχεσθε ναοῦ τοῦδε τῷ δομήτορι
σύμπαντί τ' οἴκῳ Κασσαβεττείῳ θεὸν
ὄλβου δοτῆρα πρευμενῆ τ' ἀεὶ πέλειν.

ἕτερον.

Ἁγνὴν ἐφ' ἁγνοῦ τοῦδε βωμοῦ προσφέρων

τῷ παντάνακτι προσφοράν, θυηπόλε,
εὔχου παρασχεῖν ψυχικὴν σωτηρίαν
αὐτῷ τε σηκοῦ τοῦδε τῷ δομήτορι,
τοκεῦσί τ' οἴκῳ τ' εὐσεβεῖ Κασσαβέτου.

Θ.

Εἰς τὴν ἁγίαν Τράπεζαν τοῦ ἐν Κισσῷ τοῦ Πηλίου ὄρους ναοῦ τῆς ἁγίας Μαρίνης ἔτει ͵αωξδ'.

Εὐτέρπη σοι τοῦτον, Ἀλεξάνδροιο σαόφρων
χήρη Κασσαβέτου, βωμὸν ἔτευξ' ἱερόν,
ὦ μάρτυς Χριστοῖο Μαρίνη. Τῷ λιτάνευε
Ὑψιμέδοντ' αὐτῇ τ' ὄλβι' ἀεὶ διδόναι
Κασσαβέτου τ' οἴκῳ· ψυχὴν δὲ θανόντος ἀκοίτου
τάξαι σὶ ἐς μακάρων ὕψι χοροστασίην.

Ι.

Εἰς τὴν ἐν Ζαγορᾷ δαπάνῃ Εὐφροσύνης Δ. Κασσαβέτου ἀνακαινισθεῖσαν κρήνην.

Καλλίναον κρήνην ὀχετόν τ' ἀνεκαίνισε μακρόν,
πάτρῃ συλλέκτρου ἦρα φέρουσα φίλου,
χήρη Κασσαβέτου Δημητρίου, εὐπατέρεια
Εὐφροσύνη, κούρη κεδνὴ Ἰωνίδεω.
Τοὔνεκεν ὑψιμέδοντα λίτεσθ', ὅσοι ἔνθ' ἀρύεσθε
λαρὴν νυμφάων νηϊάδων λιβάδα,
ὄφρα δομητείρῃ καὶ οἴκῳ Κασσαβετείῳ
ἔντε βίῳ καὶ ἔπειτ' ὄλβια πάντα διδῷ.

Κ.

Εἰς τὴν ἐν Καΐρῳ ὑπὸ τῶν ἀδελφῶν Ἀβετῶν κτισθεῖσαν ἑλληνικὴν σχολήν.

Νειλοῤῥύτου πρὶν ἐκ χθονὸς διδάγματα
βιωφελῆ Κέκρωψ τε καὶ Βήλου γόνος

ἤνεγκαν ἀγροίκοισι λαοῖς Ἑλλάδος.
Δυὰς δ' ἀδελφῶν ἐνθάδ' Ἀβετῶν πάλιν
ἐξ Ἑλλάδος νῦν τὴν ἐπιστήμην ἄγειν
ποθοῦσα Μούσαις τόνδ' ἀνίδρυσεν δόμον.

ἕτερον.

Νειλοῤῥύτου τῆςδ' ἐκ χθονὸς μαθήσεως
κατηύγασε πρὶν τὴν ὑφήλιον σέλας,
ἀλλ' ὑστέροισι, φεῦ, ἀπεσβέσθη χρόνοις,
πυκνός τ' ἐπέσχε πᾶσαν Αἴγυπτον γνόφος.
Νῦν δ' αὖ ἀδελφῶν Ἀβετῶν δυὰς πάλιν
ἐξ Ἑλλάδος φῶς τῆς ἐπιστήμης ἄγειν
θέλουσα, Μούσαις τόνδε ταῖς ἑλληνίσι
ναὸν ἐδείματ' ἀγλαὸν Νείλου πέλας.

Λ.

Ἐπιγραφαὶ εἰς τὴν πεντηκονταετηρίδα ἑορτὴν τῆς τοῦ Ἑλληνικοῦ ἔθνους αὐτονομίας.

εἰς τὸν βασιλικὸν οἶκον.

Ζῆθι, Γεώργι' ἄναξ, σὺν σεπτῇ ἄμμιν ἀνάσσῃ
Ὄλγᾳ καὶ τρισσῶν ἀγλαΐῃ τεκέων.

εἰς τοὺς βασιλεῖς τοὺς τρεῖς μεγάλους προστάτας τῆς Ἑλλάδος.

Βρεττανίης βασιλῆα Γεώργιον εὐρυμέδοντα
καὶ Κάρολον Γαλατῶν ἀρχὸν ἀρηϊφίλων
Νικόλεών τ' ἐν τοῖς Ῥώσσων μεγάθυμον ἄνακτα
ἡ Ἑλλὰς σωθεῖσ' εἰσαεὶ εὐλογέει.

εἰς τὸν βασιλέα τῆς Βαυαρίας Λουδοβίκον τὸν ά.

Πεντηκονταετηρίδ' ἑορτὴν Ἑλλὰς ἄγουσα
πῶς κεν Λουδοβίκου λῆστιν ἄνακτος ἔχοι;
Κεῖνος ἐν ἡγεμόνεσσι πιεζομένην ἐλέησεν

Ἑλλάδα πρώτιστος καὶ οἱ ἄμυνε πρόφρων.
Κεῖνος ἄεθλον ἄεισε Πανελλήνων ἀνέρας τε
ὕμνησε, κρατερῶς μαρναμένους πρὸ πάτρης.

εἰς τὸν Πατριάρχην Γρηγόριον

Ποιμένα Γρηγόριος μιμησάμενος Πατριάρχης
τὸν καλόν, ψυχὴν θῆχ' ὑπὲρ ὧν οἴων·
καί ῥ' αὐτὸς μὲν ἕλωρ θηρῶν γένετ'· ἀλλὰ τὸ Χριστοῦ
πῶϋ λύκων ὠμῶν ῥύσθη ὑπὲξ ὀνύχων.

εἰς τοὺς συνοδικοὺς ἀρχιερεῖς τοὺς φονευθέντας
ὑπὸ τῶν Ὀθωμανῶν.

Γρηγορίου σύνεδροι Πατριάρχου, οὓς ὁμὸς ἔσχε
ζῆλος ὑπὲρ ποίμνης καὶ ὁμὸς εἷλε μόρος.
σήμερον οὐρανόθεν καταβάντες τοῦτο σὺν ἡμῖν
πάνδημον τελέοιτ' ἦμαρ ἐλευθερίης.

εἰς τοὺς αὐτοὺς ἕτερον.

Γρηγορίου σύνεδροι πατριάρχου ἀρχιερῆες,
οἳ δὴ ὑπὲρ Χριστοῦ κύρσαθ' ὁμῷ θανάτῳ,
δεῦτε καταπτάντες ἐξ αἰθέρος ἐνθάδ' ἅμ' ἡμῖν
λαμπρὸν ἐλευθερίης ἦμαρ ἑορτάσατε.

εἰς Γερμανὸν τῶν Πατρῶν ἀρχιεπίσκοπον.

Γερμανῷ ἀρχιθύτῃ Πατρῶν ζέσεν ἔνδοθι θυμὸς
ἐξ ἀσεβῶν Χριστοῦ κλῆρον ὑβριζόμενον
καὶ πάτρην ὁρόωντι· τῷ ἱερὸν ὅπλον ἀείρας
σταυρόν, Χριστιανοὺς ὦρσ' ἐπὶ δυσμενέας.

εἰς τὸν αὐτὸν ἕτερον.

Καίσαρος εἷμα πάροιθ' Ἀντώνιος αἱμοφόρυκτον
Ῥωμαίοις δείξας ἐξορόθυνε φρένας.

Πατρῶν δ' ἀρχιερεὺς ἐν Ἀχαιοῖς σταυρὸν ἀείρας
Γερμανὸς αἰγλήεντ' ἐς μέγαν ὦρσ' ἄεθλον.

εἰς τὸν ἀρχιεπίσκοπον Οὐγγροβλαχίας Ἰγνάτιον.

Ἴδριος οὔποτ' ἄνευθε νόου ἀτρεκὴς μερόπεσσι
γίγνετ' ἐλευθερίη· τοὔνεκεν Ἰγνάτιος,
ἀρχιερεὺς περίσεμνος, ἐλεύθερον ἦμαρ Ἀχαιοῖς
πορσύνων, ἰδρίης πρόδρομον ἦγε φάος.

εἰς τοὺς ἀπανταχοῦ φιλέλληνας.

Ὄμμα φιλελλήνων ὅσσοι ἔτι λεύσσετε Φοίβου
ἠδ' ὅσσοι μακάρων ἔνθεν ἔβητε δόμους,
χαίρετε! δὴ ζώει κατ' ἀχαιΐδα γαῖαν ἐσαιὲν
ἄφθιτος ὑμετέρης μνημοσύνη χάριτος.
Χαίρετε! δουλοσύνης Ἑλλὰς φίλη ἄμμι λυθεῖσα,
ἦμαρ ἑορτάζει νῦν τόδ' ἐλευθερίης.

εἰς Ἀλέξανδρον Ὑψηλάντην τὸν πρωταγωνιστήν.

Ἑλλάδος οὐκ ἤνειχ' Ὑψηλάντης μεγαθαρσὴς
ἄλγεα πόλλ' ὁρόων· μησάμενος δὲ μέγα
ἔργον, σὺν παύροις ῥέεθρ' Ἱεράσοιο πέρησεν
εἰς τ' ἐρατὴν ἐκάλεσσ' ἔθνε' ἐλευθερίην·
οὐδ' ἄρα μὰψ ἐκάλεσσεν· ἀρήϊα δ' ὀξὺ Ἀχαιοὶ
τεύχεα λαζόμενοι δουλοσύνης ἔλυθεν.

εἰς τὴν Ἀκαδημίαν.

Μοῦσαι ἐλευθερίης συνόμιλοι, αἳ τ' ἀπόδημοι
ἐπλάζοντο χρόνον μακρὸν ἐπ' ἀλλοτρίης,
ἔμπαλι νοστήσασαι ἐς Ἑλλάδα πουλυπόθητον
δῶρ' αὖ Ἑλλήνων παισὶ νέμουσι φίλα.

εἰς τὸ Ἑλληνικὸν ἔθνος.

Πεντήκοντ' ἀνύσαντες ἔτη βίου αὐτονόμοιο

εὐξώμεσθα πάτρην ἔμπεδον ἄμμιν ἀεὶ
ἵστασθ', ὀλβήεσσαν, ἐρισθενέ', ἀγλαότιμον,
εὖ ἰθυνομένην σκήπτρῳ ἀνακτορέῳ.

εἰς τὸν παρὰ τοῖς προθύροις τῆς Ἀκαδημίας ἱδρυμένον ἀνδριάντα τοῦ Πατριάρχου Γρηγορίου.

» Εὐσεβίην σπείρων πατρίους τε λόγους ἱεράρχης
Γρηγόριος Χριστῷ πάτρῃ ἑῇ τ' ἐβίω·
κάτθανε δ', ὡς ἐβίω, μιμητὴς Χριστοῦ ἄνακτος,
ψυχὴν δοὺς προφρόνως λύτρον ὑπὲρ πολέων.
Τοῦδ' ἄρα Μουσάων νηοῦ πάρος ἵδρυται εἰκὼν
ἥδ', ἐνιεῖσα νόου ζῆλον ἑοῦ προπόλοις.

εἰς τὸν αὐτόν.

Εἰκὼν ἥδε κλυτοῦ πατριάρχου Γρηγορίοιο
νηοῦ πρόσθε πυλῶν ἵδρυτ' Ὀλυμπιάδων,
μηνύουσα νέοις ὅτ' ἐτήτυμον οὔποθ' ἑλέσθαι
εὐσεβίης ἀπάτερθ' ἔστι βροτοῖς σοφίην.

εἰς τὴν κολυμβήθραν τοῦ α΄. διαδόχου τοῦ ἑλληνικοῦ θρόνου.

Κωνσταντῖνος ἄναξ κατὰ πνεῦμ' ἱερῷ ἐνὶ τῷδε
φαιδρυνθεὶς λοετῆρι ἄνακτ' ἐνεδύσατο Χριστόν.

ΠΑΡΑΙΝΕΤΙΚΑ.[1]

» Ἡγοῦ σεαυτῷ τοὺς παραινοῦντας φίλους.
» Νεκρὸν νόμιζε τὸν φίλων τητώμενον.
» Μὴ χρυσὸν ἡγοῦ πάνθ' ὅσα στίλβονθ' ὁρᾷς.
» Ὁρμὰς χαλίνου καὶ παθῶν ἀεὶ κράτει·

[1] Πολλὰ τῶν παραινετικῶν, τῶν γνωμικῶν, τῶν παροιμιῶν κτλ. ἐξηλλήνισταί μοι ἐκ τῶν παρὰ Λέσσιγγι.

χρήσῃ γὰρ αὐτοῖς δεσπόταις ἡττώμενος.
» Ἄκλητος οἶκον μήποτ' εἰς ἀλλότριον
σύμβουλος ἔλθῃς· μηδ' ἐρεύνα τῶν πέλας
τἀπόκρυφ'· ἕξεις πράγματ' ἐκ τούτων ἀεί.
» Ὀμνύντα πολλὰ φεῦγε· τοῖς συχνοῖσι γὰρ
ὅρκοις ἕπεσθ' εἴωθεν ἡ ψευδορκία.
» Σιγῇ σὺ πρῶτος κεῦθ' ἃ πρὸς πάντων θέλεις
σιγᾶσθ'· ὃ γάρ τ' ἄμειψεν ἕρκος χειλέων
οὐκ ἂν κατάσχοις, ἀλλὰ κίδναται πέριξ.
» Τὰ πρὶν φρενούτω καὶ διδασκέτω σ' ἃ χρή·
τοῖς δ' αὖ παροῦσιν ἐμφρόνως σοι χρηστέον·
τὸ πρὶν κύει γὰρ καὶ τὸ νῦν τοὔπειτ' ἀεί.
» Φίλον σεαυτῷ μήποτ' ἄνδρα θῇς λάλον·
δεινὴ γάρ ἐστιν ἡ φλυαρία νόσος,
ἣν οὐκ ἂν ἰάσαιτο φαρμάκων σθένος.
Κἂν οὖν τύχῃ τις τοὺς τρόπους χρηστὸς γεγώς,
ὥστ' ἄνδρ' ἑταῖρον μή τι δρᾶν κακὸν θέλειν,
ὅμως γένοιτ' ἂν κἀξ ἄκοντός σοι βλάβη.
» Μὴ λοιδόρους σὺ καὶ κακηγόρους θέλε
ἴσοις ἀμείβεσθ'· ὡς γὰρ ἄνθρακες δρυὸς
βάλλουσι πλείω φέψαλον φυσώμενοι,
οὕτω θρασυστομοῦσι κἀκεῖνοι πλέω,
ὅταν σφιν ἀντίφθογγον οἴγῃ τις στόμα.

ΓΝΩΜΙΚΑ.

» Ἥσσων μέν ἐστι σώματος ῥώμῃ γυνή,
ἥσσων θ' ὁμοίως ἀρσένων εὐβουλίᾳ·
ὑπερτέρα δ' ὅμως γε θηλείας χάρις
στέφουσα, χειρῶν καὶ φρενῶν νικᾷ σθένος.
» Κακὸν γεραιτέροισι δυσπειθεῖν νέους,
τοὺς ἀγνοοῦντας τὸν βίον τοῖς εἰδόσιν.

» Ὀρθῶς ἔχειν ἡγούμεθ', εἴ τίς ποι θέλοι
ἐλθεῖν, ὁδηγῷ χρῆσθ' ἀεὶ τῷ τὴν ὁδὸν
πρὶν γνόντι πείρᾳ· τὴν δὲ τοῦ βίου τρίβον
βαίνοντες, οὐδὲν δεῖσθ' ὅλως νομίζομεν,
ὥστ' εὐοδοῦσθαι, τῶν γένει πρεσβυτέρων.
» Μικρὸν πέφυκε κἀσθενὲς σῖτος φυτόν·
μακρᾶς δὲ πολλῷ χρησιμώτερον δρυός·
ὁ μὲν γὰρ ἄνδρας, εὐγενεστάτην φύσιν
τρέφει, πολιτικοῦ τε γίγνετ' αἴτιος
βίου βροτοῖσιν· ἡδ' ὑσὶν φορβὴν φέρει.
» Οὐκ ἄν ποτ' ἐν τοῖς ζῶσιν εἰκότως ἐγὼ
θείην τὸν ὑπνοῦντ'· οὐ γὰρ αἴσθησιν βίου
ἔχει, φυτοῖσι δ' ἐμφερῆ ζωὴν ἄγει.
» Χρηστὸς πεφυκώς, κἂν ἄποτμος ὢν τύχῃ,
οὐκ ἂν γένοιτο παντελῶς τις ἄθλιος·
εἰκὸς γὰρ αὐτόν, εὐτυχοῦσι γοῦν φίλοις
συνευτυχεῖν, κείνοισι συμπαθοῦντ' ἀεί.

ΠΑΡΟΙΜΙΑΙ.

» Ἐκ γῆς θάλασσαν ἡδὺ πᾶσίν ἐσθ' ὁρᾶν.
» Φίλου πρὸς ἀνδρός ἐστι νουθετεῖν φίλον.
» Κἂν ὄρνις ἀρθῇ πρὸς νέφη κοῦφος πτεροῖς,
ὅμως ταπεινῆς ἐκ χθονὸς χρῄζει τροφῆς.
» Ἄτρεπτον οὐδὲν τῶν ἐπὶ χθονὸς μένει·
ἐξ αἰθρίας γὰρ ὗσεν, εἶτα δ' ἐκ νεφῶν
πάλιν βροτοῖς ἔλαμψεν ἡλίου σέλας.
» Οὐκ ἔστ' ἀληθής, ἀλλὰ κίβδηλος φίλος
ὁ μὴ 'ξαμαρτάνοντα νουθετῶν φίλον.
» Πταίειν σε γλώσσῃ χεῖρόν ἐστιν ἢ ποσίν.
» Ἐργῶδες οὐδὲν τῷ θεωμένῳ δοκεῖ.
» Εἴην παραβλὼψ μᾶλλον ἢ πηρὸς κόρας.

» Ἄμεινον εἶναί μ' ἰλλὸν ἢ τυφλὸν κόρας.
» Οὐδὲν μέγ' αὔξετ' ἐν χύτρᾳ δένδρον ποτέ.
» Πονηρὸν ὄζει χὠδίκαιος ἐν βροτοῖς
ἔπαινος, ὅνπερ εἰς ἑαυτόν τις λέγει.
» Θεὸν μὲν οὐδεὶς λανθάνει ψευδῆ λέγων·
θνητοὺς δέ, κἂν λάθῃ τις, οὐ λήσει γ' ἀεί.
» Πένητος ἀνδρὸς μήποτ' οἶκον ἀθρόος,
ὦ πλοῦτ', ἐσέλθῃς· ὡς ὑπὸ στιλβηδόνος
τῆς σῆς ἐκεῖνος τοῦ φρονεῖν ἐκστήσεται.
» Ῥηΐδιον μὲν ἔπος, χαλεπὸν δ' ἄρα γίγνεται ἔργον.
» Ὅς τις ὑπὲρ πόντον πλώει, χθόνα, οὐ φρέν' ἀμείβει.
» Δάκρυσι κληρονόμος φρενὸς ἔνδοθι χάρμα καλύπτει.
» Οὐδείς ἐστ' ἐπὶ γῆς νηὸς θεοῦ, ἔνθα πονηρῷ
  μὴ βραχὺ ἕστηκεν δαίμονι βωμίδιον.
» Πίδακος ἐκ καθαρῆς καθαρὸν ἀεὶ ἔβλυσε νᾶμα·
εἰ δέ τιν' ἐκ στόματος ἔπε' ἔκλυες αἰσχρὰ ἱέντα,
ἴσθι οἱ ἔνδον ἐὸν παντὸς ῥύπου ἔμπλεον ἦτορ.
» Κἂν χρυσότευκτον βάτραχος θάσσῃ θρόνον,
ἐς βορβορῶδες τέλμ' ἀφάλλεται πάλιν.
» Οὐ πᾶσα κακκάζουσα καὶ φθόγγον μέγαν
ἀλεκτρυὼν ἱεῖσα φαίνετ' ἀτρεκῶς
ᾠὸν τεκοῦσα· πολλάκις γὰρ δὴ μάτην
βοᾷ· κενῆς δ' ἔξεισιν οὐδὲν νηδύος.
» Φόβῳ μελισσῶν οὐ μέλι βλύσω γλυκύ.
» Κούφη πέφυκε νηδὺς ἐμπεπλησμένη·
ἡ δ' αὖ κενή, βαρεῖα κἀργώδης φέρειν.
» Γλυκὺς μελίσσης ἐσθ' ὁ χυμός, ἀλλά γε
πικρὸν τὸ κέντρον καὶ λίαν ἐπώδυνον.
» Μακρᾷ τόδ' ἔξοιδ' ἐν βίῳ πείρᾳ μαθών·
ὅσῳ τίς ἐστιν ἐνδεέστερος φρενῶν,
τόσῳ γε μᾶλλον οἴεται πάντων βροτῶν
ὑπερφέρειν γνώμῃ τε καὶ νόου σθένει.

ΜΥΘΟΙ ΔΙΔΑΚΤΙΚΟΙ.

Α.

Λόχμης ἀηδὼν ἐν κλάδοισι συσκίου
μέλος θάμ' ᾖδε ποιμένων κηλοῦν φρένας·
ἐκ τῶν πέλας δὲ τελμάτων οἱ βάτραχοι
ὡς ἐξ ἁμίλλης ἀντεκραύγαζον μέγα.
Κείνη μὲν οὖν ἐπαύσαθ'· οἱ δὲ ποιμένες
ἐπυνθάνοντο, τοῦ χάριν σιγὴν ἔχοι.
Ἠδ' αὖ δέρην σείσασα τοῖςδ' ἠμείψατο.
Τίς γὰρ βοώντων βατράχων ἐγγὺς τόσων
μιᾶς ἀκούσετ' ἀσθενοῦς ἀηδόνος;

Β.

Ὄρνις Διὸς πάρεδρος οἰκοῦσαν πάλαι
ὄρνιν Ἀθηνᾶς οὐρανοῦ δόμους ὁρῶν,
οὐκ ἠξίου νιν προσβλέπειν· ἡδ' αὖ τόσην
δεινῶς ὕβριν φέρουσα τοῖ' ἔφη ποτέ.
Τί δὴ σὺ φυσᾷς, λῷστε, καὶ φρονεῖς μέγα;
Οὐκ ἐν δόμοις σύνοικός εἰμί σοι θεῶν;
Ναί, ἀντέλεξ' ἐκεῖνος· ἀλλ' οὐκ ἐννοεῖς
ἓν τοῦθ'· ὅτι πτέρυξιν ὧδ' ἀνεπτάμην
ἔγωγ' ἐμαῖς· σὲ δ' ἔνθ' ἀνήγαγ' ἡ θεά.

Γ.

Λαμπυρὶς ἐν λειμῶνι δι' ὄρφνης νυκτὸς ἀμαυρὸν
φέγγος ἱεῖσα θέρευς, κυδιόωσα μέγα,
ηὔδα τοῖ' ὁρόωσ' εἰς οὐρανὸν ἀστερόεντα·
Χαίρετ', ἀδελφοί μοι, ἀστέρες ὑψίπολοι·
ἠνίδ' ὁμοίην ὔμμι λέλογχα φύσιν. σέλας ἔνδον
τίκτουσ' εἰσαεὶ καὶ προχέουσ' ἐπὶ γῆς·
ἀλλ' ἄγεθ', ὑψηλῷ πορσύνατε καὶ ἐμοὶ ἕδρην
ἐν πόλῳ, ὄφρ' ἀστὴρ φαίνω ἐν ὔμμι νέος.

ΠΟΙΚΙΛΑ.

Α. εἰς οἶνον.

Ἀπ' ἰχθύων μάθοις ἄν, ὦ βέλτισθ', ὅτι
τίθησι τοὺς πίνοντας ἀφθόγγους ὕδωρ·
οἶνος δὲ πάντας ἔμπαλιν λαλιστάτους
ποιεῖν πέφυκεν, ὥσπερ ἐν πότοις ὁρᾶν
πάρεστιν, ἔνθ' ἐγείρετ' ἄσβεστος βοή.
οἱ μὲν γὰρ ᾄδουσ', ἐς κυλίχνην ἔμπλεων
οἴνου βλέποντες· οἱ δ' ἐρίζουσ' εὔστροφον
δινοῦντες ἀεὶ γλῶτταν· οἱ δὲ φληνάφους
κρουνηδὸν ἐκχέουσιν οἰγνύντες στόμα.

Β. ὅμοιον.

Ἥκιστ' ἐπαινῶ Πίνδαρον πάντων ὕδωρ
ἄριστον εἰπόντ'· οὐ γὰρ αἰνετὸν πέλει
ὅ γ' ἐξομοιοῖ τοὺς βροτοὺς τοῖς ἰχθύσι,
ποιοῦν ἀφώνους· ἀλλὰ πολλῷ μοι δοκεῖ
τὸν οἶνον εἶναι κρεῖττον ἀνθρώποις πόμα.
Πατὴρ γὰρ ἡμῖν γίγνεθ' οὗτος ᾀσμάτων
λόγων τε τερπνῶν σκωμμάτων τ' ἐν τῷ πότῳ.

Γ. εἰς γυναῖκας.

Ἐσθλὴν γυναῖκα, φασίν, οὐδ' ἐν χιλίαις
ἀνὴρ δύναιτ' ἂν ἐσθλὸς εὑρέσθαι μίαν.
Θαυμαστόν ἐστι τοῦτο· θαῦμ' ἔγωγ' ὅμως
μεῖζον νομίζω μήποτ' ἔμφρον' ἄνδρ' ἔχειν
αὐτῷ γυναικὸς ἁρμόσαι τρόπους μιᾶς.

Δ. μετάφρασις τοῦ εἰς ὀνείρους ἐπιγράμματος Κλαυδιανοῦ.

Ἡνίκα θηρητὴρ κεκμηκότα γυῖ' ἀναπαύει
λέκτριος, εἰς ὕλας πλάζεται εἶο νόος.

Ἅρματα ἡνιόχοισιν ἐνύπνια καὶ περίθρεκτον
ἵπποις τέρμα· δίκαι δ' ἀνδρὶ θεμιστοπόλῳ.

ἑτέρα τοῦ αὐτοῦ.

Ἡνίκα θηρητὴρ ἀμπαύει γυῖ' ἐπὶ κοίτης
εὕδων, εἰς ξυλόχους ἔμπαλιν εἶσι νόος.
Ἵπποι ἁρμελάτῃσιν ὄνειροι καὶ περὶ τέρμα
κάμπτον ὄχημα, δίκαι δ' ἀνδρὶ θεμιστοπόλῳ.

Ε. παραμυθητικὸν εἰς μητέρα τοῦ υἱοῦ στερηθεῖσαν.

Τί χρή σε θρηνεῖν κἀποδύρεσθαι νέκυν;
Μάτην, τάλαινα, πρὸς τάφῳ παιδὸς γόνυ
κάμψασα νεκρῶν ἐκ πυλῶν ᾅδου καλεῖς.
Θνητῶν γὰρ οὐδέν' οὐδέπω τὰ δάκρυα
πάλιν τόδ' ἐς φῶς ἤγαγ' ἐκ τῶν νερτέρων.
Οὕτως ἄνοικτος, τῶν βροτῶν ἄρχει νόμος,
ὃν οὔτ' ὀδυρμοῖς, οὔτ' ἂν οἰμωγαῖς, γύναι,
ἐπικλάσειας, οὔτ' ὀλόπτουσα τρίχας.

ἀπόκρισις.

Κάτοιδα ταῦτα κοὐ διδασκάλου μαθεῖν
χρῄζω παρ' ἄλλου· τίς ποτ' ἀγνοεῖ νόμον
τόνδ' ἔμπεδον μένοντα τῇ βροτῶν φύσει;
ὅμως δ' ἀνάγκη τὸν παθόντ' ἐπώδυνα
ἀλγεῖν τε θυμῷ καὶ στένειν· ἡ γὰρ φύσις
ἔθηχ' ὁμοίως τόνδ' ἀκίνητον νόμον.
Ἔα με τοίνυν παῖδ' ὀδύρεσθαι φίλον,
ὃς ὀρφανόν μοι γῆρας οἴχεται λιπών.
Ψυχῆς γὰρ ἄλγος δάκρυσιν κουφίζεται.

ϛ. εἰς γέροντα.

Κἀγώ ποτ' ἐν νέοισιν ἐξηταζόμην

κάλλει προσώπου καὶ μελῶν εὐρυθμίᾳ
πρέπων, ὑπερφέροντε τῶν ὁμηλίκων
κράτει τε χειρῶν καὶ σθένει τοῦ σώματος·
ταχεῖς δ' ἐνώμων δορκάδος δίκην πόδας,
ᾄσσων ὀρείας καὶ δι' ὑπτίας ἴσα.
Νῦν δ' οἴχεθ' ἥβης ἄνθος ἥ τ' εὐρωστία
ἔῤῥει· σκελῶν δέ μ' ἐκλέλοιπ' ἐλαφρία.
Στείχω δ' ἐρείδων ἀσθενὲς βάκτρῳ δέμας
ῥικνός, λιπόθριξ, νωδός, ἀμβλωπὴς κόρας,
λημῶν, κεκυφώς, κωφὰ βαμβαίνων ἔπη.

ΕΠΙΡΑΜΜΑΤΑ ΣΚΩΠΤΙΚΑ.

Εἰς φλύαρον.

Πολλήν σοι, Θεόδωρ', ἴδμεν χάριν, οὕνεκα δαῖτα
ἡδίστην ἡμῖν κἄφθονον ηὐτρέπισας.
Ἀλλὰ τί δή, βέλτιστε, λάλον στόμα συγκατέκλινας
ἄμμι τὸ τοῦ μωροῦ κεῖνο φλυακογράφου;
Χυμὸν γάρ τ' ὄψων τε ποτῶν θ' ἅμα δαιτυμόνεσσιν
ἡ κείνου ἔφθειρ' ἐκ στομάτων ἀμάρη.
Καὶ δή ῥ' ὁππόσ' ἔδρω γραστρός κ' ἀνένειχεν ἕκαστος
ἠδέ τ' ἀπήλυθ' ἔχων γαστέρα κεινοτέρην,
εἰ μὴ πώματι κεῖνος ὑπερμέτρῳ οἰνοβαρείων
κοιμήθη, δῶκεν δ' ἄμμ' ἀνάπνευσιν ὕπνος.

Εἰς παράσιτον.

Ὄφρα μὲν ἔζεε χύτρη ὑπὲρ πυρὸς εἰν ἐμῷ οἴκῳ,
ἔζη καὶ φιλίη πρός με Λεοντιάδου.
Ἐξ οὗ δ' αὖ πενίη με πιέζει, ἐν δὲ λέβητι
οὐ κρέα, οὐκ ἴχθὺς ἕψεται, οὐ χέδροπα,
ἔσβεσται πάμπαν ψευδὴς φιλότης· ὃ δ' ὁρῶν με
οὐ μέμνητ'· αἴρει δ' ὄμμα παρερχόμενος.

Εἰς πλοῖον ὑπέραντλον.

Δισσός, θαῦμ' ἐνέπειν, σῇ ἐφ' ὁλκάδι γίγνεται ἄμμιν
ὁ πλόος, οὐχ ἁπλοῦς, ὡς ἔθος εἰν ἑτέρῃς·
τῇ γὰρ ὅλῃ σύμπαντες ἁλὸς διαπρήσσομεν οἶδμα
νηΐ, κύτους δ' ἐντὸς πλοῦν ἴδιον πλέομεν·
ἔνθ' ἄρ' ὁμῶς πόντου κυμαίνει νήχυτον ὕδωρ,
πρυμνόθε δ' ἐς πρώρην κἄμπαλι νηχόμεθα.
Καί ποτε, Ναυσίκλειθ', ἁλιεύομεν ἔνδοθι γάστρης
παντοῖ' ὀστρείων φῦλα καὶ ἰχθυδίων.
Ἀλλὰ σὺ μὴ διὰ ταῦτα τριπλοῦν μισθὸν θέλε πράσσειν·
τοὺς δύο δισσοῦ πλοῦ, τὸν δ' ἄρ' ἄγρης τρίτατον.

Εἰς στέγην μὴ στέγουσαν.

Πρῳΐζ' εὔρου ἀέντος, ἀθέσφατον ὑψόθεν ὕδωρ
ἐῤῥύη ἐκ νεφέων, εἶτα διηθρίασεν·
ἀλλ' ἐν ἐμῷ οἴκῳγε, καὶ οὐρανοῦ εὐδιόωντος,
ὕει ἔτ' ἠδ' ὕσει φάεα δώδεχ' ὅλα.
Πάντα δέ μοι ὕδατος γέγονε πλέα, οὐδέ μοι εὐνὴ
ἄβροχος ἐν θαλάμοις εἰς ὕπνον ἐστὶν ἔτι.
Τοῖόν μοι τὸ τέγος τέκτων ἐπέθηκε Λυκάμβας,
ὅς περ ἀποφθίμενος κύρμα γένοιτο λύκοις.

Εἰς μάντιν ἔρωτος.

Ξανθώ μευ ἔραται γλυκυδερκής· τοῦ δ' ἄρ' ἔρωτος
νημερτὲς τέκμωρ ἠδὲ βέβαιον ἔχω.
Χθὲς γὰρ ἐμεῦ λαύρην πέλας ἰλυόεσσαν ἰόντος
καὶ κατολισθόντος, κείνη ἀπαὶ θυρίδος
οἴκου ἰδοῦσ' ἐγέλασσε· φίλ' Εὐτύχι', οὐ δοκέω σοι
ὀξὺς κουράων μάντις ἔρωτος ἔμεν;

Εἰς γυναῖκα δύσκολον.

Δυστραπέλου Χαρίτων χαλεπῆς τ' ἀλόχοιο τυχήσας,

πρηῢς ἀεὶ κείνης δυσκολίην ἔφερεν.
Ἡ δ' ἄρ' ἐπεὶ ποταμὸν πλήθοντ' ὄμβρῳ περόωσα,
συρεῖσ' ἐν δίνῃς ὤλετο τοῦ ῥεέθρου,
πυθόμενος κεῖνός γ' ἐπὶ τὸν χῶρον σὺν ἑταίροις
ἤλυθεν ἐσσυμένως ἠδ' ἐκέλευ' ἄλοχον
νεκρὴν δίζησθαι τοῦ ῥεύματος ἀντί' ἰόντας,
μηδὲ τὸ θαυμάζειν· οὐδὲ γὰρ ἐν βιότῳ
ἀνθρώποις κείνην ἄλλοισιν ὁμοίϊα ῥέζειν,
ἀλλ' αἰεὶ πάντεσσ' ἀντικέλευθον ἴμεν.

Εἰς ἀδόλεσχον, παντὶ μὲν ἀπόῤῥητόν τι παρακατατιθέμενον, αὐτὸν δ' οὐδέποτε τοῦτο φυλάσσοντα.

Παντὶ Διοκλῆς οἶδεν ἀπόῤῥητόν τι πιφαύσκειν,
παντὶ θ' ἑξῆς κεύθειν τοῦτο φρεσὶν κέλεται.
Αὐτίκα δ' αὖ ἄλλους τὸ ἀπόκρυφον ἐξαγορεύει,
οἷς ἐντέλλεθ' ὁμῶς μηδενὶ τοῦτο φράσαι.
Πᾶσι δ' ἐπισκήπτων σιγᾶν ἀεί, οὔποτε σιγᾶν
αὐτὸς ἔχει, νούσῳ φληναφίης δ' ἔχεται.

Εἰς παραβλῶπα.

Ὁππόθ' ὁρᾶν μ' ἐθέλεις, οὐκ ὄμμασιν εὐθὺ βλέπεις με,
ὁππότε δ' εὐθὺ βλέπεις, οὐχ ὁράαν μ' ἐθέλεις.

Εἰς πρεσβῦτιν φέρουσαν φενάκην.

Πολλοὶ Νέαιράν φασι τὴν αὑτῆς κόμην
βαφῇ μελαίνειν· ἀλλὰ τοῦτο δὴ σαφῶς
ψεῦδος λέλεκται· τὴν κόμην γὰρ οἶδ' ὅτι
φύσει μέλαιναν ἡ Νέαιρ' ὠνήσατο.

Εἰς ὑπνώδη.

Ἐπὶ χθονὸς δὶς εἴκοσ' εἶδεν ἡλίου
κύκλους Ἄλεξις· ἀλλὰ πέντ' ἔτη μόνα

ἔζησε. — Πῶς φής; οὐ συνῆκα τὸν λόγον.—
Τὸ πλεῖστον ηὗδ' ἐκεῖνος οὐκ ἔζη βίου.

Εἰς ἀλαζονευόμενον ἐπ' εὐγενείᾳ.

Ἀνὴρ ἀλαζὼν γραμμάτων διδασκάλῳ
δεινὴν καταστὰς εἰς ἔριν τὸ δυσγενὲς
ὠνείδισ' αὐτῷ, πατρὸς ἐκφῦναι λέγων
αὐτὸν συβώτου. Τῷ δ' ἐκεῖνος ἀντέφη·
Σύ δ', ὦ φίλ', ἴσθι τῷ θεῷ πολλὴν χάριν
τοῦ μὴ συβώτου καὐτὸς ἐκφῦναι πατρός·
τοῦ γὰρ συβωτεῖν οὐδὲν ἂν καὶ νῦν σ' ἔτι,
ὦ λῷστ', ἀπήλλαξ', ὡς ὁ σὸς πείθει τρόπος.

Εἰς δειλὸν πολεμιστήν.

Ὁππόθ' ὑπὲρ κρατὸς λεύσσω λόφον Οἰνοπίωνος
δεινὸν νευστάζοντ' ἀργυρέης κόρυθος
καί οἱ ἄορ τανύηκες ἀπ' ὀσφύος οὐδεϊ κῦρον,
αὐτὸν Ἄρην δοκέω καρτερόχειρ' ὁράαν.
Εἰδὲ βοή ποτ' ὄροιτο ἢ ἀγγελίη τις ἵκοιτο
ἐσσυμένων δηΐων, ἄγχι παριστάμενος
γνοίης κεν πολύπορδον ἐόντα μιν οὐ πολίπορθον·
χροιὴ δ' οἱ πύξου γίγνεται ὠχροτέρη.

ΜΑΚΡΟΤΕΡΑ ΤΙΝΑ ΣΚΩΠΤΙΚΑ ΠΟΙΗΜΑΤΙΑ.

Α. Εἰς αὐτογέμιστον ὅπλον.

Εἶξατ' ἀρήϊα καινὰ Βορούσσων πυρβόλα τεύχη,
καὶ ὅλμοι Γαλατῶν εἴξατε χαλκόχυτοι·
οἵ ῥ', ὁπλοδούπου Ἄρηος ἐν ἀνδράσιν ὀρνυμένοιο,
ἔκπαγλον μύκημ' ἐκ στομάτων ἵετε.
Ἠνὶ γὰρ Ἀρσενίῳ φύσις ὤπασεν ὅπλον ἀτειρές,
τῷ ῥ' ὅ γε Σαλμωνεὺς δείκνυται ἄμμι νέος,

Ζηνὸς ἐριβρεμέτου μιμεύμενος ἠεροδινῆ
  δοῦπον, ἀεὶ θνητῶν ἀμφιδονοῦντα φρένας.
Ὦ θαῦμ'! οὔποθ' ὅπλον κενεὸν μένει Ἀρσενίοιο,
  οὐδ' ἄρα χρηΐζει πυρσοτόκου κονίης·
ἀλλ' ἀεὶ αὐτογέμιστον ἰδ' εὐτρεπὲς ἐξαφίησι
  τρύματος ὀδμηροῦ σμερδαλέον πάταγον.
αἰεὶ δ' εὐστοχέον μέσσην κατὰ ῥῖνα τιτρώσκει
  πάντας, τρωθέντας τ' αἶψα τρέπει φύγαδε.

Β. Εἰς λιμοκόλακα, μετὰ Χριστὸν προφητεύοντα.

» Ἤλυθε νηστευτοῦ βουλιμιάων ποτ' ἐς οἶκον
  δαιτὺν ἐπὶ ξηρὴν Ἶρος ὁ λιμοκόλαξ.
» Ἔνθ' ἄρ' ἐὴν κυάμων μεστώσας γαστέρα μάργην
  Κάδδραθεν ἐκ δόρπου, γυῖα χαμαὶ τανύσας.
» Χέδροπα δ' ἐν χολάδεσσιν ἐκορκορύγησε τακέντα
  πνεύματά τ' ὠρίνθη γαστέρος οἰδαλέης.
» Σὺν δ' ἄλληλ' ὠθεῦντα διηυλώνιζεν ἀτειρεῖ
  μυκηθμῷ, ῥαγάδος σπερχόμεν' ἐκ λασίης.
» Λιμοκόλαξ δ' ἔμπλειος ἀϋτμῆς τῆς βαρυόδμου,
  ἄνθορεν ἐξ ὕπνου δεινὸν ἰλιγγιάων.
» Πνεῦμα δ' ὀϊσσάμενος Πυθοῦς σπάσαι ἱρῷ ἐν ἄντρῳ,
  ἐκ λαιμῶν φθογγὴν ἤρυγε χρησμολόγον.
» Ἣ δ' ἔπλεν ἠλεμάτη, οἵην δὴ φασὶν ἰάλλειν
  θειοπρόπους γενετῆς ὀψιτέρους Μεσίου.

Γ. Εἰς τοὺς λαυριωρύχους

Ὅμοια τοῖς νῦν λαυριωρύχοις πάλαι
λέγουσι δῆμον τὸν Κεχηναίων παθεῖν·
φήμη γὰρ αἴφνης ἵκετ' ἄστυ Παλλάδος
ἐξερπύσαι γῆς χρῆμα μυρμήκων πολὺ
κνημὸν παρ' αὐτὸν τῆς ὑμηττίας πέτρας,
χρυσωρυχούντων ἐκ χθονὸς πλοῦτον μέγαν.

῞Οπλ' οὖν ἑλόντες καὶ τροφὴν ἐφ' ἡμέρας
τρεῖς, ἐστράτευσαν ἐντόμων ἐπὶ στρατόν.
Καὶ τὸν μὲν οὐδάμ' εὗρον· ἀλλήλους δ' ἄρα
κενοὶ παλινδρομοῦντες ἔσκωπτον τάδε
θροοῦντες· ἦ σὺ ληΐσεσθ' ᾤου δορὶ
λόγχῃ τε χρυσὸν καὶ σὸν ἐμπλήσειν δόμον;
ἀλλ' ἠστόχησας καί πάλιν πένης ἔσῃ.
Τί δὴ κομίζεις τῆς δ' ἀπ' ἐξόδου φίλῃ
γυναικὶ δῶρον ἢ τέκνοισιν οἴκαδε;
πήραν ὁμοίως σὴν κενὴν καὶ γαστέρα.

ΕΠΙΤΥΜΒΙΑ.

Nos quoque floruimus, sed flos erat ille caducus.
Ovid. trist. lib. 5. El. 8.

Εἰς τὸν ἀείμνηστον Μάρκον Βόζαριν.

Βοζάρεως ὅδε τύμβος· ὃ δ' οὐ θάνεν· ἀΐδιος γὰρ
Ζώει, ὃς πρὸ πάτρης ὤλετο μαρνάμενος.

Εἰς τὸν αὐτόν.

Βοζάρεως ὁ τάφος· τὸν δ' οὐ λίθος ἥδε καλύπτει·
Ἑλλήνων ἦτορ καὶ στόμ' ἐκεῖνον ἔχει.

Εἰς τὸν αὐτόν.

Πατρὶς ἀρηΐφιλον τῷδ' ἔπλετο Σύλιον ἀνδρί,
Μάρκος δὲ κλῆσις Βοζαρικῆς γενεῆς.
Ἀλκὶ μὲν ἀγνάμπτῳ ἀεθλεύσας ἀντία Τούρκων,
κρηπῖδ' Ἑλλήνων στῆσεν ἐλευθερίης·
Γαῦρον δ' Ἰλλυριῶν στρατὸν ὕστατον ἶφι δαμάσσας,
κεῖται τῇδε, λαχὼν πότμον ἐνὶ προμάχοις.

Εἰς τὸν αὐτόν.

Τάνδε τεᾶς ἀρετᾶς θαυμάζων, Βόζαρι, ἔργα
στάλαν εἵσατ' Ὄθων Ἑλλάδος ἠῢς ἄναξ.
οὕνεκ' ἐπ' ἀντιπάλους μενεχαρμᾶν ἁγεμονεύων
Ἑλλάνων, λαοὺς εἴρυσας ἐξ ὀλέθρου·
ἄσπετα δὲ θραύσας θάμ' ἀλιτρῶν ἔθνεα Τούρκων
σὺν παύροισι, θάνες μαρνάμενος πρὸ πάτρας.
Χαῖρε τὺ κὴν ἀΐδαο! σόα τοι, Βόζαρι, αἰέν,
Ἑλλὰς ἀνακτορέαν πορφυρίδ' ἑσσαμένα.

Εἰς τὸν ἀείμνηστον Γεώργιον Καραϊσκάκην.

Ἔνθα μεγακλῆος Καραΐσκου γαῖα καλύπτει
 λαθίπονον κονίην· πνεῦμα δ' ἄρ' ἀθάνατον
πνεύμασιν ἡρώων συνόμιλον δώματα ναίει
 αἰθέρια, πρὸ πάτρας ἐν προμάχοις κταμένου.
Ἀλλὰ προσερχόμενος τῇδε, ξένε, ἅζεο χῶρον·
 μηδ' ἐπιβαίη ποὺς ἐνθάδε δουλοφρόνων.

Εἰς τὸν αὐτόν.

Δίστομον ἠδ' Ἀράχωβαν, Ἀθηνῶν θ' ἱερὸν οὖδας,
 κεῖν' ἐπιτύμβι' ἐμοὶ λαμπρὰ χάρασσε, φίλε·
βαρβαρικοῦ δ' ἐν τοῖσι φόνον στρατοῦ, ἠδὲ φάλαγγας
 χερσὶν ὑφ' Ἑλλήνων πρόχνυ δαϊζομένας.
Εἰδ' ἐπέοικε, κλυτῆς καὶ αὐτόν με πρὸ πόληος
 θνήσκοντ' ἀμφ' ἑτάροις ὀλλυμένοισι γράφε.
Αἶ, αἶ· σὺν δ' ἄρ' ἐμοὶ περίφαντα τροπήϊα κεῖνα
 ἠμύοντ', ἴδ' ἄρην ἀντιμεθιστάμενον.

Εἰς τὸν αὐτόν.

Τοῦτό σοι υἷες ἔχευαν Ἀχαιῶν, ὦ Καραΐσκε,
 ἠρίον, εὐκλεέως ἀμφὶ πάτρης κταμένῳ·
τύνη γὰρ κρατερῶν ἡγησάμενος ἐν ἀέθλοις
 αἰζηῶν, πάτρην εἴρυσας ἐξ ὀλέθρου·
πολλὰς δ' εἰς ἀΐδεω προϊάψας βαρβαροφώνων
 εἶλας δυσμενέων, Παλλάδος ἀμφὶ πόλει
μαρνάμενος πύματον θάνες· Οὐ τόδ' ἄχος σοι ἐτύχθη,
 ἀλλ' ὃ λίπες προθανὼν ἡμιτελῆ ἄεθλον.

Εἰς τὸν ἀοίδιμον Ναύαρχον τῆς Ἑλλάδος
Ἀνδρέαν τὸν Μιαούλην.

Ἄγχι Θεμιστοκλέους Μιαούλης ὁ κρατερόφρων

ναυμάχος, εὕδει τῇδ' ὕπνον ὀφειλόμενον.

ἄλλο.

Δουλοσύνην τὸ πάροιθε Θεμιστοκλέης ἀπάλαλκεν
ἧς πυκινῆς πραπίδεσσ' Ἑλλάδος αὐτονόμου·
Ἀλλὰ μενεπτόλεμος δεσποζομένην Μιαούλης
νῦν αὖ Ἑλλάδ' ἑῇ ῥύσατο καρτερίῃ·
τῷ ῥ' ἀμφοῖν φωτοῖν ἀλιγείτονας ἐνθάδε τύμβους
συμφύλων χεῖρες χεῦαν ἐπ' ἠϊόνι.
Κείνου μὲν Σαλαμὶς ἐρέει κλέος ἀντιπεραίη,
τοῦ δ' ἁλὸς Αἰγαίης οἶδμά τε καὶ σπιλάδες.

ἄλλο.

Ἠρέμα ποντιάδες κρατεροῦ προσπνείετε τύμβῳ
αὖραι ναυάρχου· πνείετε ἦκα, φίλαι·
καί τ' ἄνθεα ἀτιτάλλετ' εὔχροα, κόσμον ἀναύδου
σήματος, οὗ κνώσσει πατρίδος ὁ πρόμαχος.
Μάνθανε δ' ὃς παράγεις τὴν στήλην, ὡς Μιαούλην
ἅζονται πνοιαὶ καὶ νέκυν ἁλιτύποι.

ἕτερον.

Ποντοπόρον βιοτὰν ἁλιδινεῖς τ' ἄνυσ' ἀέθλους,
ἶφι πάτρας σεμνᾶς ἀμφιμαχεσσάμενος.
Πολλὰ μὲν Ἑλλάνων ναυαρχῶν στίφεα ναῶν
αὔτανδρ' ἀντιπάλων ὤλεσ' ἁλιπλανέων.
Πολλὰ δ' ἄρ' ἐν πελάγεσσι τροπήϊα ἡμιφλεγέσσι
ναῶν βαρβαρικῶν στᾶσα ποτ' ἐν δρυόχοις.
Τοὔνεκα μοιριδίῳ πότμῳ φάος ἔνθα λιπόντα
τύμβευσάν μ' ἀγχοῦ πόντου ἐριβρεμέος·
καὶ νέκυι ἀφριόεντος ἐμὶν πέλας ἁδὺς ἀκούειν
κύματος ὁ φλοῖσβος, ναυσιβατῶν τε θρόος·

Εἰς τὸν ἀείμνηστον Ἄνθιμον τὸν Γαζῆν.

Κειράμεναι πλοκάμους, ἐπὶ τύμβῳ δακρυχέουσι
τῷδ' ἀγαναὶ Ζηνὸς Μνημοσύνης τε κόραι.

Καὶ γεραρὸν Γαζῆν σφέτερον ποθέουσ' ὀαριστήν,
ὃν μοῖρ' ἀστεμφὴς ἤγαγεν εἰς ἀΐδεω.
Αἶ, αἶ! οὐδ' ἀρετῆς ἕο φείσατο πουλυφάτοιο,
οὐ σοφίης μεγάλης, οὐ πινυτοφροσύνης.
Ἧδε βροτῶν αἶσα· ξυνὸν τέλος ἄμμε λέλογχε·
τῶν ἀγαθῶν μούνη δ' ἡ φάτις ἀΐδιος.

Εἰς Ἀριστοφάνην Χωματιανὸν Ἀθηναῖον, οὗ τὸ μνημεῖον ἀποθανόντος ἐν Μοναχίῳ ἀνήγειρεν ἡ χήρα Βασιλὶς τῆς Βαυαρίας Καρολῖνα.

Σῆμα τόδε φθιμένῳ μοι ἀνέστησ' ἡ Καρολίνης
Βασσιλίδος σεπτῆς ἄπλετος εὐσεβίη.
Εἰμὶ δ' Ἀριστοφάνης ἐπίκλησιν Χωματιανός,
πατρίδ' Ἀθηναῖος, Πιερίδων ἐπέτης.
Ἡβώοντά μ' ἕλε φθόη αἰνή· δύσμορε μῆτερ!
Οὔ με παλίννοστον δέξεαι ἐν μεγάροις.

Ἕτερον εἰς τὸν αὐτόν.

Λαμπάδα τὴν Φαέθοντος ἐν ἀτθίδι πρῶτον ἰδόντα
γαίῃ, κἀν κλεινῇ Βαυαρίῃ πύματον,
ἐσθλὸν Ἀριστοφάνην ἐπίκλησιν Χωματιανόν,
μνήστορα Μουσάων, σῆμα κέχανδε τόδε.
Τῆς ἥβης ἀΐδης οὐ φείσατο· φροῦδα βέβηκε
πάντα· λόγοι, μελέται, ἐλπίδες εὔπτερυγοι.
Ἆ πολιὴ μῆτερ, βαρυπενθής· ἦ μάλα λυγρὴν
υἷος ἀποιχομένου πεύσεαι ἀγγελίην.

Εἰς τὸν ἑαυτοῦ πατέρα ἀποθανόντα ἐν Ζαγορᾷ ἔτει αωκϛ'.

Βάθρον Ἰωάννης Ζαγορῆς ἔπλε πατρίδος αἴης
Ῥηγγιάδης, πάσης θ' Αἱμονίης στέφανος.
Πολλάκι γὰρ προστὰς πόλιος κακὰ πόλλ' ἀπάλαλκεν
ἡ πινυτοφροσύνη δεσποσύνου κράτεος.

Πολλοὺς δ' εὐθυδικῶν ἀλιτρῶν ἐσάωσ' ἀπὸ χειρῶν,
ἀθανάτου λάτρις πιστὸς ἐὼν Θέμιδος.
Τῷ μιν ἀποιχόμενον σύμπας ὀλοφύρατο λαὸς
Μάγνης, πενθηρὸν δ' ἀμφεβάλοντο νέφος
κῶμαι πηλιάδες, γοερόν τ' ᾤμωξαν ἅπασαι.
Αἶ, αἶ! Ἰωάννης ὤλετο ῥηγιάδης·
ὤλετ' ἀκιδνοτέρων ἐπιτάῤῥοθος αἰὲν ἀταρβής.
Ὤλετο χραισμήτωρ τειρομένων πενίῃ.

Ἕτερον εἰς τὸν αὐτόν.

Ἐνθάδ' Ἰωάνναο χυτὴ κατὰ γαῖα καλύπτει
Ῥηγιάδου Ζαγορῆς εὐπατρίδαο δέμας,
ὃν μόρος ἀπροϊδὴς μεσονυκτίῃ εἷλεν ἐν ὥρῃ
καὶ στοναχῶν αἴφνης πλῆσεν ἅπαντα δόμον.
Πένθος δ' εὐρὺ πένησιν, ἑῆς τ' ἀρετῆς πολιήταις
καὶ πινυτοφροσύνης δεινὸν ἔθηκε πόθον.

Εἰς Μάνθον Ῥιζάρην.

Ῥιζάραο κόνιν Ματθαίου κεκροπὶς αἶα
ἔνθα κομισθεῖσαν σαρματίηθεν ἔχει.
Ἠπείρου κραναῆς ἀποβλαστὼν κάλλιπεν οἶκον
πατρῷον, φεύγων δουλοσύνην στυγερήν.
Σαρματίης δ' ἐν ὅροισιν ὑπαρκτίου ὄλβον ἀκραιφνῆ
κτησάμενος, πάτρης χρήσατ' ἐπ' ὠφελίῃ.

Ὅμοιον εἰς Γεώργιον Ῥιζάρην.

Ῥιζάρης ἐνταῦθα Γεώργιος ᾧ παριαύει[1]
αὐτοκασιγνήτῳ ὕπνον ὀφειλόμενον.
Τοῦ δὴ ἐπικραίνων φρεσὶ πιστοτάτῃσιν ἐφετμάς,

---

[1] Ταυτόσημον τῷ παρυπνοῦν, ὡς εὕρηται παρὰ Κοΐντῳ (τὰ μεθ' Ὅμ. βιβλ. 1. στ. 128).

ὃν πάσαντ' ὄλβον κοινὸν ἀπ' ἐμπορίης,
τούτῳ φυταλιὴν ἱδρύσατο μελλιερήων
τῇδε, δόμα κλήρῳ τίμιον εὐσεβέων.

Εἰς τὸν Εὐβοίας Νεόφυτον, Πρόεδρον τῆς Ἱερᾶς Συνόδου τῆς Ἑλλάδος.

Σταυρὸν δεξιτερῆφιν ἀπρόσμαχον ὅπλον ἀείρας
ἤγαγεν Ἑλλήνων στίφε' ἐπ' ἀντιπάλους,
καί σφιν ἐνὶ στέρνοις μένος ἔμβαλεν ἶφι μάχεσθαι
ἀμφ' ἱερῶν ἑδέων, ἀμφὶ πάτρης τε φίλης,
Νειόφυτος θεόφρων, ἱεράρχης πρόσθε Καρύστου,
εἶτ' αὖ Εὐβοίης, καὶ Συνόδου πρόεδρος.
Ζήλῳ γάρ θ' ὁσίῳ, Μακαβαίοις ἠΰτ' ἐκείνοις,
ἔζεσέν οἱ θεσμῶν θυμὸς ὑπὲρ πατρίων,
βάρβαρον εἰσαθρέοντι καθυβρίζοντα τύραννον
καὶ Χριστοῦ νομίμων καὶ βροτέης θέμιδος.
Λυγρῇ δ' ὀψὲ δαμεὶς νούσῳ λίπεν ἐνθάδε σῶμα,
αἰθέριός τ' ἀμπτὰς χῶρον ἔβη μακάρων.

Εἰς φιλέλληνα Φράγκιον Ἀπνέϋον Ἄστιγγα, ταφέντα ἐν Πόρῳ.

Ἀπνεύου Ἄστιγγος ἔχει δέμας ἐνθάδε γαῖα,
ἔρνεος εὐγενέος Βρεττανίης μεγάλης.
Εἰδ' αὐτὸν δίζηαι, ἐνὶ στήθεσσιν Ἀχαιῶν
δήεις μιν πάντων, φῶτα μενεπτόλεμον·
Νηῒ γὰρ ὅ σφι πρόφρων ἀτμηλάτῳ ἦλθ' ἐπίκουρος
τηλόθε, μαρναμένοις εἵνεκ' ἐλευθερίης·
πολλὰς δ' ἀντιπάλων μαλερῷ πυρὶ νῆας ὀλέσσας,
ἐν σμυγερῷ πολέμῳ κυδρῷ ἔκυρσε μόρῳ.

Εἰς τὸν φιλέλληνα Κάρολον Λενορμάντην.

Γαλατίη Καρόλοιο Λενορμάντου ἐπίκλησιν

κλεινὴ πατρὶς ἔχει σῶμα καταφθιμένου,
Μουσάων θεράποντος ἀρίφρονος, οὗ κλέος εὐρὺ
πᾶσαν ἀν' Εὐρώπην ἔπλετ' ἐπ' ἰδμοσύνῃ.
Ἀτθὶς δὲ κραδίην ἐνὶ κόλποις ἐνθάδε γαῖα
κεύθει, τὴν ἐφίλησ' ἐν βίῳ ἶσα πάτρῃ.

ἕτερον.

Καὶ σὺ φάος Κάρολε, γλυκερὸν λίπες ἠελίοιο,
υἱὲ Λενορμάντου Πιερίδων πρόπολε.
Καὶ σὺ φάος λίπες· αἱ δὲ τεαὶ ζώουσιν ἐσαιὲν
δέλτοι, εὐρείης μάρτυρες ἰδμοσύνης.
Καὶ σὸν μὲν φθιμένοιο παλίμπλουν δέξατο σῶμα
εὔανδρος Γαλατῶν γαῖα μενεπτολέμων·
ἦτορ δ' ἀτθὶς ἔχει χθὼν ἐνθάδε, τήν περ ἐκείνῃ,
ὄφρ' ἔπλες ἐν ζωοῖς, τῖες ὁμῶς πατρίδι.

Εἰς Ἀγλαΐαν Θεοδωρίδα σμυρναίαν.

Πτηνὴ εἰαρινοῖο καλοῦ ῥόδου ἠΰτ' ἐέρση
ψυχὴ Ἀγλαΐης ἔπτατ' ἀπὲκ ῥεθέων.
Κούρης δ' ὠχρῆσαν τέρεν αὐτίκα σῶμ' ἐμαράνθη,
εἰσέτι καὶ θανάτου καλὸν ἐν ἀγκαλίσι.
Πρεσβυγενεῖς δ' ᾤμωξαν ἅπαν ἀνὰ δῶμα τοκῆες,
καὶ Σμύρνης στοναχὴν πᾶσ' ἀνέηκε πόλις·
Ἀγλαΐη γὰρ ἔην γενετήρων ἠδὲ πόληος
πάσης ἀγλαΐη εἴδεϊ καὶ πραπίσι.

Εἰς Πολυξένην Ἀλεξάνδρου Βυζαντίαν.

Ἔνθα Πολυξείνην τερενόχρουν ἀμφικαλύπτει
νούσῳ ἀποφθιμένην θρηϊκίη κονίη·
κούρην δωδεκέτιν, χαρίτων θάλος ἠδὲ τοκήων
χαρμοσύνην, πάσης κόσμον ὁμηλικίης.
Τὴν δ' ἄρ' Ἀλέξανδρός τε πατήρ, Χαρίκλειά τε μήτηρ
αἰν' ὀλοφυράμενοι, μνῆμ' ἐπέθεντο τόδε.

Εἰς τὴν αὐτήν.

Κάλλιμος ἐν κούρῃσι Πολυξείνη πινυτή τε
ἔπλετο, γειναμένοις τ' ἀγλαΐη βιότου.
Τήν δ' ἀπέκειρ' αἴφνης, τέρεν ὡς ῥόδον ἴς ἀνέμοιο,
δωδεκέτιν νοῦσος καὶ προΐαψε τάφῳ.
Πατρὶ δ' Ἀλεξάνδρῳ καὶ μητέρι ἣ Χαρικλείῃ
πόρσυνε στοναχὰς καὶ δάκρυ' ἐξοπίσω.

Εἰς τὴν αὐτήν.

Ἄνθος δεξαμένη τερενόχρουν σοῖς ἐνὶ κόλποις
ἔνθα Πολυξείνην, ἄνθεα, γαῖα φύοις.
Ἄνθεα καλὰ φύοις, παραμύθια βαιὰ τοκήων,
πατρὸς Ἀλεξάνδρου καὶ Χαρικλοῦς ἀχέων.
Οἳ γὰρ ἐκεῖν' ἄρδοντες ἐπ' ἤματι δάκρυσι θερμοῖς,
δόξουσι σφετέρην ἀμφιέπειν θύγατρα.

Ἐπιτύμβια εἰς τὸν διδάσκαλον Γ. Γεννάδιον.

Ἐνθάδε κεύθει γαῖα Γεώργιον, Ἱεροφάντην
Μουσάων κλεινόν, Γεννάδιον δ' ἐπίκλην.
Ἠπείροιο γόνον, φάος Ἑλλάδος, ὃ σβέσεν αἶ! αἶ!
Ἀργαλέης νούσου πνεῦμ' ἐπιβρῖσαν ἄφαρ.
Καὶ δόμον οἱ χήρωσεν, ἀν' Ἑλλάδα δ' εὐρὺ ὄρινε
πένθος, ἀμερθεῖσαν τοῖο διδασκαλίης.

ἕτερον.

Χείλεα Γενναδίοιο, τὰ πεντήκοντ' ἐν ἔτεσσι
προὔχεεν ἠϊθέοις νᾶμα δαημοσύνης,
ῥιγεδανῇ νούσῳ πελιωθέντα ξυνέμυσε,
φεῦ! ἄπνουν δὲ κόνις τῇ δ' ἐκάλυψε δέμας.
Πενθεῖ μὲν πατρὶς Ἤπειρος, πενθεῖ δέ μιν Ἑλλὰς
πᾶσα θανόντα, κόραι θ' αἱ Ἑλικωνιάδες.

Ἐν δὲ δόμῳ χήρη καὶ τέκνα δυσάμμορα πενθεῖ,
  τοῖσι πόθον καὶ ἄχος κάλλιπεν οἰχόμενος.

Εἰς Εὐστράτιον Ῥάλλην χῖον, ἀποθανόντα ἐν Τεργέστῃ.

Πάτρην ἥ μιν ἔφυσε, λιπὼν Χίον οἰκτρὰ παθοῦσαν,
  Τεργέστην πάτρην εἵλετο τήνδε νέην
Εὐστράτιος Ῥάλλης, Θεοδώρου υἱὸς ἀμύμων,
  αὐτάρκη στέρξας ἐμπορικὸν βίοτον.
Πιστὸς ἔην, φιλόπατρις, ἰδὲ πρόφρων ὁμοφύλων
  χραισμήτωρ, τηρῶν θεσμὰ φιλοξενίης.
Τῷ δ' ἄρ' ἀδελφειοὶ βαρυαλγεῖς καὶ παράκοιτις
  πενθαλέη τεῦξαν σῆμα τόδε φθιμένῳ.

Εἰς τὸν αὐτόν.

Θερμὰ χοηφορέουσα δάμαρ δάκρυ' ἠδ' ὁμόδελφοι
  σῆμα τόδ' ἐστήσαντ' Εὐστρατίῳ φθιμένῳ,
Ῥάλλῃ ἐπίκλην, Θευδώρου γόνῳ, ᾧ Χίου ἄστυ
  πρώτη, Τεργέστη δ' αἱρετὴ ἔπλε πάτρη.
Ἔντιμ' ἐμπορίης ἔργ' ἀσκήσας, ἐπάρηγε
  συμφύλοις προφρόνως, πᾶσί τε πιστὸς ἔην.
Ἓν δ' ἐπὶ τεσσαράκοντ' ἀνύσας ἔτε' ἦμαρ ἔπλησεν
  οὗ βιότου, ὀκτὼ τέκνα λιπὼν ὀπίσω.

Εἰς Λαυρέντιον Πέτρου Σκαρμαγκᾶν, ἀποθανόντα ἐν Πειραιεῖ αωμθ'.

Πουλυθρόου βιότοιο καὶ ἐμπορίης μελεδώνων
  ἐν γαίῃ ἄμπαυμ' εὕρατο κεκροπίδι
ἐνθάδ' ἀριστόνοος Λαυρέντιος ὁ Σκαραμαγκᾶς,
  χῖος, ἐτῶν δεκάδας τέσσαρας ἐξανύσας.

Εἰς τὸν αὐτόν.

Ἧδε λίθος κεύθει Λαυρέντιον, ὃς Σκαραμαγκᾶ

πατρὸς ἔφυ Πέτρου, πατρίδα δ' ἔσχε Χίον.
Κεδνὸν ἐν ἐμπορίῃ ἀνύσας βίον ἔφθιτο νούσῳ
Λυγρῇ, πᾶσι λιπὼν εἷο ποθὴν ὀπίσω.

Εἰς τὸν αὐτόν.

Γείνατο μὲν Χίος, ἀτθὶς ἔχει δ' αὖ γαῖα δαμέντα
τηξιμελεῖ νούσῳ μέσσῃ ἐν ἡλικίῃ
υἷα Πέτρου πινυτὸν Λαυρέντιον, ᾧ Σκαραμαγκᾶς
Ἔπλετ' ἐπωνυμίη, μέμβλετο δ' ἐμπορίη.
Πολλὰ μὲν ἄστε' ἴδε, πλείστοισι δ' ἄρ' ὡμίλησεν
ἀνδράσι, τοῖσι πόθον νῦν λίπεν οἰχόμενος.

Εἰς Ἀδριανὴν θυγατέρα Κανδιανοῦ Ῥώμα, σύζυγον δὲ Νικολάου Χαζοπούλου, τελευτήσασαν ἐν Ἀθήναις ἔτει ͵αων'.

Ῥίζης εὐγενέος θάλος ἀγλαὸν ἐνθάδε γαῖα
Κεκροπὶς Ἀδριανὴν κεύθει ἀποφθιμένην.
Κανδιανοῦ Ῥώμαο φίλην θύγατρ' ἠδὲ σύνευνον
κεδνὴν Νικόλεω, Χαζοπόλου ἐπίκλην.
Εἰκοσέτιν μιν ἀνεῖλε μογοστόκος Εἰλείθυια,
μητέρα πρωτολεχῆ σὺν βρέφει ἀρτιγόνῳ.
Τῇ δὲ πόσις στήλην βαρυπενθὴς τήνδ' ἀνέγειρε,
ψυχρῷ ἐπισπείσας δάκρυα θερμὰ τάφῳ.

Εἰς τὴν αὐτήν.

Ἄνθος δεξαμένη σοῖς ἐν κόλποις ἀπόθριστον,
κάλλιμον Ἀδριανήν, ἄνθεα, γαῖα, φύοις,
ἀσβέστοιο πόθοιο παρήγορα, τὸν λίπε πότμος
πατρὶ ἑῆς κούρης, ἀνέρι δ' ἧς ἀλόχου.
Ὕμμες δ' ἀτθίδες αὖραι, ἅ τ' ἠρίον ἐξανατέλλει
ἁγνὰ φυτά, ζωῆς σύμβολ' ἔθ' ἁγνοτέρης,
ἠρέμα προσπνείουσαι ἀτάλλετε, ἦρα φέρουσαι
Ῥώμᾳ τῷ γενέτῃ Χαζοπόλῳ τε πόσει.

Εἰς τὸν σοφὸν Καθηγητὴν Ὀδοφρῆδον Μύλλερον.

Πτόρθον Σιλεσίης Ὀδοφρῆδον Μύλλερον αἶα
 Ἐνθάδ' ἔχει, λάτριν κλεινὸν Ὀλυμπιάδων.
Ἀρχαίης σοφίης ὑποφήτορα, μορσίμῳ αἴσῃ
 κύρσαντ' εὐάνδρῳ Παλλάδος εἰνὶ πόλει.
Τὸν δ' Ἀκαδημίης νεοθηλέος οἱ θιασῶται
 ἔνθ' Ἀκαδημίης ἄγχι παλαιγενέος
θυμὸν ἀκηχέμενοι κτερέϊξαν, καὶ τόδε σῆμα
 ἐστήσαντο, χάριν λοισθοτάτην φθιμένῳ.

Ἄλλο εἰς τὸν αὐτόν.

Δεινὸς Πιερίδων ἔρος εἷλέ σε παῖδ' ἔτ' ἐόντα,
 Μύλλερε, καὶ ζῆλος σὴν ἀνέφλεξε φρένα
ἀνδρῶν, οὓς τὸ πάλαι σεμνὸν πέδον ἠνθοκόμησεν
 Ἑλλάδος, ὧν τε πάτρην ζῶν ἐπόθησας ἰδεῖν.
Ἀλλὰ νόσος σ' ἐδάμασσεν ἐν ἄστεϊ Παλλάδος ἱρῷ
 καί σ' Ἀκαδημίης ἄγχι παλαιγενέος
μουσοπόλος θίασος Ἀκαδημίης νεοθηλοῦς
 τάρχυσεν, θαλερὸν δάκρυ χοηφορέων.
Κεῖσαι δ' ὧδε κόνις, κονίῃ μιχθεὶς ἀρισήμων
 ἀνδρῶν θεσπεσίῃ, τῶν κλέος ἀθάνατον.

ἄλλο.

Τέχνης καὶ σοφίης Ἑλληνίδος ἔσχε σε μύστην,
 Μύλλερε, Τευτονίη, πατρὶς ἀγακλυμένη.
Ἑλλὰς δ' ἐξ ἀέθλων σωτήριον ἦμαρ ἰδοῦσα
 ἐν κόλποις ξεῖνον δέξατό σ' ἀσπάσιον.
Ἀλλὰ δαμεὶς νούσῳ ψαφαρὴν ἐπιέσσαο γαῖαν
 τῇ δ' Ἀκαδημίης ἄγχι παλαιγενέος.
Ἧχι πρόφρων θίασος Ἀκαδημίης νεοθηλοῦς
 σῆμα τόδ' εἷσε γέρας λοίσθιον οἰχομένῳ.

ἄλλο.

Εὖχος Τευτονίης πολυΐδμονος ἔνθ' Ὀδοφρῆδον
Μύλλερον ἀτθὶς ἔχει γαῖα καταφθίμενον,
Ἑλλήνων σοφίης ὑποφήτορα, ἵστορα τέχνης
τῆς πάλαι, οὗ τ' εὐρὺ κλεῖος ἐπ' ἰδμοσύνῃ.
Τρεῖς ἐπὶ τεσσαράκοντα βίου πλήσας ἐνιαυτοὺς
λοίσθιον εἶδε φάος Παλλάδος εἰνὶ πόλει·
οἱ δὲ παλιγγενέος Ἀκαδημίης θιασῶται
δείμαντο ξείνῳ σῆμα τόδ' οἰχομένῳ.

Σημ. Περὶ τῆς μηκύνσεως τοῦ ἰῶτα ἐν τῇ λέξει Ἀκαδημίᾳ ἴδε *Passow Lehre vom Zeitmafs, Taf* 6.

Εἰς τὸν διδάσκαλον Γρηγόριον Κωνσταντᾶν
τὸν ἐκ Μηλιῶν τοῦ Πηλίου Ορους.

Ἐνθάδε Γρηγορίοιο δέμας κατὰ γαῖα καλύπτει,
Κωνσταντᾶ ἐπίκλην πατρίδα Μηλιέως,
Βήματος ὅς θ' ἱεροῖο διήκονος ἔπλετο σεμνός,
αἰδοῖός τε λίην Πιερίδων θεράπων.
ἐς δ' Ἑλικῶν' ἄκρον πολλοῖς ὁδὸν ἡγεμονεύσας,
μακροῦ τιμήεις ἵκετο τέρμα βίου.

Εἰς τὸν αὐτόν.

Σοὶ τόδ' ἐϋφρονέων ἐστήσατο σῆμα θανόντι
δῆμος ὁ Μηλιέων, φέρτατε Γρηγόριε.
Σῇσι γὰρ ἐννεσίῃς ἐπιδήμια νείκεα λύσας
ἐν πόλει ἱμερτὴν ἤγαγες ἁρμονίην.
Πολλὰ δὲ μόχθησας, σοφίην ἀρετήν τε διδάσκων
υἱέας Ἑλλήνων γῆρας ἐς ἀκρότατον.
Ἦ κε τάχ' ἰδμοσύνην σοί τις ἐρίσειε καὶ ἄλλος·
οὐδεὶς δ' οὔτ' ἀρετὴν οὔτ' ἄρ' ἔρωτα πάτρης.

Εἰς τὸν αὐτόν.

Γρηγορίοιο κόνιν Κωνσταντᾶ ἥδε καλύπτει
στήλη, πνεῦμα δ' ἔθεν χῶρος ἔχει μακάρων.

Εἰς τὸν αὐτόν.

Ἐνθάδε Γρηγορίου σποδιὴν πατρώϊον οὖδας
κεύθει Κωνσταντᾶ, Πιερίδων ἐπέτου,
ὄργια ὃς πολέας Μουσάων ἱρὰ μυήσας
ἣν βιοτὴν ἀρετῆς πᾶσι παρέσχε τύπον.

Εἰς τὸν Μιτυλήνης Πορφύριον.

Ἀμφιρύτης Λέσβοιο κλυτὸν γόνον ἐνθάδε γαῖα
γήραϊ γυιοτακεῖ κεύθει ἀποφθίμενον·
πρηΰν Πορφύριον, Μιτυλήνης ἀρχιερῆα,
Σεῤῥάων δὲ πάρος θειόφρον' ἀρχιθύτην.
Οὐκ αὐτὸν χθὼν Πορφύριον, κονίην δ' ἕο κεύθει·
πνεῦμα γὰρ ἐξέπτη δώματ' ἐς οὐράνια.

Ἕτερον εἰς τὸν αὐτόν.

Λέσβῳ ἐν ἀμφιρύτῃ πνοιὴν ἠφύσσατο πρώτην,
αὐτόθι τε πνοιὴν ὑστατίην ἔλιπε,
Πορφύριος τὸ πάρος Σεῤῥῶν, εἶτ' αὖ Μιτυλήνης
πάτρης ἐυκτιμένης ἀρχιθύτης θεόφρων.
Εὐσεβέως ποίμνης χριστωνύμου ἡγεμονεύσας,
οὐδόν τ' ἠπεδανοῦ γήραος ἱκόμενος,
ἐνθάδε γαιοτρεφὲς ἀπεδυσσατο σῶμα καὶ αὐτὸς
κοῦφος ἀνηέρθη δώματ' ἐς οὐράνια.

Εἰς τὸν στρατηγὸν Γεώργιον τὸν Βαλτινόν,
Σύμβουλον τοῦ Κράτους.

Τὸν ἐν μάχαις κράτιστον ἐν βουλῇ θ' ἅμα
ἡ πλὰξ καλύπτει Βαλτινὸν Γεώργιον,
ὃς ἐμπεδορκῶν Ἑλλάδος τῷ κοιράνῳ
διήνυσ' ἁγνὸν ἐκ φρενῶν ἁγνῶν βίον.

Εἰς τὸν αὐτόν.

Ὁ τύμβος οὗτος Βαλτινοῦ Γεωργίου
κόνιν κέκευθε, καρτεροῦ μὲν ἐν μάχαις,
βουλὴν δ' ἀρίστου, τῷ δ' ἄνακτι πατρίδος
Φήναντος ἐμπέδορκον εἰσαεὶ νόον.

Εἰς Ζωήν, κόρην τοῦ στρατηγοῦ Χρήστου Ζαβέλα.

Ζωῆς δὶς ἑπτὰ τῆςδε μετρήσασ' ἔτη
ζωὴν ἀπέπτην εἰς ἄληκτον ἐκ χθονὸς
Ζωή, πατρὸς γεγῶσα Χρήστου Ζαβέλα.
Ζωῆς δὲ μοῖραν εὔχομαί σοι μείζονα.

Εἰς Ἑλένην, σύζυγον τοῦ Ναυάρχου Γ. Σαχίνου.

Ὧδε φίλην κτερέϊξε Γεώργιος ἣν παράκοιτιν
αἰδοίην Ἑλένην ναυσιμάχος Σαχίνης,
ἀμφιρύτης Ὑδρέης σεμνὸν γένος, ἣ λίπεν ἦμαρ,
ἓξ ἀνύσασ' ἐτέων ἐν βίῳ ἐννεάδας.

Εἰς τὴν αὐτὴν ἕτερον.

Ἔνθ' Ἑλένην κεύθει σεμνὴν Σαχίναο δάμαρτα
ναυάρχου κεκροπὶς γαῖα καταφθιμένην.
Ναυσικλύτου Ὑδρέης ἐσθλὸν γόνον, ἣν μόρος εἷλε
τετράδα πρὸς δεκάσιν πέντ' ἀνύσασαν ἐτῶν.

Εἰς τὸν ἀδελφὸν Εὐστάθιον, ἀποθανόντα
ἐν Πεπαρήθῳ ἔτει ͵αωκδ'.

Πάτρη μοι Ζαγορὴ πολυδένδρεος ἔπλετο κώμη
Πηλίου ἐν σκιεραῖς πουλυύδροις τε νάπαις·
αὐτὰρ Ἰωάννης, Ζαγορῆς τιμάοχος, ἔσκεν
αἰδοῖος γενέτωρ, ῥηγιάδης γενεήν.
Οὔνομα δ' Εὐστάθιος. Μούσας δ' ἀρετήν τε ποθήσας,

οὐ δολιχὴν μοῖραν τοῦδ' ἔλαχον βιότου.
Ἀλλάμε νοῦσος ἄμερσε φάους φθινὰς ἐν Πεπαρήθῳ,
ἄλγος ἀδελφειοῖς μητρί τε θεῖσα φίλῃ·
οἵ μ' ἔνθα κτερέϊξαν ἐπὶ ξείνης στενάχοντες
εἰκοσέτη. Σὺ δὲ δήν, ὦ ξέν', ὄναιο βίου!

Εἰς τὸν αὐτόν.

Τὸν νέον ἡλικίῃ, ἀλλὰ φρεσὶ πρεσβυγένεθλον,
τὸν κούρῃσι φίλον ταῖς ἑλικωνιάσι,
τὸν φιλοτεχνότατον καὶ ἴδμονα τεχνοσυνάων
παντοίων, κατέχει τύμβος ὅδε φθίμενον,
υἱὸν Ἰωάννου Ζαγοραίου ῥηγιάδαο
Εὐστάθιον, ἡδὺν πάσῃ ὁμηλικίῃ,
Κήδιστον δὲ τοκεῦσιν ἑοῖς καὶ ὁμαίμοσι πᾶσι,
τοῖς βαρύτλητον ἄχος κάλλιπεν οἰχόμενος.

Εἰς τὸν ἑαυτοῦ ἀδελφὸν Γεώργιον, τελευτήσαντα ἐν Πεπαρήθῳ ἔτει αωλγ'.

Αὐχείτω τις ἔπειθ' ἦ ἐπ' ἀκμῇ τοῦτο δεδορκὼς
ἠρίον αἰζηοῦ νούσῳ ἀποφθιμένου.
Τρὶς δέκατον βιότοιο Γεώργιος ἦγ' ἐνιαυτόν,
ἠΰς Ἰωάννου ῥηγιάδαο πάϊς.
Ἠϊθέους δ' ἀλκῇ τε καὶ εἴδεϊ καίνυτο πάντας,
μάρνατό τε πρὸ πάτρης, ἦτορ ἀταρβὲς ἔχων.
Ἤδη δ' ἱμερόεντ' ἐκάλει Ὑμέναιον· ὁ δ' ὀξύς,
ἄκλητός περ ἐών, ἤλυθεν Ὠμοχάρων·
καὶ γλυκεροῦ μιν ἄμερσε φάους, καὶ μητέρι κεδνῇ
ἠδὲ κασιγνήτοις κήδεα λυγρὰ πόρε.

Εἰς τὸν αὐτόν.

Πολλάκις ἠντίασας κρατερῇσιν ἐν ὑσμίνῃσιν
εὐτόλμως θανάτῳ μαρνάμενος πρὸ πάτρης.

Ἀλλ' ὃ τεῆς ἥβης τε, Γεώργιε, φείσατ' ἰδ' ἀλκῆς,
τῇ μετὰ πᾶσιν ὁμῶς ἔπρεπες ἠϊθέοις.
Αἶ, αἶ! νῦν δὲ θάνες νούσῳ δμηθεὶς ἀδοκήτῳ
ἐν δόμῳ, ἠδ' οἰκτρῇ δάκρυα μητρὶ πόρες.
Δάκρυα πικρὰ πόρες, ὅτε δάκρυα χεῦε μελιχρά,
υἱέα δεξαμένη σῶν πάλιν ἐκ πολέμου.

Εἰς Ἀριφίλην Πασπαλῆ βυζαντίαν

Σῆμα τόδ' Ἀριφίλης Πασπαλλίδος, ἣν ὑμεναίῳ
ὥριον ἐξαπίνης λυγρὸς ἔμαρψε μόρος.
Κουριδίων δὲ ῥόδων οὐ φείσατο, ἀλλ' ἀποκείρας
ἄλγεος ὀξυτάτου κέντρα τοκεῦσι λίπεν.

Εἰς τὴν αὐτήν.

Ἀριφίλης κονίην τερενοχρόου ἐνθάδε γαῖα
Πασπάλλεω κούρης κεύθει ἀποφθιμένης,
ἣν ἐπινυμφιδίοις ὑμεναίοις ὥριον ἤδη
νηλὴς ἀμφὶ γόοις νυμφοκόμησ' ἀΐδης.
Ἀλλ' ἀδινῶν δακρύων βαρυπενθεῖς σχέσθε τοκῆες·
ψυχὴ γὰρ κείνης ἐς πόλον ἔπτατ' ἄνω.

Εἰς Φωτεινὴν σύζυγον Ἠλίου Παππαηλιοπούλου.

Ἐνθάδ' ἀποφθιμένην Φωτεινὴν Ἠλιοπούλου
Ἠλίεω σεμνὴν γαῖα κέκευθ' ἄλοχον,
Νικόλεω Γαιηζῇ ἀρίφρονος Ἀμφισσῆος
τηλυγέτην κούρην, λαμπομένην χάρισι.
Φθῖσε δέ μιν δεινὴ φιλοτεκνίη αἰνοτόκειαν,
ἤδη ἐπ' εἰκοστῷ πρῶτον ἄγουσαν ἔτος.

Εἰς τὴν αὐτήν.

Ἠλιοπούλου ὅμευνον ἀριπρεπέως σελαγεῦσαν
Φωτεινὴν ὀλοὸν σβέσσεν ἄημ' ἀΐδου.

Τέφρην δὲ ψυχρὴν λίπεν ἐνθάδε, τῆς ἔπι θερμὰ
δάκρυα χεῦε πόσις πατρὶ σὺν αἰνομόρῳ.

Εἰς τὸν διδάσκαλον Νεόφυτον τὸν Δούκαν.

Μουσῶν μυστιπόλος γεγαὼς περίσεμν᾽ ἐμύησεν
υἱέας Ἑλλήνων ὄργια Πιερίδων
Νειόφυτος Δούκας, κλεινὸς γόνος Ἠπείροιο,
οὗ σοφίην δέλτοι μαρτυρέουσι τόσαι.
ἁγνοτάτου δ᾽ ἀνύσας δόλιχον βίου ἐκ χθονὸς ἤρθη,
ἐνθάδε γηραιὸν σῶμ᾽ ἀποδυσάμενος.

Εἰς Ἀντώνιον Μιχαήλου Ἀντωνόπουλον, θανόντα καὶ ταφέντα ἐν Τεργέστῃ.

Ἀρκαδίης βλάστημ᾽ Ἀντώνιον ἐνθάδε γαῖα
κεύθει, ἐτῶν ἀνύσανθ᾽ ἑπτὰ ὅλας δεκάδας,
υἱὸν ἀριστόνοον Μιχαήλου, ᾧ τ᾽ ἐπίκλησις
ἦν Ἀντωνόπολος, μέμβλετο δ᾽ ἐμπορίη.
Ἐν δολιχῷ βιότῳ πόλλ᾽ εὔφρων ἐσθλὰ τελέσσας,
νῦν ἀπέχει γέρα ἧς ἐκ θεοῦ εὐσεβίης.

Εἰς τὸν αὐτόν.

Ἀρκαδίης ὑπ᾽ ὄρεσφ᾽ ἴδε πρῶτον λαμπάδα Φοίβου,
κεῖται δ᾽ ἔνθα θανὼν καρνικῇ εἰνὶ πόλει,
εὐσεβόφρων πινυτός τ᾽ Ἀντώνιος, ὃς Μιχαήλου
φὺς πατρός, ἐμπορίης ἔργα μετῆλθ᾽ ὁσίης.
Πᾶσι βιοὺς αἰδοῖος, ἑοῖσι φίλοισι ποθεινὸς
ᾤχετο καὶ πάτρῃ θρέπτρ᾽ ἀπέδωκε καλά.

Εἰς τὸν γενναῖον ναυμάχον Λάζαρον τὸν Πινόζην.

Τὸν μέγα ποντοπόρῳ τέχνῃ κλέος Ἑλλάδ᾽ ἀν᾽ αἶαν
κτησάμενον, μεγάλων γευσάμενόν τ᾽ ἀέθλων,
Λάζαρον ἔνθα τάφος Πηνόζην ἀμφικαλύπτει,

μοίραρχον στρατιῆς ναυμάχου εὐπόλεμον.
Ὑδρέη ἀμφιρύτη μιν ἐγείνατο, ἐν δ' ἄρ' ἀβληχρῷ
εὔτεκνον γήρᾳ μοῖρα κίχεν θανάτου.

Εἰς Φωτεινήν, σύζυγον Θεολόγου Σχινᾶ.

Αἴγλην ἠελίου ὑπὸ κνημοῖς πρῶτον ἰδοῦσα
Ὄσσης, ἐν δ' ἄστει Τριτογενοῦς πύματον,
Φωτεινὴ Σχινέα παράκοιτις Θειολόγοιο,
νούσῳ ὑπ' ὀξυβελεῖ τήν δ' ὑπέδυ κονίην.
Τρεῖς ἐτέων ἀνύσασα δυωδεκάδας ἐπὶ γαίης,
τρεῖς μετὰ παῖδας ἄπαις ἤλυθεν εἰς ἀΐδην,
δάκρυ' ἑοῖς τοκέεσσι λιποῦσα πρεσβυγενέθλοις,
δυσπενθεῖ τε πόσει δριμὺ πόθοιο βέλος.

ἕτερον εἰς τὴν αὐτήν.

Ἀκτῖνας Φαέθοντος ἐν ἄγκεσι πρῶτον ἰδοῦσαν
Ὄσσης, ἐν δὲ πόλει Παλλάδος ὑστάτιον
Φωτεινὴν Σχινέα παράκοιτιν ὅδ' ἔλλαχε τύμβος,
εἰς ἀΐδην τέκνοις τρισσὶν ἐπισπομένην.
ἀσπαστὴν τοκέεσσι φίλην γεγαυῖαν ἀκοίτῃ
Θειολόγῳ, πινυτήν τ' ἔξοχα θηλυτέρων.
Τῷ ῥα πατὴρ μήτηρ τ' ἀδινὸν γοόωσι θανοῦσαν,
καὶ πόσις ἐκ μυχάτων πυκνὸν ἐπιστενάχει.

Εἰς τὴν ἑαυτοῦ μητέρα Σοφίαν.

Ἐν Ζαγορῇ ζαθέῃ τὸ πρῶτον ἐσέδρακεν αὐγὰς
ἤματος, ἐν δὲ πόλει Παλλάδος ὑστάτιον,
κούρη Συμβανίκοιο Φιλίππου καὶ παράκοιτις
κεδνὴ Ἰωάννου Ῥηγιάδου Σοφίη.
Ἐσθλὴ καὶ περίφρων καὶ εὐσεβέεσσι πρέπουσα
ἤθεσι, καὶ μήτηρ εὖσα λίην φιλόπαις.
Τῷ καὶ ἀποφθιμένη ἀβληχρῷ γήραϊ πᾶσι

θῆκεν ἄχος γνωτοῖς, υἱάσι δ' ἔξοχ' ἑοῖς.
Οἳ θαλερὰ σπείσαντες ἐπ' ὀρφνοῦ δάκρυα τύμβου
μητρός, μνημεῖον τήν δ' ἐπέθεντο λίθον.

Εἰς Στυλιανὸν Πέρογλον ἰατρὸν καὶ πρόξενον ἐν Κρήτῃ.

Ὃς πολέας τέχνῃ ἀκεσιμβρότῳ ἐξεσάωσε
νούσων, ἀργαλέῃ νούσῳ ἁλοὺς ἐδάμη·
καὶ νέκυς ἐνθάδ' ἔδυ κόνιν ἀτθίδα, πᾶσι ποθεινός,
ἔξοχα δ' ᾗ χήρῃ καὶ τεκέεσσι φίλοις,
Στυλιανὸς Πέρογλος, Σμύρνης γόνος ἠπιόθυμος,
πρόξενος Ἑλλήνων Κρήτῃ ἐν ἀμφιρύτῃ.
Τήνδε γάρ οἱ τιμὴν Βασιλεὺς πόρεν Ἑλλάδος ἠΰς,
αἰνήσας ἀρετὴν καί πινυτοφροσύνην.

Εἰς τὸν ἀείμνηστον Καθηγητὴν Γεώργιον Μαυροκορδάτον.

Ἔφυσε μὲν Βύζαντος ἡ κλεινὴ πόλις,
Ἀτθὶς δ' ἔχει χθὼν ἐνθάδε στυγνῇ νόσῳ
Γεώργιον δαμέντα Μαυροκορδάτον,
Μουσῶν τε μύστην καὶ νόμων διδάσκαλον.
Ὀκτὼ βιώσας εὐσεβῶς ὅδ' ἑπτάδας
ἐτῶν, διδάξας τ' εἰκάδ' εὐκλεῶς ὅλην,
ἤμειψε τὸ ζῆν, ἡλίου λιπὼν σέλας,
καὶ πνεῦμ' ἀπῴχετ' ἐς μονὰς τρισολβίους,
πρὸς μὲν δάμαρτος καὶ τέκνων πενθούμενος,
πρὸς δ' αὖ μαθητῶν καὶ φίλων ποθούμενος.

Εἰς τοὺς ἐν Μεσολογγίῳ πεσόντας.

Ψυχὰς παρθεμένοις Μεσολογγίου ἀμφ' ἐρικυδοῦς
ἔντε μόθῳ πρὸ πάτρας τέρμα λαχοῦσι βίου
Ἑλλάδος ἀρχὸς Ὄθων ἐστάσατο τοῦτ' ἀρίδηλον
σᾶμ', ἀρετᾶς φθιμένων κόσμον ὀφειλόμενον.

ἕτερον.

Ἄνδρες ἀρηΐθοοι, Μεσολογγίου οἵ πτολίεθρον
φοινιχθὲν λύθρῳ ξυνὸν ἔθεσθε τάφον,
χαίρετε· τοῦτ' ὔμμιν σωτήριον ἆμαρ ἰδοῦσα
πάτρα φθέγγετ' ἔπος καὶ βασιλευομένα.
Χαίρετε· τοῦτ' αὐδῶσιν ἐλεύθεροι υἷες Ἀχαιῶν,
ὑμά τε θαμβαλέοι μυθολογεῦσι κλέα.
Χαίρετε· τοῦτ' αὖ ὔμμε ποτεννέπει Ἑλλάδος ἀρχός,
ὀρθώσας ἀρετᾷ σᾶμα τόδ' ὑμετέρᾳ.

ἕτερον.

Βάρβαρος ἀνίκ' ἄρης περιέβρεμεν Ἑλλάδα γαῖαν,
ἄσπετ' ἐπισσεύων ἔθνεα δυσμενέων,
στήθεσιν ἀτρέστοις Μεσολογγίου οἵδε πόληα
θρίγκωσαν, σφετέρᾳ γ' ἀνορέᾳ πίσυνοι.
Τειρόμενοι λιμοῦ δ' ἅμα καὶ πολέμου κακότατι,
οὐκ εἶξαν· πάτραν ῥυόμενοι δ' ἔθανον.
Τῷ σφιν Ὄθων ἔστησεν εὔθρονος ἐνθάδε σᾶμα,
ἀγνάμπτου ἀλκᾶς ἔργματ' ἀγασσάμενος.

Εἰς τὸν ἀείμνηστον Ἀνδρέαν τὸν Μεταξᾶν.

Μοῖραν βίου πλήσαντα κλεινὸν Ἀνδρέαν
κεύθει Μεταξᾶν ἐνθάδ' αἰγηῒς κόνις,
τιμῆντα νήσου τῆς Κεφαλλήνων γόνον.
Πᾶσαν δὲ φοιτᾷ γῆν ἀν' Ἑλλάδα κλέος
ἀλκῆς τ' ἀθραύστου, φράδμονός τ' ἀνδρὸς νόου,
ὃς ἐν μάχαις τ' ἄριστος ἐν βουλῇ θ' ἅμα
γεγώς, ὑπέστη πολλὰ κἄῤῥεξε, χθόνα
λύων πατρῴαν βαρβάρου τυραννίδος.

ἕτερον.

Ἄπνουν καλύπτει τύμβος οὗτος Ἀνδρέαν

κλεινὸν Μεταξᾶν, εὐγενῆ πτόρθον Σάμης.
Ἀλκὴν μὲν ἀνδρὸς ἐν μάχαισί τ' ἄτρομον
ἦτορ Λαλαῖον πᾶσι μηνύει πέδον,
φοινιχθὲν ἐχθρῶν βαρβάρων πολλῷ φόνῳ.
Φρένας δ' ἂν ἔγνως καὶ λόγου μέγα σθένος,
βουληφόροισιν ἐν συνεδρίοις παρών.
Τοιγάρ νιν Ἑλλὰς πᾶσ' ἐπένθησεν νέκυν,
καὶ πᾶσα τἀνδρὸς εὐσεβῆ μνήμην ἔχει·

Εἰς τὴν ἑαυτοῦ πατραδέλφην Κυριακὼ τελευτήσασαν ἔτει ͵αωκγ'.

Καὶ χθονὸς ὄφρ' ἔστειβε κόνιν ποσίν, ἐς πόλον ὕψι
  Κυριακὼ σαόφρων ἁγνὸν ἔρειδε νόον,
καὶ βίον ἐν μερόπεσσιν ἰσάγγελον ἤνυε, πλάστην
  εὐχαῖς νηστείῃ τ' αἰὲν ἀρεσκομένη.
Γήραϊ δ' ἠπεδανῷ βιότοιο δρόμον τελέσασα
  δηναιοῦ ἐπὶ γῆς οὐρανὸν εἰσανέβη,
ἔνθ' ὁσίων θιάσοις ἐναρίθμιος ὕμνον ἄνακτι
  ἁγνοῦ ἀπὸ στόματος μέλπει ἐπουρανίῳ.
Σῶμα δ' ἔχει τύμβος θειόφρονος, ὅν τε Φίλιππος
  τεῦξεν ἀνεψιός, μνῆμ' ὀλίγον φθιμένης.

Εἰς κενοτάφιον τοῦ ἀδελφοῦ Ῥηγίου ἐν Ζαγορᾷ.

Οὔνομα μοῦνον ἔχει τύμβος· τὸ δὲ σῶμα καλύπτει
  τηλόθι γαῖα Δάκων Ῥηγίου εὐγενέος.
Ἱροῦ γάρ τε λόχοιο πρέπων πάρος ἐν λογάδεσσιν
  ἄγχι Δραγασσανίου κυδρὸν ἐπέσπε μόρον,
μαρνάμενος Τούρκοισιν ὑπὲρ λαῶν ὁμοπίστων,
  δουλοσύνῃ στυγερῇ δηθάκι τειρομένων.
Τὴν δ' ἄρ' ἐπὶ φθιμένῳ κάσις εἵσατο τοῖο Φίλιππος
  στήλην, ἧς στοργῆς δεῖγμα καὶ εὐσεβίης.

Εἰς Στέφανον Νικολάου τελευτήσαντα ἐν Ἀθήναις.

Πατρὶ ἑῷ Στεφάνῳ τόδε θήκατο σῆμα θανόντι
Νικόλεως, στοργῆς μνῆμα καὶ εὐσεβίης.
Αἰμονίης δ' ὁ νέκυς γόνος ἔπλετο, πρῶτον ἐν Ὄσσῃ
ἀκτῖνας δερχθεὶς τὰς φαεθοντιάδας.
Ἐχθαίρων δὲ βίον δουλήϊον ὥπλισε χεῖρας
φύλοπιν εἰς αἰνὴν εἵνεκ' ἐλευθερίης·
πολλὰ δ' ἄρ' ἀμφὶ πάτρης ὑποτλὰς νέος, ἔνθ' ἀνάπαυλαν
ἐν γήρᾳ πολλῶν εὗρε πόνων βιότου.

Εἰς Νικόλαον τὸν Μεταξᾶν.

Ὄθρυος ἐν βήσσῃς φάος ἔδρακεν ἠελίοιο
πρώτιστ', ἐν Σύρῳ δ' ἀμφιρύτῃ πύματον,
πρηῢς Νικόλεως ὁ Μεταξᾶς, ὅς τε δικαίῃ
χρώμενος ἐμπορΐῃ μέτριον ἔσχε βίον.
Πόλλ' ὅσι' ἔργ' ἐτέλεσσε, πρόφρων τ' ἐπάρηγε πένησιν,
εὐσεβόφρων τε λίην καὶ φιλόπατρις ἐών.
Νούσῳ δ' οἱ φθιμένῳ λυγρῇ τάφον υἱὸς Ἀχιλλεὺς
δείματο τόνδε, χάριν λοισθοτάτην γενέτῃ.

Εἰς Δημήτριον Δρίζην.

Οὔνομα τῷδε νέκυι Δημήτριος· ἔσκε δὲ πατρὸς
Δρίζαο, στρατιῆς Θεσσαλίδος λοχαγοῦ.
Καὐτὸς δ' ἔργα δαεὶς πολεμήϊα ἔλδετο καινὸν
δῦναι ὑπὲρ κοινῆς ἆθλον ἐλευθερίης.
Ἀλλ' ἔφθη μιν ἑλοῦσα νόσος φθινάς· οἱ δὲ τοκῆες
μυρόμενοι θῆκαν μνῆμα τόδε φθιμένῳ.

Εἰς τὸν διδάσκαλον Νικόλαον Κασσαβέτην
τὸν Ζαγοραῖον.

Τόνδ' ἔρχεσθε τάφον, παῖδες φίλοι, ὅσσοι ἀμεμφεῖς

μνᾶσθε Διὸς μεγάλου Μνημοσύνης τε κόρας·
τόνδ' ἔρχεσθε τάφον καί τε στέφετ' εἰαρινοῖσιν
ἄνθεσιν· ἐντὸς γὰρ Νικόλεων κατέχει,
Κασσαβέτην ἐπίκλην, ὃς πολλοὺς ζῶν ἐδίδαξεν
Ἑλλήνων τε λόγους καὶ πάτριον σοφίην.
Ἡμετέρης δ' εὖχος Ζαγορῆς ἔπλε, τὴν ἀνέδειξε
πηγὴν ἰδμοσύνης Θεσσαλίης ναέταις.

Εἰς τὸν ἀείμνηστον διδάσκαλον Ἰωάννην τὸν Χουνῆν.

Λύχνον Ἰωάννης τηλαυγέα πρὶν ποθ' ὁ Χουνῆς
ἰδμοσύνης ἅψας ἐν Ζαγορῇ ζαθέῃ,
Πηλίου ἐνναέταις ἁδρὸν σέλας ἀμφὶς ἔχευεν,
αἶψά τ' ἀϊδρείης ἀχλὺν ἀπεσκέδασεν.
Εὐσεβίην ἐδίδαξ' ὑποδείγματι ᾧ πολιήτας
καὶ πατρίου σοφίης πλοῦτον ἔφηνε νέοις.
Τῷ μιν ἀποφθίμενον Ζαγοραῖοι πάντες ἔκλαυσαν,
κωμάων δ' ἥβη πηλιάδων ποθέει.

Εἰς τὸν διδάσκαλον Εὐστράτιον τὸν Πετρίδην.

Φωστὴρ ὣς ἀνόρουσε Κυδωνιῶν περικλειτῇ
ἐν πόλει εὐσεβόφρων Εὐστράτιος Πετρίδης.
Ἀμφὶ δ' ἄρ' ἰδμοσύνης περιχεύας ἱμερόεσσαν
αἴγλην, ἐν νήσῳ Τήνῳ ὑπὸ χθόν' ἔδυ.

Εἰς τὸν ἐν Παρισίοις θανόντα, ἐν δὲ Λονδινίῳ ταφέντα
Δημήτριον Ἰωάννου Κασσαβέτην.

Ἐνθάδε Κασσαβέτην Δημήτριον ἀμφικαλύπτει
Βρεττανὶς αἶα, γόνον Πηλιάδος Ζαγορῆς,
τίμιον εἶν ἑπέταις κερδῴου Ἑρμείαο,
προσφιλέα γνωτοῖς, πᾶσιν ὁμῶς ἀγαθόν·
τόν ῥα κατ' ἐμπορίην μερόπων πόλλ' ἄστε' ἰδόντα
νοῦσος Λουτεκίῃ φθῖσεν ἐν εὐρυχόρῳ.

Χήρη δ' ἔνθα νέκυν ἀρίδακρυς πὰρ τεκέεσσι
ταρχύσασα τρισὶ προφθιμένοις γενέτου,
νηπιάχῳ Ἑλένῃ, Κωνσταντίνῳ τε νεαλδεῖ
καὶ ἅμ' Ἰωάννῃ, στήσατο σῆμα τόδε.

Εἰς Μαρίαν σύζυγον Ἰωάννου Κασσαβέτου Ζαγοραίαν, τελευτήσασαν ἐν Σύρῳ.

Τῇ δε λιποῦσα δέμας σεμνὴ Μαρίη παράκοιτις
Κασσαβέτου, χώρην ἔπτατ' ἐς αἰθερίην.
Οἰμώζει δὲ σύνευνος ἐνὶ μεγάροις ἀπολειφθεὶς
μοῦνος Ἰωάννης, σύμβιον ἣν ποθέων.
Χῆραι δ' ὀρφανικοί τε πένητές τε στοναχεῦσι,
τοῖς κείνη πρόφρων ἤρκεε δευομένοις.
Καὶ Χριστοῦ δὲ θύται Χριστοῦ λάτριν εὐλογέουσιν,
ἣ δώροις ναοὺς τῖεν ἀεὶ ὁσίοις.

Εἰς Ἀλέξανδρον Ἰωάννου Κασσαβέτην ἀποθανόντα καὶ ταφέντα ἐν Λονδινίῳ.

Ἐνθάδε Ταμέσιος πέλας ὄχθῃς εὐρυρέοντος
τῆλε φίλης πάτρης κεῖται ἀποφθίμενος
ἐσθλὸς Ἀλέξανδρος, κερδωΐου Ἑρμοῦ ὀπάων,
ἠὺς Ἰωάννου Κασσαβέταο πάϊς.
Χήρη δ' ἄρ θαλερὴ σὺν τέκνοις ὀρφανικοῖσιν,
Εὐτέρπη, δεινῷ τείρετ' ἄχει κραδίην·
πάτρη δὲ Ζαγορὴ ὑπὸ Πηλίῳ εἰνοσιφύλλῳ
ἀνδρὸς πτωχοτρόφου πένθος ἄληκτον ἔχει.

Ἕτερον.

Εἴτις ναυσιβάτης παγασηΐδος ἐνθάδ' ἀπ' ἀκτῆς
ἱκόμενος οἰχνεῖς τοῦδε τάφοιο πέλας,
στῆθι, τεῷ τ' ἐπίχευον ἀπὸ βλεφάρων πολιήτῃ
βαιὴν ἔνθα χοὴν τῆλε πάτρης φθιμένῳ.

Εἰμὶ δ' Ἀλέξανδρος ζαγορῆθεν Κασσαβέταο
υἱὸς Ἰωάννου, σπέρματος εὐγενέος.
Πλείστους εὖ ῥέξας ὁμοδήμων, πλεῖστα τ' ὀνήσας
γειναμένην, κεῖμαι μοιριδίῳ θανάτῳ
Ταμέσιος ποταμοῖο παρ' ὄχθῃς· ἀλλὰ σὺ χαῖρε
καὶ παρ' ἐμοῦ χαίρειν φράζε φίλῃ πατρίδι,
ἧς καλὰ παῖς προλιπὼν πάρος ἄλσεα, οὐκέτ' ἔμελλον
νοστήσας ὄψεσθ', οὐ ῥέεθρ' ὑδριάδων.

Εἰς τὸν ἀείμνηστον ἰατρὸν καὶ καθηγητὴν Νικόλαον τὸν Κωστῆν (ᾳωξά).

Κλεινὸν ἐν ἰητῆρσι, τετιμένον ἐν βασιλείοις
Νικόλεων Κωστῆν ἥδε κέκευθε κόνις,
ὃς πολέας τέχνης παιωνίδος ἐξεδίδαξε
τέθμια, καὶ πολλοὺς ῥύσαθ' ὑπὲκ θανάτου.
Ἔμπης δ' ἐξαπίνης αὐτὸν θανάτοιο μέλαινα
κὴρ ἕλεν, οὐ τόσσης φεισαμένη σοφίης·
οἰχόμενον δ' οἶκός μιν ὀδύρεται ἠδ' ἅμα δῆμος
πᾶς, ἀλκτῆρα νόσων κόινὸν αἶ, αἶ, ὀλέσας·

Εἰς τὴν προθανοῦσαν μητέρα αὐτοῦ Κυριακώ.

Κυριακοῦς κονίην αἰδοίης Κωστῆ ὁμεύνου
ἐνθάδ' ἔχει τύμβος, νούσῳ ἀποφθιμένης·
ἱρῇ ἐνὶ Ζαγορῇ ζωθαλπέα πρῶτον ἀϋτμήν,
ἔσπασεν ἐν δὲ πόλει Κεκροπίῃ πύματον.
Κεδνὴ ἔην ἄλοχος, μήτηρ ἐσθλή, πολιῆτις
χρηστὴ καὶ Χριστοῦ λάτρις ἐν εὐσεβίῃ.
Τῷ μιν ἀποιχομένην ποθέουσι φίλοι, ποθέει δὲ
υἱὸς ἔθεν πάντων ἔξοχα Νικόλεως.

Εἰς τὸν ἀντιστράτηγον Γαρδικιώτην Γρίβαν.

Τὸν θάμ' ἀριστεύσαντ' ἐν ἰωκῆς, τὸν θαμὰ Τούρκων

σὺν χερὶ παυροτέρῃ στίφε' ἐνηράμενον,
λυγρὴ νοῦσος φθῖσεν 'Αλέξιον, υἷα Γρίβαο,
κλεινὸν 'Ακαρνάνων ταγὸν ἀρηϊφίλων,
πιστὸν ὀπάον' ἄνακτος ἐπίκλην Γαρδικιώτην,
τὸν καὶ ἑῆς αἶνον κτησάμενον πραπίσι.
Τῷ μιν ἀποφθίμενον πόλις ἐκτέρισ' ἐνθάδε πᾶσα,
καί οἱ πενθαλέη σῆμα τόδ' εἶσε δάμαρ.

Ἕτερον.

Τύμβος 'Αλεξίου ὀστέ' ὅδ' ἔλλαχε Γαρδικιώτου,
πατρίδ' 'Ακαρνᾶνος, Γριβάδεω τὸ γένος.
Ὅς Θυάμοιο τραφεὶς ἐπὶ κνημοῖς παιπαλόεντος,
παῖς ἔτ' ἐὼν αἴδηλ' ἄρεος ἔργ' ἐδάη.
ἄρτι δ' ἄρ' ἡβώων μέγαν Ἑλλήνεσσι σὺν ἄλλοις
ἆθλον ἐλευθερίης θυμῷ ἀτρέστῳ ἔδυ.
Οἶδε μὲν εἷο μένος Μεσολόγγιον ἠδ' 'Αράχωβα,
οἶδε δὲ Μουνυχίης ποντοβρόχοιο πάγος·
πιστὸν δ' οἶδε νόον καὶ ἀμύμονα μῆτιν ἄνακτωρ,
τοῦ περ ὑπασπιστὴρ ἐμπεδόφρων ἔπλετο.
Τῷ μιν ἀποφθίμενον πόλις ἐκτέρισ', ἔνθα τροπαῖον
στῆσε πάρος, Τούρκων ἀντία μαρνάμενος.
Χήρη δ' ἀμφιδρυφὴς ἐρικλαύτοις σὺν τεκέεσσι,
δάκρυσι λειβομένη, σῆμα τόδ' εἶσε νέκυι.

Εἰς τὸν ἀντιστράτηγον 'Εδουάρδον 'Ρεϊνέκκην.

'Ενθάδ' 'Εδουάρδον 'Ρεϊνέκκην ἀτθὶς ἄρουρα,
ἔρνος Γερμανίης ἠϋγενὲς κατέχει·
ὅςτ' Ἄρεος θεράπων γεγαὼς δοιοὺς ἀέθλευσεν
εὐτόλμως ἀέθλους εἵνεκ' ἐλευθερίης·
πρῶτον ὑπὲρ πάτρης, τὴν πρὶν Γαλατῶν θρασυχάρμης
τεῖρεν ἀγός, σεύων κῦμ' ὀλοὸν πολέμου.
τόνδ' αὖ ἔπειθ' Ἕλλησιν ἀρήγων, εὖτ' ἐμάχοντο
δουλοσύνης στυγερῆς Ἑλλάδα ῥυόμενοι.

Ὀκτὼ δὲ πρὸς πεντήκοντ' ἀνύσας ἐνιαυτοὺς
νούσῳ ὑπ' ἀργαλέῃ μοῖραν ἔπλησε βίου.

Εἰς τὸν καθηγητὴν Περικλέα Ἀργυρόπουλον.

Τήνδε Περικλῆϊ στήλην ἔθετ' Ἀργυροπούλῳ
πενθαλέη χήρη σὺν τεκέεσσι φίλοις.
Οὐ μοῦνον δ' οἶκος φθιμένου τάφον ἐνθάδ' ἔδευσε
δάκρυσιν, ἀλλὰ πόλις πᾶσ' ἀνέκλαυσε νέκυν,
εὐγενέα πτόρθον Βυζαντίου, ἵστορα θεσμῶν,
καὶ σεμνὸν θεράποντ' ἀστυνόμου Θέμιδος,
δεινὸν δ' ἐν συνόδῳ βουληγόρον, ὅς περ ἰάλλειν
ἐκ στόματος πυκνὰς ἤδε' ἐπῶν νιφάδας.

Ἕτερον εἰς τὸν αὐτόν.

Σὸν πότμον στονόεντα, Περίκλεες Ἀργυρόπουλε,
κλαῦσ' Ἀκαδημίης σύλλογος ἡμετέρης,
κλαῦσε δ' ὅμιλος ἅπας βουληφόρος, ᾧτ' ἐνάριθμος
ἔπλεο, φραδμοσύνῃ τ' εὐεπίῃ τε πρέπων·
Τριτοῦς δ' ἐστονάχησε πόλις σύμπασα ποθεῦσα
σὴν ἀρετήν, ἥν, φεῦ, τῇδ' ἐκάλυψε τάφος.
Οὐκ ἐκάλυψε τάφος· τῆς γὰρ κλέος ἐν πολιήταις
παρμίμνει πάντεσσ'. οὔποτ' ἀπολλύμενον·

Εἰς Μιχαὴλ Τοσίζαν.

Αἰπεινὸν Πίνδον προλιπών, πατρώϊον οὖρος,
ᾗ πινυτῆτι κλέος κτήσατο καὶ ἄφενος,
ἠΰς Ἀναστασίοιο γόνος Μιχαὴλ ὁ Τοσίζας,
ἐμπορικῶν γαίης νειλορύτου πρύτανις·
Ἑλλάδα δ' εὖ ῥέξας καὶ πόλλ' ὅσι' ἔργα τελέσσας
εἰν ἄστει Τριτοῦς κῦρσε τέλει βιότου.
Ἔνθ' ὀλοφυραμένη μιν ὁμευνέτις ἡ βαρυπενθὴς
ἐκτερέϊξ' Ἑλένη, σῆμά τ' ἔτευξε τόδε,

Ἕτερον.

Σὸν μὲν γαῖα κέχανδε δέμας, Μιχαῆλε Τοσίζα,
ἐνθάδ' ἐς εὐσεβέων χῶρον ἀποπταμένου.
Οὔνομα δὲ ζώει κληϊζόμενον μετὰ πᾶσι,
τοῖς ἔγνωστ' ἀρετὴ καὶ περίνοια σέθεν.
Ζώει μὲν Πίνδον κατ' ἀγάννιφον, ἧχι τὸ πρῶτον
αἴγλην ἐν Μεσόβῳ τὴν Φαέθοντος ἴδες.
Ζώει δ' ἐν χώρῃ νειλοῤῥύτῳ, ἔνθα περ ὄλβον
κτήσαο καὶ τιμὴν ἐμπορίῃ ὁσίῃ.
πᾶσαν δὲ ζώει χθόν' ἀν' Ἑλλάδα, τὴν εὖ ἔρεξας,
συμφύλων κοινὴν μητέρα φρεσσὶ τίων.
Ζώει δ' αὖτε ποθὴ σέθεν ἐν κραδίῃ ἀλόχοιο
σῆς Ἑλένης, ἣ τοῦθ' εἵσατο σῆμα πόσει.

Εἰς Μανουῆλον Πρασακάκην.

Σῆμα τόδ' εὐσεβέως σφετέρῳ στήσαντο τοκῆϊ
τέκνα Μανουήλῳ, Πρασσακάκῃ ἐπίκλην,
ὅς τ' ἐνενηκοστὸν βιότου πλήσας ἐνιαυτὸν
ἁγνοῦ, ἐκοιμήθη μόρσιμον ἄμμιν ὕπνον.

Ἕτερον.

Ἁγνοῦ καὶ δολιχοῦ τέρμ' ἱκόμενον βιότοιο
καὶ ἤδη πλήσαντ' ἐννεάκις δέκ' ἔτη
ἐνθάδε γαῖα κάλυψε Μανουῆλον, πολιήτην
τιμήεντα Χίου Πρασσακάκην ἐπίκλην.
Τὸν δ' ἄρ' ἀποιχόμενον πατέρ' ἐσθλὸν τέκν' ἐγέρηραν
εὐσεβέα στήλῃ τῇδ' ἐπιτυμβιδίῃ.

Εἰς τὸ κοινοτάφιον, ἐν ᾧ κελεύσει τοῦ Βασιλέως Ὄθωνος τὰ ἀνάμικτα καὶ ἀδιάγνωστα ὀστᾶ τῶν ἐν τῷ πολέμῳ περὶ τὰς Ἀθήνας πεσόντων χριστιανῶν καὶ ὀθωμανῶν ἔδει συλλεγέντα πανταχόθεν ταφῆναι.

Παλλάδος ἀμφὶ πόληϊ δαϊκταμένων ὅδε τύμβος

Χριστιανῶν Τούρκων τ' ὀστέ' ὁμοῦ συνέχει.
Τὰ σποράδην ἄκριτα χθονὸς ἀτθίδος ἐν γυάλοισι
κείμεν' ἀεικελίως Ἑλλάδος ἀρχὸς Ὄθων
συλλέξαι τ' ἐκέλευσ', ὑπὸ γαίῃ τ' ἔνθα καλύψαι,
ἔργον μησάμενος τοῦτο βροτοῖς ὅσιον.
Οὐ γὰρ ὅρους ἐπέοικεν ὑπερβαίνειν βιότοιο
δῆριν, καὶ θνητοὺς ἄμβροτον ἔχθος ἔχειν·
τυμβεύειν δὲ νέκυς πάτριον πέλει Ἑλλήνεσσι,
τέθμι' ἀεὶ βροτέης ἁζομένοις γενεῆς.
ἔτει αωνή.

Εἰς Πέτρον Πανταζῆν Ἀθηναῖον.

Πέτρος Ἀθηναῖος Πανταζώης ἐπίκλησιν,
ἀγκλινθεὶς εὕδει νήγρετον ἐνθάδ' ὕπνον.
θεσμοσυνῶν ἵστωρ Θέμιδος θεράπων πολισούχου,
δηρὸν νωμήσας ἶσα τάλαντα δίκης.
Χήρῃ δ' αἰνοπαθεῖ καὶ ὁμαίμοσι παιδί τε τυτθῷ
πένθος ἀκοίμητον κάλλιπεν ἐξοπίσω.

Ἕτερον.

Πέτρον ἀθηναῖον, Πανταζώην ἐπίκλησιν,
ἐνθάδε κεκλιμένον μόρσιμος ὕπνος ἔχει·
ἰθύνοον Θέμιδος λάτριν, καὶ ἵστορα θεσμῶν,
Δηρὸν νωμήσαντ' ἶσα τάλαντα δίκης.
Χήρην δ' αἰνοπαθῆ καὶ ὁμαίμονας υἷά τε τυτθὸν
ὀξὺ ἀκοιμήτου κέντρον ἔδυ ὀδύνης·

Εἰς Πλάτωνα Πιτάκην.

Ὠκύμορον κτερέϊξαν ἀγάστονοι ἔνθα τοκῆες
ἤθεσιν ἠδὲ λόγοις υἷα διαπρεπέα,
ἀστυόχου Θέμιδος πιστὸν θεράποντα Πλάτωνα,
ἔρνος Κεκροπίης, τὸν Πιτάκην ἐπίκλην.

Τοῦ δ' ἄρα καὶ φθιμένου ἀγαθὴ φάτις ἐν πολήταις
ζώει, τοῖσι τάλαντ' ἶσα τίταινε Δίκης·

Εἰς Ἀμβρόσιον Σκαραμαγκᾶν

Ἀμβροσίοιο δέμας Σκαραμαγκᾶ γαῖα καλύπτει
ἐνθάδε τρηχείης εὐπατρίδαο Χίου.
Ὅς περ πόλλ' ἐμόγησεν ἐλευθερίην ἐρατεινὴν
πορσύνων πάτρῃ, πᾶσι δ' ἔην φιλόφρων.
Τέκνα δὲ δακρυχέοντα τοκῆϊ φίλῳ ἐπέθεντο
τόνδε λίθον, στοργῆς μνῆμα καὶ εὐσεβίης.

Εἰς Θεόκλητον τὸν Φαρμακίδην γραμματέα
τῆς ἱερᾶς Συνόδου τῆς Ἑλλάδος (αωξ).

Ἱρῆς Θειόκλητος ἐν Ἑλλήνεσσιν ἅπασιν
ἄκρα φέρων σοφίης Φαρμακίδης ἐπίκλην,
πόλλ' ὑπὲρ εὐσεβέων πάτρης τε φίλης ἀεθλεύσας,
γήραϊ καὶ νούσῳ τῇδε δαμεὶς ἐτάφη.
Φθέγμα δ' ἕο ζώει ἐνὶ δέλτοις εἰσέτι δριμύ,
τῷ ῥ' ἀπατήλι' ἀεὶ ῥεῖ' ἀπέλεγχεν ἔπη.
Μισοψευδὴς γὰρ λίην ἔπλεν οὐδέ ποτ' ᾔδη,
ἄλλα νόῳ κεύθειν, ἄλλα δ' ἀνὰ στόμ' ἔχειν.

Εἰς τὸν αὐτόν.

Πευκεδανὴν Θεόκλητος ἐς ἀνέρας εἶχε πονηροὺς
δριμεῖάν τε λίην γλῶσσαν ὁ Φαρμακίδης.
Εἰς δ' ἐσθλοὺς ἡδύς τ' ἰδὲ μείλιχος ἔμπαλιν ἔσκεν,
ἀρκῶν προφρονέως τοῖς ἐπιδευομένοις.
Τοὔνεκα καὶ φθιμένου ἀψίνθιον ἔνθ' ἀνέτειλε
τύμβος, ὁμοῦ τε θύμου φῖτυ μελισσόβοτον.

Εἰς Κονδυλὼ κόρην Λαζάρου Κουντουριώτου.

Λαζάρου ἔνθα τάφος μεγακλῆος Κουντοριώτου

κούρην τηλυγέτην Κονδυλὼ ἐντὸς ἔχει·
σεμνήν, πεπνυμένην, ὑμεναίου εἰσέτ' ἄγευστον,
παντοίης ἀρετῆς ἄνθεα δρεψαμένην.
Τῷ μιν ἀποιχομένην πατρώϊος οἶκος ἔκλαυσε,
πένθησάν θ' Ὑδρέης ναυσικλυτῆς ναέται.

Ἕτερον.

Δέμας κέκευθε Κονδυλοῦς τόδ' ἠρίον,
Κουντωριώτου Λαζάρου σεμνῆς κόρης.
Ἣ φῦσα πατρὸς εὐσεβοῦς μητρὸς θ' ἅμα,
ἐσθλοῖς ἐνέπρεπ' ἐν νεάνισι τρόποις.
Ὅρον λαχοῦσα δ' ἐκ θεοῦ βραχὺν βίου,
ἔνθεν δικαίων εἰς μονὰς ἀπέπτατο.

Εἰς Ματθαῖον Σκυλίτσην χῖον, τελευτήσαντα ἐν Φλωρεντίᾳ ἔτει ᾳωστ'.

Ματθαῖον κατέχει λυγρὸς τάφος ἐνθάδε χῖον,
Σκυλίτσην ἐπίκλην, κλεινὸν ἐν ἐμπορίῃ.
Ὅς περ ἐπιφροσύνῃ προπόλοις μετὰ πᾶσι κέκαστο
Ἑρμοῦ κερδῴου καί τε δικαιοσύνῃ.
Νῦν δ' ἀνύων βιότου ἐνιαυτὸν τεσσαρακοστόν,
πότμον ἀναπλήσας, χῶρον ἔβη μακάρων.

Εἰς τὰ τέσσαρα τέκνα Ἀλεξάνδρου Μαυροκορδάτου, νόσῳ τῇ αὐτῇ ἐν Βαυαρίᾳ θανόντα καὶ ταφέντα.

Ξυνὸς καλύπτει τετράριθμ' οὗτος τάφος
νόσῳ δαμέντα τέκνα Μαυροκορδάτου,
οἷς Νικόλαος, Ἐλπινίκη καὶ Κίμων
ἦν ζῶσι κλῆσις, ὑστάτῃ δ' Ἀμαλία.
πρωΐζος εἷλε πάντ' ἐπισκήψας μόρος,
λιπὼν τοκεῦσιν ἄλγος οὐκ ἰάσιμον.

Ἕτερον.

Ὁμὴ πρὶν ἔσχε τήνδε παίδων τετράδα
γαστήρ, ὁμὸς δὲ νῦν ἔχει πάλιν τάφος·
ἅ θ', ὥσπερ ἄνθη δυσθέροις λιβὸς πνοαῖς,
ἤμυσ' ἀπαυανθέντα λοιγίᾳ νόσῳ.
Σὺν δυστόνῳ δὲ μητρὶ Μαυροκορδάτος
πατὴρ στερηθεὶς ἐλπίδων τόσων στένει.

Εἰς Παρασκευὴν Καστρισίου ῥοδίαν, τελευτήσασαν ἐν Ἀθήναις.

Καστρισίοιο θύγατρα Παρασκευὴν χαρίεσσαν,
ἄλλο ῥόδον Παφίης, νῆσος ἔφυσε Ῥόδος.
Ἡδύπνοον δ' ἔδρεψεν ἐν ἁγνοτάτῳ ὑμεναίῳ
Κούπας ἰητὴρ παρθενικὴν κάλυκα.
Αἶ, αἶ! νῦν δὲ πάτρης τε πατρός θ' ἑκὰς ἠδὲ τέκνοιο
ἐνθ' ὀλοῇ φθιμένην νούσῳ ἔχει κονίη.

Εἰς Δημήτριον Βελισσάριον λέσβιον.

Ἀσκήσας ἀρετὴν ἠδ' εὐσεβίην ἐπὶ γαίῃ
δώματ' ἔβης μακαρων, ἐσθλὲ Βελισσάριε.
Πότμον δ' ἐν μεγάροισι τεὸν κεδνὴ ἀνακλαίει
χήρη καὶ ἑπτὰς πεπνυμένων τεκέων.
Καὶ πάτρη δέ σε Λέσβος ὀδύρεται, ἧς ἔπλες εὖχος,
εὔξεινοί τ' ἀκτῆς βοσπορίης ναέται.
Ἔνθ' ἀνύσας ἁγνοῦ βιότου μέτρα, πᾶσι ποθεινὸς
ᾤχεο· σῆμα δὲ τοῦτ' ἐξ ἀλόχοιο λάχες.

Εἰς Μαργαρίτην Δημητρίου τὸν ἐκ Τυρνάβου καὶ τὸν υἱὸν αὐτοῦ Δημήτριον, τελευτήσαντας καὶ συνταφέντας ἐν Αἰγύπτῳ.

Ὁμὸς παρ' ὄχθαις ὧδε ταῖς νειλωΐσι
τάφος πατρὸς κέκευθε καὶ φύντος κόνιν.

Ἦν πατρὶ κλῆσις Μαργαρίτης, Τυρνάβου
γόνῳ πολίχνης θετταλῶν εὐπίδακος.
Δημήτριος δὲ παῖς ὁ τοῦδ' ἐκλῄζετο,
αὐχῶν Ἀλεξάνδρειαν εὐκλεᾶ πάτραν.
Ἐκ δ' ἐμπορείας σχόντες ἄμφω τὸν βίον,
ἐνθένδ' ἀπῆλθον εἰς χορὸν τῶν εὐσεβῶν
οἴκῳ ποθεινοὶ καὶ συνήθεσι σφίσι.

Ἕτερον εἰς Στυλιανὸν Μαργαρίτου.

Νόσῳ φθινώδει συντακέντα μ' ἐνθάδε
Στυλιανὸν υἱόν Μαργαρίτου πρὸς ῥοαῖς
Νείλου καλύπτει γῆ προώριον νέκυν.
Ἐξ ἐμπορείας τὸν βίον ποιούμενος
ἐσθλὴν πρὸ χρυσοῦ δόξαν εἱλόμην ἀεί,
ἔδυν θ' ὑπὸ χθὸν' ἐν βροτοῖσι τίμιος.
Φίλη δὲ μήτηρ καὶ κασίγνητος λίθον
ἔθεντο τήνδε, μνῆμα τοῖς ἔπειτ' ἐμόν.

Εἰς τοὺς γονεῖς τοῦ καθηγητοῦ Νικολάου Σαριπόλου, τελευτήσαντας καὶ ταφέντας ἐν Κύπρῳ.

Πατρί τ' Ἰωάννῃ Χρυσηΐδι σὺν θ' ἅμα μητρὶ
σῆμα τόδε φθιμένοις εἵσατο Νικόλεως,
Σαρίπολος ἐπίκλην, ἐξ εὐσεβέος φρενὸς οἷσι
βαιὴν ἀντιδιδοὺς τήνδε τοκεῦσι χάριν.
Οὗτοι γὰρ κτεάνων ὀλίγην περ μοῖραν ἔχοντες
φείσαντ' οὐδ' ὀλίγον· προφρονέως δὲ μάλα
παιδὶ φίλῳ χρυσοῦ ἀντωνήσαντο ποθεινὴν
Ἰδμοσύνην, κτῆσιν πουλὺ βεβαιοτέρην.

Εἰς τὸν καθηγητὴν Ἰωάννην Βενθύλον.

Ἐνθάδ' Ἰωάννην ἐπίκλησιν Βενθύλον αἶα
κεύθει, ἡδυεπῶν Πιερίδων θέραπα,

Σμύρνης ἀφνειῆς ἐσθλὸν γόνον· ὅς τε διδάξας
  Ἑλλήνων παῖδας ῥηθὰ λόγους πατέρων
πεντηκονταέτης νόσῳ ἔφθιτο· σῆμα δὲ χήρη
  Εὐφροσύνη τόδ᾽ ἔθηκ᾽ ἀνδρὶ χάριν πυμάτην.

Εἰς Νικόλαον Κρειζώτην στρατηγόν.

Εὐβοέων τὸ πάροιθ᾽ ἡγεύμενος ἐν δαῒ λυγρῇ
  πολλάκις Ὀθμανοὺς τρέψατο Νικόλεως,
Κρειζώτης ἐπίκλην, λοιγοῦ τ᾽ ἐῤῥύσατο λαοὺς
  αἰνῶς βαρβαρικῷ τειρομένους ἄρεϊ.
Πατρὶς νῦν δ᾽ ἑ κέκευθε φίλη φίλον ἐνθάδε γαῖα,
  μόρσιμον ἐν γήρᾳ δεξάμενον θάνατον.
Καὶ τόνδ᾽ οἱ τύμβον Δημήτριος υἱὸς ἔτευξε,
  πατρὸς ἀριστομάχου μνῆμ᾽ ἐπιγιγνομένοις.

Εἰς Κυριακὸν Κουμπάρην.

Γήραϊ τηξιμελεῖ δεδμημένου ἐνθάδε γαῖα
  κεύθει Κυριακοῦ Κουμπάρεω κονίην,
ἀνδρὸς ἐϋκτεάνοιο, Μεσημβρίη ᾧ ἔπλε πάτρη
  Πόντῳ ἐπ᾽ εὐξείνῳ, καὶ βίος ἐμπορίη.
Εἰς θεὸν ἦν ὅσιος, κεδνὸς πόσις, οἷς τεκέεσσιν
  ἐσθλός, ἐς ἀνθρώπους πάντας ὁμῶς εὔφρων.
Ἐννέα δὲ πλήσας ἐτέων δεκάδας, βιότοιο
  Γηΐνου ἐξελύθη, βῆ τε δόμους μακάρων.

Εἰς Σκαρλάτον Παππαῤῥηγόπουλον.

Ἡ Βύζαντος ἔθρεψε κλυτὴ πόλις, αὐτὰρ Ὀδησσοῦ
  Ποντοβρόχου κεύθει γαῖα καταφθίμενον
Σκαρλάτον ἐσθλόν, ἑοῖσι ποθεύμενον ἔξοχ᾽ ὁμαίμοις
  μητρί τε δυσπενθεῖ, τοῖσι θανὼν λίπ᾽ ἄχος·
ἦν γὰρ κάρτα φιλόστοργος καὶ κήδετο οἴκου
  πατρῴου, πατρὸς τάξιν ἐν αὐτῷ ἔχων.

Εἰς τὸν αὐτόν.

Ἐν πόλει ἑπταλόφῳ εὐηγενέος ἀπὸ ῥίζης
φύς, ἐπόθησ' ἀρετὴν στεργομένην ὀλίγοις,
Παππαῤῥηγοπόλου γόνος ἐσθλὸς Σκαρλάτος, οἴκου
πατρῴου προστὰς ἀντὶ πατρὸς κταμένου.
Νῦν δ' ἐτέων ἀνύων δεκάδ' ἕκτην ἔκλιπε γαῖαν,
ᾤχετό τ' ἐς μακάρων ὕψι χοροστασίην.

Εἰς Ἰωάννην Δαμιανὸν ὑδραῖον.

Ἐνθάδ' Ἰωάννην κρύπτει κόνις ἀτθίδος αἴης
Δαμιανόν, βλάστημ' ἀμφιρύτης Ὑδρέης,
θεσμῶν ἀστυνόμων ἐπιΐστορα καὶ δικολέκτην
δεινόν, ἐν ἡλικίῃ μέσσῃ ἀποφθίμενον·
τοῦ δ' ἐπὶ τύμβῳ ἔθηκε λίθον τήνδ' ἡ ἀρίδακρυς
χήρη, μνημεῖον βαιὸν ἀποιχομένου.

Εἰς Ἰωάννην Οἰκονόμου Γερουσιαστήν.

Ἐνθάδ' Ἰωάννου κεύθει δέμας Οἰκονόμοιο,
Χαλκιδέως γενεήν, γαῖα καταφθιμένου.
Ὃς πρὶν ἐνὶ πτολέμῳ, ἐνὶ βουλῇ δ' εἶτα γερόντων
Πάτρῃ καὶ βασιλεῖ πιστὸν ἔφηνε νόον.

Εἰς τὸν αὐτόν.

Ἐνθάδ' Ἰωάνναο δέμας κατὰ γαῖα καλύπτει,
Οἰκονόμου ἐπίκλην, Χαλκιδέως δὲ πάτρην·
ὃς πολέμῳ μεγάλῃ τ' ἐναρίθμιος ἔπλετο βουλῇ,
ἐν πολιήταις δ' οἷς τίμιος ἔνθεν ἔβη.

Εἰς τὸν Γυμνασιάρχην Νικόλαον Χορτάκην.

Πάτραν μὲν ἔσχε Νικόλαος Χορτάκης
Σμύρναν· τάφον δ' εἴληχε Τριτοῦς ἐν πόλει.

Μουσῶν ἔρωτι παῖς ἔθ' ἱμερτῶν ἁλούς,
ἀεί σφιν ὤφθη πιστὸς ἐν βίῳ λάτρις·
τῶν δ' Ἱπποκρήνης ναμάτων πλείστους νέους
γεύσας, δικαίων εἰς μονὰς ἀπέπτατο,
πένθος μὲν οἴκῳ καὶ μαθηταῖσιν φίλοις,
τοῖς δ' αὖ πολίταις μνῆστιν εὔφημον λιπών.

Ἕτερον.

Ἐνθάδε Νικόλεων τὸν Χορτάκην ἐπίκλησιν
Σμύρνης τῆλε πάτρης δέξατο γαῖα νέκυν,
Πιερίδων μύστην, παιήονος ἴδμονα θεσμῶν,
συμφύλοις σοφίης δὴν μεταδόντα νέοις.
Τῷ καὶ ἀποιχομένου ἐσθλὴ φάτις ἐν πολιήταις
μίμνει, καὶ ἀρετῆς ἧς πόθος ἐξοπίσω.

Ἐπιτύμβιον εἰς Ὀδυσσέα Ἀνδρούσσου.

Ἐνθάδ' Ὀδυσσῆος κρατερόφρονος ὀστέα γαῖα
κεύθει, Ἀνδρούσσου υἷος ἀρηϊφίλου·
Τοῦ κεν ἐνὶ προμάχοισι πάτρης κλέος ἔξοχον ἦεν,
εἰ φιλοπρωτείη μή μιν ἄασε φρένας.
Ἀλλὰ καὶ ὥς τίουσιν ἐλευθερίης ἀεθλητήν,
Ἕλληνες, στρατιὴν τρεψάμενον Βριόνου.

Εἰς τὸν στρατηγὸν Χριστοφόρον Περῥαιβόν.

Α.

Ἐν πέδῳ Αἱμονίης Τιταρησίου ἄγχι ῥοάων,
μήτηρ Περῥαιβὸν γείνατο Χριστοφόρον,
φέρτατον ἐν βουλῇσιν, ἐνὶ πτολέμοισιν ἄριστον,
σεμνὸν μυστοδότην ἄμμιν ἐλευθερίης·
ἣ θάμ' ὅγ' ἐς δηΐους ἡγησάμενος μενεχαρμῶν
Ἑλλήνων, δάφνῃ στέψαθ' ἑοὺς κροτάφους.
Νῦν δὲ δαμεὶς λυγρῷ ὑπὸ γήραϊ τῇδε τέθαπται,
ᾗ σῆμ' οἱ βαιὸν θῆκε σὺν υἱϊ δάμαρ.

Β.

Φαιδροῖς παρ' ῥεέθροις Τιταρησίου, ἐν προμολῇσιν
Οὐλύμπου, μήτηρ παῖδ' ἐλόχευσε φίλη
Χριστοφόρον Περραιβόν, ἐλευθερίης ὑποφήτην
ἠδέ τ' ἀεθλητὴν Ἑλλάδος ἀλκίφρονα.
Οὗτος ἐτῶν ἔπλησ' ἑκατοντάδα, πολλάκι πότμου
ἄτρομος ἀντιάσας ἐν προμάχοισι πάτρης.
Ἔμπης ὑσμίνης οὐ κάτθανεν ἐν στροφάλιγξιν,
εὖτ' ἄγεν Ἑλλήνων στίφε' ἐπ' ἀντιπάλους.
Ἀλλ' εὐναῖος ἔπειτ' ἀμενηνῷ γήρᾳ ἀπέσβη·
πρὸς πόλιος δ' αἶνον καὶ τάφον ἔνθ' ἔλαχε.
Τὸν μόθον, αἰζηοί, μὴ δείδιτε· ἠνὶ γὰρ ἀνδρῶν
ὀβριμόθυμος Ἄρης φείδεται ἀλκιμάχων.

Γ.

Ἐνθάδ' ἐλευθερίης ὑποφήτορά τ' ἠδὲ Φεραίου
Ῥηγίου ἡ κονίη πιστὸν ὀπάον' ἔχει.
Χριστοφόρον Περραιβόν, ἀγὸν μεγάθυμον Ἀχαιῶν,
πολλάκι βαρβαρικὰ στίφεα τρεψάμενον,
ἐν βουλῇσιν ὁμῶς καὶ ἐν ὑσμίνῃσιν ἄριστον,
εὔορκον βασιλεῖ, πειθόμενόν τε νόμοις.
Τοῖος ἐὼν ὑπόδειγμ' ἐσθλοῦ γένετ' ἀνδρὸς ἅπασι·
τῷ ῥ' ἀγαθὴ μνῆστις καὶ φθιμένοιο μένει.

Δ.

Δεινὸς ἐλευθερίης πόθος εἷλέ με, εὖτε Φεραίου
ἔνθε' ἀοιδοπόλου παῖς ἔκλυον μέλεα.
Μύστης δ' οἱ γενόμην καὶ ἑταῖρος πιστός, ὀρίνων
θυμὸν συμφύλων κύδιμον εἰς ἄεθλον,
Χριστοφόρος Περραιβὸς ὑπὸ κνημοῖσιν Ὀλύμπου
πνοιὴν τὴν πρώτην σπασσάμενος βιότου.
Εὖτε δὲ δουλοσύνης ἔρρηξε πέδας πολύτλητος
Ἑλλάς, καὶ ἰαχὴν θούριον ἧκεν Ἄρης,
ἐς μόθον Ἑλλήνων ἡγεύμενος ὀκρυόεντα,

στίφεσι δυσμενέων αἰπὺν ὕφην᾽ ὄλεθρον.
Ἀλλὰ πόνοις δμηθέντ᾽ ἰδὲ γήραϊ νῦν μ᾽ ὑπὸ γαίῃ
ἐνθάδε κεκλιμένον νήγρετος ὕπνος ἔχει.

Ε.

Ζήλῳ ἐλευθερίης πεπυρωμένος ἔνδοθι θυμὸν
παιδόθεν ἀμφὶ φίλῃ πόλλ᾽ ἐμόγησα πάτρῃ,
βαρβαρικῆς πάντεσσι τυραννίδος ἔχθος Ἀχαιοῖς
ἐνσπείρων, βιότου τ᾽ αὐτονόμοιο πόθον.
Πολλάκι δ᾽ ἐν προμάχοις ἀεθλεύων βάρβαρα φῦλα
σεῦα, καὶ Ἑλλήνων λοιγὸν ἄμυνα γένει.
Νῦν δ᾽ ἀπλέτῳ καμάτῳ καὶ γήραϊ γυῖα βαρυνθείς,
κλίνθην τῇδ᾽ ὕπνῳ λυσιπόνῳ κάτοχος.
Ἢν δέ ποθ᾽ Αἱμονίης ἐπ᾽ ὄρεσφιν ἢ Ἠπείροιο
σάλπιγξ ἠχήσῃ δεινὸν ἐνυάλιον,
αὐτίκ᾽ ἐγὼν ὕπνον τ᾽ ἀποσείσομαι, αἶψά τ᾽ ἐκεῖσε
καὶ σκιὴ αἰζηοῖς ἕψομ᾽ ἀρηϊφίλοις.

Εἰς τὸν Πρεσβύτερον Κωνσταντῖνον Οἰκονόμον τὸν ἐξ Οἰκονόμων.

Ὅν ποτ᾽ Ὀλυμπιάδες μέλιτι τράφον ἠδέϊ παῖδα,
τεχθέντ᾽ Οὐλύμπου παρ᾽ ποδὶ πουλυνίφου,
καὶ στέψαν σοφίης ἀμαράντοις ἄνθεσι κρᾶτα,
Κωνσταντῖνον χθὼν ἔνθ᾽ ἔχει Οἰκονόμον·
εὐσεβίης κήρυκ᾽ ἐριηχέα, Ἑλλάδος εὖχος,
καὶ κλήρου Χριστοῦ κόσμον ἀριπρεπέα.
Τοῦ ῥ᾽ ὅσσον μὲν ἔην ἐκ γαίης γαίῃ ἐμίχθη,
πνεῦμα δ᾽ ἀνηέρθη δώματ᾽ ἐς οὐράνια.

Ἄλλο εἰς τὸν αὐτόν.

Ἐνθάδε Κωνσταντῖνον ὀλυμπιάδων θεράποντα
κλεινὸν Μουσάων, Οἰκονόμον δ᾽ ἐπίκλην,
γήρᾳ ἀποφθίμενον βληχρῷ κόνις ἀμφικαλύπτει

ἀτθὶς πάτρης τηλόθι Θεσσαλίης.
σιγᾷ δ' οἱ μελίγηρυ πάρος στόμα, τοῦ ῥ' ἄπο θείης
ἔῤῥεεν ἰδμοσύνης φθέγμα καὶ εὐσεβίης.
ἀλλὰ μέγα φθέγγονται ἔθεν βίβλοι, αἳ ῥα τιθεῖσιν
ἀθάνατον ἀνδρὸς κλεῖος ἀριστονόου.

Ἄλλο εἰς τὸν αὐτόν.

Δοιοὺς εἰσοράας παρὰ τύμβῳ Οἰκονόμοιο
τῷ δ' ἱερῷ πτόρθους, ὦ ξέν', ἀειθαλέας·
τὸν μὲν μουσοφιλοῦς δάφνης κλυτοῦ ἐξ Ἑλικῶνος,
τὸν δ' αὖ φοίνικος γῆς Ἱεροσσολύμων.
Κεῖνον μὲν καθαρῆς ἤρδευσεν ὕδωρ Ἀγανίππης,
τὸν δ' αὖ Ἰορδάνου νᾶμ' ἱεροῦ ῥεέθρου.
Μηνύει δὲ τάδ' ὅττι νέκυς Χριστοῦ τε ἄνακτος
ἱρεὺς καὶ Μουσῶν ἔπλ' Ἑλικωνιάδων.

Εἰς τὸν ναύαρχον Γεώργιον Σαχίνην.

Δηρὸν ἐπιπλείοντ' ἀνεμότροφα κύματα πόντου
οὐ πόντοιο κλύδων ὤλεσ' ἀελλομάχον·
οὐδ' αὖ βαρβαρικῆς περὶ πάτρης ναυμαχέοντα
νήεσσι κρατερῶς βάρβαρος εἷλεν ἄρης.
Ὀψὲ δ' ἐπὶ τραφερῆς ὀλοὴ νοῦσος συνέτηξε
ναύαρχον Σαχίνην, θρέμμα κλυτῆς Ὑδρέης.
Εὖ δὲ παθοῦσα πάτρη ἕο τύμβευσ' ἐνθάδε σῶμα,
ἀντ' ἀέθλων μεγάλων τοῦτο πορoῦσα γέρας.
Αὐτὰρ τόνδε λίθον Δημήτριος υἱὸς ἔθηκε,
πατρὸς ἑοῦ βαιὸν μνῆμ' ἐπιγιγνομένοις.

Ἄλλο.

Γαῖ' ὀλίγη μεγάλοιο Γεωργίου ἐνθάδε σῶμα
κεύθει ναυάρχου τοῦ Σαχίνου ἐπίκλην.
Ὃς πλεῖστ' εἰναλίοισι καμὼν πρὸ πάτρης ἐν ἀέθλοις
κλεῖος ἀγήραντον κτήσατ' ἐπ' ἠνορέῃ·

τιμῆς δ' αἰδοίοιο λαχὼν παρ' Ὄθωνος, ἄνακτι
ἐν βιότῳ πιστὴν αἰὲν ἔφηνε φρένα.
Τῷ καὶ ἀποιχομένου ἀγαθὴ μένει ἀνδρὸς ὀπίσσω
μνῆστις ἐν ἀνθρώποις καὶ πόθος ἧ πατρίδι.

Ἄλλο.

Νηὸς ἀροτρεύων στείρῃ πλατὺ χεῦμα θαλάσσης
ἄρκιον ἐκτήσω δρηστοσύνῃ βίοτον.
Ἔκ τ' ἀνδρῶν ἀγαθὴν δόξαν φρενὸς εἵνεκεν ἐσθλῆς
ἠδὲ δικαιοσύνης, εὐθυεπὲς Σαχίνη.
Βαρβαρικῆσι δ' ἔπειτ' αἰγαίῳ ἐπ' οἴδματι νηυσὶ
μαρνάμενος κοινῆς εἵνεκ' ἐλευθερίης
ἄφθιτον ἤραο κῦδος ἐν ἀνδράσι ναυσιμάχοισιν
Ἑλλάδος, Ὀθμανῶν ὕβριν ἀποσκεδάσας.
Ὑστάτιον δ' ἄρ' Ὄθωνος ἀγαυοῦ πιστὸς ὀπάων
κληθείς, εὔορκον φῆνας ἄνακτι νόον.
Τῷ σεῦ ἀποιχομένοιο καθ' Ἑλλάδα πᾶσαν ὀρίνθη
Πένθος, ἀμερθεῖσαν σῶν ἀρετῶν μεγάλων.

Ἄλλο.

Μὴ ἐπιτυμβιδίῃ τεκμαίρεο πέτρῃ, ὁδῖτα,
ἄνδρα τὸν ἐν τύμβῳ· ἔστι γὰρ ἥδ' ὀλίγη,
ἀλλὰ δέμας μεγάλοιο πάτρης προμάχοιο καλύπτει,
τοῦ Σαχίναο, γόνου ναυσικλυτῆς Ὑδρέης·
ὃς κατὰ δυσμενέων θάμ' ἀεθλεύσας ἐνὶ πόντῳ
πολλάκι νικαίῃ δάφνῃ ἔρεψε κάρη·
κληθεὶς δ' εἶτ' αὖ Ὄθωνος ἐνηέος ἀρχοῦ ὀπάων,
ὅρκῳ ἀεὶ ἐνέμειν ἔμπεδος ἐν βιότῳ.

Εἰς τὸν ναύαρχον Ἀντώνιον τὸν Κριεζῆν.

Αἰγηὶς κονίη Ἀντώνιον ἔνθα Κριεζῆν,
ναύαρχον κλεινόν, θρέμμ' Ὑδρέης κατέχει.
Εἰ δ' ἐθέλεις, ξένε, ἔργα δαήμεναι, ὅσσ' ἐτέλεσσε,
δουλοσύνης στυγερῆς Ἑλλάδα ῥυόμενος,

Αἰγαίου σπιλάδας Πελοποννήσου τ' ἐρέεινε
ἠϊόνας, Κρήτης τ', ἀντιπόρου τ' Ἀσίης·
κεῖναι γάρ μιν ἴδον βαιῆς ἐπὶ σέλματι νηὸς
πολλάκις Ὀθμανῶν νηυσὶν ἐπορνύμενον,
ναύτας δ' ἐς κρατερὴν ἐπιθαρσύνοντα κελευσμῷ
φύλοπιν, ἠδὲ τρέποντ' ἀντιπάλους φύγαδε.

Εἰς τὸν αὐτόν.

Γαῖα μέλαινα κέχανδ' Ἀντώνιον ἔνθα Κριεζῆν,
ἀμφιρύτης Ὑδρέης βλαστὸν ἀριπρεπέα,
ἄτρεστον συνάεθλον ἀριστομάχου Μιαούλου,
νικαίης δάφνης εἰν ἀέθλοις μέτοχον.
Οὐ γὰρ ὅ σεῦ ἀπάνευθε τροπήϊα τόσσα, Κριεζῆ,
οἴδματ' ἐπ' Αἰγαίῳ στῆσε κατ' ἀντιπάλων,
βαρβαρικῶν γαῦρα στυφελίξας στίφεα νηῶν,
καὶ πόντον πλήσας πολλάκι ναυαγίων.
Τῷ δὴ καί ἀρετῆς ἶσον κλέος ἤραο κείνῳ,
καὶ ἶσον πενθεῖ σ' Ἑλλὰς ἀποιχόμενον.

Εἰς τὸν ἐν Μοναχίῳ τῆς Βαυαρίας τάφον τοῦ βασιλέως τῆς Ἑλλάδος Ὄθωνος.

Τριτοῦς ἄστυ λιπὼν Βοΐων πόλιν ἐνθάδ' ἱκάνω,
δάφνης χειρὶ φέρων ὄζον ἀειθαλέος,
ὃν Κηφισοῦ ἔδρεψ' ἀκαλαῤῥείταο παρ' ὄχθης,
ὄφρ' ἱερὸν στέψω σὸν τάφον ἐνθάδ', Ὄθων.
Ἀλλά σε λίσσομ', ἄναξ, βαιὸν παρὰ σοῦ θεράποντος
τηλόθεν ἱκομένου τοῦτο δέδεξο γέρας.
καὶ βλεφάρων δὲ χοὴν ἀπ' ἐμῶν τάδε δάκρυα δέξο
σῆς ἀγανοφροσύνης οὔποτε λησομένου.

Εἰς τὸν αὐτόν.

Μὴ βλεφάροις προσίτω τις ἀτέγκτοις σήματι τῷδε
Ἕλλην, ἔνθ' ἐλθὼν εὐρυρέοντ' Ἴσαρα·
θερμὰ δὲ δάκρυ' Ὄθωνι, πολυστόνῳ Ἑλλάδος ἀρχῷ,

σπεισάτω, οὗ κονίην ἥδε λίθος κατέχει.
Καὶ λυγρὴν δὲ πάτρης ἀνακλαυσάτω αἶσαν, ἄνακτος
ἐσθλοῦ ἀμερθείσης ἀφραδίῃ ὀλίγων.
Πάντα γάρ οἱ ἐπιδοὺς οὗτος βίον, οὐ μεθέηκεν
ἐς τέλος ἰθύνων λαὸν ἐπισταμένως.
Ὄμματα δ' οὐ κοίμα καινὴν πόλιν ἡνιοχεύων,
ἤπιος ἦν δὲ λίην πᾶσιν ἐϋφρονέων.

Εἰς Ῥήγιον τὸν Φεραῖον πρωτομάρτυρα τῆς τοῦ ἑλληνικοῦ ἔθνους ἐλευθερίας.

Ἴστρου πὰρ ῥεέθροισι Φεραῖον Ῥήγιον ἔνθα
βαιὴ γαῖα κέκευθ' Ἑλλάδος υἷα μέγαν·
κήρυχ' Ἑλλήνεσσιν ἐλευθερίης ἐριηχῆ,
ἐμπνεύσαντα μένος πᾶσιν ὑπὲρ πατρίδος.
Τὸν μὲν Χριστιανοὶ Τούρκοις κτεῖναι παρέδωκαν
αἰσχρῶς, οὐδὲ Θεοῦ μῆνιν ὀπιζόμενοι·
ἀλλ' ὁσίου κείνου γ' ἐξ αἵματος ὕστερον αὖτις
πάτρης τιμωροὶ μυρίοι ἐξέφυσαν,
οἵτε μιν ἐῤῥύσαντο τυραννίδος ἐγρεμάχοισιν
ᾄσμασι τοῖς κείνου θυμὸν ὀρινόμενοι.

Εἰς τὸν αὐτόν.

Εἴ σύγ' ἀφ' Ἑλλάδος ἐνθάδ' ὁδίτης εὐρυρέεθρον
τῆλ' ἥκεις Ἴστρον Παννονίης πρὸς ὅροις,
τυτθὸν ἐπισχὼν νέρθε Φεραίου κέκλυθι φωνὴν
Ῥηγίου, οὗ τ' ὀστᾶ τῇδε κέκευθε κόνις.
Χριστιανῶν χεῖρές μ', ὢ αἴσχεος, οὐκ ἀδικεῦντα,
ἀλλὰ λύσιν δεινῶν πατρίδι μηδόμενον,
Ὀθμανοῖς παρέδωκαν ἀμειλίκτοισι τυράννοις,
οἳ πέφνον μ' ἰδὲ σῶμ' ἔνθ' ὑπὸ γῆν ἔβαλον.
Ἀλλ' ἐμὴ ἐγρέμαχος σὺν ἐμοὶ οὐκ ὤλετ' ἀοιδή,
ἐν φρεσὶ δ' Ἑλλήνων θούριον ὦρσε μένος·

οἳ κατ' ἀχαιΐδα γαῖαν ἀρήϊα τεύχε' ἑλόντες
εἴρυσαν ἐκ στυγερῆς πατρίδα δουλοσύνης.

Εἰς τὸν αὐτόν.

Ἐν πέδῳ Αἱμονίης Χαλκωδονίου ὑπὸ κνημῷ
ἀκτῖνα πρῶτον τὴν Φαέθοντος ἴδον.
Σχέτλια δ' ἐν νεότητι τυράννων νηλεοθύμων
ἔργα καὶ Ἑλλήνων ἄλγεα πόλλ' ὁρόων,
οὐ χάδον ἐν στήθεσσι τόσην ὕβριν, ἀλλ' ἀθεμίστων
τίσασθ' Ὀθμανῶν ὤμοσ' ἀτασθαλίην.
Χερσὶ δ' ἑλὼν κίθαριν μέλος ἤεισ', ᾧ ῥ' ὁμόδουλα
ὥρμησ' ἱμερτὴν φῦλ' ἐς ἐλευθερίην.
ἀλλ' ὑπὸ Χριστιανῶν προδοθείς, φεῦ, Ἴστρου ἐπ' ὄχθῃ
κεῖμαι, ὑπ' Ὀθμανῶν ὠμοφρόνων κτάμενος.

Εἰς τὸν πρὸ τοῦ Πανεπιστημίου ἐν Ἀθήναις ἱδρυθέντα ἀνδριάντα αὐτοῦ.

Σπέρματ' ἐλευθερίης ὁ Φεραῖος σπεῖρεν ἀοιδός·
καὶ ὃ μὲν ὤλετο, φεῦ· σπέρμα δ' ἔβλαστε μέγα.

Εἰς τὸν ἀείμνηστον Ἀλέξανδρον Μαυροκορδάτον τελευτήσαντα ἔτει αωξέ. μηνὶ Ἰουλίῳ.

Ἀτθὶς κέκευθεν ὧδ' Ἀλέξανδρον κόνις
ἄριστον ἐν βουλαῖσι Μαυροκορδάτον,
προστάντα πάσης Ἑλλάδος πρὶν καὶ κάρα
στεφθέντα δόξης χρυσοδαιδάλῳ στέφει·
πονουμένην γὰρ βαρβάρῳ πάτραν ἄρει
εὐτολμίᾳ τ' ἔσωσε καὶ φρενῶν κράτει·
τοὶ γὰρ λιπόντα φέγγος ἡλίου νόσῳ
πενθεῖ μιν Ἑλλὰς πᾶσα κἀποδύρεται.

Ἄλλο.

Κλεινοῦ κέκευθεν ἔνθ' Ἀλεξάνδρου κόνιν

ἡ χθών, ἐπίκλην Μαυροκορδάτου, ξένε·
ὅς εὐγενοῦς φὺς ἐν πόλει Βυζαντίδι
ῥίζης, τυραννίδ' ἐστύγησε βάρβαρον.
Δράσας δὲ πολλὰ χὐποτλὰς καθ' Ἑλλάδα
τόλμᾳ τε θυμοῦ καὶ φρενῶν εὐβουλίᾳ
σωτὴρ πέφηνεν ἐκ κακῶν τῇ πατρίδι.
Θανόντι δ' υἱεῖς μνῆμ' ἀνέστησαν τόδε
σὺν μητρί, θερμὰς δακρύων δόντες χοάς.

Ἄλλο.

Ἄλλος τις ἀλκῆς οὕνεκ' αἰνείσθω βροτῶν
ἔργων τε χειρὸς ἐν μάχαισιν ὀβρίμου·
γνώμην δ' ἄρ' οὐδεὶς τῷδ' ἰσόῤῥοπος νέκυι
ἦν καὶ τὰ κεδνὰ τῆς φρενὸς βουλεύματα.
Θακῶν γὰρ ἀνὴρ Ἑλλάδος πρύμνης ἔπι,
ὅπλων νιν ἡνίκ' εἶχε βαρβάρων κλύδων,
οἴακα νωμῶν, ὅρμον εἰς εὐήνεμον
Ἕλληνας ἤγαγ' ἐκ πολυφλοίσβου σάλου.
Τοιγὰρ καθ' Ἑλλάδ' ἄφθιτον μένει κλέος
καὶ φῶς λιπόντος Μαυροκορδάτου τόδε.

Εἰς Ἀθανάσιον Μιαούλην.

Πατρὸς ἀγακλυμένοιο μενεπτολέμου Μιαούλου
ἐν νήσῳ γεγαὼς ἀμφιρύτῃ Ὑδρέῃ
Ἰθμοσύνην ἐπόθησ' Ἀθανάσσιος ἐξέτι παιδός,
ἱμερτῶν Μουσῶν δῶρον ἀεξίνοον.
Ἴχνια δ' αὖ μεγάλου βαίνων πατρὸς οὔποτ' ἔληξε
πιστὸν ἔχων πάτρῃ καὶ βασιλῆϊ νόον.
Τῷ καὶ ὑποδρήσσων πόλλ' ἄρτια ἔργ' ἐτέλεσσεν,
Ἑλλάδος ἐνναέταις εὐνομίην παρέχων.
Νούσῳ δ' ἀργαλέῃ μοῖραν πλήσας βιότοιο,
ἐνθάδ' ἔδυ χθόνα, θεὶς πένθος ἅπασι φίλοις.

Ἕτερον.

Παῖς ἔτι πάντ' ἐδάη ποσσοῦ εἴδεα καὶ πάθε' αὐτοῦ,
  σύν τε νόμους πάντας τῆς μεγάλης Φύσιος,
ὄζος ἀριστάθλου Μιαούλου, ναυσικλυτῆς δὲ
  νήσου θρέμμ' Ὑδρέης, οὔνομ' Ἀθανάσιος.
Καὶ νέας ἰθύνειν ἐπὶ κυμαίνοντ' ἐδιδάχθη
  πόντῳ καὶ διέπειν φύλοπιν ἐν ῥοθίοις.
Ἔγνω καὶ πόλιος νωμᾶν οἴηκας, ἄνακτι
  πειθόμενος, πάτρῃ τ' ἐσθλὰ φίλῃ φρονέων.
Πολλὰ δ' ὑπὲρ ταύτης μοχθήσας, πολλά τε ῥέξας,
  ἐνθάδε νῦν κεῖται μοιριδίῳ θανάτῳ.

Εἰς Ἰωάννην Δήμου ἐκ Μηλιῶν τοῦ Πηλίου ὄρους.

Πρηῢν Ἰωάννην, πουλυφραδέ' υἱέα Δήμου,
  Μηλιέα, κρατερὸν μνήστορ' ἐλευθερίης,
ἐνθάδ' ἀποκτείναντες ἐπ' ἀτραποῦ αἱμοφόρυκτον
  ῥίψαν ἐρημαίης ἄνδρες ἀλιτρόνοοι,
οὔτε δίκην μερόπων, οὔτ' οὐρανίοιο ἄνακτος
  δείσαντες θυμῷ ὑστερόποινον ὄπιν.
Οὐδ' ἄρ' ἐφείσατ' Ἄρης πάτρης γλυκερῆς προμαχεῦντος,
  τοῦτον συμφύλων πέφνε κακοφραδίη.
Ἀλλὰ κακῶς ἀπόλοιντο κακοὶ τάχα καὶ βαρυπενθοῦς
  τίσειαν χήρης δάκρυα καὶ τεκέων.

Εἰς τὸν αὐτὸν ἕτερον.

Πατρίδ' Ἰωάννης μεμαὼς ῥύσασθ' ἀλεγεινῆς
  δουλοσύνης, υἱὸς Δήμου ἀριστόνοος,
λαὸν ἐλευθερίης ἐπὶ δύσπονον ὦρσεν ἄεθλον
  μάγνητ', Ὀθμανοῖς τ' ἔσσυτ' ἐναντίβιον.
Δευηθεὶς δὲ τύχης, οὐκ ἀλκῆς, ἔλλαχε πότμον
  ἀνδρῶν ἐξ ἰδίων, ἐνθάδ' ἀποκτάμενος.

Αἶ, αἶ· τὸν μεγάθυμον ἀλιτροὶ τίπτ' ἀεθλητὴν
καὶ κήρυκ' ἀδεῆ κτείνατ' ἐλευθερίης;
Αἶψα κακοὺς κίχοι ὔμμε δίκη· στυγερῷ δ' ἀπόλοισθε
οἴτῳ, ὅσοι χεῖρας χρήνατε τῷδε φόνῳ.

Σημ. Οἱ τοῦ Ἰωάννου Δήμου φονεῖς, ὁ ἐκ Προμηρίου Σύρος καὶ οἱ περὶ αὐτόν, τῆς ἑαυτῶν ἀθεμιτουργίας δίκην τάχιστα ἔτισαν· μικρῷ γὰρ ὕστερον συλλαβοῦσα ἀπέκτεινεν αὐτοὺς ἡ ἐν Τρικέροις ἀρχή.

Εἰς Ἰωάννην Φιλίππου Συμβανίκου τελευτήσαντα
ἐν Σύρῳ ἔτει αωκς'.

Πατρὸς ἔφυν ἀγαθοῖο Φιλίππου Συμβανίκοιο,
ἐν Ζαγορῇ δ' αἴγλην τὴν Φαέθοντος ἴδον,
οὔνομ' Ἰωάννης, ὃς πάτρης πολλάκι προστάς,
πολλὰ φίλοισι πρόφρων χραῖσμον ὁμοπτόλισι.
Τοῖς δ' ἀφελεῖν μετέπειτ' ἀπὸ δειρῆς δύσλοφον ἄχθος
δουλοσύνης μεμαώς, πόλλ' ἐν ὅπλοις ἔκαμον·
οὐδὲ ποθῆς ἔτυχον, πάτρης δ' ἐρατῆς ἀπεώσθην,
δυσμενέος λίην Ἄρεος ἀντιάσας.
Ἄλγεϊ δὲ πλήσας ἰδὲ νούσῳ μόρσιμον αἶσαν
ἐν Σύρῳ, λυπρὴν ἐνθάδε βῶλον ἔδυν.

Εἰς Ἱμερίαν.

Τρεῖς ἐν ἑνὶ κτερέϊξε δυσάμμορος ἤματι παῖδας
Ἱμερίη, λιμῷ πάντας ἀποφθιμένους·
Ἡνίκα δ' ἐκ τριπλόου παλίνορσος κήδεος οἶκον
ἤϊεν, ἐξαπίνης κῦρσε νέκυι τετράτῳ,
φιλτάτῳ Ἀλκιμένει παρακοίτῃ, ὃς δεδάϊκτο
λυγρῇ ἐν ὑσμίνῃ μαρνάμενος πρὸ πάτρης.
Σμερδαλέον δ' ᾤμωξε φίλον πόσιν αἱματόφυρτον
δερχθεῖσ' ἐν φερέτρῳ καὶ πλατάγησε χέρας.
Νεκρὸν δ' ἀμφιχυθεῖσα λιπόπνοος αὐτίκ' ἐκλίνθη,
καὶ ὁμὸν ἔσχε τάφον, τῷ ῥ' ὁμὸν εἶχε λέχος.

Εἰς Ἀθανάσιον Λιδωρίκην Γερουσιαστήν.

Σεμνῷ Ἀθανασίῳ Λιδωρίκῃ ᾧ γενετῆρι
σῆμα τόδε φθιμένῳ στήσατο Νικόλεως,
ὑστατίην κείνῳ τίνων χάριν, ὅς μιν ἔθρεψε
παῖδα καὶ εὖ ἔρρεξ' ἐσθλὰ διδαξάμενος.
Οὐδὲ φίλη πάτρη βουληφόρου ἀνδρὸς ὀπίσσω
λήσεθ', ὃς ἐν συνόδοις ἔπρεπε φραδμοσύνῃ.
Ὀψιγόνων δ' ἐρέει τις ὁρῶν τάφον· ἔστι καὶ οὗτος
τῶν πρὶν δουλοσύνης Ἑλλάδα ῥυσαμένων.

Εἰς Δημήτριον Πετροπουλάκην Συνταγματάρχην (αωό).

Τοῦτο τοκῆϊ φίλῳ Δημητρίῳ υἷες ἔθεντο
τῷ Πετροπουλάκῃ σῆμα βραχὺ φθιμένῳ.
Πρῶτον ὅγ' ἡβητὴς τρηχεῖς κνημοὺς σὺν ἑταίροις
ἰφθίμοις προλιπὼν Τηϋγέτου πατρίου,
Ἑλλάδος ἀμφὶ φίλης θάμ' ἔδυ μόθον αἱματόεντα,
δάφνης τ' εὐθαλέος στέψε κλάδοις κροτάφους.
Εἶτα δὲ Θεσσαλίης Κρήτης τε πρόφρων ἐπαμύνας
λαοῖς, ὀψὲ βίου καινὸν ἔδρεψε κλέος.
Νούσῳ δὲ δμηθεὶς ὑπὸ γαίῃ τῇ δε τέθαπται,
πένθος ἑῷ οἴκῳ θεὶς μέγα καὶ πατρίδι.

Εἰς Ἰωάννην Κασσαβέτην καὶ τὴν σύζυγον Μαρίαν.

Ὀστέ' Ἰωάννου ἐπίκλησιν Κασσαβέταο
ἧς τ' ἀλόχου Μαρίης εἷς τάφος ἐνθάδ' ἔχει.
Πάτρην μὲν Ζαγορὴν ἐπὶ Πηλίῳ ἔλλαχον ἄμφω,
ἁγνοῦ δ' ἐν Σύρῳ τέρμ' ἀφίκοντο βίου,
πᾶσι φίλοισι πόθον θέντες μέγαν ἠδὲ πένησι,
τοῖς ἐπάρηγον ἀεὶ δευομένοις προφρόνως.
Τῷ σφεας ὑψιμέδων βίον εἰς ἄλληκτον ἔπειτα
ἐκ χθονὸς ἀνστήσας ὄλβια πάντ' ὀπάσαι.

Εἰς Ἀντώνιον Α. Κασσαβέτην (αωοβ΄).

Πάτρης φὺς Ζαγορῆς Ἀντώνιος εὐγεννὲς ἔρνος,
Κασσαβέτης ἐπίκλην, αἵρεσιν ἔσχε βίου
ἁγνὴν ἐμπορίην, ἐσθλήν τ' ἐκτήσατο δόξαν
ἐν θνητοῖς, ἀδίκου παντὸς ἀφιστάμενος.
Νούσῳ δὲ δμηθέντα βαρύστονος ἐνθάδε χήρη
θῆχ' ὑπὸ γῆν καί οἱ σῆμ' ἐπέθηκε τόδε.

Εἰς Κωνσταντῖνον Ἀσώπιον,[1] Καθηγητὴν τῆς Ἰονίου καὶ τῆς ἐν Ἀθήναις Ἀκαδημίας.

Ἀτθὶς Κωνσταντῖνον Ἀσώπιον ἐνθάδε γαῖα,
Ἠπείρου βλαστὸν κεύθει ἀριπρεπέα,
κύδιστον σοφίης πολυηράτου ἱεροφάντην,
παντοίης ἀρετῆς κάλλεϊ λαμπόμενον.
Ἀλλὰ δάφνης πτόρθοις ἑλικωνίδος, ὡς ἐπέοικε,
μύσται Μουσάων, τὸν τάφον οἱ στέφετε.

Εἰς τὸν αὐτόν.

Ἄλλοι ἐλευθερίης ἐν ἀέθλοις ἄφθιτον αἰὲν
ἤραντο κλεῖος μαρνάμενοι πρὸ πάτρης·
αὐτὰρ Κωνσταντῖνος Ἀσώπιος, εὐτέκνου εὖχος
Ἠπείρου, ἀέθλου κρείσσονος ἀντιάσας,
Ἑλλάδ' ἀϊδρείης πάλιν εἴρυσεν ἐξ ἀλεγεινῆς,
μοχθήσας δολιχῷ πολλὰ μάλ' ἐν βιότῳ.
Τῷ μιν ὀδυρομένη πόλις ἐκτέρισ' ἔνθα θανόντα
καί οἱ ἔρεψε δάφνῃ σῆμ' ἑλικωνιάδι.

---

[1] Τὸ ὄνομα Ἀσώπιος ἀπὸ τοῦ Ἀσωπὸς παραγόμενον ἔχει τὴν ἄρχουσαν μακράν· οὐδὲν ὅμως κωλύει σύνθετον αὐτὸ ἐκ τοῦ στερητικοῦ α καὶ τοῦ δωρικοῦ ῥήματος σωπάω ὑποθέσθαι καὶ βραχῦναι τὴν ἄρχουσαν.

Εἰς τὸν αὐτόν.

Μοῦσαι Κωνσταντίνῳ Ἀσωπίῳ ἐγγυάλιξαν
ἰδμοσύνης πλοῦτον παρμόνιμον βιότῳ.
Μύθων δ' αἱμυλίην Χάριτες πόρον εὐτράπελόν τε
ἦθος, τῷ ῥα βροτοῖς ἡδὺς ἅπασιν ἔην.
Παντοῖαι δ' ἀρεταὶ στέψαν κάρη ἀνέρος ἐσθλοῦ
καὶ σεμνόν μιν ὁμῶς πᾶσιν ἔθηκαν ἰδεῖν.
Ἔμπης καὶ τοίου νηλὴς οὐ φείσατο πότμος,
ἀλλ' ἀρετὰς τόσσας ἔνθ' ἐκάλυψε τάφος.
Ὦ μερόπων αἴσης μάλα λυγρῆς! ὡς ταχὺ καλὰ
οἷα ῥόδα φθινύθει πάντα μαραινόμενα!

Εἰς τὸν αὐτόν.

Κλεινὸς Κωνσταντῖνος Ἀσώπιος ἀτθίδα γαῖαν
ἐν γήρᾳ δὺς εὕδει νήγρετον ἐνθάδ' ὕπνον.
Ἠπείροιο γόνος, Μουσῶν ὁσίων ὀαριστής,
ἔξοχος ἰδμοσύνης τερψινόου ταμίας.
Γλῶσσα δέ οἱ δέδεται, στόμα δ' αὖ κέκλειστ' ἀλύτοισι
κληΐθροις, προχέον νάματα πρὶν σοφίης.
Τοῖο δ' ὁμιληταῖς σὺν ἀπείροσιν Ἑλλὰς ἅπασα
ἔνδικ' ἄληκτον ἔχει πένθος ἐπὶ φθιμένῳ.

Εἰς τὸν αὐτόν.

Τηλαυγὴς σοφίης φανὸς χθονὶ δηθὰ φαείνας
Ἑλλάδι, ἐσβέσθη γήραος ἀδρανίῃ
ἐσθλὸς Κωνσταντῖνος Ἀσώπιος, ἀγλαὸν ἔρνος
Ἠπείροιο, βιοὺς ἐννέ' ἐτῶν δεκάδας.
Σὺν δὲ πόλει πάσῃ Ἀκαδημίης θιασῶται
ἐνθάδ' ὀδυρόμενοι τὸν νέκυν ἐκτέρισαν.

Εἰς τὸ ἐν Πειραιεῖ κοινοτάφιον τοῦ οἴκου Λουκᾶ Ῥάλλη.

Λουκᾶς ἀμφιρύτης γέννημα Χίου, ἐπίκλησιν

Ῥάλλης, ἐμπορίῃ ἄρκιον ἔσχε βίον.
δώδεκα δὲ προστὰς Πειραιῆος λυκάβαντας,
δῆμον κοσμήσας κτίσμασιν ἠγλάϊσε.
Ζῶν δ' ἔτι οἷ τ' αὐτῷ καὶ ὁμεύνῳ καὶ τεκέεσσιν
ἧς μνῆμα στοργῆς δείματο σῆμα τόδε·
οὓς γὰρ θεσμὸς ἔμιξ' ἱερὸς γάμου ἢ ὁμὸν αἷμα,
ἐν δὲ βίῳ δόμος εἷς ἔστεγε, τούς δ' ἔθελε
καὶ φθιμένους εὕδειν ἐν ὁμῷ τάφῳ, εἰσόκε σάλπιγξ
ἀγγέλου ἀνστήσῃσ' ἐς βιοτὴν σφε νέην,

Εἰς τὸ ἐν Πειραιεῖ κοιμητήριον τοῦ οἴκου Αὐγούστου Κ. Ἀγελάστου.

Αὔγουστος Κοσμᾶς ἐπίκλην Ἀγέλαστος ἐραννῇ
ἠέλιον πρώτιστ' ἐν Χίῳ ηὐγάσατο.
Πολλὰ δ' ἄρ' ἀνδρῶν ἄστε' ἐπήλυθεν, ὀλβιοδῶτιν
τῆλε πάτρης ὁσίως ἐμπορίην μεθέπων.
Μέτρια δ' ἀψεγέως ἐκτήσατο, τοῖσιν ἀρήγων
οὔποτε συμφύλοις παύσατο καὶ πατρίδι.
Ἐν ζωοῖς δ' ἔτ' ἐών, θνητῶν μεμνημένος αἴσης,
παντὶ ἑῷ οἴκῳ εἵσατο σῆμα τόδε,
Ἑλλάδος ἐν κόλποις μητρὸς ποθέων μετὰ πότμον
εὕδειν σύν τ' ἀλόχῳ καὶ τεκέεσσι φίλοις.

Εἰς Καλλιόπην Ἀμανίτιδα ἐκ Κυδωνιῶν.

Κεδνὴν Καλλιόπην Ἀμανίτιδα, εἶδος ἀγητὴν
καὶ φρένας αἰολίδων ἔξοχ' ἰοβλεφάρων,
τηλοῦ ἐπὶ ξείνης νούσῳ φθιμένην ἀλεγεινῇ
πᾶσα Κυδωνιέων ἐστονάχησε πόλις.
Δακρυχέων δὲ πόσις Δημήτριος ἔνθ' ὑπὸ γαῖαν
θῆκε φίλην νεκρὴν σήματ' ἔγειρε τόδε.

Εἰς τὴν αὐτήν.

Ἐνθάδε Καλλιόπην Ἀμανίδικα γαῖα καλύπτει,

λυγρῇ ἐπ' ἀλλοτρίης νούσῳ ἀποφθιμένην,
σύλλεκτρον κεδνὴν Δημητρίου εὐπατρίδαο
τοῦ Ἀθανασσιάδου, ὃν μέγα πένθος ἔχει.

Εἰς Πηνελόπην Λεγάτου, σύζυγον Εὐαγγελινοῦ Π. Ἀχιλλοπούλου (αωξέ).

Πηνελόπη πάσῃσι μετέπρεπε θηλυτέρῃσιν
ἤθεσι μειλιχίοις καὶ πινυτοφροσύνῃ.
ἐν δ' ἀκμῇ βιότου στυγερῇ νόσῳ εἰς ἀΐδαο
στελλομένη, τοκέας καὶ πόσιν ἠδὲ τέκνα
ὑστάτιον κύσασ' ἐφθέγξατο· χαίρετ' ἐσαιέν·
χαίρετε καὶ μνῆστιν σώζετε Πηνελόπης.
Οἳ δέ μιν εὐρυρέοντος ἐπ' ἠόνι δακρυχέοντες
τάρχυσαν Νείλου, μνῆμά τ' ἔθεντο τόδε.

Εἰς Χριστόφορον Φιλητᾶν, Καθηγητὴν τῆς Ἰονίου Ἀκαδημίας (αωξή).

Οὗτος Χριστοφόροιο Φιλητᾶ ὀστέα κεύθει
Μουσάων σεμνοῦ μυστιπόλοιο τάφος,
ὃς τ' Ἠπείρου ἔφυ κλεινὸς γόνος, Αὐσονίης δὲ
ἱμέρῳ ἰδμοσύνης ἄστεα πολλὰ ἴδεν.
Εἶτ' Ἀκαδημίης δὴν προστὰς Ἰονίοιο,
πλείστοις ἰδρείης ἧς μετέδωκε νέοις.
Τῷ ῥα δαμεὶς νούσῳ καὶ γήραϊ Ἑλλάδι πάσῃ,
ἔξοχ' ὁμιληταῖς, πένθος ἔθηκε φίλοις.

Εἰς Πέτρον Ἀχιλλᾶν μάγγητα

Ἁγνὸν ὅλον βίοτον σταδιεύσας Πέτρος Ἀχιλλᾶς
ἐνθ' ὑπὸ γῆν κεῖται πατρίδ' ἀποφθίμενος·
ἦ τ' ἀλόχῳ τέκνοις τε ποθεινὸς καὶ πολιήταις,
τοῖς ἀγαθὴ μνῆστις μίμνει ἀποιχομένου.

Εἰς Θεόδωρον Μανούσην Ἀρεοπαγίτην καὶ καθηγητὴν τῆς Ἀκαδημίας (φωνή).

Οὔνομα μὲν Θεόδωρον, ἐπωνυμίην δὲ Μανούσην,
θρέμμα Σιατίστων ἠμαθίδος πόλιος,
πολλὰ μεριμνήσαντ' ἀμφ' Ἑλλάδος, ὥς κ' ἐρύσηται
αὐχέν' ὑπὲκ ζεύγλης, πολλὰ δ' ἔπειτα πάλιν
εἰν Ἀκαδημίῃ μοχθήσαντ', ὄφρα μυήσῃ
σεμνὰ μάλ' ἠϊθέους ὄργια Πιερίδων,
ἰδμοσύνης ταμίαν, ἁγνὸν Θέμιδος θεράποντα,
Ἀρείοιο Πάγου τ' ἰθυδίκην σύνεδρον,
κεκροπὶς ἐνθάδ' ἔχει φθίμενον κόνις, ἔνθ' ὀαριστῶν
θάψε μιν ἠδ' ἑτάρων ἀχνύμενος θίασος.

Εἰς τὸν αὐτόν.

Πάτρην μὲν Σιάτιστα, Μακηδονίης πτολίεθρον
ἔλλαχε, μυστιπόλος δ' ἔπλετο Πιερίδων
τερψινόων Θεόδωρος, ἐπωνυμίην ὁ Μανούσης,
ἰδμοσύνῃ τε πρέπων ἠδὲ σαοφροσύνῃ.
Δὴν ὁ δικασπολέων Πάγου Ἀρείου ἐπὶ θώκῳ
πᾶσι τίταινεν ὁμῶς ἶσα τάλαντα Δίκης.
Δὴν δ' ἄρ' ἔπειτ' ἀφ' ἕδρης Ἀκαδημίης νεοτεύκτου
χεῦ' ἐρατῆς σοφίης ἠϊθέοις λιβάδας.
Τῷ μιν πρεσβυγενῆ φθίμενον πένθησ' ὀαριστῶν
σύλλογος ἠδ' ἑτάρων, ἐνθάδε τ' ἐκτέρισεν.

Εἰς Παναγιώτην Σπηλιάδην Ἀρεοπαγίτην.

Πάτρην ἔλλαχε Πύργον ἐν Ἤλιδι πουλυβοτείρῃ,
ἁγνὸς δ' οὐρανίης ἦν Θέμιδος πρόπολος,
Σπηλιάδης γενεήν, φρένας ἐσθλὸς Παναγιώτης,
καὶ σεμνῶν Ἐφετῶν ἰθύδικος Πρόεδρος.
Ἐν βίῳ αἰδοῖον, μετὰ πότμον δ' αὖτε ποθεινὸν

πᾶσίν ἑ θῆκ' ἀρετὴ καὶ ἀγανοφροσύνη.
Λυγρῆ δὲ φθιμένῳ νούσῳ τάφον ἐνθάδε χήρη
τεῦξε, πόσιν γλυκερὸν πόλλ' ὀλοφυραμένη.

Εἰς Νικόλαον Φλογαΐτην Πρόεδρον τῶν Ἐφετῶν.

Νικόλεων ἐπίκλην Φλογαΐτην ἐνθάδε γαῖα
κεύθει ὑπ' ἀργαλέῃ νούσῳ ἀποφθίμενον,
ὃς θάμ' ὑπὲρ πάτρης ἀεθλεύσας ἠδέ τ' ἀμεμφῆ
Ἑλλήνων φῆνας μῆτιν ἐνὶ ξυνόδοις,
δὴν ἴθυνεν ἔπειτα, θεμιστοπόλων προεδρεύων
Ναυπλίῃ ἐν κλεινῇ, ὀρθὰ τάλαντα δίκης.
Τῷ δ' ἄρ' ἅπας οἶκος τάφον ἐνθάδε χεῦε θανόντι
καί οἱ μνῆμ' ὀπίσω τόνδ' ἐπέθηκε λίθον.

Εἰς τὸν αὐτόν.

Ἔντ' ἀέθλοισιν Ἄρηος ἰδ' ἐν βουλῆσιν Ἀχαιῶν
πρόσθεν ἀριστεύσας, εἶθ' ἱερῆς Θέμιδος
δὴν ἴθυνε τάλαντα, θεμιστοπόλων προεδρεύων
εἰν αἰπυδμήτῳ Ναυπλιέων πόλεϊ,
Νικόλεως ἐπίκλην Φλογαΐτης, ὃς μετὰ πᾶσιν
ἔπρεπεν εὐσεβίῃ καὶ πινυτοφροσύνῃ.
Τῷ δ' ἄρ' ἅπας οἶκος φθιμένῳ τάφον ἐνθάδ' ἔτευξε
καὶ τήνδ' οἱ βαιὸν μνῆμ' ἐπέρεισε λίθον.

Εἰς Ἰωάννην Ὀλύμπιον ἰατρόν, καθηγητὴν τῆς ἐν Ἀθήναις Ἀκαδημίας (αωξθ').

Ἐσθλὸς Ἰωάννης ὁ Ὀλύμπιος ἔνθ' ὑπὸ γαίῃ
κοιμᾶται κλινθεὶς ὕπνον ὀφειλόμενον.
Τῆς ἀσκληπιαδῶν ἀκεσιμβρότου ὄργια τέχνης
κλεινῆς Τευτονίης ἐν πολίεσσι δαείς,
πολλοὺς ἐκ χειρῶν στυγνοῦ ἐσάωσε Χάρωνος,
αὐτὸς ὅμως γ', αἶ, αἶ, οὐχ ὑπάλυξε μόρον·

ἀπροφάτῳ δὲ λιπὼν πότμῳ φάος ἠελίοιο,
πένθος ὄρινεν ἑῷ οἴκῳ ἑοῖς θ' ἑτάροις.
Μύσται δ', οὓς ζώων παιώνια ἔργ' ἐδίδασκεν,
ἀχνύμενοι πάντες κλαῦσαν ἀποιχόμενον.

Εἰς Ἑλένην σύζυγον Καλλιβύρσου ἰατροῦ.

Σεμνὴν κέκευθε Καλλιβύρσου σύγγαμον
Ἑλένην Ἀθηνῶν ἐνθάδε κλεινὸν πέδον,
πικρᾶς λιποῦσαν, φεῦ, ὑπ' ὠδῖνος βίον·
τέρεν δ' ἅμ' αὐτῇ κέκλιται θυγάτριον,
Θάλεια, δρεπτὸν ὡς ἀγροῦ καλὸν κρίνον.
Τλήμων δ' ὅμευνος καὶ πατήρ, τῶν φιλτάτων
στερείς, ἔθηκε σῆμα τοῖν νεκροῖν τόδε,
θερμαῖς ἀπ' ὄσσοιν τὴν κόνιν τέγξας χοαῖς.

Εἰς Γεώργιον Χρυσοβέργην.

Πατρὶ Γεωργίῳ εἶσεν ἐπίκλην Χρυσεοβέργῃ
τοῦτο τριὰς τεκέων σῆμα βραχὺ φθιμένῳ.
Ῥύσιον ἔσχ' ὁ νέκυς Βιθυνίδι πατρίδ' ἐπ' ἀκτῇ·
λάτρις δ' ἐκ παιδὸς Πιερίδων γένετο.
Παισὶ δ' ἄρ' Ἑλλήνων πολλοῖς ὁδὸν ἡγεμονεύσας
Παρνησοῦ ἐπ' ἄκρην μοῖραν ἔπλησε βίου.

Εἰς Ἰσίδωρον Κολεάτον Ἱερέα ἀθηναῖον.

Τοῦ παντάνακτος εὐαγὴς θυηπόλος
γεγὼς ὁ σεμνὸς Ἰσίδωρος οὐπίκλην
Κολεάτος, αὑτὸν παντὶ τῷ Χριστωνύμῳ
λαῷ παρέσχεν εὐσεβοῦς βίου τύπον.
Γῆρας προελθὼν δ' ἐς λιποσθενές, χθόνα
λιπών, δικαίων ἐς δόμους ἀπέπτατο.
Υἱεῖς δὲ νεκρὸν ἐγκαλύψαντες κόνει·
ἔθεντο σῆμα πατρὶ φιλτάτῳ τόδε.

Εἰς Παναγιώτην Χριστόπολον δικηγόρον (αωξϐʹ).

Τῇ δε θανὼν κεκάλυπται ὑπὸ χθονὶ Παναγιώτης
Χριστόπολος, σεμνὸς μυστιπόλος Θέμιδος.
Ἀνδρίσσαινα φίλη ἔπλε οἱ πάτρη, ἔνθα γε πατρὸς
φὺς ἀγαθοῖο, λόγους παῖς ἔτ' ἐὼν ἐδάη.
Τεύχεσι δ' ἡϐήσας χέρας ὥπλισεν ἠδ' ἐμόγησε
δηρόν, ἐλευθερίην Ἑλλάδος ἀρνύμενος.
Εἶτα δικηγορέων ἐπὶ κέρδεϊ οὔποτε γλῶσσαν
δίνευε στρεπτήν, εὐδικίας δ' ἄνεχε.
Τῷ μιν ἀποφθίμενον Μεσσήνιοι ἠδὲ Λάκωνες
πένθησαν, πάντες τ' Ἀρκαδίης ναέται.

Εἰς Χαραλάμπη Χριστόπολον Μήστωρα
τῆς δημοσίας παιδεύσεως (αωξηʹ).

Ἰδμοσύνην ποθέσας ἀρετήν τ' ἐσθλὸς Χαραλάμπης
Χριστόπολος, πάτρης Ἀρκαδίης προλιπὼν
οὔρεα πουλυϐότοιο, λόγων διζήσατο πηγάς,
ἐλθὼν δ' ἤφυσ' ἄδην θελξινόους λιϐάδας.
Δὴν δ' ἄρ' ἔπειτα πόληΐ θ' ὑποδρήσσων καὶ ἄνακτι,
πόλλ' ὤνησε φίλην ᾗ πινυτῆτι πάτρην.
Τοὔνεκ' ἀποφθιμένοιο κατήφησ' ἄστυ Ἀθηνῶν,
ῥᾶνε δὲ λαὸς ἅπας εὐλογίῃσι τάφον.

Εἰς Κωνσταντῖνον Γεννάδιον.

Ἐνθάδε Κωνσταντῖνον ἔχει κλυτὴ αἶα Βρετανῶν,
Γενναδίου Μουσῶν μυστιπόλοιο γόνον,
πατρίδ' Ἀθηναῖον, κερδεμπόρου Ἑρμοῦ ὀπηδόν,
ὀκτωκαιδεκέτη νούσῳ ἀποφθίμενον.

Εἰς τὸν αὐτόν.

Υἱέα Γενναδίου Κωνσταντῖνον λίθος ἧδε

ἥβης εἰν ἀκμῇ κεύθει ἀποφθίμενον,
ὅς τε πάτρην Τριτοῦς πόλιν ἔλλαχεν, εἵλετο δ' ἐλθὼν
κλεινὴν Βρεττανίην ἐμπορικὸν βίοτον.
Ἀλλ' ἀποτῆλε φίλης μητρός τέ μιν ἠδέ θ' ὁμαίμων
ὀκτωκαιδεκέτη λυγρὸς ἔμαρψε μόρος.

Εἰς τὸν αὐτόν.

Ἑλλάδος εἰ πλείεις, ξέν', ἐς ἀκτάς, πατρίδι χαίρειν
εἰπὲ φίλῃ, ἱερῇ Τριτογενοῦς πόλεϊ.
Μητρὶ δ' ἐμῇ, χήρῃ βαρυπενθέϊ Γενναδίοιο,
μὴ ἐμὸν ἀγγείλῃς πότμον ἐπ' ἀλλοτρίης.
Δυστήνου φεῖσαι πρεσβύτιδος, ἣ φθιμένοιο
Κωνσταντίνου ἑοῦ λυγρῇ ἐπ' ἀγγελίῃ
κωκυτόν κεν ἄληκτον ἀφείη, χερσὶν ἐθείρας
ἀμφοτέρῃς πολιοῦ κρατὸς ὀλοπτομένη.

Εἰς Μαρίαν Ἀλεξάνδρου Κουμουνδούρου.

Παρθενικὴ Μαρίη, εἶδος Χαρίτεσσιν ὁμοίη,
εὕδει κεκλιμένη νήγρετον ἐνθάδ' ὕπνον,
κούρη Ἀλεξάνδρου Κουμουνδούρου ἐπίκλησιν,
πὰρ ποσὶ Τηϋγέτου πρῶτον ἰδοῦσα φάος.
Πρὸς δυσὶ δὶς δέκ' ἐτῶν γεγονυῖα κατέφθιτο λυγρῇ
νούσῳ Ἀθηναίης εἰν ἱερῇ πόλεϊ.
Τὴν δὲ πατὴρ στενάχων ψαφαρὴν ὑπὸ γαῖαν ἔκρυψεν
ἐνθάδε καὶ ψυχρὸν σῆμ' ἐπέθηκε λίθον.

Εἰς τὴν αὐτήν.

Ἠύθ' ὑπὸ πνοιῇσι λιβὸς ἤμυσε θερείης
λείριον ὠχρῆσαν πὰρ ῥεέθρῳ Παμίσου,
οὕτως ἀργαλέῃ ὑπὸ νούσῳ κάλλιμος ἔνθα
δμηθεῖσα κλίνθη παρθενικὴ Μαρίη.
Πεπνυμένη Μαρίη, Κουμουνδούρου τριφίλητος

κούρη Ἀλεξάνδρου καὶ ἀνάπαυλα βίου.
Οὐ χορός οἱ Ὑμέναιον ἐμέλψατο παρθενικάων,
εἰς δ' ἀίδην, αἶ, αἶ, κλαῦσέ μιν οἰχομένην.
Τῇ δ' ἔπι θερμὰ πατὴρ θάμ' ἀπ' ὄσσοιν δάκρυα λείβων
μνῆμα φίλης θυγατρὸς τοῦτ' ἔθετο φθιμένης.

Εἰς τὸν διδάσκαλον Ἀναστάσιον Σακελλάριον τελευτήσαντα ἐν Γαλαζίῳ τῆς Δακίας (αωξϛ').

Ἠπείρου ἐπ' ὄρεσφι πόλου φαεσίμβροτον ὄμμα
πρῶτον Ἀναστάσιος εἶδ' ὁ Σακελλάριος.
Ἰδμοσύνης δὲ πόθῳ φλεχθεὶς ἁγνῷ ἐμυήθη
πρωθήβης σεμνῶν ὄργια Πιερίδων.
Ἑξῆς δ' ὀκτὼ ἔτη πρὸς τεσσαράκοντα διδάξας
Ἑλλήνων παῖδας τὴν πάτριον σοφίην,
τῆλε φίλης πάτρης φθίμενος τάφον ἔλλαχε τόνδε,
ἕκτον ἔτος τότ' ἄγων ἑβδομάτης δεκάδος.

Εἰς τὸν αὐτόν.

Ἠπείρου κλυτὸν ἔρνος Ἀναστάσιος κεκάλυπται
τῆδε φίλης πάτρης τῆλε Σακελλάριος,
κουρῶν πιερίδων πολυΐδμων ἱεροφάντης,
τῶν πλείστους ἐμύησ' ὄργια σεμνὰ νέους.
Ἓξ δὲ πρὸς ἑξήκοντα βιοὺς ἔτη ἔφθιτο νούσῳ,
μνήμην εἷο λιπὼν ἄφθιτον ἐξοπίσω.

Εἰς τὸν αὐτόν.

Ἴστρου πὰρ ῥεέθρῳ με φίλαι χέρες ἐκτερέϊξαν
υἷα Σακελλαρίου τοὔνομ' Ἀναστάσιον,
τῆλε θανόντα πάτρης ἐρικυδέος Ἠπείροιο,
τῆς παῖδας πατρίους δὴν ἐδίδαξα λόγους.
Εἰ δ' ὁμοεθνῶν τις πρὸς ἐμὸν τόδε σῆμα πελάζεις,
χαῖρέ τε καὶ χαίρειν εἰπὲ φίλῃ πατρίδι,

τῆς καὶ ἐν ὑστατίῃ ὥρῃ βίου ἡδύ μοί ἐστιν
οὔνομα καὶ αὐγῆς ἡλίου ἡδύτερον.

Εἰς Δημήτριον Μαυροφρύδην Καθηγητὴν (αωξς΄)

Ἐνθάδ᾽ ἔχει κονίη Μεσολογγίου αἱμοφόρυκτος,
ἀνδρῶν ἀλκιμάχων κυδαλίμοιο τάφου,
χρηστὸν Καππαδόκην Δημήτριον ἀγλαοδώρων
Μουσάων λάτριν, Μαυροφρύδην ἐπίκλην.
Γραμματικῆς οὗτος διφήσας βένθεα πάντα
θῆκε πρόοπτα νέοις ἅ σφιν ἔην ἄδυτα.
Πολλὰ δ᾽ ἄρ᾽ ἀμφὶ λόγοις μοχθήσας, οἷς ὀαρισταῖς
μνῆστίν τ᾽ ἠδὲ ποθὴν πᾶσι λίπε φθίμενος.

Εἰς τὸν αὐτόν.

Γαίης Καππαδόκων Δημήτριος εὐθαλὲς ἔρνος,
ἐξ ἐσθλῶν ἐσθλός, Μαυροφρύδης ἐπίκλην,
τηλόθεν ἱκόμενος Μουσῶν πόθῳ ἀγλαοδώρων
καὶ χωλός περ ἐών, ἀρτιπόδων τάχιον
Παρνησοῦ ἀνέβη κνημὸν μέγαν, ἔνθα γ᾽ ἄμυστιν
ἱροῦ Κασταλίης νάματος ἐσπάσατο.
Κείνῳ δ᾽ ἐνθεάσας ποτῷ ὄργια σεμνὰ μύησε
Μουσάων πολλοὺς Ἑλλάδος ἠϊθέους.
Ἀλλ᾽ ἀκμαῖον ἔτι φθινὰς εἷλέ μιν ἐξ ἀδοκήτου
νοῦσος, ἰδ᾽ ἱμερτοῦ, φεῦ, ἀπάμερσε φάους.
Πενθοῦντες δὲ φίλοι φθιμένῳ τάφον ἐνθάδ᾽ ἔτευξαν,
οὐ βαιῆς βαιὸν μνημόσυνον σοφίης.

Εἰς Ἀλέξανδρον Δαμασκηνὸν Κερκυραῖον (αωξη΄).

Κλεινὴ Ἀλεξάνδροιο Δαμασκηνοῦ ἐπίκλησιν
Κέρκυρ᾽ ἔπλε πάτρη, νῆσος ἁλιστέφανος.
Εὐφυίῃ δ᾽ ὁ νόοιο θεμιστοσύνας τε διδαχθεὶς
παντοίους τε λόγους, εὖ συνέταξε βίον.

Καί ῥα θεμιστεύων πολιήταις αἰὲν ἐνώμα
ἰθεῖαν πλάστιγγ' ἀστυόχοιο Δίκης.
Βουλῆς δ' Ἰονίου προεδρεύσας ἠδὲ γερόντων
πλεῖστ' ὤνησε φίλην ἧς ἀρετῇσι πόλιν.
Τῷ μιν ἀποφθίμενον Κερκυραίων ὑπὸ γαῖαν
ἐνθάδε λαὸς ἅπας θῆκε κατηφιόων.

Σημ. Τὸ τελευταῖον δίστιχον γράφεται καὶ ὧδε.

Τοὔνεχ' ἕο φθιμένου Κερκυραίων ὁμοδήμων
λαὸς ἅπας πενθῶν ἐνθάδ' ἔθηκε κόνιν.

Εἰς Ἰωάννην Μαρῖνον Λευκάδιον (ηωξε').

'Ενθάδ' Ἰωάννου κατέχει χθὼν σῶμα Μαρίνου,
ἔρνεος εὐθαλέος Λευκάδος ἀμφιρύτης,
ὅς τε δικηγορέων βουληγορέων τ' ἐφαάνθη
ἀδικίης ἄλκαρ καὶ πρόμος ἧς πατρίδος.
'Αλλὰ φάους μιν ἄμερσε ταχὺς μόρος· αὐτὰρ ὅμαιμος
σῆμα τόδ' οἱ στενάχων στήσατ' Ἀναστάσιος.

Εἰς τὸν αὐτόν.

Λευκὰς Ἰωάννην ἁλίκλυστος φῦσε Μαρῖνον,
σὺν Μούσῃς δ' ἁγνὴ παῖδ' ἀνέθρεψε Θέμις·
τῆς πιστὸς θεράπων γεγαὼς ἀεί, ἰδμοσύνῃ τε
ἤμυνε πλείστοις καὶ ἐπέων δυνάμει.
Βουλῇ δ' Ἰονίῳ ἐναρίθμιος ἤρατο κλεῖος,
Ἑλλήνων συνάγων εἰς ἑνότητα γένος.
Εἶτα δ' ἄρ' ἐν συνόδῳ Παναχαιῶν ᾗ πινυτῆτι
τιμὴν πρὸς πάντων ἡγεμόνος τ' ἔλαχεν.
Ἀλλὰ πρόμοιρος ἄφνω μιν ἕλεν μόρος, ἄλγος ἅπασι
θεὶς ὀξὺ γνωτοῖς, ἔξοχα δ' ᾧ κάσιϊ,
ὃς κονίην φθιμένου θαλεροῖς μάλα δάκρυσι δεύσας,
τοῦτ' ἐπ' ἀδελφειῷ στήσατο σῆμα φίλῳ.

Εἰς Μαρῖνον Βρεττὸν Λευκάδιον.

Φῦσε κλυτὴ Κέρκυρα, τιθήνησαν δ' ἄρα Μοῦσαι,
θεσμοὺς δ' ἀστυόχους ἐξεδίδαξε Θέμις
πᾶσι φίλα φρονέοντα Μαρῖνον, Βρεττὸν ἐπίκλην,
ὃν τίμησ' Ἑλλὰς τρισσάκι προξενίῃ.
Τὸν δὲ θανόντα πατὴρ παρὰ φιλτάτῃ ἔνθ' ὑπὸ γαῖαν
μητέρι προφθιμένῃ θῆκε βαρυστενάχων.

Εἰς Ἰεζεκιὴλ τὸν Καλύμνιον.

Γράμματά θ' Ἑλλήνων καὶ Χριστοῦ ἁγνὰ διδάξας
Θέσμι' Ἰεζεκιὴλ παῖδας ὁμοπτόλιας,
γήραος ἠπεδανοῦ μέτρον ἱκόμενος, βιότοιο
δεσμῶν τοῦδ' ἐλύθη καὶ πόλον εἰσανέβη.
Ἐθλοῦ δ' ἰδμοσύνην ἀρετήν τε Καλύμνιοι ἀνδρὸς
Τίοντες, θῆκαν μνῆμα τόδε φθιμένῳ.

Εἰς Νικόλαον Ξυδάκην Μυκόνιον.

Πέτρον μὲν Ξυδάκην εὐξείνου πόντου ὀρινθὲν
κῦμα ῥιπῇς ἀνέμων ὤλεσε ποντοπόρον·
υἷα δὲ Νικόλεων κερδεμπόρου Ἑρμείαο
τιμήενθ' ἐπέτην τῆλε πάτρης Μυκόνου
νοῦσος φθῖσ' ὀλοὴ ἐν Παρθενόπῃ πολυόλβῳ.
Θῆκέ θ' ὁμεύνῳ ἄχος, παιδί τε τηλυγέτῳ.
Χήρη δ' ὀστέ' ἔθεν Ῥαλλὼ ὑπὲρ οἶδμ' ἀγαγοῦσα
ἐνθάδε δακρυχέουσ' ἐγκατέθηκε τάφῳ.

Εἰς Δέσποιναν σύζυγον Βενετοκλέους Ῥοδίαν.

Μίνως ἠδὲ κάσις Δημήτριος εἶσαν ἐοικὸς
οἱ Βενετοκλεῖδαι μητήρι σῆμα τόδε,
οὔνομα Δεσποίνῃ, ἥπερ νέη οὗ παρακοίτου
χηρωθεῖσα, τέκνοις πάντ' ἐπέδωκε βίον.

Γήραϊ δὲ φθιμένη πάτρῃ Ῥόδῳ ἀμφοτέροις τε
παισὶ ποθὴν ἀρετῆς κάλλιφ' ἑῆς ὀπίσω.

Εἰς Παναγιώτην Θεοδώρου, γεννηθέντα μὲν ἐν Πετρίλῳ Ἀγράφων ἔτει ᾳωη', τελευτήσαντα δ' ἐν Δακίᾳ ἔτει (ᾳωξθ').

Δουλοσύνην φεύγων γλυκερῆς νοσφίσσατο πάτρης
οὔρεα Θεσσαλίης καὶ Δακίης πεδία
ἵκετο πυροφόρου φιλόπατρις Παναγιώτης
υἱὸς Θευδώρου Πετριλέως περίφρων.
Προσχὼν δ' ἐμπορίῃ ὁσίως ἐκτήσατο πλοῦτον,
τῷ ῥ' εὖ ἑήν τε πάτρην ῥέξε, θετήν τε πόλιν.
Τοὔνεκ' ἀποιχόμενος πένθος γνωτοῖσιν ἔθηκε,
πρὸς πάντων τ' ἀρετῆς ἄφθιτον αἶνον ἔχει.

Εἰς Ἰωάννην Λάμπεϊν προστάντα τῆς ἐν Ἰωαννίνοις ἑλληνικῆς κοινότητος.

Ἐνθάδε γαῖα κέκευθεν Ἰωάννην, ἐπίκλησιν
Λάμπεϊν, εὐάνδρων εὖχος Ἰωανίνων.
ὅς τε φραδμοσύνῃ μετὰ συμφύλοις ἐκέκαστο
καὶ θάρσει θυμοῦ καὶ ἐπέων δυνάμει.
πὰρ δὲ δυναστεύουσι μέγα σθένος ᾗ ἐνὶ πάτρῃ
κτησάμενος κοινῇ χρήσατ' ἐπ' ὠφελίῃ.
Τῷ μιν ἀποιχόμενον χριστώνυμος Ἠπείροιο
λαὸς ἅπας ποθέει οἷά τε κηδεμόνα.
Τέκνα δὲ πένθος ἔχοντα πατρὸς μέγα βαιὸν ἔθηκαν
σῆμα τόδε, στοργῆς μνημόσυνον σφετέρης.

Εἰς Ἰωάννην Πρωτοπάτην (ᾳωξζ').

Βιθυνῶν πτολίεθρον ἐύκτιμένην Κίον ἔσχε
πατρίδ' Ἰωάννης Πρωτοπάτης ἐπίκλην.
Σμύρνης δ' αἰολίδος περιωνύμῳ εἰνὶ πόληϊ
ἄρκιον ἐμπορίῃ πασάμενος βίον,

εὖ ἔρρεξε φίλους τε καὶ Ἑλλάδα μητέρα πρόφρων,
εἰς δέον ἀργυρίων οὔποτε φεισάμενος.
Ἐν Σύρῳ δ' ἀλόχοιο τέκνων τε θανὼν ἀποτῆλε
ἐξαπίνης, πένθος τοῖσιν ἔθηκε μέγα·
οἳ δὴ τήνδε λίθον δεύσαντες δάκρυσι θερμοῖς
ἐστήσαντο φίλῳ μνῆμα νέκυι ὀπίσω.

Εἰς τὸν αὐτόν.

Ἐκ νούσου χαλεπῆς διζήμενον ἔνθ' ὑγίειαν
λυγρὸς Ἰωάννην πότμος ἔμαρψεν ἄφνω,
Πρωτοπάτην ἐπίκλην, Βιθυνίδος ἀγλαὸν ἔρνος
γαίης, καὶ Σμύρνης εἶτα κλυτῆς ναέτην.
Τίμιον ἐμπορίῃ ἀνύσας βίον οἷσι φίλοισι
κοινῇ θ' Ἑλλήνων πόλλ' ἐπάρηξε πάτρῃ.
Τῷ μιν ἀποφθίμενον σύμπας ὠδύρατο λαός·
οἶκος δ' οἱ στενάχων στήσατο σῆμα τόδε.

Εἰς Περικλέα Ῥοδώνυμον Τραπεζούντιον.

Πόλις Τραπεζοῦς τοῦ Ῥοδωνύμου πάτρα
Περικλέους ἦν, ὅς γε σεμνὰ παιδόθεν
Μουσῶν μυηθεὶς εὐφρόνων μυστήρια
πολλοὺς ἐπαίδευσ' ἐν λόγοις ψυχοτρόφοις.
Βιοφθόρῳ δὲ συντακεὶς νοσήματι
ἐς αἰθέρ' ἔπτη σῶμα τῇδ' ἐν γῇ λιπών.

Εἰς Ἀριστοτέλη Σταματόπουλον Λευκάδιον.

Οὔτι Ἀριστοτέλει γένος ἔχραισμ' οὐδὲ νεοίη,
οὐ νόου ἰδρείη καὶ παρ' ἄναξι χάρις·
ἀλλ' ἐπ' ἐεικοστῷ τρίτατόν μιν ἄγοντ' ἐνιαυτὸν
ἡ κοινὴ θνητῶν ἐνθάδε μοῖρ' ἔκιχε.
Λευκάδι δ' ἐν πάτρῃ καὶ οἴκῳ Σταματοπούλων,
τοῦπερ ὅγ' ἔσκε θάλος, πένθος ὄρινε μέγα.

Εἰς τὸν αὐτόν.

Πατρὸς ἔφυ Πέτρου, ἐπίκλησιν Σταματοπούλου,
ἐσθλὸς Ἀριστοτέλης, Λευκάδα δ' ἔσχε πάτρην.
Ἐκ παιδὸς δὲ λόγων κάτοχος πόθῳ ἵκετο πηγὰς
ἰδμοσύνης καὶ ἄδην ἡδὺ πόμ' ἠφύσατο.
Νῦν δ' ἐπ' ἐεικοστῷ τρίτατόν μιν ἄγοντ' ἐνιαυτὸν
ἀμφεκάλυψ', αἶ, αἶ, ὠκύμορον κονίη.
Σῆμα δ' ἀποφθιμένῳ γενέτης ἔθετ' ἐνθάδε λυγρόν,
θερμάς οἱ λοιβὰς ἐκ βλεφάρων προχέων.

Εἰς Πέτρον Σκυλίτσην Ὁμηρίδην (αωοϐ').

Πέτρος Σκυλίτσης εὐκλεοῦς οἴκου γόνος,
Ὁμηρίδης δὲ μητρόθεν καλούμενος,
Σμύρναν μὲν ἔσχε Πατρίδα κλυτὴν πόλιν,
λόγων δ' ἐραστὴς καὶ νόμων ἐλευθέρων
γεγώς, συνήθλησ' ἆθλον Ἑλλήνων μέγαν,
δεινὴν τυραννίδ' ἐξελεῖν ὡρμημένων.
Δήμου δὲ προστὰς πόλλ' ἔτη Πειραιέων,
πόλιν τ' ἐκόσμησ', εὖ τ' ἔδρασε δημότας.
Θανὼν δὲ γήρᾳ τῷδ' ἐνεύνηται τάφῳ,
πρὸς συμπολιτῶν καὶ φίλων ποθούμενος.

Εἰς Ἰωάννην Γεωργάραν πεπαρήθιον.

Φίλοισι χρηστός, τῇ πόλει τ' ὀνήσιμος
γεγώς, βίον λέλοιπε πρεσβύτης νόσῳ,
ἔνθεν τ' ἀναπτὰς ἦλθ' Ἰωάννης μονὰς
τὰς τῶν δικαίων οὐπίκλην Γεωργάρας.
Νέκυν δὲ τέκνα τῷ δ' ἔθηκεν ἐν τάφῳ
καὶ μνῆμα πατρὸς τόνδ' ἐπήρεισαν λίθον.

Εἰς Γεώργιον Μανιάτην.

Ἐν Ψυρίῃ μὲν ἔφυ νήσῳ κλυτῇ, ἐν δ' ἁλὶ πολλὰ

ῥέξεν ὑπαὶ Κανάρῃ ἔργ' ἄρεος θρασέα,
ἐξ ὀλέθρου δεινοῖο Γεώργιος ἶφι σαώζων
Ἑλλάδ' ἑὴν πάτρην, Μανιάτης ἐπίκλην.
Νούσῳ δὲ δμηθεὶς ἐνὶ γήραϊ τῇδε τέθαπται,
οὐ τάφον ἧς ἀλκῆς ἄξιον εὑρόμενος.

Εἰς τὸν φιλέλληνα Ἀδόλφον Ἐλισσένιον.

Μούσῃ ἐμῇ φιλοθρήνῳ ὀδυρομένῃ ἐπὶ τύμβοις
οὔας ὑπέσχες πρὶν εὐμενὲς ἐν βιότῳ.[1]
Ἡ δέ σ' ἀποιχόμενον νῦν αἰάζει στενάχουσα,
σὴν ποθέουσ' ἀρετήν, φίλτατ' Ἐλισσένιε.
Οὐδ' αὐτὴ μούνη σ' ὀλοφύρεται, ἀλλὰ καὶ Ἑλλὰς
σύμπασ', ἥ σ' ἔστερξ' ἶσα τέκνοισιν ἑοῖς.
Λίην γὰρ παῦροι πιστὸν νόον, ὥς σύ, ἔφηναν·
οἱ πλέονες δ' οἱ ἔασ' ἐς ψόγον ὀξύτεροι.

Εἰς Θεολόγον Γενιδουνείαν.

Ἐνθάδε Θειολόγος Γενιδουνείας ἐπίκλησιν
τίμιον ἠδ' ἁγνὸν κεῖτ' ἀνύσας βίοτον.
Ἦν μὲν οἱ ἐμπορίη βίου αἵρεσις, ἀλλά γε φρεσσὶ
καὶ λόγοι οἱ ἐμέλοντ' αἰὲν ἀεξίνοοι.
Γῆν δ' ὑποδύντι νέκυι παράκοιτις σὺν τεκέεσσι
δάκρυσι λειβομένη στήσατο σῆμα τόδε.

Εἰς τὸν αὐτόν.

Ἐσθλῷ Θειολόγῳ, Γενιδουνείᾳ δ' ἐπίκλησιν
σὺν τέκνοισι δάμαρ θήκατο σῆμα τόδε,
ἐκ μυχάτων στενάχουσα φίλον πόσιν, ὅν τε πρόμοιρος
οἴκου καὶ πηῶν νόσφισ' ἑλὼν θάνατος.

---

[1] Ὁ Ἐλισσένιος ἔγραψε κρίσιν τῆς πρώτης ἐκδόσεως τῶν Φιλολογικῶν Παρέργων.

Τὸν δ' ἄρα καὶ ἑπέται κερδωΐου Ἑρμείαο,
τοῖσι μετέπρεπ' ἀεί, κλαῦσαν ἀποιχόμενον·
καὶ πάτρη δὲ φίλη μιν ὀδύρατο, τῆς ἔπλε κόσμος,
καὶ πτωχῶν πληθύς, τοῖσιν ἄρηγε πρόφρων.

Εἰς τὸν καθηγητὴν Δημήτριον Δουραμάνην.

Εἴδεά τ' ἠδὲ πάθη Δημήτριος ἐν νεότητι
πάντα ποσοῖο δαείς, Δουραμάνης ἐπίκλην,
συμφύλων παῖδας πολέας πρόφρων ἐδίδαξε,
τιμῆς τ' ἐκ πάντων ἔμμορ' ἐπ' ἰδμοσύνῃ.
Γήραϊ δὲ φθίμενον κούρῃ γαμβρός θ' ὑπὸ γαῖαν
ἐνθάδ' ἔθεντο καί οἱ σῆμ' ἐπέθεντο τόδε.

Εἰς Νικόλαον Σταύρακα Σάμιον θανόντα
καὶ ταφέντα ἐν ἀλλοδαπῇ.

Σταύρακα Νικόλεων κατέχει τάφος ἐνθάδε νούσῳ
τῆλε Σάμου πάτρης, τῆλ' ἀλόχου φθίμενον,
κεδνῆς Καλλιόπης ἠδὺν πόσιν, ἥ ῥα μένουσα
νόστον ἔθεν, πότμου δέκτο κακαγγελίην.
Πολλὰ δ' ὀδυραμένη κρυερὴν ἐπιθεῖναι ἀκοίτῃ
τὴν δ' ἐκέλευσε λίθον, μνῆμα φίλου νέκυος.

Εἰς Φίλιππον Θεοδώρου Λεονάρδου.

Θευδώροιο γόνος Λεονάρδου τῇδε Φίλιππος
κεῖμ' ὑπὸ γῆν ἀνύσας εἴκοσι καὶ δύ' ἔτη.
Πολλὰ δ' ἐμῷ τε φίλῳ πατρὶ μητέρι τ' ἄλγεα κεδνῇ,
πολλά τ' ἀδελφειῇς δάκρυ' ἔθηκ' ὀπίσω.
'Αλλὰ ζῆτε, τοκῆες, ἰαινόμενοι φρένα κούρης,[1]
ἃς μοῖρ' ἀντ' ἐμέθεν γηροκόμους ἔλιπε.

---

[1] Ὁ ε. στίχος εἶχε πρότερον ὧδε.

'Αλλά, τοκῆες, ζῆτε καὶ ὑμῆς χαίρετε κούρης.

Εἰς τὸ κοινοτάφιον τοῦ οἴκου Ἰωάννου Ψιακῆ.

Πάτρην ἀμφιρύτην Χίον ἔλλαχεν, ἐν βιότῳ δὲ
ἁγνὴν αὐτάρκη τ' ᾔνεσεν ἐμπορίην,
οὔνομ' Ἰωάννης, Ψιακῆς ἐπίκλην, ὃς ἄρ' αἴσης
μνῆστιν ἔχων θνητῶν, μνῆμ' ἀνέγειρε τόδε
οἷ τ' αὐτῷ καὶ οἰκείοις, ὄφρα καὶ μετὰ πότμον,
οὓς στοργὴ συνέδησ', εἷς κατέχῃσι τάφος.

Εἰς Ἀριστόνικον Εὐβούλου.

Πρόσθεν τὰ σεμνὰ τοῦ βίου τῶν ἡδέων
ἄγων ἀεί, φίλοις τε χρηστὸν καὶ πάτρᾳ
αὑτὸν παρέσχεν. ἐν σοφοῖς τ' ἐκτήσατο
κλέος μέγιστον, ἐν νέοις περ ἀνδράσι
τελῶν, Ἀριστόνικος Εὐβούλου γένος.

Εἰς Πανωραίαν Σπυρίδωνος Βάλβου.

Τόνδε Πανωραίη Σπυρίδωνος Βάλβου ἄκοιτις
ἐν χθονὶ πατρωΐῃ τύμβον ἔδυ φθιμένη·
κεῖται δ' οἰκείοισι τετιμένη ἠδὲ πολίταις
εἵνεχ' ἑῆς ἀρετῆς ἠδὲ σαοφροσύνης.

Εἰς Πέτρον Καμπάνην Ἄνδριον (αωοά).

Πέτρου καλύπτει Καμπάνου χθὼν ἐνθάδε
ὀστᾶ θανόντος, ὃς πατρὸς χρηστοῦ γεγὼς
ἅλις λόγων μετέσχε, τῇ δὲ πατρίδι
παρέσχ' ἑαυτὸν καὶ φίλοις ὀνήσιμον.
Νόσῳ δὲ δεινῇ μοῖραν ἐκπλήσας βίου,
ἔθηχ' ὁμεύνῳ καὶ τέκνοισι δάκρυα.

Εἰς Ἀναστασίαν σύζυγον Ἰωάννου Μανούσου (αωογ').

Εἴδεϊ καὶ πραπίσιν μετὰ πάσῃς θηλυτέρῃσιν

ἔπρεπ' Ἀναστασίη, Δουραμάνου θυγάτηρ,
σύλλεκτρος τριφίλητος Ἰώανναο Μανούσου,
εὔμοιρος μὲν τἆλλ', ἀλλὰ μινυνθαδίη.
Δὴ γὰρ ἔτ' ἀγχιστεῦσιν ἔναυλος ἔην ὑμέναιος,
ἡνίκ' ἐπὶ φθιμένῃ δύσθροος ὦρτο γόος.
Νεκρὴν δὲ στενάχων ἀδινὸν πόσις ἐκτερέϊξεν
ἐνθάδε καὶ ψυχρὸν σῆμ' ἐπέθηκε λίθον.

Εἰς ἑαυτόν.

» Ῥηγιάδαο Φίλιππος Ἰωάννου γενέταο
ἐκφὺς καὶ μητρὸς κεδνοτάτης Σοφίης,
» πάτρην μὲν Ζαγορὴν ἐπὶ Πηλίου ἔλλαχε κνημοῖς,
ἐνδελεχῆ δὲ λόγους ἔσχε βίου μελέτην.
» Δουλοσύνην στυγέων, παναχαιῶν ἀντεβόλησε
δυσπαλάμων ἀέθλων εἵνεκ' ἐλευθερίης.
» Τιμηθεὶς δ' ὑπ' Ὄθωνος εὔφρονος αἰὲν ἔφηνε
βουλῇ καὶ ἔργῳ πιστὸν ἄνακτι νόον.
» Αἰὲν ὑπερβασίας δ' ἀλεείνων οὔτε ποθ' ὕβριν
δεσπότεω, οὔτ' ὄχλου ἤνεσ' ἀτασθαλίην.
» Πιερίδων δὲ νέους σέμν' ὄργια δηθὰ μυήσας,
ἐνθάδε νῦν κεῖται μοιριδίῳ θανάτῳ.[1]

Εἰς Γεώργιον Εὐθύφρονος.

Κλεινῆς Κεκροπίης κατὰ γαῖα Γεώργιον ἔνθα
κρύπτει ἐν κόλποις ἦρι βίου φθίμενον,
ᾧ μοῖρα στυγερὴ Μουσῶν ἀπανήνατο δρέψαι
καρποὺς ἡδίστους πολλὰ πονησαμένῳ·
ἀλλά μιν ἱροῦ Παρνησοῦ ἐπ' ἄκρην ἀνιόντα,
εἰς αΐδου προΐαψ' ἠερόεντα δόμον.

---

[1] Συντέτακται πρὸ μικροῦ, ἵνα χαραχθῇ ἐπὶ τοῦ τάφου τοῦ συνταξαμένου μετὰ τὴν τελευτὴν αὐτοῦ.

Πατρὸς δ' Εὐθύφρονος κραδίην ἕλε πένθος ἄληκτον,
υἱέος ἐξαπίνης ἔνθεν ἀποιχομένου.

Εἰς Δάφνην Φωτίου.

Ἠλακάτην τάλαρόν τε καὶ εὐδίνητον ἄτρακτον,
ῥόμβον τ' ἠδὲ θοὴν κερκίδα πηνοδόχον,
τῷδ' ἔγγλυπτα λίθῳ ἐπιτυμβίῳ, ὦ ξένε, λεύσσων,
γίγνωσχ' ὡς ὁ τάφος τὴν φιλέριθον ἔχει
Δάφνην· ἣ σαόφρων οὐ παίγνια θηλυτεράων
ᾔνεσεν, οὔτε χλιδὴν καὶ βίου εὐπαθίην.

Εἰς τὸν ἀρχιεπίσκοπον Πατρῶν καὶ Ἠλείας Κύριλλον τὸν Χαιρωνίδην.

Ἐνθάδε Κυρίλλου Χαιρωνίδεω ὀστέ' ἀχαιῒς
γαῖα κέκευθ' ὀλοῇ νούσῳ ἀποφθιμένου,
Πατρῶν ἀρχιερῆος ἰδ' Ἤλιδος, ὃς περὶ πάντων
ἤθεσι μειλιχίοις ἔπλε καὶ εὐσεβίῃ.
Τῷ καὶ ἀποιχομένου πόθος ἵκται λαὸν Ἀχαιῶν
Ἀγγέλου ἀτρεκίης, ποιμένος εὐαγέος.

Ἕτερον.

Ἐκ παιδὸς πλείστην νείμας Θεῷ ὑψιμέδοντι
Κύριλλος βιότου μοῖραν ἐπιχθονίου,
ἔπρεπεν εὐσεβίῃ καὶ ἐνηείῃ μετὰ πᾶσι,
παντοίης τ' ἀρετῆς ἔπλετο πᾶσι τύπος.
Ἐν δ' ἱερῆς δέλτοις διφήσας βένθεα θείης
ἀτρεκίης, ἤρθη λύχνος ἐπὶ λυχνίην.
Πατρῶν γὰρ κληθεὶς ἠδ' Ἠλείης ἱεράρχης,
ηὔγασεν οὐράνιον Χριστιανοῖσι φάος·
αἶ, αἶ, οὐ μάλα δήν· λυγρῇ γὰρ νούσῳ ἀπέσβη,
πηλόν τ' ἔνθα λιπὼν ἐς πόλον ἔπτατ' ἄνω.

Εἰς Χρῆστον Παππαδάκην.

Φῦσε μὲν ἀμφίαλος Πέλοπος χθὼν ἠδ' ἀνέθρεψε,
νῦν δ' ἡ Ἐρεχθειδῶν ἐνθάδε νεκρὸν ἔχει
Χρῆστον Παππαδάκην, χρηστὸν μετὰ πᾶσιν ἀληθῶς
ἀνδράσι καὶ πιστὸν τοῖσι φίλοισι φίλον.
Ὥπλισε μὲν χεῖρας πρὸ πάτρης νέος, οὐδ' οἱ ἀρήγων
λῆξέ ποτ' ἐς γῆρας· δευομένοις δ' ἐδίδου.
στέρξας δ' ἐμπορίην ἀκέραιον, καρπὸν ἀπ' αὐτῆς
οὐ πολύν, ἀλλ' ἔμπης ἄρκιον ἐδρέπετο.
Οὐδὲ παλαίων νούσῳ ἀπέφθιτο· ὦκα δὲ βρίξας
ἤμειψ' ἐκ βιότου τοῦδε βίον μακάρων.

ΤΕΛΟΣ.

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ.

Σελ.

Π. Κορνηλίου Τακίτου βιβλίον περὶ θέσεως, ἠθῶν καὶ λαῶν τῆς Γερμανίας 11
Σημειώσεις εἰς τὴν Τακίτου Γερμανίαν 83
Οὐαλλερίου Κουτούλλου ᾆσμα ξδ'. ἐπιθαλάμιον Πηλέως καὶ Θέτιδος 147
Σημειώσεις εἰς αὐτὸ 184
Τοῦ αὐτοῦ ᾆσμα ξς'. περὶ κόμης τῆς Βερενίκης 205
Σημειώσεις εἰς αὐτὸ 214
Τοῦ αὐτοῦ ἐπιτύμβιον εἰς τὸν ἀδελφὸν 221
Ὀβιδίου μεταμορφώσεων βιβλίον ά 229
Σημειώσεις εἰς αὐτὸ 257
Βιβλίον β' 273
Σημειώσεις εἰς αὐτὸ 305
Βιβλίον γ' 315
Σημειώσεις εἰς αὐτὸ 345
Βιβλίον δ' 357
Σημειώσεις εἰς αὐτὸ 387
Βιβλίον ε' 403
Σημειώσεις εἰς αὐτὸ 430
Ὀβιδίου Ἡρωΐδων ἐπιστολὴ α'. Πηνελόπη Ὀδυσσεῖ 440
Σημειώσεις εἰς αὐτὴν 446
Ὀβιδίου Ἡρωΐδων ἐπιστολὴ ζ'. Διδὼ Αἰνείᾳ 452
Σημειώσεις εἰς αὐτὴν 463
Οὐϊργιλίου Μάρωνος εἰδύλλιον ε'. Δάφνις 471
Τοῦ αὐτοῦ εἰδύλλιον Ζ. Μελίβοιος 477
Τοῦ αὐτοῦ εἰδύλλιον Η. Φαρμακεύτρια 487
Ὁρατίου ᾠδὴ ἑκατονταετηρικὴ 494

Σελίς

Σχιλλέρου οἱ θεοὶ τῆς Ἑλλάδος 500
Μετάφρασις δημοτικοῦ ᾄσματος (Μάννα μὲ τοὺς ἐννέα σου υἱούς) 505
Μετάφρασις ἑτέρου (Μάννα σοῦ λέγω) 509
Ὠδαὶ πέντε 513
Ὠδάρια ἀνακρεόντεια 534
Ἐπικήδειον εἰς Ν. Βύρωνα 540
Ἐλεγεῖα εἰς τὸν ἀδελφὸν Ῥήγιον 545
Ἐπιστολὴ εἰς τὸν ἀδελφὸν Δημήτριον 557
Ἀναχώρησις 560
Ἐλεγεῖα εἰς τὸν ἀείμνηστον βασιλέα Ὄθωνα τὸν α΄ 563
Εἰδύλλιον 568
Ποιήματα εἰς κλεινὰ τινὰ ἐν τῇ ῥωμαϊκῇ ἱστορίᾳ ὀνόματα καὶ εἰς οἰκείους τινὰς καὶ φίλους 578
Εἰς τὴν ἀνακάλυψιν τοῦ διονυσιακοῦ θεάτρου 585
Ἐπιγράμματα ἐπιδεικτικὰ 586
Ἐπιγραφαὶ 590
Παραινετικὰ 599
Γνωμικὰ 600
Παροιμίαι 601
Μῦθοι διδακτικοὶ 603
Ποικίλα 604
Σκωπτικὰ 606
Ἐπιτύμβια 612

ΠΑΡΟΡΑΜΑΤΑ,

πάντα σχεδὸν τυπογραφικά, τὰ δὲ πλεῖστα περὶ τόνον καὶ πνεῦμα καὶ στίξιν.

Ἐν σελ. στίχῳ*

3, 8. εὐποιεῖσθαι γρ. εὖ πάσχειν
6, 24. οἶμαι γρ. οἶμαι
30, 12. πλειρουμένης γρ. πληρουμένης
44, 19. ἕξ γρ. ἐξ.
54, 10. τοῖς Ῥωμαίων ἀρχῆς γρ. τῆς Ῥωμαίων ἀρχῆς
59, 13. dulceaedine γρ. dulcedine
64, 23. καὶ ἄλλων γρ. τῶν ἄλλων
69, 14. coque γρ. eoque
81, 26. σύῤῥοια γρ. συῤῥοίᾳ
83, 23. προσωτάτῳ γρ. προσωτάτω
87, 16. Muenstet γρ. Muenster
90, 31. csl γρ. est
91, 15. Ὀσναβούγας γρ. Ὀσναβρούγας
100, 3. διαπρεπῆ γρ. διαπρεπῆ—101, στ. 8. ζημίᾳ γρ. ζημία
111, 1. μᾶλλcν ἢ γρ. μᾶλλον ἢ
112, 38. ewtendere γ. extendere
118, 36. ἢ γρ. ἢ
119, 3. ὄχθης γρ. ὄχθης—στ. 35. Δαναβίου γρ. Δανουβίου
123, 3. αὑτῶν γρ. αὐτῶν
131, 26. ἐγγυτάτῳ γρ. ἐγγυτάτω
135, 16. Βυρυσθένη γρ. Βορυσθένη
141, 1. Μιθριδάτη γρ. Μιθριδάτη
151, 23. ὅ δ' οὖν γρ. ὅ οὖν
152, 10. μήπω γρ. οὔπω—στ. 30. πόῤῥῳ γρ. πόῤῥω
160, 38. invencis γρ. iuvencis
161, 25. προσαυδῷ γρ. προσαυδῶ—στ. 27. εἶξεν ἐῶν γρ. εἶξεν ἑῶν
—, 34. σφετέρω γρ. σφετέρῳ—στ. 37. δώματα τ' γρ. δώματά τ'
163, 83. μετὰ τὸ νεκροὺς ἐξαλειπτέον τὸ κόμμα.
165, 90. αὖρα γρ. αὔρα

---

* Σημειωτέον ὅτι στίχος ἐνταῦθα τὸν τῆς σελίδος σημαίνει πλὴν ἐν τοῖς ποιήμασιν, ὧν οἱ στίχοι ἐν τῷ κενῷ τῆς σελίδος κρασπέδῳ ἠριθμημένοι ὁρῶνται· ἐν τούτοις γὰρ ὁ τοῦ ποιήματος οὐχ ὁ τῆς σελίδος στίχος σημαίνεται.

Ἐν σελ. στίχῳ

166, 146. inrare γρ. iurare
167, 134. οὕτω, δὴ γρ. οὕτω δὴ
169, 170. ἐμέγηρεν γρ. ἐμέγηρεν
170, 188. nom γρ. non.
173, 219. μετὰ τὸ ἀποαίνυθ' τεθήτω κόμμα.
—, 245. ῥίψεν ἑ αὐτὸν γρ. ῥίψεν ἓ αὐτὸν
177, 283. εὔφορος αὖρα γρ. αὖρα καλά.
179. Οἱ ἀριθμοὶ τῶν στίχων ἐν τῇ ἑλληνικῇ μεθερμηνείᾳ, ὅσοι οὐ συμφωνοῦσι τοῖς τοῦ κειμένυυ, διορθωθήτωσαν.
183, 380 γένος γρ. γένεος.—στ. 382. τοῖα ποτ' αὐδῶσαι γρ. τοῖά ποτ' αὐδῶσαι
187, 30. προσχῶν γρ. προσχὼν
193, 28. ἔμπλην' γρ. ἔμπλην
206, 1. καταστερισῆναι γρ. καταστερισθῆναι
207, 18. μετὰ τὴν λέξιν ᾄσματος ἐξαλειπτέα ἡ στίξις·
209, 19. τοῦτο γ' γρ. τοῦτό γ'— στ. 27. ἧ ῥ γρ. ἧ ῥ'
217,, 3. κάρῃ γρ. κάρη—στ. 31. ἀπέκειρεν γρ. ἀπεκείρατο κατὰ μέσην φωνήν· εὕρηται ὅμως τὸ ῥῆμα καὶ κατ' ἐνεργητικὴν (ἴδε Ἰλ. ψ. 146)
—, 40. ὑπτέρυγον γρ. εὐπτέρυγον
221, 23. ὦ κασι γρ. ὦ κάσι
224, 4. μετὰ τὴν λέξιν ἐνθυμημάτων ἐξαλειπτέον τὴν στίξιν.
234, 95. ἴδηται γρ. ἴδηται.
238, 219. ἕλκεὶ γρ. ἕλκετ'
239, 235. εἵματα γρ. εἵματα
241, 313. μετὰ τὸ Οἰταίην ἐξαλειπτέον τὴν στίξιν·
249, 557. οὐ σ' ἐχέμεν γρ. οὔ σ' ἐχέμεν
251, 606. ὅπποι γρ. ὅππῃ—στ. 622. δοκήσε γρ. δόκησέ κεν
254, 721. καὶ ῥ' αἵματι γρ. καί ῥ' αἵματι
256. διορθωτέον τοὺς ἀριθμοὺς τῶν στίχων.
262. 25. νοείσθῳ γρ. νοείσθω.
263. 17. ἕνα γρ. ἕνα
269, 10. παρ' ἄλλους γρ. παρ' ἄλλοις
275, 13. ζώδια θ' ζώδιά θ'
279, 121. εὐϋκροτάλοισι γρ. ἐϋκροτάλοισι
280, 169. ὄποι γρ. ὅποι
283, 169. Δωρίδά γρ. Δωρίδα
284, 283. ἴδ, ἠνί, γρ. ἴδ', ἠνί
286, 341. μετὰ τὴν λέξιν νέκυι προσθετέον μέσην στιγμήν.
— 342. ἠδέ τε νυκτὸς γρ. ἠδὲ δι' ὄρφνης
— 351. τίλλε γρ. τῖλλε.—356 μετὰ τὸ μήτηρ θετέον ἐρωτηματικόν.
288, 410. καὶ οἱ γρ. καί οἱ
289, 432. ὅπποι γρ. ὅππῃ
290, 469. πάϊς γρ. πάϊς—στ. 470 ὅσσε γρ. ὄσσε
291, 501. ἑώκεε γρ. ἐῴκει

Ἐν σελ. στίχῳ

293, 544. ἀγνὼς γρ. ἀγνώς

294, 589. εἰ ἔργματι ὄρνις ἐτύχθη· γραπτέον μᾶλλον· εἰ ὄρνις ἔργῳ ἐτύχθη·

295, 627. θεσμί' γρ. θέσμι'

297, 276. ἥρως· ἡ στίξις ἔστω ἡ τοῦ κόμματος.

299, 731. ἑ αὐτὸν γρ. ἕ αὐτὸν—στ. 734 παρυφὴ τ' γρ. παρυφή τ'

301, 784. Φθόνει γρ. Φθόνε

302, 814. ἕζετο γρ. ἕζετο—στ. 817. πρὶν σ' γρ. πρίν σ'

303, 839. κα γρ. καὶ—στ. 844 βοσιλῆος γρ. βασιλῆος.

—— 864. σκαῖρε τ' γρ. σκαῖρέ τ'—στ. 866. ὡς δὲ οἱ γρ. ὡς δέ οἱ

306, 19. ἀντωνομασίαν γρ. ἀντονομασίαν

309, 6. τὴν παλαιῶν γρ. τὴν τῶν παλαιῶν—στ. 8. καλουμένη γρ. καλουμένῃ

—— 25. παλλομένων Ἀΐδης γρ. παλλομένων· Ἀΐδης

310, 30. ἀντωνομασία γρ. ἀντονομασία.

313, 34. ἔδωκέ θ' γρ. ἔδωκε δ'

314, 30. ἀναφενομένη γρ. ἀναφερομένη

317, 4. ἁρπασθεῖσαν οἱ γρ. ἁρπασθεῖσάν οἱ—στ. 18 ἰδών· γρ. ἰδών,

318, 3 ἐναντίᾳ γρ. ἐναντία—στ. 6. Ναρκίσου γρ. Ναρκίσσου

320, 20. εὑρυκέρωτα γρ. εὐρυκέρωτα

323, 91. ἔγκειτο γρ. ἔγκειτο.—στ. 98. ὀφθήσῃ γρ. ὀφθήσῃ

—— 102. γύην γρ. γυίην·

324, 116. σὺ γ' γρ. σύ γ'.—στ. 123. ἀρεῖτ' γρ. ἄρεϊ τ'

—— 131. ἔδοξας κ' γρ. ἔδοξάς κ'

329, 264 Ἥρη γρ. Ἥρη—στ. 269. ἐμφανὲς ἐστ' ἀλίτημ γρ. ἐμφανές ἐστ' ἀλίτημ'

334, 425. ἑ αὐτὸν γρ. ἕ αὐτὸν

336, 478. προλίπης γρ. προλίπῃς

—— 483. ἐσθ' ὑπόλευκον γρ. ἔσθ' ὑπόλευκον

340, 608. παρθενόμορφον προσθετέον στιγμὴν τελείαν—στ. 612. ἑτάροισι τ' γρ. ἑτάροισί τ'

341, 635. ὄντιν' ἱκέσθαι γρ. ὅντιν' ἱκέσθαι—στ. 648 εἰν ἐνὶ γρ. εἰν ἐνὶ

342, 657. ἤδη ἐγὼ κλαῖον γρ. δὴν δὴ ἐγὼ κλαῖον

—— 674. ἐς τὸ γρ. ἐς τί

344, 718. πρηύτερόν τ' ἐπέεσσι, καταικρίνοντά θ' ἑ αὐτόν·

360, 33. Εὔϊτ' γρ. Εὔϊ'—στ. 43. ἀδελφὰς γρ. ἀδελφαὶ

—— 53. ἔπαθον γρ. ἔπαθεν

362, 79. ἔπεσσεν γρ ἔπεσσιν—στ. 7 ἀτρέκε' γρ. ἀτρεκέ'

364, 145. ἔπεσσί' γρ. ἔπεσσί—στ. 154. ἐμεῦ γρ. ἐμεῦ

366, 229. ὁ στίχος γραπτέος ὧδε· ὅς θ' ὁράα δὴ πάντα, δι' ὅν τ' ἄρα πάνθ' ὁράα χθών.

367, 231. νῆτρον οἱ γρ. νῆτρόν οἱ

377, 538. ἔην γρ. ἔην

381, 645. μετὰ τὴν λέξιν δένδρεον τεθήτω κόμμα· διορθωθήτωσαν δὲ καὶ οἱ ἀριθμοὶ τῶν στίχων.

Ἐν σελ. στίχῳ

—— 647. ἕερξε γρ. ἔερξε
388, 5. αὑτοῦ γρ. αὐτοῦ.
390, 36. εἴναι γρ. εἶναι
391, 40. καταπίει γρ. καταπίοι
397, 21. Ἀθηνᾶ γρ. θεὰ—στ. 34 τὸ τῶν Θηβῶν γρ. τὸν τῶν Θηβῶν·
398, 25. ᾄδει γρ. ᾄδει
400, 26. Σθενῶς γρ. Σθενώ·
409, 22. ἠδ' Ἄμπυκος γρ. ἰδ' Ἄμπυκος
412, 189. ῥέεθρα γρ. ῥέεθρ'—στ. 202 μετὰ τὸ ῥῆμα μετέφυ, ἐξαλειπτέα ἡ στίξις.
413, 237. μετὰ τὴν μετοχὴν ἐπαμύνων ἐξαλειπτέον τὴν στίξιν.
414, 258. ἔλδομ' ἐκείνου γρ. ἔλδομ' ἐκεῖνο.
—— 265. ἄθρεεν γρ. ἄθρεε
416, 320. κατεφαύλισαν γρ. κατεφαύλισεν
—— 321. γρ. τὸν στίχ. Τυφῶ δ' ἐκ νεάτων γαίης θεμέθλων προθορόντα
417, 332. τόσ', ἄεισεν· ἐξαλειπτέον τὸ κόμμα μετὰ τὴν λέξιν τόσ'
—— 4. στ. τῆς περιλήψεως. Κυανῆς γρ. Κυάνης
419, 407. Κορίνθου προσθ. κόμμα·
423, 512. τόδι γρ. τόθι
431, 9. ἐκθέσεσιν γρ. ἐκδόσεσιν
—— 18. ῥέει γρ. ῥεῖ.
436, 30. ξενεστηκότι γρ. ξυνεστηκότι
441, 13. χρησάμενοι, ἐξαλειπτέον τὴν στίξιν.
—— 20. οὐδεμιᾶς γρ. οὐδεμιᾶς δὲ
442, 1. μετὰ τὴν μετοχὴν δηθύνοντι τεθήτω κόμμα·
444, 86. ὑφίησι γρ. ὑφίησι.
452, 26. ἐμέθευ γρ. ἐμέθεν
455, 12. ἐχρήσασο γρ. ἐχρήσατο·
456, 6. ὀλέσαι γρ. ὀλέσσαι.
461, 163. παραδῖδοτ' γρ. παρδίδοτ'
464, 1. ῥᾳδίᾳ γρ. ῥᾳδία—στ. 6 ὀππότε γρ. ὁπότε—στ. 16. εἴποιμι γρ. εἴποιμι
—— 19. κρινόμεθα γρ. κρινόμενα
465, 1. μύριον γρ. μόριον
467, 9. prônubâ γρ. pronuba.
468, 30. ti γρ. etc.
471, 11. Μενάκλας γρ. Μενάλκας—στ. 16 ἐνταῦθα φασί γρ. ἐνταῦθά φασι
472 9. ὅςπερ γρ. ὅςπερ
473, 27. στοναχῆσαι φαντὶ γρ. στοναχῆσαί φαντι
479, 6. φῴδης γρ. φῴδῆς.
480, 14. μετὰ τὸν στίχον τοῦτον προσθετέον τὸν ἐν τῇ τυπώσει ἐκρυέντα 15 στίχον, ἔχοντα ὧδε. ἤ περ ἀποκλάξει' ἀμνῶς οἶκοι ἀποθήλως.
482, 52. ὅσσον πέρ τε λύκος ποίμνας, χειμάῤῥοος ὄχθαν.
485, 3. οἴεται γρ. οἴεται

Ἐν σελ. στίχῳ

487, 13. ἀνθυπόστατον γρ. αὐθυπόστατον
489, 44. ἡ Ῥοδόπα γρ. ἣ Ῥοδόπα
490, 62. εἶπε Δάμων γρ. εἶπεν Δάμων
491, 102. σὺ γρ. τὺ
493, 39. σενεκδοχὴν γρ. συνεκδοχὴν
494, 14. Ὀράτιος γρ. Ὁράτιος.
495, 7. ἑπταλόφῳ γρ. ἑπταλόφω
501, στρ. δ, 3 ἐξηγεῖ γρ. ἐξηχεῖ
502, στρ. ια, 5 κύκλῳ γρ. κύκλω
504, στρ. ιζ, 1. βροτοῖς ἔστ' αἰτία γρ. βροτοῖς ἐστ' αἰτία
507, 83. ἔῤῥειτε γρ. ἔῤῥευσε
509, 18. Ἴσθι γρ. Ἴσθι
510, 21. εἶτα ποτ' γρ. εἶτά ποτ'—στ. 22. ἔθνε γρ. ἔθνε'
522, ἐπῳδ. α, 4. ῥαθυμίας γρ. ῥᾳθυμίας
524. στρ. ε. 3. ἔτελλ' γρ. ἔτελλ'
532, 54. ἀχαΐδι γρ. ἀχαιΐδι
539, 12. νεοτιῆς γρ. νεοσσιῆς
540, 2. ἐσσάμεναι γρ. ἑσσάμεναι·
546, 49. καὶ ἑ γρ. καί ἑ
547, 78. κσὶ γρ. καὶ
550, 171. κύκλῳ γρ. κύκλω
551, 210. ἵκευ Ἀρκαδίης γρ. Ἀρκαδίης ἵκευ
552, 219. ἕσπετο γρ. ἕσπετο
555, 312. ἀναινομένοις γρ. ἀναινομένους
556, 349. ὅπου γρ. ὅππῃ
558, 38. ἱστατίην γρ. ὑστατίην
560, 3. ἀνάπλεοι γρ. ἐνίπλειοι
561, 27. κεῖθι μοι γρ. κεῖθί μοι
— 39. καὶ σίμβλων ξανθὸν βλίξω μέλι γρ. καὶ σίμβλων δὲ βλίσω ξανθὸν μέλι. τὸ γὰρ βλίξω δωρικόν.
— 41. ἠδέ τε νησσῶν γρ. ἠέ γε νησσῶν
568, 21. ἐπιβῆμεν γρ. ἐπιβᾶμεν
569, 41. ὑπ' γρ. ὑπ'
570, 85. ἔρνε' γρ. ἔρνε'
571, 100. ἐλιχθεὶς γρ. ἑλιχθεὶς—στ. 116 θανάτῳ γρ, θανάτω
572, 121. ὀλοιῷ δεσμῷ γρ. ὀλοιῶ δεσμῶ
574, 208. ἐπαΰτήσας γρ. ἐπαΰτήσαις
576, 267. ἐπαΐξας γρ. ἐπαΐξαις
577, 287. ἐμῶν γρ. ἐμεῦ
— 306. φίλαν τευ γρ. φίλαν τοι
578, 13. πόλις γρ. πόλιν
559, 15. ἠδὲ τ' ἀνάσσει γρ. ἠδὲ ἀνάσσει
581, 18. χαίροις γρ. χαίρεις
584, 20. εἶλε γρ. εἶλε—στ. 23. ἠδὲ τ' ἀδελφοὺς γρ. ἠδ' ὁμοδέλφους

Ἐν σελ. στίχῳ

489, 17. ὀξῦ γρ. ὀξὺ
592, 7. βάρβαρον ἠδ' ἄρεα γρ. βαρβαρικὸν τ' ἄρεα
593, (ἐν τῇ σημειώσει) φιλολόγος τις γρ. φιλόλογός τις
602, 24. βλύσω γρ. βλίσω
606, 79. γραστρὸς γρ. γαστρὸς
629, 5. αΐγλην γρ. αἴγλην
636, 22. ἐνὶ Ζαγορῆ γρ. ἐνὶ Ζαγορῇ
655, 23. ἰθμοσύνην γρ. ἰδμοσύνην
659, 2. εὐγεννὲς, γρ. εὐγενὲς
—, 19. Κωνσταντῖνος γρ. Κωνσταντῖνος
660, 14. ἐν γήρᾳ γρ. γήραϊ
661, 30. 'Αμανίδικα γρ. 'Αμανίτιδα
663, 12. ἐτάρων γρ. ἑτάρων
668, 4. ὄσσοιν γρ. ὄσσοιν
670, 14. ἄλκαρ γρ. ἄλκαρ
671, 26. μητήρι γρ. μητέρι
672, 29. βίον γρ. βίοτον.

Εἴτινα ἄλλα παρεώραται, διορθούτω ὁ ἀναγνώστης.

ΚΑΤΑΛΟΓΟΣ ΣΥΝΔΡΟΜΗΤΩΝ

ΤΩΝ ΦΙΛΟΛΟΓΙΚΩΝ ΠΑΡΕΡΓΩΝ.

	ἀντίτυπα
Τὸ ἐν Ἀθήναις Ἑλληνικὸν Πανεπιστήμιον	150
Βασίλειος Λάκων Καθηγητής	1
Στέφανος Κουμανούδης ὁμοίως	1
Ἡ εὐγενεστάτη κυρία Εὐφροσύνη Κασσαβέτου	12
Ὁ κύριος Λουκᾶς Ῥάλλης	1
Οἱ ἀδελφοὶ Ἐμμ. καὶ Νικόλαος Χαρίλαος	2

Ἐκ τοῦ ἐν Ἀθήναις Βαρβακείου Λυκείου.

Ν. Πετρῆς Γυμνασιάρχης	1
Ν. Γ. Νικοκλῆς Καθηγητής	1
Ι. Πανταζίδης »	1
Χρ. Κακουριώτης »	1
Ι. Ἀθ. Οἰκονομίδης »	1
Παφνούτιος Βασιλειάδης Καθηγητής	1

Μαθηταὶ

Ἰωάννης Ὀριγών	1
Σωκράτης Ν. Παπάζογλους	1
Σαράφης	1
π. Ν. Δελένδας	1
Θουκυδίδης Ἀσημακόπουλος	1
Γ. Κ. Ἀλευροπώλης	1
Ἀνδρέας Θ. Ζαΐμης	1
Σπυρίδων Κοκκαλάκης	1
Ἀντώνιος Ζησιμόπουλος	1
Γεώργιος Βασιλειάδης Ξάνθιος	1
Νικόλαος Διανέλλου ἐκ Βόλου	1
Κωνσταντῖνος Κυρομηλῆς ἐκ Βόλου	1
Ἰωάννης Δ. Λάβανος ἐκ Βόλου	1
Ἰωάννης Ἐμμαν. Φωτιάδης	1
Δημήτριος Μαγγίνας	1
Κωνσταντῖνος Σταμπολόπουλος	1
Κ. Δ. Σαρόπουλος Θετταλομάγνης	1
Χρῆστος Π. Μαυρομμάτης	1

	ἀντίτυπα
Νικόλαος Δ. Μπάρακλης	1
Στίλπων Π. Ἰωαννίδης	1
Ἀντ. Γεωργίου Νισύριος	1
Α. Δ. Γραφειάδης	1
Ε. Π. Βαφειαδάκης Λέσϐιος	1

Ἐκ τοῦ ά. Γυμνασίου Ἀθηνῶν οἱ Καθηγηταί.

Χ. Δραγάτσης	1
Δ. Η. Κυριακόπουλος	1
Π. Κωνσταντινίδης	1
Κ. Δ. Μυλωνᾶς	1
Νικόλαος Σπ. Παπαδόπουλος	1

Ἐκ τοῦ ϐ'. Γυμνασίου Ἀθηνῶν.

Δ. Γ. Πετρίδης Γυμνασιάρχης	1
Χαρίσιος Πούλιος Καθηγητής	1
Θ. Βουκύδης »	1
Κ. Πορφυρόπουλος »	1
Ἰω. Χ. Σιμόπουλος »	1
Π. Κουπιτώρης »	1
Ἰω. Α. Βάθης	1
Ἰω. Α. Κοτζάκης	1
Ἰω. Α. Καισαρίδης	1
Χρ. Δ. Τσούντα	1
Ν. Περόγλους	1
Ἀνδρέας Μομφεῤῥάτος	1
Θεμιστοκλῆς Χρυσανθόπουλος	1
Ἀθανάσιος Ν. Παπακωνσταντίνου	1
Ἱλαρίων Α. Μακαρώνης	1

Ἐκ τοῦ Γυμνασίου Λαμίας.

Ἄγγελος Δ. Καππώτας Γυμνασιάρχης	1
Σπυρίδων Δ. Σμπόνιας	1
Γεώργιος Ρ. Ἐμμανουήλ	1
Παναγιώτης Οἰκονομίδης	1
Δημήτριος Παπατσωτίου	1
Δημήτριος Παπᾶ Ῥίζου	1
Ἀντώνιος Ν. Ῥενδινιώτης	1
Ἀριστοτέλης Δ. Ἰατροῦ	1
Γεώργιος Διονυσόπουλος	1

ἀντίτυπα

Σταῦρος Γ. Λαμπράκης, Ἱερεύς.................... 1
Δημήτριος Κ. Ἱερεὺς Σακελλάριος.................... 1
Εὐθύμιος Α. Κούτρας δικηγόρος.................... 1

Ἐκ τοῦ Γυμνασίου Χαλκίδος.

Πολ. Σπανόπουλος Γυμνασιάρχης.................... 1
Ἐμμ. Καραγιαννόπουλος Καθηγητής.................... 1
Γεώργιος Π. Τσαγρῆς » 1
Ι. Παππαθαλασσινὸς » 1

Ἐκ Ναυπλίας.

Π. Γαλανόπουλος Γυμνασιάρχης.................... 1
Δ. Κ. Τσέγκος Καθηγητής.................... 1
Ι. Κωτσάκης Σχολάρχης.................... 1
Ι. Πολίτης δικηγόρος.................... 1
Κ. Φαρμακόπουλος δικηγόρος.................... 1
Ν. Καράπαυλος δικηγόρος.................... 1

Ἐκ τοῦ Γυμνασίου Τριπόλεως.

Π. Π. Κομνηνὸς Καθηγητής.................... 1
Π. Ι. Παπαναστασίου Καθηγητής.................... 1
Ἀθανάσιος Σκάγιαννης » 1
Γεώργ. Α. Καραμάνος » 1
Γ. Γαλανόπουλος Γυμνασιάρχης.................... 1
Δ. Ι. Βλασσόπουλος Ἑλληνοδιδάσκαλος.................... 1
Ἠλίας Ἀγγελόπουλος Σχολάρχης.................... 1

Ἐκ Πύργου.

Ι. Γ. Βορτσέλας Γυμνασιάρχης.................... 1
Πλούταρχος Παπαϊωάννου, Καθηγητής.................... 1
Α. Οἰκονόμος Καθηγητής.................... 1
Ἡ Λέσχη Πύργος.................... 1
Ἀνδ. Δ, Σπηλιάδης δικηγόρος.................... 1
Εὐθ. Σ. Λεονάρδος » 1
Παναγῆς Αὐγερινὸς Δήμαρχος διὰ τὸ Γυμνάσιον.......... 5
Κ. Δ. Δαβαρούκας.................... 1
Διονύσιος Μητρόπουλος.................... 1
Ε. Κρεστενίτης.................... 1

	ἀντίτυπα
Ῥοδοκανάκη υἱοὶ κ. σ.	10
Ἰωάννης καὶ Παῦλος Σκυλίτσαι.	10
Εὐτέρπη Α. Κασσαβέτου.	10
Ξενοφῶν Μπαλλῆς.	10
Ἐμμ. Α. Μαυροκορδάτος.	5
Κωνσταντῖνος Α. Ἰωνίδης.	5
Δημ. Σ. Μπάκκας.	5
Πέτρος Π. Ῥοδοκανάκης.	5
Ὁ. Βαλιέρης.	5
Εὐστράτιος Ῥάλλης.	10
Ἀδηλφοὶ Σεκιάρη.	10
Κ. Γ. Μπαλλῆς.	4
Δ. Σ. Σεβαστόπουλος.	2
Α. Εὐμορφόπουλος.	3
Ἰω. Βαλέττας.	2
Δ. Ποτοῦς.	1
Ἀνδρέας Π. Σκαραμαγκᾶς.	3
Α. Βερίσης.	1
Μ. Ψαρᾶς.	1
Μ. Φ. Πασπάτης.	5
Γεώργιος Κεφαλᾶς.	2
Π. Κ. Σκλάβος.	2
Δ. Μ. Κατινάκης.	1
Ἰω. Σ. Γαλάτης.	1
Κ. Ζ. Γρυμάλδης.	1
Ἰ. Θ. Ῥοδοκανάκης.	4

Ἐξ Ὀδησσοῦ.

Θεόδωρος Π. Ῥοδοκανάκης.	10
Ἰωάννης Γ. Βουτσινᾶς.	20
Γρηγόριος Μαρασλῆς.	10
Νικόλαος Μαυροκορδάτος.	10
Ἡ ἐν Ὀδησσῷ ἑλλην. ἐμπορικὴ Σχολή.	10
Ἰωάννης Φ. Πασπάτης.	6
Ἀλέξανδρος Ζαρίφης.	6
Ἀλέξανδρος Σεβαστόπουλος.	5
Δημήτριος Κουμπάρης.	5
Περικλῆς Ῥοδοκανάκης.	5
Θεμιστοκλῆς Κ. Σκλάβος.	5
Ἀπόστολος Ν. Παρασκευᾶς.	5

	ἀντίτυπα
Ἀπόστολος Τσιμπόπουλος	5
Νικόλαος Κριωνᾶς Π. Νικολάου	5
Πέτρος Στ. Ῥάλλης	5
Ἀπόστολος Κριωνᾶς Π. Νικολάου	4
Θεόφιλος Δουλγιέρωφ	4
Ἰωάννης Κοαντζάκης	3
Κωνσταντῖνος Δ. Ῥάλλης	3
Ἄγγελος Πεφάνης Ἱερεύς	3
Μιχαὴλ Νικολαΐδης	2
Ἀπόστολος Κριωνᾶς	2
Λουκᾶς Σκλυρῆς	2
Ῥαφαὴλ Μαντζαβῖνος	2
Ἰωάννης Διαλεγμένος	2
Νικόλαος Μ. Χιονάκης	1
Ἰάκωβος Β. Ἀγαπητός	1
Ἀλέξανδρος Λάτρης	1
Πελοπίδας Λάτρης	1
Δ. Μ. Ξανθόπουλος	1
Χαραλάμπης Βουλόδημος	1
Ἀθανάσιος Πήλληκας	1
Ἐπαμινώνδας Κονιδάρης	1
Εὐστράτιος Ν. Πετροκόκκινος	1
Σ. Γ. Σακελλαρίου	1
Γεώργιος Νικολαΐδης	1
Ἰωάννης Κ. Παντούρης Γυμνασιάρχης	1
Κυριακὸς Σταμέροφ	1
Σ. Ι. Κομποθέκλας	1

Ἐκ Σμύρνης.

Κ. Ξανθόπουλος Γυμνασιάρχης	1
Π. Καπλανίδης Καθηγητής	1
Α. Καραγιάννης	1
Θ. Τιμαγένης	1
Ι. Μάλλιος	1
Δημήτριος Χ. Νικολάου	1
Γ. Βοντζίδης	1
Ν. Ἀρώνης	1
Γ. Δ. Κανάλης	1
Κ. Εὐσταθόπουλος	1
Ἀγ. Στεφανάκης	1

	ἀντίτυπα
Ε. Χαραλαμπίδης	1
Νικόλαος Σῖμος	1
Μ. Γ. Παλλαμάρη	1
Α. Φ. Τοπάλης	1
Σοφοκλῆς Ι. Ἀναστασιάδης	1
Ἀριστοτέλης Ι. Αιμπερόπουλος	1

Ἐκ Χίου.

Ὁ Μητροπολίτης Χίου Γρηγόριος ὁ Βυζάντιος	1
Γ. Σουρίας Γυμνασιάρχης	1
Εὐάγγελος Παπαναστασίου	1
Κωνσταντῖνος Ι. Πρώϊος	1
Ἰωάννης Μ. Συριώτης	1
Δημήτριος Βλαστὸς	1
Στέφανος Βαφειαδάκης	1
Ἰω. Παντελίδης	1
Γεώργιος Γεωργιεφείδης	1
Κ. Κοσμίδης	1
Ν. Σακελλάριος	1
Ἐπαμεινώνδας Α. Καράβας	1
Ἀντώνιος Μ. Κουβελᾶς	1